HERODIANI TECHNICI

RELIQUIAE.

[illegible]

AUGUSTUS LENTZ.

TOMI II

[illegible]

[illegible]

[illegible]

LIPSIAE

[illegible]

[illegible]

Neuer philologischer und Schulbücher-Verlag

von

B. G. TEUBNER in LEIPZIG.

1870. Januar—Juni.

Barbieux, H., livre des demoiselles. Ein französisches Lesebuch für Mädchenschulen. I. Cursus. Fünfte durchgesehene Auflage. gr. 8. geh. 7½ Ngr.

Der II. Cursus, 22½ Ngr., erschien voriges Jahr in 4. Auflage.

Brambach, Wilhelm, die Sophokleischen Gesänge, für den Schulgebrauch metrisch erklärt. 8. geh. 15 Ngr.

Claus, Dr. W., [illegible] englische Elementargrammatik nebst Lese- und [illegible] [illegible] 24 [illegible]

Corssen, W., über Aussprache, Vokalismus und Betonung der lateinischen Sprache. Von der königl. Academie der Wissenschaften zu Berlin gekrönte [illegible] schrift. Zweite umgearbeitete Auflage. Zweiter Band. [illegible] gr. [illegible] geh. 6 Thlr. 20 Ngr.

Dindorf, Gulielmus, Lexicon Sophocleum. Fasc. I & II. Lex. 8. geh. [illegible] 16 Ngr.

Dommerich, Dr. F. A., Lehrbuch der vergleichenden Erdkunde für Gymnasien und andere höhere Unterrichts-Anstalten, [illegible] Nach [illegible] neu bearbeitet von Dr. [illegible] Professor [illegible] Ausgabe bei [illegible] mit [illegible] gr. [illegible] Ngr.

Fischer, Julius Gulielmus, de fontibus et auctoritate Cassii Dionis [illegible] post Caesarem mortem [illegible] [illegible] Jan. anni a. Chr. n. 43 [illegible] gr. 8. geh. [illegible] Ngr.

HERODIANI TECHNICI
RELIQUIAE.

COLLEGIT DISPOSUIT EMENDAVIT EXPLICAVIT
PRAEFATUS EST

AUGUSTUS LENTZ.

TOMI II
FASCICULUS POSTERIOR

SCRIPTA DE NOMINIBUS VERBIS PRONOMINIBUS ADVERBIIS ET
LIBRUM MONADICORUM CONTINENS.

ACCEDUNT INDICES AB ARTHURIO LUDWICH CONFECTI.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXX.

LIPSIAE TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

Quod hic liber post primum editum volumen auctoris sui ope destitutus nunc ad finem perductus est „feliciter“, duorum virorum doctrinae atque indefesso studio debetur, Arthuri Ludwich et Eugenii Plew. Quorum ille hos indices, quorum initia quaedam ab auctore relicta erant, de integro confecit, confecitque tales, quos haud facile quisquam μιμήcεται, μωμήcεται nemo. Plewius correctionem imprimendi voluminis receperat. Quam etsi difficilem fore ex ipsa re suspicabamur, longe tamen difficilior et operosior evasit: quia mox patebat auctorem librum manu scriptum nondum ubique extrema cura perpolivisse, sed permultis locis demenda, fontibus denuo aditis explenda, quaedam coniectura etiam sananda sibi reliquisse in id tempus, quo haec a typothetis ad se reditura putabat. His vicibus quam strenue, quam sollerter Plewius functus et defunctus sit mihi eo minus silentio praeterire licet, cum ego unus testis sim eorum, quae iam lectorem latent. Denique utrumque Addendis componendis haud sane perfunctoriam operam impendisse videmus.

Ego pauca quaedam, quae mihi nunc addenda se praebent, hoc loco commemorabo. Cum primum volumen brevibus commendarem in Zarnckii tabulis 1867 nr. 44, ad praef. p. VIII haec scripseram: Ueber die Stelle in Bekk. An. p. 800, wo eine abweichende Ansicht zwischen Apollonius und Herodian in Gesprächsform gebracht wird und Apollonius den Herodian anredet mit ὦ τέκνον, ist Referent anderer Meinung. Ihm hat von jeher diese Stelle als ein Muster vorgeschwebt von jenen „byzantinisch kindischen Wendungen“, wie Referent in einem andern (von dem Verfasser auch behandelten und gebilligten) Falle sie genannt, wo es nöthig war, hinter solchen Wendungen den wahren Herodianus heraus zu erkennen. Uns scheint dies ganz wider den Ernst, mit dem wir diese Männer in der Sache finden, dem es angemessen ist, wenn etwa Herodian den Apollonius als ὁ Ἀπολλώνιος citiert. Auch ist es wol schwer, wiewol der Verfasser einiges dafür sagt, sich solche dialogisirte Stellen in den Schriften jener Männer vorzustellen. Und so wäre denn in diesem Punkte wol Herrn Hiller beizutreten gewesen, quaest. Herod. p. 59.

Quod praef. p. XXXIV verissime Lentzius de Herodiani τέχνῃ dixit, assentiens Hillero, eam nullam fuisse, h. e. falsum esse Herodianum

scripta sua uno nomine τέχνης comprehensa tanquam unum opus edidisse, id, quia ipsi Lentzio iam non licet, ego eius nomine sustentabo dicamque mirationem facere, cur nuper denuo vir de grammaticis bene meritus et mox melius etiam meriturus, sine ulla, quae vel minimum momenti habere posset, caussa, imo contra caussam illud tanta machinatione et molimine tenere instituerit. Non magis rem veram esse in Apollonio Dyscolo mecum sentit Rudolphus Skrzeczka.

Quae p. XXXXV et sequenti scripta sunt de συντάξει, συνθέσει, παραθέσει, haec non recte scripta esse ex ipsis locis allatis apparet, nec video quae ego de horum vocabulorum usu ad Herodiani μονήρη p. 87 monueram non stare. Non dubitandum aliquem hic errorem viro egregio obfuisse. Quid enim hoc est e. g. quod scribit: „Sed si κήρεσσι φορήτους [potius φορητούς] Θ 527 et οὔρεσι τέκτονες Π 483 συνθέτως proferri vetat, id de compositione non magis intellegi potest quam si δυοκαίδεκα Β 557 κατὰ σύνθεσιν scribi iubet“? Quid tandem aliud Herodianus quam veram synthesin dicit? Invenitur e. g. apud poetam ΚΗΡΕΣΣΙΦΟΡΗΤΟΥΣ. Quaeritur, ut ex Herodianeo et antiquorum usu loquar, qualis haec σύνταξις sit: non quaeritur eo sensu secundum usum Herodianeum, qualis σύνθεσις sit: — ergo qualis σύνταξις sit: sitne haec σύνταξις κατὰ σύνθεσιν h. e. sitne κηρεσσιφορητους compositum, σύνθετον, et sub uno accentu scribendum, κηρεσσιφορήτους, an eodem quidem arcto sensu duo vocabula coniuncta, non composita nec sub uno accentu scribenda, sed κατὰ παράθεσιν, κήρεσσι φορητούς. Illud invaluit quidem, inquit Herodianus, habet tamen aliquid insoliti, quod compositiones per longiorem formam dativi pluralis in prima parte fieri non soleant. Sic reliqua. Quid tandem δυοκαίδεκα si scribatur aliud dicatur ab Herodiano quam compositum, σύνθετον, per σύνθεσιν factum? si scribatur δύο καὶ δέκα, esse παράθετον, κατὰ παράθεσιν? Et sic facit Β 557. Item non tantum τρισκαίδεκα dicitur, quod compositum est, sed etiam τρεῖς καὶ δέκα, etiamsi non significet drei und zehn, sed dreizehn, κατὰ παράθεσιν, imo et τρεῖς καὶ δέκατος der dreizehente et τρεῖς καὶ δεκάτη die dreizehnte: Ο 678. — Tantum dixi ad illum Herodiani locum in Monadicis.

Ad Arcadii praefationem per epistolam cum Lentzio communicaveram, quo fere modo mihi restituenda videretur. Quae rescripsit sibi probari. Ipso initio (praef. p. LXII) Τὸ ἐφικέσθαι ... tolerari non potest: scribendum Τοὺς ἐφικέσθαι. — p. LXIII (Bark. 6, 17) traditum est: ἐφ᾽ ἑκάστῳ δὲ τῶν τοιούτων ὁρισμῶν ἡ μὴ ἐπιπολλοῖς (sic A) vel ἐπιπολλῆς (sic BC) ἅμα διὰ τῶν παραδειγμάτων εὐθὺς παράθεσις ἀπαγορεύει διάνοιαν ὥστε ῥᾷον τοῖς ἄλλοις ἀκολουθεῖν. Lentzius scripsit ἡ μὴ ἔτι πολλὴ ἅμα δοκίμων παραδειγμάτων εὐθὺς παράθεσις. Sed nihil certius quam ἐπιπολῆς, in quod cum Mauritius Schmidt quoque incidisset non intellego quomodo in hoc quidem vocabulo

haerere potuerit. Ad cetera quod attinet nec Lentzii δοκίμων, nec Schmidtii ἡ μὴ ἐπιπολῆς μὰ Δία τῶν παραδειγμάτων εὐθὺς παράθεσις non inferre videtur quod non exspectes. Mihi Byzantinus ille videtur scribere potuisse ἡ μὴ ἐπιπολῆς ἅμα διὰ τῶν παραδειγμάτων παράθεσις [i. e. ἡ παράθεσις ἡ διὰ τῶν παραδειγμάτων γινομένη] ἀπαγορεύει etc. Sed ἅμα et εὐθὺς simul scribere non potuit, ut εὐθὺς, quod multo minus aptum quam ἅμα, falsum putem, et delendum quidem, natum per dittographiam ex θέσις in παράθεσις.

Ib. 7, 1 pro περιμένοντας scr. περιτέμνοντας cum Schmidtio.
— 4 παρεῖται καὶ pro παρεῖται.
— 5 pro λόγον requiritur λόγων, commate posito post κανονίζειν.
— 6 ὥστε ex eo, quod codd. praebent, ὅτε. Mutavit hoc primus Villoiso: recte fortasse: melius videri potest εἰς τὸ.
— 9 pro ἀνεπιστήμονα requiritur ἀνεπιστημόνως.
— 20 εἰ δέ τι συντομώτερον τοῦ πρὸ ἡμῶν ἐπειγομένου πεποιήκαμεν. Hoc scribendum erit: εἰ δὲ τὸ (sic reliqui praeter A) συντομώτερον τοῦ πρὸ ἡμῶν ἐπιτεμομένου πεποιήκαμεν.

Ad p. CI id mihi sumam ut mihi persuasissimum esse dicam, quae „de pronuntiatione vocalium αι et ε Herodiani aetate non diversa“ statuit, etiamsi in παιδῶν et πεδῶν vel in politiorum ore tenui discrimine distarent, non recte statui atque inde factum esse ut in Orthographia ex Choerobosco et Theognosto haud pauca pro Herodianeis adsumta sint, quorum de orthographia monendi Herodiano nulla caussa fuerit, et nullo modo e. g. tale praescriptum ab Herodiano proficisci potuisse, quale illud est ex Theognosto positum II p. 425 Τὰ διὰ τοῦ σα οὐκ οἶδε τὴν διὰ τῆς αι διφθόγγου γραφήν, ἐρώεσσα, τιμήεσσα, χαρίεσσα et quae sequuntur.

Monueram Lentzium, videri mihi Herodianeum colorem obfuscari quod ex Choerobosco constructionem neutrius pluralis cum verbo plurali transsumsisset, ut τὰ εἰς ης πολυσύλλαβα βαρύνονται I 79, 9, et talia: hoc enim Herodianum, quod meminerim, rarissime facere. Id probasse videtur: video enim in altero volumine eum haec fere mutantem.

Sed cum nobis non θέμις videatur, ab hoc opere aliter discedere quam cum laudatione auctoris, postrema haec sunto, quae occasione data post obitum viri eximii scripseram:

Als das griechische Volk die Epoche seines freien und bewegten Lebens zurückgelegt hatte, in welcher es jene erstaunlichen Meisterwerke in Poesie, Geschichte, Philosophie von Homer bis Aristoteles hervorgebracht, änderte sich die Scene. Sie änderte sich in der That auch räumlich; war es doch z. B. ägyptischer Boden, auf welchem

so viele Griechen und griechische Geister jetzt die Stätte ihrer Wirksamkeit fanden. Allein wir erkennen auch hier die hohe Begünstigung dieses Volkes, gleichsam nach veränderter Bühne noch einmal auftreten zu dürfen, um nun in Gründung und Systematisierung der Wissenschaften im engern Sinne für literarische Forschung thätig und erfindsam zu wirken. Bei diesen Bestrebungen entwickelte sich auch Sprachforschung, auch neben den theoretischen Bestrebungen die historische Sprachforschung und Kritik. War ja auch bei ganz verändertem Leben und Sprechen stark angeregt das Gefühl, um es mit Goethe's Worten zu sagen: „Für die lieben alten Todten braucht man Erklärung, will man Noten". Was nach dem Erwachen des Interesses für unsere altdeutschen Schriftwerke die Lachmann und Grimm erstrebten, in Textkritik, Erklärung, Darlegung des Sprachbaues, das wurde damals auch für das griechische erstrebt, und lange fortgesetzte Studien brachten in das fast unübersehbare Material mehr und mehr Vollständigkeit und Einsicht, Ordnung und Regel. Zu den berühmtesten Sprachforschern gehört Herodian, dessen die ganze Sprache in ihrem Bau umfassende Schriften man wohl mit Grimm's Grammatik vergleichen kann, auch an Reichthum der eingetragenen Sprachformen, worin er wie an Regel bildendem Geist noch vor allen hervorragte, auch darin, dass er eine Quelle wurde, aus der alle schöpften. Sie thaten es nur zu oft ohne ihn zu nennen. Herodian's Arbeiten sind wahrhaft riesenhaft, in welchem Grade, übersieht man vollkommen erst jetzt durch Lentz' Wiederherstellung derselben. Denn aus Bruchstücken und aus den Benutzungen, oft ungenannten, nur durch kritischen Scharfsinn wiederzuerkennenden, Anderer haben wir uns jenes Riesengebäude herzustellen. Das ist selbst eine Riesenarbeit; jene Benutzungen gehen durch alle späteren Jahrhunderte hindurch und die Aufgabe war nur durch ungewöhnlichen kritischen Scharfsinn und ungewöhnliche griechische Sprachkenntniss zu lösen und durch jene Ausdauer, die im Dienste einer Idee nicht nur unermüdlich, sondern auch fruchtbar wird.

K. Lehrs.

TOMI II

FASCICULUS POSTERIOR

SCRIPTA DE NOMINIBUS VERBIS PRONOMINIBUS ADVERBIIS ET LIBRUM MONADICORUM CONTINENS.

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ
ΠΕΡΙ ΟΝΟΜΑΤΩΝ.

1.

Choer. 7, 10: οἱ περὶ Ἀπολλώνιον καὶ Ἡρωδιανὸν καὶ Ῥωμανὸν τὰ εἴδη προτάσσουσι τῶν γενῶν οἷον εἴδη γένη, ἐπειδὴ ὅπου εἶδος, οὐ πάντως καὶ γένος ἐστίν. ἰδοὺ γοῦν ἐν τοῖς ὀνόμασίν ἐστι γένη, ἀρσενικὸν θηλυκὸν οὐδέτερον, ἀλλὰ καὶ εἴδη πρωτότυπον καὶ παραγωγὸν οἷον ἀνήρ ἀνδρεῖος. ὅπου δὲ εἶδος, οὐ πάντως καὶ γένος ἐστίν. ἰδοὺ γὰρ ἐν τοῖς ῥήμασίν ἐστιν εἴδη, πρωτότυπον καὶ παραγωγὸν ἄρδω ἀρδεύω καὶ οὐκ ἔστι γένη. οὐδὲ γὰρ ἔχει τὸ ῥῆμα ἀρσενικὸν θηλυκὸν καὶ οὐδέτερον. πάλιν ἐν τοῖς ἐπιρρήμασίν ἐστιν εἴδη,· πρωτότυπον καὶ παραγωγὸν οἷον ἐγγύς ἐγγύθεν καὶ οὐκ ἔστι γένη. οὐδὲ γὰρ ἔχει τὰ ἐπιρρήματα ἀρσενικὸν θηλυκὸν οὐδέτερον. Ἐπειδὴ οὖν ὅπου μὲν εἶδος οὐ πάντως καὶ γένος ἐστὶ παρὰ γραμματικοῖς, ὅπου δὲ γένος ἐκεῖ πάντως καὶ εἶδος, τούτου χάριν προτερεύει τὰ εἴδη τῶν γενῶν.

*2.

An. Ox. IV 328, 25: Φασὶν ὅτι προτάττεται τὸ ὄνομα, ἐπειδὴ καὶ πᾶσαι αἱ λέξεις ἐπικοίνως τῇ προσηγορίᾳ ὄνομα καλοῦνται, καθό φαμεν καλοῖς ὀνόμασι χρῆσθαι Πλάτωνα· εἰ γὰρ ὄνομά ἐστι τὸ ὀνοματικὸν καὶ σημαντικόν, ἕκαστον δὲ τῶν μερῶν τοῦ λόγου σημαντικόν ἐστι καὶ συστατικόν, δῆλον ὅτι ἕκαστον ὄνομα ἂν κληθείη. οὕτως οὖν καὶ Διόδωρος ὁ ἐπικληθεὶς Κρόνος λέγεται τὸν οἰκέτην αὐτοῦ καλεῖν Ἀλλαμήν.

3.

Choer. Gaisf. 16, 17, Bekk. Anecd. 1181: Ὁ Ἡρωδιανὸς ἐν τῷ ὀνοματικῷ λέγει αὐτὸ (sc. Πράς Πραντός ὄνομα πόλεως) περισπᾶσθαι καὶ διὰ τοῦ ντ κλίνεσθαι, ἐν δὲ τῇ καθόλου ὀξύνεσθαι, ὁμοίως δὲ καὶ διὰ τοῦ ντ κλίνεσθαι.

---

l. 8 ἀνήρ ἀνδρεῖος quod intellectus flagitat scripsi pro ἄρδω ἀρδεύω. l. 23 adieci Ἀλλαμήν ex Mon. 32, 10. — Herodianea frustula quamvis confusa nostro loco contineri videntur.

4.

Choer. 35, 10, E. M. 779, 29, Schol. A ad Il. Δ 66: ὑπερκύδαντας: λέγουσί τινες, ὅτι ἐν τοῖς Ἐπιμερισμοῖς Ἡρωδιανὸς λέγει, ὅτι μετοχή ἐστιν· κυδαίνω ἐκύδανα κυδάνας κυδάναντος καὶ κατὰ συγκοπὴν καὶ ἐν συνθέσει ὑπερκύδαντος. ἐν δὲ τῷ Ὀνοματικῷ λέγει, ὅτι ὄνομά ἐστι. καὶ μᾶλλον δεῖ ὄνομα λέγειν ἤπερ μετοχήν. τὸ γὰρ ὀνοματικὸν αὐτοῦ ὡμολόγηται εἶναι. οἱ δὲ Ἐπιμερισμοὶ οὐκ εἰσιν αὐτοῦ πάντες, ἀλλὰ εἰσὶ καὶ ψευδεπίγραφοι.

5.

Ep. Cr. I 134, 2: ὁ εἷς καὶ τὸ θηλυκὸν ἀπέλειψε· δύο γάρ κανόνες εἰσίν οἱ μαχόμενοι. ὁ μὲν εἷς λέγει, ὅτι οἱ ἀριθμοὶ κοινοὶ θέλουσιν εἶναι οἷον οἱ δύο καὶ αἱ δύο, οἱ τρεῖς καὶ αἱ τρεῖς. [ἢ οὕτω· τὰ ἀριθμητικὰ ὀνόματα κοινά ἐστι τῷ γένει καὶ ὁμοφωνεῖ τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς οἷον οἱ πέντε καὶ αἱ πέντε, οἱ ἑπτά καὶ αἱ ἑπτά.] ὁ δὲ ἕτερος λέγει ὅτι πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη τὸ τέλος τῆς γενικῆς τρέπουσα εἰς α (σα?) καὶ τὴν παραλήγουσαν θέσει μακράν ποιοῦσα τὸ θηλυκὸν ποιεῖ ἐπ' ὀνομάτων οἷον χαρίεις χαρίεντος χαρίεσσα, δαφνήεις δαφνήεντος δαφνήεσσα, εἷς ἕντος ὤφειλεν εἶναι τὸ θηλυκὸν ἕσσα. τῶν οὖν δύο κανόνων μαχομένων, τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος ὁμοφωνεῖν τῷ ἀρσενικῷ, τοῦ δὲ ἑτέρου κατὰ παρασχηματισμὸν ἕσσα ἀπέλειψε καὶ ἐγένετο ὡς ἀπὸ τοῦ ἴος ἀρσενικοῦ, ὃ σημαίνει τὸν μόνον, τὸ θηλυκὸν ἴα καὶ πλεονασμῷ τοῦ μ μία. καὶ κλίνεται μιᾶς. καὶ λέγει ὁ κανὼν τὸν τόνον· τὸ γὰρ μιᾶς καὶ ἰᾶς Ἰωνικὴν ἔχει τάσιν, ἐπειδὴ κανών ἐστιν ὁ λέγων· ἐπὶ τῶν εἰς α βραχυκαταλήκτων εἰώθασιν οἱ Ἴωνες βαρύνειν τὰς λέξεις, ὡς καὶ ἡμεῖς οἷον ὄργυια, ἄγυια, Πλάταια, Θέσπεια· ὅταν δὲ γένηται ἡ τελευταία συλλαβὴ μακρά, Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνος οἷον ἀγυιά, ὀργυιά, Θεσπειά. τοῦτο οὖν ἐστιν εἰρημένον τῷ τεχνικῷ· τὸ μιᾶς γὰρ καὶ ἰᾶς· ἐπειδὴ γὰρ τὸ ἴα καὶ μία ἐν τῇ γενικῇ καὶ δοτικῇ μακροκαταληκτεῖ, τούτου χάριν τῷ Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνος. καὶ περιεσπάσθη οἷον ἰᾶς ἰᾷ μιᾶς μιᾷ· ὅθεν καὶ ἡ αἰτιατική, ἐπειδὴ οὐκ ἐγένετο μακροκατάληκτος, οὐ κατεβίβασε τὸν τόνον, ἀλλὰ παροξύνεται ὁμοίως τῇ εὐθείᾳ οἷον ἴαν μίαν.

6.

Eustath. 114, 1: ἐσιγήθη ἡ προσφυὴς εὐθεῖα τοῦ Διός, πρόκειται δὲ τὸ Ζεύς ἑτερόκλιτον ἀντ' αὐτῆς διὰ τὸ κοινότερον· συνηθέστερον γὰρ ὁ Ζεύς ἤπερ ὁ Ζάν καὶ ὁ Ζήν καὶ ὁ Δίς καὶ ὁ Δάν καὶ ὅσα ἄλλα κεῖται παρὰ τῷ παλαιῷ τεχνικῷ.

---

l. 12 verba uncinis inclusa epitomatoris videntur. l. 34 cf. 1387, 26 τῶν εἰς ευς ὀνομάτων ὑπὲρ μίαν συλλαβὴν ὄντων μονήρης μένει ὁ Ζεύς ὡς μονοσύλλαβος καὶ πολλαῖς εὐθείαις παρὰ τοῖς παλαιοῖς ποικίλλεται. Δίς γάρ, οὗ ἡ γενικὴ Διός, καὶ Ζήν καὶ Ζάν καὶ Ζάς καὶ Ζής παρὰ Φερεκύδει καὶ Βοιωτικῶς Δεύς καὶ Δάν. Mon. 6, 15.

7.

Il. Pr. Ε 9: Δάρης ὡς Χάρης. ὁμολογεῖ καὶ ἡ γενική· Δάρητος γὰρ ὡς Χάρητος. εἰ γὰρ ὠξύνετο, ἡ γενικὴ ἐγένετο Δαροῦς ὡς σαφοῦς, ὅτι τὰ εἰς ης δισύλλαβα ὀξύτονα ἐν ἔχοντα σύμφωνον εἰς ους περατοῦται κατὰ τὴν γενικὴν σαφοῦς, πρηνοῦς, προλοῦς, φραδοῦς «φραδέος νόου ἔργα» (Il. Ω 354). τοιαύτη ἄρα ἐγίνετο καὶ ἡ τοῦ προκειμένου ὀνόματος κλίσις· περὶ δὲ τοῦ ψιλῆτος παρ' Αἰσχύλῳ καὶ τοῦ «Κουρῆτες τ' ἐμάχοντο» (Il. I 529) καὶ τοῦ κριτής ἐν τοῖς περὶ ὀνομάτων ἀποδώσομεν τὸν λόγον.

8.

Theogn. 47, 32, Bekk. An. 1390: τὸ Κλήμης Κλήμεντος καὶ Κρήσκης Κρήσκεντος, Οὐάλης Οὐάλεντος, Μάνης Μάνεντος, διὰ τοῦ εντος κλινόμενα καὶ τὰς εὐθείας ἔχοντα διὰ τοῦ η, οὐ τῆς κοινῆς, ἀλλὰ τῆς Σικελικῆς ἀρχαιότητος ἴδιον, ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ ὀνοματικῷ.

9.

Choerob. 454, 32: Περὶ τοῦ κίς κιός καὶ λίς λιός — αὐτὸς (sc. Ἡρωδιανὸς) ἐν ἑτέροις ἐσημειώσατο λέγων ἡμαρτημένα εἶναι εἴτε κατὰ τόνον εἴτε κατὰ κλίσιν. ἤ γάρ, φησίν, ὀξύτονα ὄντα ὤφειλε διὰ συμφώνου κλίνεσθαι, εἴτε διὰ καθαροῦ τοῦ ος κλινόμενα οὐκ ὤφειλε ὀξυτονεῖσθαι κατὰ τὴν εὐθεῖαν. τὰ γὰρ εἰς ις ὀξύτονα οὐδέποτε διὰ καθαροῦ τοῦ ος κλίνεται, ἀσπίς ἀσπίδος, βολίς βολίδος, κρηπίς κρηπῖδος, κνημίς κνημῖδος, βασιλίς βασιλίδος. καὶ κέχρηται τοιούτῳ παραδείγματι, ;ὅτι, ὥσπερ Πάρις Πάριδος καὶ Θέτις Θέτιδος καὶ μῆνις μήνιδος, ἐπειδὴ βαρύτονά ἐστι κατὰ τὴν εὐθεῖαν, γίνεται παρὰ τοῖς Ἴωσι διὰ καθαροῦ τοῦ ος κατὰ τὴν γενικὴν οἷον Πάριος Θέτιος μήνιος (ἴδιον γάρ ἐστι τῶν εἰς ις βαρυτόνων τὸ διὰ καθαροῦ τοῦ ος κλίνεσθαι οἷον ὄφις ὄφιος, μάντις μάντιος, πόλις πόλιος), τὰ μέντοι εἰς ις ὀξύτονα οἷον κρηπίς κρηπῖδος, ἀσπίς ἀσπίδος, ῥανίς ῥανίδος, οὐ γίνεται παρὰ τοῖς Ἴωσι διὰ καθαροῦ τοῦ ος (τοῦτο γὰρ ἀλλότριόν ἐστι τῶν εἰς ις ὀξυτόνων, λέγω δὲ τὸ ἔχειν γενικὴν διὰ καθαροῦ τοῦ ος ἐκφερομένην)· οὕτω καὶ τὸ κίς καὶ τὸ λίς ὀξυνόμενα καὶ εἰς ις λήγοντα οὐκ ὤφειλεν ἔχειν τὴν γενικὴν διὰ καθαροῦ τοῦ ος ἢ ἔχοντα τὴν γενικὴν διὰ καθαροῦ τοῦ ος οὐκ ὤφειλεν ὀξύνεσθαι κατὰ τὴν εὐθεῖαν, ἀλλὰ δηλονότι περισπᾶσθαι.

10.

Il. Pr. Ε 266 υἷος: προπερισπαστέον· ἀπὸ γὰρ εὐθείας ἐστὶ μὴ εἰρημένης τῆς υἷις, ἧς γενικὴ ὤφειλεν εἶναι τρισύλλαβος ὡς μάντιος. αὕτη τοίνυν συναλοιφὴν παθοῦσα καὶ δισύλλαβος γενομένη βαρύνεται, ἧς ἀκόλουθος δοτικὴ «Νηληΐῳ υἷι ἐοικώς» (Il. Β 20) καὶ αἰτιατικὴ «ἀλλ'

l. 17 conf. Catholicam (p. 427, 27) de genetivo pluralis, ubi Herodianus canonem a quibusdam propositum improbaverat. Choeroboscus illum canonem defendit monens ipsum Herodianum pronunciavisse ἐν ἑτέροις, quibus verbis hunc περὶ ὀνομάτων librum significari maxime probabile est, κίς et λίς aut in accentu aut in declinatu a legitima via aberrasse.

υἷα Κλυτίοιο ϲαώϲομεν» (Il. Ο 147) καὶ πληθυντικὴ εὐθεῖα «υἷεϲ ὁ μὲν Κτεάτου» (Il. Β 621) καὶ αἰτιατικὴ «υἷαϲ τ' ὀλλυμένουϲ» (Il. Χ 62). ἀποδείξομεν δὲ καὶ τὸ «υἱάϲι δὲ Πριάμοιο» (463) παρὰ τοῦτο κεκλῖϲθαι ἐν τοῖϲ περὶ ὀνομάτων, ὅταν καὶ περὶ τῆϲ καθολικῆϲ κινήϲεωϲ τοῦ ὀνόματοϲ διαλαμβάνωμεν.

11.

Il. Pr. Ω 318: ἐν τρίτῳ τῶν ὀνοματικῶν περὶ τῆϲ ἐκτάϲεωϲ αὐτῶν (sc. τοῦ εὐκλήϊϲ εὐκνήμιϲ) ταὐτά φηϲιν· ἄλλωϲ τε εἰ ἐπιζητοῦϲιν ἐκτεταμένον τὸ ῑ, ἔχουϲι ἐν τῷ εὐκνήμιϲ, μελαμψήφιϲ· καὶ εἰ τοῦτο, φηϲί, δῆλον ὅτι παροξύνεται.

12.

Choer. 246, 19: ἀπὸ τοῦ ἀδελφιδεόϲ καὶ θυγατριδεόϲ γέγονε τὸ ἀδελφιδοῦϲ κατὰ κρᾶϲιν καὶ θυγατριδοῦϲ. οὐδὲ γὰρ δυνάμεθα λέγειν, ὅτι τοὐναντίον ἀπὸ τοῦ ἀδελφιδοῦϲ καὶ θυγατριδοῦϲ γέγονε τὸ ἀδελφιδεόϲ καὶ θυγατριδεὸϲ κατὰ διάλυϲιν τῆϲ ου διφθόγγου εἰϲ τὸ ο καὶ ε, ἐπειδή, ὥϲ φηϲιν Ἡρωδιανόϲ, οὐδέποτε εὐθεῖα διαλέλυται. τὸ γὰρ εἶϲ ἔειϲ κατὰ πλεοναϲμὸν ἔχει τὸ ε, οὐ μὴν διελύθη.

13.

Choer. Gaisf. 232, 22, Bekk. Anecd. 1195: Ἰϲτέον ὅτι πάντα τὰ εἰϲ ῦϲ περιϲπώμενα ὑπὲρ μίαν ϲυλλαβὴν ὄντα ὑποκοριϲτικά ἐϲτιν οἷον ὁ Καμμῦϲ, ὁ Κλαυϲῦϲ, ὁ Διονῦϲ, ὁ Λαρδῦϲ χωρὶϲ τῶν τριῶν τούτων, φημὶ δὲ τοῦ ὀϲφῦϲ, ὀφρῦϲ, ἰχθῦϲ, τὸ γὰρ ἰξύϲ, εἰ καὶ παρατέθειται ὁ Ἡρωδιανὸϲ ἐν τῷ Ὀνοματικῷ ὡϲ περιϲπώμενον, ἀλλ' οὖν οὐ περιϲπᾶται, ἀλλ' ὀξύνεται, ὥϲ φηϲιν ἐν τῇ καθόλου.

14.

Schol. ad Aristoph. Ran. 926: ἄγνωτα τοῖϲ θεωμένοιϲ: ἀπὸ τοῦ ἄγνωτοϲ. οὐ γὰρ παραϲχηματίζεται ἀπὸ τοῦ ἀγνὼϲ εἰϲ οὐδέτερον γένοϲ, ὥϲ φηϲιν Ἡρωδιανόϲ.

15.

Eustath. 1807, 16 ἐν τοῖϲ ὀνοματικοῖϲ τοῦ Ἡρωδιανοῦ φέρεται ὡϲ ἐκ τοῦ μάρτυϲ γίνεται κατά τινα διάλεκτον τροπῇ τοῦ ϲ εἰϲ ρ μάρτυρ, οὗ ἡ γενικὴ ἀναδραμοῦϲα εἰϲ εὐθεῖαν κινεῖ τὸν μάρτυρον.

Eustath. 114, 15: Ἡρωδιανὸϲ εἰπών, ὅτι καὶ μάρτυροι καὶ μάρτυρεϲ ἑκατέρωϲ, ἐπάγει, ὅτι τέτριπται τὸ μάρτυρεϲ ἀπὸ τῆϲ μάρτυϲ εὐθείαϲ, ἣν ἡ Αἰολέων διάλεκτοϲ διὰ τοῦ ρ προφέρει· ἐκεῖνοι γάρ, φηϲί, τὸ ϲ εἰϲ ρ μεταβάλλουϲι τὸ οὗτοϲ οὗτορ λέγοντεϲ καὶ τὸ ἵπποϲ ἵππορ· οὕτωϲ οὖν, φηϲί, καὶ μάρτυϲ μάρτυρ, ἀφ' ἧϲ ἐκπίπτει πληθυντικὸν οἱ μάρτυρεϲ παρά τε τοῖϲ κωμικοῖϲ καὶ Ἱππώνακτι· οἱ δέ γε μάρτυροι ἀπὸ τοῦ μάρτυροϲ εὐθείαϲ οἷον «Ζεὺϲ δ' ἄμμ' ἐπιμάρτυροϲ ἔϲτω» (Il. Η 76).

---

l. 19 cf. Catholicam p. 238, 14.

16.

Choer. 350, 25: τὸ ἀναδενδράς ὁ Ἡρωδιανὸς ὑπολαμβάνει μόνως συστέλλειν τὸ ᾱ καὶ ὀξύνεσθαι.

17.

Eustath. 700, 56: τὸ κρανίον τῆς κεφαλικῆς πολυωνυμίας τμῆμά ἐστιν, ἧς καὶ αἱ κατ' εὐθεῖαν προφοραὶ καὶ τὸ κεῖθεν δὲ κλίμα κατὰ Ἡρωδιανὸν εἰπεῖν διαφόρως ἔχουσιν — κάρα θηλυκῶς τε καὶ οὐδετέρως. ἔτι κοινῶς καὶ κράς κρατός ἡ κεφαλή, καὶ μὴν καὶ κράας, ὅθεν τὸ «σῷ κράατι τίσεις» (χ 218). ἡ δ' αὐτὴ καὶ κάρηας καρήατος, τὸ δὲ αὐτὸ καὶ κάρηνον καὶ ἀποκοπῇ κάρη ἄκλιτον κατὰ τὸ κρῖ καὶ τὸ δῶ. παρὰ δὲ Σοφοκλεῖ (Philoct. 1207) κρᾶτα εὕρηται καινότερον.

Sequuntur, quae apud Choeroboscum ex libro περὶ ὀνομάτων petita videntur, composita cum praeceptis, quae ab aliis epitomatoribus et in reliquis scriptis Herodiani servata sunt.

Περὶ τῶν εἰς ᾰς.

Choer. 93, 12: τὰ εἰς ᾰς βαρύτονα ἀρσενικὰ μακρὸν ἔχει τὸ ᾱ, οἷον Θόας, Δρύας, Αἴας, Κάλχας, γίγας, κοχλίας, Αἰνείας, Ἑρμείας, Παπίας. πρόσκειται «βαρύτονα» διὰ τὸ Ἀρκάς καὶ φυγάς· ταῦτα γὰρ συνεσταλμένον ἔχει τὸ ᾰ, ἀλλ' οὐκ ἔστι βαρύτονα, ἀλλ' ὀξύτονα. πρόσκειται «ἀρσενικὰ» διὰ τὸ κρέας. τοῦτο γὰρ βαρύτονον ὂν συνεσταλμένον ἔχει τὸ ᾰ, ἀλλ' οὐκ ἔστιν ἀρσενικὸν ἀλλ' οὐδέτερον. δεῖ προσθεῖναι, χωρὶς τοῦ λᾶας τοῦ προσηγορικοῦ, ὅπερ σημαίνει τὸν λίθον, καὶ τοῦ μέγας τοῦ ἐπιθέτου· ταῦτα γὰρ συνεσταλμένον ἔχει τὸ α. τὰ γὰρ κύρια, φημὶ δὴ τὸ Λάας τὸ κύριον καὶ τὸ Μέγας τὸ κύριον, καὶ ἐκτεταμένον ἔχει τὸ α καὶ ἀποβολῇ τοῦ ς ποιεῖ τὴν γενικήν, οἷον ὁ Λάας τοῦ Λάα καὶ ὁ Μέγας τοῦ Μέγα, τὸ δὲ λᾶας τὸ προσηγορικὸν καὶ τὸ μέγας ἐπίθετον καὶ συνεσταλμένον ἔχει τὸ ᾰ καὶ διὰ καθαροῦ ος κλίνεται, οἷον ὁ λᾶας τοῦ λάαος, καὶ κατὰ κρᾶσιν τῶν δύο αα εἰς ἓν μακρὸν τοῦ λᾶος,

λᾶος ὑπὸ ῥιπῆς (Μ 462).

καὶ πάλιν ὁ μέγας τοῦ μέγαος, ἡ γὰρ μεγάλου γενικὴ ἑτερόκλιτός ἐστιν, ὡς ἀπὸ τῆς μεγάλος εὐθείας, ἐξῆς καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ μεγάλοι.

---

l. 5 in his omisi quae ab Eustathio inserta videntur. l. 16 concinunt haec fere cum Diehr. 283, 11, ad quem l. cf. Lehrsium et quem citat, Ahrens. de dial.

Καὶ ἄξιόν ἐςτι ζητῆςαι, διὰ ποίαν αἰτίαν τὸ λᾶας τὸ προςηγορικὸν καὶ τὸ μέγας τὸ ἐπίθετον ςυνεςταλμένον ἔχει τὸ α. καὶ περὶ μὲν τοῦ λᾶας τοῦ προςηγορικοῦ ἔςτιν εἰπεῖν τὴν αἰτίαν ταύτην· τὰ εἰς ας καθαρὸν ὀνόματα διςύλλαβα ἀρςενικὰ οὐδέποτέ ἐςτι προςηγορικά, ἀλλ' ἢ κύρια, ὡς τὸ Δρύας, Θόας, Αἴας, ἢ ἐθνικά, ὡς τὸ Ὕας Ὕαντος (Ὕαντες δὲ λέγονται οἱ κατοικοῦντες τὴν Βοιωτίαν)· ἢ ἐπίθετον, ὡς τὸ Εὔας Εὔαντος (τὸ δὲ Εὔας ἐπίθετόν ἐςτι τοῦ Διονύςου). ἐπεὶ οὖν τὸ λᾶας προςηγορικόν ἐςτι, τὸν γὰρ λίθον ςημαίνει, εἰκότως ὡς διήλλαξε περὶ τὸ ςημαινόμενον, διήλλαξε καὶ περὶ τὸν χρόνον. πρόςκειται ἐν τῷ κανόνι «καθαρὸν» διὰ τὸ γίγας· τοῦτο γὰρ προςηγορικόν ἐςτιν, ἀλλ' οὐκ ἔςτι καθαρόν. πρόςκειται «διςύλλαβα», διὰ τὸ κοχλίας, καὶ τοῦτο γὰρ προςηγορικόν ἐςτιν, ἀλλ' οὐκ ἔςτι διςύλλαβον. πρόςκειται «ἀρςενικὸν» διὰ τὸ κρέας, καὶ τοῦτο γὰρ προςηγορικόν ἐςτιν, ἀλλ' οὐκ ἔςτιν ἀρςενικὸν ἀλλ' οὐδέτερον. περὶ τοῦ μέγας τοῦ ἐπιθέτου ἔςτιν εἰπεῖν τὴν αἰτίαν ταύτην, ὅτι ἐπειδὴ ἀποβολῇ τοῦ $\bar{c}$ ποιεῖ τὸ οὐδέτερον, οἷον τὸ μέγα, καὶ καθόλου δὲ τὰ εἰς $\bar{c}$ λήγοντα μετὰ διχρόνου ἀποβολῇ τοῦ $\bar{c}$ τὸ οὐδέτερον ποιοῦντα ςυνεςταλμένον ἔχει τὸ δίχρονον, οἷον ὁ ὀξύς τὸ ὀξύ, ὁ ταχύς τὸ ταχύ, ὁ βραδύς τὸ βραδύ, ὁ φυγόπολις τὸ φυγόπολι, ὁ λιπόπατρις τὸ λιπόπατρι, ὁ ἄχαρις τὸ ἄχαρι, ὁ τίς τὸ τί· οὕτως οὖν καὶ ὁ μέγας τὸ μέγα.

Ἰςτέον δὲ ὅτι οὐ μόνον τὸ λᾶας τὸ προςηγορικὸν καὶ τὸ μέγας τὸ ἐπίθετον ςημειούμεθα ἔχειν τὸ α ςυνεςταλμένον, ἀλλὰ καὶ τὸ Αἴας τὸ παρ' Ἀλκμᾶνι ἔχομεν ςεςημειωμένον ὡς ςυςτέλλον τὸ $\bar{α}$, ἐκεῖνος γὰρ ςυνέςτειλεν αὐτὸ εἰπὼν

δουρὶ δὲ ξυςτῷ μέμηνεν Αἴας αἵματά τε μέμνων. (leg. αἱματᾷ τε μίμνων.)

ἔςτι δὲ τροχαϊκὸν τὸ μέτρον, καὶ μετρεῖται οὕτως· δουρὶ | δὲ ξυςτῷ μέ|μηνεν | Αἴας | αἷμα | τά τε | μέμνων. ἐν τῇ πέμπτῃ γὰρ χώρᾳ κεῖται, ἐν ᾗ οὐ τίθεται ςπονδεῖος ἐν τροχαϊκῷ μέτρῳ. ἔςτι δὲ καὶ ἄλλα τινὰ Δωρικὰ ςυςτέλλοντα τὸ $\bar{α}$· παρ' Ἡςιόδῳ (Theog. 521)

δῆςας ἀλυκτοπέδῃςι Προμηθέα

καὶ παρὰ τῷ Ῥιανῷ «λίθος μέλας».

Choer. 97, 32: οὐκ ἔςτι τὰ εἰς $\bar{ας}$ ὀξύτονα ὑπὲρ μίαν ςυλλαβὴν μόνως ἀρςενικά, ἀλλ' ἢ μόνως θηλυκὰ ὡς ἐπὶ τοῦ ἡ τριάς, ἢ κοινὰ τῷ γένει ὡς ὁ φυγάς καὶ ἡ φυγάς, ὁ Ἀρκάς καὶ ἡ Ἀρκάς, ὑπεςταλμένου τοῦ ἀνδριάς ἀνδριάντος, καὶ ἱμάς ἱμάντος, ἅτινα καὶ παραλόγως ὀξύνεται. πρόςκειται «ὑπὲρ μίαν ςυλλαβὴν» διὰ τὸ ὁ Ζάς καὶ ὁ Φθάς, ταῦτα γὰρ ἀρςενικὰ μόνα ἐςτὶν ὀξύτονα, ἀλλ' οὐκ ἔςτιν ὑπὲρ μίαν ςυλλαβὴν ἀλλὰ μονοςύλλαβα.

Dor. p. 173. l. 25 corr. Meinekius ad Theocr. Id. II 4. — Multa in hac et insequentibus paginis Byzantinum doctorem produnt: velut puerilia illa l. 27—29 Herodiani non esse patet. l. 32 Ῥιανῷ pro Ἀριάνῳ Bekkerus restituit et idem μέλας pro μέγας. De Rhiano cf. Mein. Anall. Alex. p. 203. l. 38 substitui Φθάς pro Πράς, quum in Onomatico Herodianum Πρᾶς perispomenos pronuntiasse sciamus cf. fr. 3.

Choer. 98, 16: δεῖ δὲ γινώϲκειν ὅτι οἱ Αἰολεῖϲ τὸ τάλαϲ τάλαιϲ λέγουϲι καὶ τὸ μέλαϲ μέλαιϲ καὶ τὸ Θόαϲ Θόαιϲ, προϲτιθέντεϲ τὸ ῑ, τὸ δὲ Αἴαϲ Αἴαιϲ οὐ λέγουϲι διὰ τὴν ἐπαλληλίαν τῆϲ αι διφθόγγου· ηὑρίϲκετο γὰρ ἀλλεπάλληλοϲ ἡ αἱ δίφθογγοϲ, καὶ ἐκ τούτου κακόφωνοϲ ἐγένετο ἡ λέξιϲ.

St. B. 603, 2: οὐδὲν εἰϲ ραϲ θηλυκὸν εὑρίϲκεται· τὸ δὲ Τάραϲ εὕρηται καὶ θηλυκῶϲ.

Περὶ τῶν εἰϲ ειϲ.

Choer. 203, 22: τὰ εἰϲ $\overline{\text{ειϲ}}$ λήγοντα ὑπὲρ μίαν ϲυλλαβὴν ὀνόματα κοινολεκτούμενα καθαρὰν θέλει ἔχειν τὴν ει δίφθογγον, τουτέϲτι μὴ ἔχουϲαν ϲύμφωνον προηγούμενον, οἷον χαρίειϲ, ἀνεμόειϲ, ὑδατόειϲ, τιμήειϲ, δαφνήειϲ, ἀϲτερόειϲ, φθογγήειϲ. πρόϲκειται «ὑπὲρ μίαν ϲυλλαβὴν» διὰ τὸ κτείϲ μονοϲύλλαβον. πρόϲκειται «ὀνόματα» διὰ τὸ τυφθείϲ καὶ δαρείϲ μετοχάϲ. πρόϲκειται «κοινολεκτούμενα», ἐπειδὴ τὸ Λάχηϲ καὶ τὸ πένηϲ οἱ Βοιωτοὶ διὰ τῆϲ ει διφθόγγου προφέρονται, Λάχειϲ καὶ πένειϲ λέγοντεϲ· καὶ ἰδοὺ ταῦτα ἔχει πρὸ τῆϲ ει διφθόγγου ϲύμφωνον, ἀλλ' οὐκ ἔϲτι κοινολεκτούμενα. οὐ θέλει δὲ παραλήγεϲθαι τῷ ῑ, ἀλλ' ἢ τῷ η̄, ὡϲ ἐπὶ τοῦ τιμήειϲ ἑρϲήειϲ, ἢ κατὰ ϲυϲτολὴν ποιητικὴν τῷ ε̄ ἠχέειϲ βρωμέειϲ, ἢ τῷ ο̄, ὡϲ ἐπὶ τοῦ ἀνεμόειϲ δροϲόειϲ, ἢ τῷ α, ὡϲ ἐπὶ τοῦ ϲκιάειϲ, ἢ τῷ ω, ὡϲ ἐπὶ τοῦ κητώειϲ ἐρώειϲ, ὅθεν τὸ χαριτόειϲ ἀναλογώτερόν ἐϲτι τοῦ χαρίειϲ παραληγομένου τῷ ῑ. καὶ ἐξ ἄλλου δὲ κανόνοϲ δείκνυται τὸ χαριτόειϲ ἀναλογώτερον τοῦ χαρίειϲ· τὰ γὰρ εἰϲ $\overline{\text{ειϲ}}$ λήγοντα ἔχοντα θηλυκὰ ἀποβολῇ τῆϲ ει διφθόγγου ὡϲ ἐπὶ τὸ πλεῖϲτον τὴν γενικὴν τοῦ θηλυκοῦ ἀποτελεῖ, οὐ μὴν τὴν εὐθεῖαν, οἷον, δαφνήειϲ δάφνηϲ, ἡ δάφνη γὰρ τῆϲ δάφνηϲ, τιμήειϲ τιμῆϲ, ἡ τιμή τῆϲ τιμῆϲ, φθογγήειϲ φθογγῆϲ, ἡ φθογγή τῆϲ φθογγῆϲ, αὐδήειϲ αὐδῆϲ, ἡ αὐδή τῆϲ αὐδῆϲ, λαχνήειϲ λάχνηϲ, ἡ λάχνη τῆϲ λάχνηϲ, φωνήειϲ φωνῆϲ, ἡ φωνή τῆϲ φωνῆϲ, ϲκιάειϲ ϲκιᾶϲ, ἡ ϲκιά γὰρ τῆϲ ϲκιᾶϲ· τὸ γὰρ ϲκιόειϲ ἀπὸ τοῦ ϲκιάειϲ ἐγένετο κατὰ τροπὴν τοῦ α εἰϲ τὸ ο. πρόϲκειται «ὡϲ ἐπὶ τὸ πλεῖϲτον», διὰ τὸ δροϲόειϲ δρόϲοϲ, τοῦτο γὰρ τὴν εὐθεῖαν τοῦ θηλυκοῦ ἐποίηϲεν, οὐ μὴν τὴν γενικήν. τὸ ἀνεμόειϲ τὴν ἄνεμοϲ εὐθεῖαν ποιοῦν καὶ οὐ τὴν γενικὴν οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐ ποιεῖ θηλυκόν, ἀλλ' ἀρϲενικόν· εἰ ἄρα οὖν τὸ μὲν χαριτόειϲ ἀποβολῇ τῆϲ ει διφθόγγου τὴν γενικὴν τοῦ θηλυκοῦ ποιεῖ, τὸ δὲ χαρίειϲ ἀποβάλλον τὴν ει δίφθογγον οὐ ποιεῖ τὴν γενικὴν τοῦ θηλυκοῦ, ἀλλὰ τὴν εὐθεῖαν, χάριϲ γάρ, δηλονότι τὸ

l. 1 Cf. E. M. 575, 53 maxime V. Quamquam Lob. Parall. 21 docet epalleliam diphthongi αι Graecis non absonam fuisse, tamen non dubitandum est, quin hoc adnotamentum ab Herodiano profectum sit, qui etiam in aliis, quae Lobeck. reprobavit, cacophoniam detexit cf. Ahrens de dial. Aeol. p. 70.
l. 18 verba ἢ κατὰ ϲυϲτολὴν — βρωμέειϲ addidi ex Mon. 14, 19, cf. praeterea Ep. Cr. I 12 et 408.

χαριτόεις ἀναλογώτερόν ἐστι τοῦ χαρίεις. παραφυλαττόμεθα δὲ παρὰ τῷ Πινδάρῳ (Ol. 5, 54) τὴν αἰτιατικὴν λεγομένην ὑγίεντα, ὡς ἀπὸ εὐθείας γάρ ἐστι παραληγομένης οἷον τῷ ἰῶτα, ὡς ἀπὸ τοῦ ὑγίεις.

Choer. 132, 11: πολλάκις οἱ Δωριεῖς τῶν εἰς εις τῶν διὰ τῆς ει διφθόγγου ἀποβάλλουσι τὸ ῑ, οἷον χαρίεις χαρίες, τιμήεις τιμήες, Μαλόεις Μαλόες· τοιοῦτο γάρ ἐστι καὶ παρὰ Καλλιμάχῳ,

ὁ δὲ ἀείδων Μαλόες ἦλθε χορός,

ἀντὶ τοῦ Μαλόεις. Μαλόεις ἐστὶν ὁ Λέσβιος.

Περὶ τῶν εἰς ευς.

Choer. 209, 3: τὰ εἰς ευς λήγοντα ὀνόματα ἀρσενικὰ εἴτε μονοσύλλαβα εἴτε ὑπὲρ μίαν συλλαβὴν πάντα ὀξύτονά ἐστιν.

Περὶ τῶν εἰς ης.

Choer. 172, 8: τὰ παρὰ τὸ κλέος σύνθετα εἰς ης γινόμενα, ἐὰν μὲν εὑρεθῇ κύρια, δύο ἔχει εὐθείας, μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην, οἷον Ἡρακλέης Ἡρακλῆς, Περικλέης Περικλῆς, Σοφοκλέης Σοφοκλῆς, Νικοκλέης Νικοκλῆς· ἐὰν δὲ ᾖ ἐπίθετα, μίαν ἔχει εὐθεῖαν τὴν ἐντελῆ μόνην, συνῃρημένην δὲ οὐκ ἔχει. οὐδέποτε γὰρ τὰ παρὰ τὸ κλέος σύνθετα ἐπίθετα συναιρεῖται κατὰ τὴν εὐθεῖαν, οἷον ἀκλεής, δυσκλεής, ἀγακλεής. καὶ ἄξιόν ἐστι ζητῆσαι, τί δήποτε τὰ παρὰ τὸ κλέος εἰς ης, δηλονότι κύρια μὲν ὄντα, συναιροῦνται κατὰ τὴν εὐθεῖαν, οἷον Ἡρακλέης Ἡρακλῆς, Περικλέης Περικλῆς, ἐπίθετα δὲ ὄντα οὐ συναιρεῖται κατὰ τὴν εὐθεῖαν, οἷον ἀκλεής δυσκλεής ἀγακλεής· καὶ ἔστιν εἰπεῖν δύο ἀπολογίας, μίαν μὲν ἀπὸ τόνου, ἑτέραν δὲ ἀπὸ κλίσεως. ἔστι δὲ ἡ ἀπὸ τόνου αὕτη· οὐδέποτε κρᾶσις γίνεται ἐπ' ὀνομάτων βαρείας καὶ ὀξείας εἰς ὀξεῖαν συνερχομένων, οἷον θοός, ἐνδεής, παμφαής, ἀκραής, ἀνηλεής· σεσημειωμένων τοῦ ζωός ζώς καὶ Κισσηΐς Κισσῄς καὶ Βρισηΐς Βρισῄς καὶ Νηρηΐς Νηρῄς τὸ δὲ νηλής ἐκ τοῦ νηλεής κατὰ συγκοπήν. τὸ δὲ ἀδελφιδεός ἀδελφιδοῦς καὶ θυγατριδεός θυγατριδοῦς κρᾶσιν μὲν ἐδέξατο βαρείας καὶ ὀξείας, ἀλλ' οὐκ εἰς

l. 10 cf. Cathol. p. 240, 17. l. 13 hic quoque permulta Byzantinam originem clamant, quae uncis notare longum est. l. 27 omisi verba καὶ χωρὶς τοῦ πούς, καὶ τοῦτο γὰρ — κρᾶσιν ἔπαθε βαρείας καὶ ὀξείας εἰς ὀξεῖαν συνελθουσῶν. Nam vix credendum est Herodianum sic, ut Choer. 239, 6 πορὸς ποὸς πούς, ortum hoc vocabulum putasse; Mon. 14, 35 accentum a norma reliquorum εἰς ους monosyllaborum circumflexorum aberrantem similitudine participiorum excusat. Porro pro iis quae Choer. l. 30 de νηλής proponit τὸ νηλής οὐκ ἀπὸ τοῦ νηλεής γέγονε κατὰ κρᾶσιν κτλ. substitui sententiam, quae magis Herodianeam originem prae se fert in Ep. I 296; nam Herod. ap. Arc. 196, 19 νηλέα θυμὸν οὐκ ἔστι κατὰ κρᾶσιν, ἀλλὰ κατὰ ἔνδειαν τοῦ ἑνὸς ε̅. l. 28, de ἀδελφιδοῦς etc. cf. Cathol. 243, 30.

ὀξεῖαν ἀλλ᾿ εἰς περισπωμένην· τὸ γὰρ ἀδελφιδοῦς καὶ θυγατριδοῦς περισπᾶται. πρόσκειται «ἐπ᾿ ὀνομάτων» διὰ τὸ ἑσταώς ἑστώς, βεβαώς βεβώς. τούτων οὕτως ἐχόντων, τὰ ἐπίθετα τὰ παρὰ τὸ κλέος σύνθετα ἐὰν ἐπιδέξωνται κρᾶσιν, μέλλει ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συνέρχεσθαι, κράσεως οὔσης, ὅπερ ἐστὶν ἄτοπον. πάντα γὰρ τὰ παρὰ τὸ κλέος σύνθετα ἐπίθετα ὀξύνεται, οἷον ἀκλεής, δυσκλεής, ἀγακλεής. ἡ δὲ βαρεῖα καὶ ὀξεῖα εἰς ὀξεῖαν συνέρχονται, οἷον ζωός ζώς, ἑσταώς ἑστώς, Κισσηῒς Κισσῄς, Βρισηῒς Βρισῄς. τούτου οὖν χάριν τὰ παρὰ τὸ κλέος σύνθετα ἐπίθετα οὐ συναιρεῖται κατὰ τὴν εὐθεῖαν, ἵνα, ὡς εἴρηται, μὴ εὑρεθῇ κρᾶσις γινομένη ἐπ᾿ ὀνομάτων βαρείας καὶ ὀξείας εἰς ὀξεῖαν συνερχομένων. τὰ γὰρ παρὰ τὸ κλέος σύνθετα κύρια διὰ τοῦτο συναιρεῖται κατὰ τὴν εὐθεῖαν, ἐπειδὴ ἐν τῇ ἐντελείᾳ βαρύνεται, οἷον Ἡρακλέης Σοφοκλέης Περικλέης, καὶ συναιρούμενα περισπᾶται, οἷον Ἡρακλῆς Σοφοκλῆς Περικλῆς. ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, εὐσεβέα εὐσεβῆ. καὶ λοιπὸν οὐκέτι εὑρίσκεται κρᾶσις γενομένη ἐπ᾿ ὀνομάτων βαρείας καὶ ὀξείας εἰς ὀξεῖαν, ἀλλὰ τοὐναντίον ὀξείας καὶ βαρείας εἰς περισπωμένην. αὕτη μὲν οὖν ἐστι ἡ ἀπὸ τόνου ἀπολογία· ἡ δὲ ἀπὸ κλίσεώς ἐστιν αὕτη· τὰ ἐπίθετα παρὰ τὸ κλέος σύνθετα, εἰ συνῃρεῖτο κατὰ τὴν εὐθεῖαν, ἤμελλεν ὀξύνεσθαι, ἐπειδὴ καὶ ἐν τῇ ἐντελείᾳ ὀξύνεται, οἷον ἀκλεής, δυσκλεής, ἀγακλεής· ἡ δὲ βαρεῖα καὶ ὀξεῖα εἰς ὀξεῖαν συνέρχονται, οἷον ζωός ζώς, ἑσταώς ἑστώς, Βρισηῒς Βρισῄς· ὀξυνόμενα δὲ ἤμελλεν ἐμπίπτειν εἰς χαρακτῆρα ἀπαιτοῦντα τὴν διὰ τοῦ τος κλίσιν. τὰ εἰς ης ὀξυνόμενα ἔχοντα πρὸ τοῦ η ἀμετάβολον καὶ πρὸ τοῦ ἀμεταβόλου ἕτερον σύμφωνον, μὴ κατὰ συγκοπὴν ὄντα, διὰ τοῦ τος κλίνεται, οἷον ἀβλής ἀβλῆτος, προκλής προκλῆτος, ἡμιθνής ἡμιθνῆτος, ἡμιτρής ἡμιτρῆτος, ἀμφιτρής ἀμφιτρῆτος. πρόσκειται «μὴ κατὰ συγκοπὴν ὄντα» διὰ τὸ μελαχρής μελαχροῦς, τοῦτο γὰρ εἰς ους ἔχει τὴν γενικήν, ἀλλ᾿ ἀπὸ τοῦ μελαχροής γέγονε κατὰ συγκοπήν. τούτῳ οὖν τῷ λόγῳ «εἰ συνῃρεῖτο κατὰ τὴν εὐθεῖαν» τὰ ἐπίθετα τὰ παρὰ τὸ κλέος σύνθετα ἤμελλεν διὰ τοῦ τος κλίνεσθαι, οἷον ἀκλής ἀκλῆτος, δυσκλής δυσκλῆτος, ἀγακλής ἀγακλῆτος, ὡς ὀξύτονα ὄντα καὶ ἔχοντα ἀμετάβολον πρὸ τοῦ η καὶ πρὸ τοῦ ἀμεταβόλου ἕτερον σύμφωνον· ἀλλὰ μὴν διὰ τοῦ τος οὐκ ἠδύνατο κλίνεσθαι, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ συνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττει κλίσιν, οἷον Ἑρμέας Ἑρμέου, Ἑρμῆς Ἑρμοῦ, πλόος πλόου, πλοῦς πλοῦ, τιμήεις τιμήεντος, τιμῆς τιμῆντος, δαφνήεις δαφνήεντος, δαφνῆς δαφνῆντος. εἰ οὖν τὸ ἀκλεής καὶ δυσκλεής εἰς ους ἔχει τὴν γενικήν, οἷον ἀκλεοῦς δυσκλεοῦς ἀγακλεοῦς, ἀναγκάζεται καὶ ἐν τῇ συναιρέσει τὴν αὐτὴν κλίσιν φυλάξαι. τῶν οὖν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὴν διὰ τοῦ τος κλίσιν, τοῦ δὲ ἑτέρου τὴν εἰς ους, μένει τὰ ἐπίθετα ἀσυναίρετα κατὰ τὴν εὐθεῖαν. τούτου οὖν χάριν τὰ παρὰ τὸ κλέος σύνθετα οὐ συναιρεῖται κατὰ τὴν εὐθεῖαν. τὰ δὲ κύρια οὐκ

ἐμπίπτουσιν εἰς χαρακτῆρα ἀπαιτοῦντα τὴν διὰ τοῦ τος κλίσιν· ὁ γὰρ κανὼν περὶ ὀξυτόνων ἐστὶν ὡς εἴρηται.

Choer. 243, 24: τὸ τιμῆς τιμῆντος γέγονε τοῦτον τὸν τρόπον· ἔστι τιμήεις, καὶ κατὰ κρᾶσιν τοῦ η καὶ ε εἰς η γέγονε τιμῆς, τοῦ ῑ ἀποβληθέντος. τὸ δὲ ῑ ἀπεβλήθη, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ς λήγοντα ἀρσενικὰ οὐ θέλει ἔχειν ἐν τῇ τελευταίᾳ συλλαβῇ τί ποτε ἀνεκφώνητον, οἷον Λάχης, Χρύσης, ἱδρώς, κοχλίας· οὕτως οὖν καὶ τὸ τιμῆς χωρὶς τοῦ ῑ. πρόσκειται «εἰς ς λήγοντα» διὰ τὸ Θρᾷξ, τοῦτο γὰρ ἔχει τὸ ῑ ἀνεκφώνητον· ἀλλ' οὐ λήγει εἰς ς ἀλλ' εἰς ξ. πρόσκειται «ἀρσενικὰ» διὰ τὸ Κισσῆις Κισσῆς, Νηρῆις Νηρῆς, Βρισῆις Βρισῆς, δαῖς δᾴς ἡ λαμπάς· ταῦτα γὰρ εἰς τὸ ς λήγει καὶ ἔχει τὸ ῑ ἀνεκφώνητον, ἀλλ' οὐκ ἔστιν ἀρσενικά, ἀλλὰ θηλυκά.

Περὶ τῶν εἰς ις.

Choer. 181, 15, 182, 11: τὰ εἰς ῑς μονοσύλλαβα φύσει εἰς ς λήγοντα μακρὸν ἔχει τὸ ῑ καὶ προσθέσει τοῦ ος κλίνεται οἷον κίς κιός, λίς λιός. μόνον τὸ τίς τινός διὰ τοῦ ν κλίνεται καὶ οὐ διὰ καθαροῦ τοῦ ος. καὶ ἔστιν εἰπεῖν ὅτι ἐπειδὴ τοῦτο συστέλλει τὸ ῑ τῶν εἰς ις μονοσυλλάβων ἐκτεινόντων αὐτό, εἰκότως ὡς διαλλάξαν περὶ τὸν χρόνον διήλλαξε καὶ περὶ τὴν κλίσιν.

Choer. 183, 10: ἄξιον δέ ἐστι ζητῆσαι διατί τὸ τίς συστέλλει τὸ ῑ· καὶ ὁ μὲν Ἀπολλώνιός φησιν, ἀστείως ἀπολογούμενος, ὅτι διὰ τοῦτο τὸ τίς συστέλλει τὸ ῑ, ἐπειδὴ ἡ σύντομος τῆς πεύσεως ἀνάκρισις τὸν μακρὸν χρόνον τοῦ ῑ παρῃτήσατο· ὁ γὰρ πυνθανόμενος ἐν συντόμῳ θέλει μαθεῖν καὶ οὐ διὰ μακροῦ χρόνου. ἔστι δὲ εἰπεῖν καὶ καταναγκαστικὴν ἀπολογίαν τοιαύτην περὶ τοῦ τίς, ὅτι συστέλλει τὸ ῑ· ἰστέον ὅτι τὸ τίς ἀναγκάζεται ἔχειν τριγένειαν, ἐπειδὴ πευστικόν ἐστι· τὰ δὲ πευστικὰ ἐν τριγενείᾳ παραλαμβάνεται, οἷον ποῖος ποία ποῖον, πόσος πόση πόσον, πηλίκος πηλίκη πηλίκον, πόστος πόστη πόστον, ποδαπός ποδαπή ποδαπόν· οὕτως οὖν καὶ ὁ τίς, ἡ τίς, τὸ τί. τριγένειαν δὲ ἔχον εὐλόγως συστέλλει τὸ ῑ, ἐπειδὴ τὰ εἰς ς λήγοντα μετὰ διχρόνου ἀποβολῇ τοῦ ς τὸ οὐδέτερον ποιοῦντα συνεσταλμένον ἔχει τὸ δίχρονον, οἷον ὁ λιπόπατρις τὸ λιπόπατρι, ὁ φυγόπολις τὸ φυγόπολι, ὁ ἄχαρις τὸ ἄχαρι, ὁ ταχύς τὸ ταχύ, ὁ βραδύς τὸ βραδύ, ὁ μέγας τὸ μέγα· οὕτως οὖν καὶ ὁ τίς καὶ τὸ τί διὰ συνεσταλμένου τοῦ ῑ. ὅθεν τὰ εἰς ις τὰ ἔχοντα ἐκτεταμένον τὸ ῑ οὐ ποιεῖ τριγένειαν, οἷον ὁ τανυκρήπις, ὁ μελαμψήφις.

Ἰστέον δὲ ὅτι πολλαὶ ἀπορίαι φέρονται περὶ τοῦ τίς· ἔχουσι δὲ οὕτως. εἰ ἄρα τὰ εἰς ις τὰ διὰ τοῦ ῑνος κλινόμενα ἅπαντα δικατάληκτά ἐστιν, οἷον ἀκτίς ἀκτῖνος ἀκτίν, δελφίς δελφῖνος δελφίν, Σαλαμίς Σαλαμῖνος Σαλαμίν, Ἐλευσίς Ἐλευσῖνος Ἐλευσίν, Τελχίς Τελχῖνος

---

l. 3 cf. Il. Pr. I 605, M 201, Io. Al. 8, 30, Arc. 25, 17. l. 20 haec in brevius contracta in Ep. in Psalm. 64, 30—65, 20. Pertinere videntur ad Herodiani quid τίς sit quaestionem: cf. Mon. 19.

Τελχίν (Τελχῖνες δέ εἰσιν δαίμονες οἰκήσαντες τὴν Ῥόδον), ῥίς ῥινός ῥίν, θίς θινός θίν, διατί τὸ τίς κλινόμενον διὰ τοῦ νος, οἷον τινός, οὐκ ἔστι δικατάληκτον; ἔστιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι πάντα τὰ εἰς ις δικατάληκτα μακρὸν ἔχει τὸ ῑ, οἷον δελφίς, Σαλαμίς, Ἐλευσίς. ἐπειδὴ οὖν τὸ τίς οὐκ ἔχει μακρὸν τὸ ῑ ἀλλὰ βραχύ, εἰκότως οὐκ ἔστι δικατάληκτον. πάλιν ἀποροῦσί τινες λέγοντες, τί δήποτε τῶν πευστικῶν ἁπάντων ἀπὸ τοῦ π ἀρχομένων, οἷον ποῖος, πόσος, πηλίκος, πόστος. ποδαπός, μόνον τὸ τίς ἀπὸ τοῦ τ ἄρχεται; καὶ ἔστιν εἰπεῖν ταύτην τὴν αἰτίαν· ὅτι τὸ τίς αὐτῆς τῆς οὐσίας ἐστὶ ζητητικόν, οἷον τίς ἐστι Σωκράτης, Πλάτων, τὰ δὲ ἄλλα πευστικὰ τῶν περὶ τὴν οὐσίαν ἐστὶ ζητητικά, οἷον τὸ ποῖος ποιότητος, τὸ πόσος ποσότητος, τὸ πηλίκος πηλικότητος, τὸ ποδαπός ἔθνους, τὸ πόστος τάξεως. ἐπειδὴ οὖν τὸ τίς αὐτῆς τῆς οὐσίας ἐστὶ ζητητικόν, τῶν ἄλλων ζητητικῶν ὄντων τῶν περὶ τὴν οὐσίαν, εἰκότως, ὡς διαλλάξαν περὶ τὸ σημαινόμενον πρὸς τὰ ἄλλα πευστικά, διήλλαξε καὶ περὶ τὴν ἀρχήν, καὶ οὐκ ἄρχεται ἀπὸ τοῦ π, τῶν ἄλλων ἀπὸ τοῦ π ἀρχομένων. πάλιν ἀποροῦσί τινες λέγοντες, τί δήποτε τῶν πευστικῶν πάντων εἰς ος ληγόντων, οἷον ποῖος, πόσος, πηλίκος, πόστος, ποδαπός, τὸ τίς μόνον οὐ λήγει εἰς ος, ἀλλ' εἰς ις; καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· πάντα τὰ πευστικὰ ἀπὸ τοῦ π ἄρχεται, οἷον ποῖος, πόσος, πηλίκος, πόστος, ποδαπός, τὸ τίς οὐκ ἄρχεται ἀπὸ τοῦ π· ἐπειδὴ διήλλαξε κατὰ τὴν ἄρχουσαν, εἰκότως διήλλαξε καὶ κατὰ τὴν λήγουσαν, καὶ οὐ λήγει εἰς ος ἀλλ' εἰς ις, τῶν ἄλλων πευστικῶν εἰς ος ληγόντων. ἄλλως τε δὲ καὶ τὸ ὀφειλόμενον αὐτῷ, λέγω δὴ τὸ ος, οἱ Αἰολεῖς ἀναπληροῦσι, τίος λέγοντες, ὡς παρὰ Σαπφοῖ·

τίοισιν ὀφθαλμοῖσιν

ἀντὶ τοῦ τίσι. πάλιν ἀποροῦσί τινες λέγοντες, τί δήποτε τῶν πευστικῶν ὑπερβαινόντων τὴν μονοσυλλαβίαν, οἷον ποῖος, πόσος, πηλίκος, πόστος, ποδαπός, τὸ τίς μονοσυλλαβεῖ; καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· ὅτι τὸ κεχρεωστημένον αὐτῷ οἱ Αἰολεῖς ἀνεπλήρωσαν, τίος λέγοντες, ὡς παρὰ Σαπφοῖ·

τίοισιν ὀφθαλμοῖσιν.

ἄλλως τε δὲ τὸ τίς οὐκ ἄρχεται ἀπὸ τοῦ π, τῶν ἄλλων πευστικῶν ἀπὸ τοῦ π ἀρχομένων, οἷον ποῖος, πόσος, πηλίκος, ποδαπός, ἐπειδὴ διήλλαξε κατὰ τὴν ἄρχουσαν πρὸς τὰ ἄλλα πευστικά, διήλλαξε καὶ κατὰ τὴν ποσότητα τῶν συλλαβῶν, καὶ τῶν ἄλλων ὑπερβαινόντων τὴν μονοσυλλαβίαν, τοῦτο μονοσυλλαβεῖ. πάλιν ἀποροῦσί τινες λέγοντες, τί δήποτε πάντων τῶν πευστικῶν μὴ ὄντων ζητητικῶν αὐτῆς τῆς οὐσίας, ἀλλὰ τῶν περὶ τὴν οὐσίαν, οἷον τὸ ποῖος, ποιότητος, τὸ πόσος, ποσότητος, τὸ πηλίκος πηλικότητος, τὸ πόστος τάξεως. τὸ ποδαπός ἔθνους, τὸ τίς αὐτῆς τῆς οὐσίας ἐστὶ ζητητικόν, ἐρωτώμενοι γὰρ τίς ἐστι, λέγομεν Σωκράτης, Πλάτων; καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην. τὰ πευστικὰ πάντα ὑπερβαίνει τὴν μονοσυλλαβίαν, οἷον ποῖος, πόσος,

πηλίκος, πόστος, ποδαπός, τὸ δὲ τίς μονοσυλλαβεῖ, ἐπειδὴ διήλλαξε πρὸς τὰ ἄλλα περὶ τὴν ποσότητα τῶν συλλαβῶν, εἰκότως διήλλαξε καὶ περὶ τὸ σημαινόμενον.

Περὶ τῶν εἰς ους.

Choer. 244, 5: τὸ πλακοῦς πλακοῦντος καὶ Σιμοῦς Σιμοῦντος γέγονε τοῦτον τὸν τρόπον· ἔστι πλακόεις πλακόεντος, καὶ Σιμόεις Σιμόεντος, καὶ κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ο̄ εἰς τὴν ο̄ῡ δίφθογγον γίνεται πλακοῦς καὶ Σιμοῦς, τὸ δὲ ῑ ἀπεβλήθη, ἐπειδὴ οὐ δύναται τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ παραλαμβάνεσθαι· τὸ γὰρ ο̄ οὐκ ἠδύνατο ἀποβληθῆναι, ἐπειδὴ οὐδέποτε μετὰ τὴν υι δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, ἀλλὰ φωνῆεν· οἷον μυῖα, ἅρπυια, υἱός. εἰ ἀπεβλήθη οὖν τὸ ο̄ καὶ ἐφυλάχθη ἡ υι δίφθογγος, εὑρίσκετο μετὰ τὴν ῡῑ δίφθογγον σύμφωνον ἐπιφερόμενον τὸ σ̄, ὅπερ ἐστὶν ἀδύνατον. τὸ δὲ ῡ οὐκ ἀπεβλήθη, ἵνα μὴ γένηταί ὑπόνοιά τις ὅτι τὸ ο̄ καὶ ε̄ εἰς τὴν ο̄ῑ δίφθογγον κίρναται· τὸ γὰρ ο̄ καὶ ε̄ εἰς τὴν ο̄ῡ δίφθογγον κίρναται, οἷον, τὸ ἐμόν τοὐμόν, πρόεστι προὔστι, προέβη προὔβη. ἐξ ἀνάγκης οὖν ἀπεβλήθη τὸ ῑ, καὶ ἔμεινεν ἡ ο̄ῡ δίφθογγος.

Choer. 244, 21: ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν, ὥσπερ ἀπὸ τοῦ πλόος γίνεται πλοῦς κατὰ κρᾶσιν τῶν δύο οο εἰς τὴν ο̄ῡ δίφθογγον, καὶ ἀπὸ τοῦ νόος νοῦς, καὶ ἀπὸ τοῦ ῥόος ῥοῦς, μὴ τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ γόος καὶ θοός γίνεται κατὰ κρᾶσιν τῶν δύο ο̄ο̄ εἰς τὴν ο̄ῡ δίφθογγον γοῦς καὶ θοῦς. καὶ περὶ μὲν τοῦ γόος ἔστιν εἰπεῖν, ὅτι ἔχει ῥῆμα παρακείμενον τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, τῶν ἄλλων μὴ ἐχόντων, οἷον πλόος πλέω πλέεις, ῥόος ῥέω ῥέεις, νόος νέω νέεις, θρόος θροῶ θροεῖς (leg. θρέω θρέεις). ἐπειδὴ γοῦν τὸ γόος ἔχει ῥῆμα παρακείμενον τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, γοῶ· γὰρ γοᾷς, εἰκότως ὡς παραλλάξαν κατὰ τοῦτο πρὸς τὰ διὰ τοῦ ο̄ο̄σ̄, παρήλλαξε καὶ κατὰ τὸ μὴ κίρνασθαι. περὶ δὲ τοῦ θοός, ὅτι ἐπειδὴ τῶν διὰ τοῦ ο̄ο̄σ̄ δισυλλάβων πάντων βαρυνομένων οἷον πλόος, ῥόος, θρόος, γόος, νόος, τὸ θοός μόνον ὀξύνεται, εἰκότως ὡς παραλλάξαν κατὰ τὸν τόνον παρήλλαξε καὶ κατὰ τὴν κρᾶσιν, καὶ οὐ κίρναται ὁμοίως τοῖς ἄλλοις· ἄλλως τε δὲ τὸ ὀφειλόμενον ἐν τῇ ἁπλότητι ἐν τῇ συνθέσει ἀναδέχεται· ἐν γὰρ τῇ συνθέσει κίρναται, ἐπειδὴ καὶ βαρύνεται, οἷον Πάνθοος Πάνθους.

Choer. 245, 13: ὅσα ἔστιν εἰς πλο̄ῡς̄ λήγοντα, ἀπὸ συναιρέσεώς ἐστιν, οἷον διπλοῦς, τριπλοῦς, ἀπὸ γὰρ τοῦ διπλόος καὶ τριπλόος ἐγένετο, καὶ τὴν τῶν ἐντελῶν φυλάττει κλίσιν, οἷον διπλόος δι-

l. 5 hic alicubi commemoratum fuit etiam Ἱεριχοῦς — ἡ γενικὴ Ἱεριχοῦντος· λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς· εὕρηται καὶ δοτικὴ Ἱεριχοῖ ἀπὸ τῆς Ἱεριχώ St. B. l. 35 cf. Lob. El. I 44; de syncope adverbiorum in κις exeuntium in compositione cf. E. M. 767, 25, E. Gud. 231, 47.

διπλόου, διπλοῦς διπλοῦ, τριπλόος τριπλόου, τριπλοῦς τριπλοῦ. ταῦτα δὲ ἁπλᾶ ἐστι καὶ οὐ σύνθετα, ὥσπερ ὑπενόησάν τινες. πρῶτον μὲν γὰρ τὸ διπλοῦς καὶ τριπλοῦς οὐδὲν ἐφύλαξε τοῦ σημαινομένου τοῦ πλοῦς, ἵνα εἴπωμεν αὐτὰ σύνθετα ἐξ αὐτοῦ· δεύτερον δέ, εἰ ἦν σύνθετα, ἤμελλε βαρυτονεῖσθαι. ἔχομεν γὰρ ὅτι τὰ εἰς ους ὀνόματα ἁπλᾶ μὲν ὄντα περισπᾶται, οἷον βοῦς, νοῦς, πλοῦς, χροῦς, θροῦς, θυγατριδοῦς, ἀδελφιδοῦς, χαλκοῦς, χρυσοῦς, πλακοῦς, Σιμοῦς, χωρὶς τοῦ πούς καὶ ὀδούς, ταῦτα γὰρ ὀξύνεται· σύνθετα δὲ ὄντα βαρύνεται, οἷον εὔπλους, εὔχρους, Ἀλκίνους. εἰ ἄρα οὖν τὸ διπλοῦς καὶ τριπλοῦς οὐ βαρύνεται, ἀλλὰ περισπᾶται, δηλονότι οὐκ ἔστι σύνθετα ἀλλ' ἁπλᾶ. τρίτον δέ, εἰ ἦν σύνθετα, κοινὰ ἤμελλεν εἶναι τῷ γένει, ὥσπερ ὁ εὔνους καὶ ἡ εὔνους, ὁ εὔπλους καὶ ἡ εὔπλους, ὁ εὔχρους καὶ ἡ εὔχρους· νυνὶ δὲ τὸ θηλυκὸν λέγομεν ἡ διπλῆ καὶ τριπλῆ (Il. Α 128)·

τριπλῇ τετραπλῇ τ' ἀποτίσομεν,

ὥσπερ ὁ χαλκοῦς καὶ ἡ χαλκῆ, ὁ χρυσοῦς καὶ ἡ χρυσῆ, δηλονότι οὐκ ἔστι σύνθετα, ἀλλ' ἁπλᾶ παραγωγά· παρὰ γὰρ τοῦ δίς παρήχθη τὸ διπλόος, καὶ ἀπὸ τοῦ τρίς τριπλόος καὶ ἀπὸ τοῦ τετράκις τετραπλόος, καὶ ἀπὸ τοῦ πεντάκις πενταπλόος, συγκοπῆς γενομένης τῆς κις συλλαβῆς· καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως. καὶ τὸ ἁπλόος δὲ ἀπὸ τοῦ ἅπαξ παρήχθη.

Choer. 246, 5: τὰ εἰς δους λήγοντα, οἷον ἀδελφιδοῦς θυγατριδοῦς γέγονε κατὰ κρᾶσιν. οὐδὲ δυνάμεθα λέγειν ὅτι τοὐναντίον ἀπὸ τοῦ ἀδελφιδοῦς καὶ θυγατριδοῦς γέγονε τὸ ἀδελφιδεός καὶ θυγατριδεός κατὰ διάλυσιν τῆς ου διφθόγγου εἰς τὸ ο καὶ ε, ἐπειδή, ὥς φησιν ὁ Ἡρωδιανός, οὐδέποτε εὐθεῖα διαλέλυται· τὸ γὰρ εἷς ἕεις κατὰ πλεονασμὸν ἔχει τὸ ε, οὐ μὴν διελύθη. ἄρα οὖν οὐδὲ τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς δύναται διάλυσιν ἀναδέξασθαι καὶ ποιῆσαι τὸ ἀδελφιδεός καὶ θυγατριδεός. πρὸς δὲ τοὺς λέγοντας ὅτι εἰ ἐγένετο τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς ἀπὸ τοῦ ἀδελφιδεός καὶ θυγατριδεός ὤφειλεν ὀξύνεσθαι, λέγομεν ὅτι πρὸς τὸν χαρακτῆρα περισπᾶται. τὰ γὰρ εἰς ους ὀνόματα ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν, καὶ ἢ βαρύνεται ἢ περισπᾶται. καὶ περισπᾶται μέν, ἡνίκα ᾖ ἁπλᾶ, οἷον βοῦς, νοῦς, χροῦς, χαλκοῦς, οὖς, διπλοῦς, τριπλοῦς, ἁπλοῦς, Σιμοῦς, πλακοῦς, χωρὶς τοῦ πούς καὶ ὀδούς· ταῦτα γὰρ ὀξύνεται· βαρύνεται δέ, ἡνίκα ᾖ σύνθετα, οἷον εὔχρους, εὔπλους, Ἀλκίνους, Οἰδίπους. ἐπειδὴ οὖν τὸ θυγατριδοῦς καὶ ἀδελφιδοῦς ἁπλᾶ ἐστιν, εὐλόγως περισπᾶται.

Choer. 239, 33: ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα τὰ εἰς ους λήγοντα ὑπὲρ μίαν συλλαβὴν ὀνόματα οὐδέποτε συντίθεται, οἷον χαλκοῦς, χρυσοῦς, Σιμοῦς, γλαυκοῦς (leg. πλακοῦς), διατί τὸ ὀδούς συντίθεται, ὡς ἐν τῷ τριόδους κυνόδους. ἔστιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι τὰ εἰς ους

l. 22 cf. fr. 12.

ὀνόματα οὐδέποτε ὀξύνεται, ἀλλ' ἢ βαρύνεται, ἢ περισπᾶται. ἐπειδὴ οὖν τὸ ὀδούς παραλόγως ὀξύνεται, τούτου χάριν συντίθεται, ἵνα διὰ τῆς συνθέσεως βαρυνθῇ καὶ φύγῃ τὴν παράλογον τάσιν, λέγω δὴ τὴν ὀξεῖαν, οἷον τριόδους κυνόδους.

Περὶ τῶν εἰς ῡς.

Choer. 62, 24: τὰ εἰς υς μονοσύλλαβα περισπᾶται καὶ διὰ καθαροῦ τοῦ ος κλίνεται καὶ συστέλλει τὸ υ ἐν τῇ γενικῇ καὶ ἐν ταῖς ἑξῆς πτώσεσιν οἷον μῦς μυός, σῦς συός, δρῦς δρυός.

Choer. 232, 22: πάντα τὰ εἰς ῡς περισπώμενα ὑπὲρ μίαν συλλαβὴν ὄντα ὑποκοριστικά ἐστιν οἷον ὁ Καμμῦς τοῦ Καμμῦ, ὁ Κλαυσῦς, ὁ Διονῦς, ὁ Λαρδῦς χωρὶς τῶν τριῶν τούτων φημὶ δὴ τοῦ ὀσφῦς, ὀφρῦς, ἰχθῦς, καὶ τὸ ἰξῦς παραλόγως περισπᾶται.

Περὶ τῶν εἰς ως.

Choer. 259, 16: ἐπὶ τῶν εἰς ος καθαρῶν, τῶν διὰ τοῦ ᾱ μακροῦ ἐχόντων τὴν παραλήγουσαν μακράν, ὑπερβιβασμὸν ποιοῦνται τοῦ χρόνου οἱ Ἀθηναῖοι, καὶ τὴν μὲν τελευταίαν ἐκτείνουσιν εἰς τὸ ω, τὴν δὲ παραλήγουσαν συστέλλουσιν εἰς τὸ ε, οἷον Μενέλαος Μενέλεως, Ἰόλαος Ἰόλεως, λαός λεώς, ναός νεώς. ἰδοὺ ταῦτα ἔχοντα τὴν μὲν παραλήγουσαν μακράν, τὴν δὲ τελευταίαν βραχεῖαν ἐκ τοῦ ἐναντίου ἐποίησαν τὴν μὲν τελευταίαν φύσει μακράν, τὴν δὲ παραλήγουσαν συνέστειλαν, ὅθεν τὸ Οἰνόμαος, ἐπειδὴ οὐκ ἔχει μακρὰν τὴν παραλήγουσαν, οὐκ ἐγένετο παρὰ τοῖς Ἀττικοῖς διὰ τοῦ ε καὶ ω οἷον Οἰνόμεως, ἐπειδὴ τὸ α συνεσταλμένον ἔχον οὐκ ἠδύνατο ὑπερβιβασμὸν χρόνου ποιήσασθαι. εἰ δέ τις εἴποι καὶ πῶς τὸ ἵλαος συνεσταλμένον ἔχον τὸ α, οἷον ὡς παρὰ Παρθενίῳ

ἵλαος, ὦ ὑμέναιε,

γίνεται παρὰ τοῖς Ἀθηναίοις διὰ τοῦ ε καὶ ω οἷον ἵλεως, λέγομεν ὅτι τὸ ἵλαος μᾶλλον ἐκτείνει τὸ ᾱ (σπάνιον γὰρ τὸ ἐν συστολῇ ἐστιν εὑρισκόμενον), καὶ τούτου χάριν ἐγένετο παρὰ τοῖς Ἀθηναίοις ἵλεως. ὅτι γὰρ ἐκτείνει τὸ α, ἐδήλωσε Παρθένιος ἐν τῷ Βίαντι εἰπών

ἵλαος ταύτην δέχνυσο πυρκαϊήν.

ἔστι δὲ ἐλεγεῖον. καὶ ἐν τῷ Εὐφορίωνος Δημοσθένει ὁμοίως ἐκτεταμένον εὑρίσκεται, οἷον

δαίμονος ἱλάοιο.

πρόσκειται «ἐπὶ τῶν εἰς ος καθαρόν», ἐπειδὴ εἰσί τινα μὴ καθαρεύοντα καὶ γινόμενα διὰ τοῦ ω παρὰ τοῖς Ἀθηναίοις, οἷον ὁ κάλος ὁ κάλως (σημαίνει δὲ τὸν σχοῖνον), ὁ Τάλος ὁ Τάλως (ἔστι δὲ ὄνομα κύριον), ὁ ὄρφος ὁ ὀρφῶς (σημαίνει τὸν ἰχθῦν), τοῦτο δὲ περισπᾶται παρὰ τοῖς Ἀθηναίοις, τοῦ παρ' ἡμῖν, ἤγουν τοῦ κοινοῦ, βαρυνομένου.

l. 9 cf. fr. 13.

ἰδοὺ ταῦτα διὰ τοῦ ω γινόμενα Ἀττικῶς οὐκ ἐτρέψατο παραλῆγον φωνῆεν εἰς τὸ ε· ἀλλ' οὐ καθαριεύει.

Choer. 261, 20: δεῖ δὲ γινώσκειν ὅτι τὰ πολλὰ εὑρίσκεται παρὰ τοῖς Ἀθηναίοις εἰς ως μὴ ἔχοντα προϋποκείμενον κοινόν, οἷον κορώνεως, φιβάλεως, δαμερίππεως, χελιδώνεως, ἱέρεως. προπαροξύνεται δὲ ὅλα ταῦτα καὶ ἀποβολῇ τοῦ ε ποιεῖ τὴν γενικὴν ὁμοίως τοῖς ἄλλοις Ἀττικοῖς.

Περὶ τῶν εἰς ν.

Choer. 270, 11: τὰ εἰς ν λήγοντα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ οὐ θέλει ἔχειν πρὸ τοῦ ν οὔτε δίφθογγον οὔτε βραχὺ φωνῆεν, ἀλλ' ἢ ἓν ἐκ τῶν τριῶν διχρόνων, ὅπερ δὲ (leg. δὴ) καὶ ἐκτείνεται, ἢ ἓν ἐκ τῶν μακρῶν φωνηέντων, ὡς εἶναι πέντε φωνήεντα τὰ εὑρισκόμενα πρὸ τοῦ ν κατὰ τὴν εὐθεῖαν, α, ι, υ, η, ω, οἷον Ἀλκμάν, παιάν, δελφίν, Σαλαμίν, μόσυν, Φόρκυν, σωλήν, ποιμήν, Πλάτων, τρήρων.

Choer. 270, 23: τὰ εἰς ν λήγοντα ἀρσενικὰ ἢ θηλυκὰ ἢ ὀξύνεται ἢ βαρύνεται, οἷον δελφίν, Σαλαμίν, ποιμήν, Τροιζήν, ἄρσην, Ἕλλην· οὐδέποτε δὲ περισπᾶται, χωρὶς εἰ μὴ ᾖ εἰς ων, ἐν γὰρ τῇ εἰς ων καταλήξει ἔστιν ὅτε ἐπιδέχεται καὶ τὴν περισπωμένην τάσιν, οἷον Ξενοφῶν, Ποσειδῶν. πρόσκειται «ἀρσενικὰ ἢ θηλυκά» διὰ τὰ οὐδέτερα, διὰ τὸ χαλκοῦν, χρυσοῦν, ὀστοῦν, περισπώμενα.

Dichr. 283, 9 (Choer. 271): πᾶν εἰς αν λῆγον ἀρσενικὸν ἐπ' εὐθείας ἐκτείνεσθαι θέλει, Παιάν, Τιτάν, Ἀλκμάν καὶ ὅσα τοιαῦτα.

Choer. 278, 18 (coll. 69, 31): τὰ εἰς ιν μακρὸν ἔχει τὸ ι καὶ εἰ μέν ἐστιν ἁπλᾶ ὀξύνεται εἴτε ἀρσενικά ἐστιν εἴτε θηλυκά οἷον Σαλαμίν Ἐλευσίν ἀκτίν δελφίν Τελχίν (Τελχῖνες δέ εἰσι φθονεροὶ δαίμονες οἱ οἰκήσαντες τὴν Ῥόδον), ῥίν, θίν, ἴν (ὃ σημαίνει τὴν δύναμιν)· ἡ ἴκτινα αἰτιατικὴ προπαροξυνομένη, οἷον ὡς παρὰ Ἀριστοφάνει (fr. 525)·

> ἴκτινα παντόφθαλμον ἅρπαγας τρέφων,

οὐκ ἔστιν ὡς ἀπὸ τῆς ἴκτιν εὐθείας, οὐδαμοῦ γὰρ ἡ εὐθεῖα αὕτη εὕρηται ἐν χρήσει, ἀλλ' ἔστιν ἴκτινος ἡ εὐθεῖα, ὡς παρὰ Σοφοκλεῖ (fr. 890)·

> ἴκτινος ὡς ἔκλαγξεν παρασύρας κρέας,

τούτου ἡ γενικὴ ἰκτίνου, ὡς παρὰ Σιμωνίδῃ·

> σπλάγχν' ἀμπέχοντες αὐτίκ' ἰκτίνου δίκην,

εἶτα ἡ δοτικὴ ἰκτίνῳ, καὶ ἡ αἰτιατικὴ ἴκτινον, ὡς παρὰ Μενάνδρῳ·

> ἀλλὰ προσέδωκας τάλαντον εἶναι παρ' ἡμῖν τὸν ἴκτινον.

εἶτα αὕτη ἡ αἰτιατική, κατὰ μεταπλασμὸν γέγονεν ἴκτινα, ὡς παρὰ Ἀριστοφάνει·

> ἴκτινα παντόφθαλμον ἅρπαγας τρέφων,

ὥσπερ ἁλίτροχον ἁλίτροχα παρ' Ἰβύκῳ, καὶ διθύραμβον διθύραμβα

l. 36 Menandri fragmentum corruptum est, cf. Mein. p. 1035 ed. min.

παρὰ Πινδάρῳ· εἰ δέ ἐστι σύνθετα εἰς ῑν βαρύνεται οἷον δελφάκτιν, τριγλώχιν. πάντα δὲ προσθέσει τοῦ ος ποιεῖ τὴν γενικήν, καὶ πάντα φυλάττει τὸ ῑ μακρόν, οἷον δελφῖνος, ἀκτῖνος, Σαλαμῖνος, Ἐλευσῖνος, ῥινός, θινός. δικατάληκτα δὲ καλεῖται, ὅτι παρὰ μὲν τοῖς ἀρχαίοις εἰς ς λήγει οἷον δελφίς, Τελχίς, Σαλαμίς· παρὰ δὲ νεωτέροις εἰς ν οἷον δελφίν, Τελχίν. Σαλαμίν. πλατυτέρα δέ ἐστιν ἡ εἰς ς λήγουσα κατάληξις, σπανιωτέρα δὲ ἡ εἰς ν· σπανίως γὰρ εὕρηται ἐν χρήσει ἡ εἰς ν κατάληξις, ὡς παρὰ Σιμωνίδῃ·

τριγλώχιν ὀϊστός,

καὶ παρὰ Καλλιμάχῳ·

τριγλώχιν ὀλοῷ νῆσος ἐπ' Ἐγκελάδῳ.

καὶ ἄξιόν ἐστι ζητῆσαι, ποῖά ἐστιν ἀναλογώτερα τὰ εἰς ν λήγοντα, ἢ τὰ εἰς ς. καὶ ἔστιν εἰπεῖν, ὅτι τὰ εἰς ν λήγοντα ἀναλογώτερά ἐστιν· πᾶσα γὰρ γενικὴ εἰς ος λήγουσα μετὰ ἀμεταβόλου ἔχουσα μακρὰν φύσει τὴν παραλήγουσαν ἀποβολῇ τοῦ ος τὴν εὐθεῖαν ἀποτελεῖ οἷον Ἀλκμᾶνος Ἀλκμάν, Θέωνος Θέων, Πλάτωνος Πλάτων, ἰχῶρος ἰχώρ, Δίωνος Δίων. πρόσκειται «ἔχουσα φύσει μακρὰν τὴν παραλήγουσαν» διὰ τὸ κτενός· τοῦτο γὰρ οὐκ ἀποβολῇ τοῦ ος ποιεῖ τὴν εὐθεῖαν, κτείς γάρ ἐστι καὶ οὐ κτέν· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν τοῦτο, ἐπειδὴ βραχεῖαν ἔχει τὴν παραλήγουσαν· καὶ πάλιν ἔστιν Μέμνονος καὶ Νέστορος, καὶ ἐπειδὴ ταῦτα βραχεῖαν ἔχει τὴν παραλήγουσαν, οὐκ ἀποβολῇ τοῦ ος ποιεῖ τὴν εὐθεῖαν, Μέμνων γὰρ καὶ Νέστωρ διὰ τοῦ ω καὶ οὐ διὰ τοῦ ο. καὶ πάλιν ἔστι θεράποντος καὶ γέροντος, καὶ ἐπειδὴ ταῦτα οὐκ ἔχει μακρὰν φύσει τὴν παραλήγουσαν, οὐκ ἀποβολῇ τοῦ ος ποιεῖ τὴν εὐθεῖαν, οὐδὲ γὰρ λέγομεν θεράπον καὶ γέρον, ἀλλὰ θεράπων καὶ γέρων διὰ τοῦ ω· ἄλλως τε δὲ οὐκ ἔχει τὴν γενικὴν ταῦτα εἰς ος λήγουσαν μετὰ ἀμεταβόλου, πρὸ γὰρ τοῦ ο οὐκ ἔστιν ἀμετάβολον ἀλλὰ τ. εἰ οὖν ἡ δελφῖνος καὶ Τελχῖνος καὶ Σαλαμῖνος γενικὴ εἰς ος λήγει σὺν ἀμεταβόλῳ καὶ φύσει μακρᾷ παραλήγεται, δηλονότι ἀποβολῇ τοῦ ος ἀποτελεῖ τὴν εὐθεῖαν. δείκνυται δὲ ὅτι ἀναλογώτερά ἐστιν ἡ εἰς ν κατάληξις καὶ ἐξ ἄλλων κανόνων· τὰ εἰς ς λήγοντα περιττοσυλλάβως κλινόμενα ἢ διὰ καθαροῦ τοῦ ος κλίνεται οἷον ἡδύς ἡδέος, βότρυς βότρυος, ἢ διὰ τοῦ δ οἷον Πάρις Πάριδος, Θέτις Θέτιδος, ἢ διὰ τοῦ θ οἷον ὄρνις ὄρνιθος, δέλλις δέλλιθος, ἢ διὰ τοῦ τ οἷον Λάχης Λάχητος, ἔρως ἔρωτος. πρόσκειται «περιττοσυλλάβως κλινόμενα» διὰ τὸ καλός καλοῦ, Χρύσης Χρύσου· εἰ ἄρα οὖν τὸ δελφίς καὶ Τελχίς καὶ τὰ ὅμοια οὐ κλίνεται δι' ἑνὸς τούτων, δηλονότι οὐ καταλήγει φύσει εἰς ς ἡ εὐθεῖα, ἀλλ' εἰς ν. περὶ γὰρ τῶν δοκούντων ἐναντιοῦσθαι οἷον περὶ τοῦ ἅλς ἁλός, εἷς ἑνός, ἔστιν εἰπεῖν ὅτι ἐλλείπει ταῦτα τὸ τ, καὶ τὸ τάλας δὲ τάλανος καὶ μέλας μέλανος ἐλλείπει τὸ τ· μέλαντος γὰρ καὶ τάλαντος ἦν καὶ κατὰ ἀποβολὴν τοῦ τ γέγονε μέλανος καὶ τάλανος. ὅτι γὰρ τοῦ μέλας μέλαντος ἦν ἡ γενικὴ δηλοῖ τὸ

μελαντείους δ' ἐπὶ πέτρας

διὰ τοῦ ν̄τ̄ τὸ ἐξενεχθὲν καὶ τὸ [Il. Δ 277]

μελάντερον ἠΰτε πίσσα.

ὅτι δὲ καὶ τοῦ τάλας τάλαντος ἦν ἡ γενική, δηλοῖ ὁ Ἱππῶναξ εἰπὼν

τί τῷ τάλαντι Βουπάλῳ συνῴκησας,

καὶ ὁ Ἀντίμαχος δὲ γινώσκει τὴν διὰ τοῦ ν̄τ̄ κλίσιν, ἐν οἷς φησιν

οἱ δὲ τὸν αἰνοτάλαντα κατέστυγον.

περὶ δὲ τῆς κτενός γενικῆς ἔστιν εἰπεῖν ὅτι κτείν ἦν ἡ εὐθεῖα, καὶ λοιπὸν ἀκολούθως κτεινός ἡ γενικὴ δι' ἀμεταβόλου· καὶ ἐπεὶ οὐδέποτε τὰ εἰς ν̄ λήγοντα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ θέλει ἔχειν πρὸ τοῦ ν δίφθογγον, οἷον δελφίν, ἀκτίν, Σαλαμίν, Τιτάν, μόσυν (σημαίνει δὲ τὸν ξύλινον πύργον), Ἕλλην, Τροιζήν, Πλάτων, τρήγων (leg. τρήρων), τούτου χάριν ἔτρεψε τὸ ν̄ εἰς τὸ c̄ καὶ γέγονε κτείς καὶ ἐφύλαξε τὴν αὐτὴν κλίσιν, τουτέστι τὴν διὰ τοῦ ν̄. πρόσκειται «εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ» διὰ τὸ δίπουν, τοῦτο γὰρ ἔχει πρὸ τοῦ ν δίφθογγον, ἀλλ' οὐδέτερόν ἐστι. τὸ δὲ τίς τινός μὴ δυνάμενον κλιθῆναι δι' ἄλλου συμφώνου ἐξ ἀνάγκης ἐκλίθη διὰ τοῦ ν. τρίτος δὲ κανών ἐστιν οὗτος ὁ δεικνύς, ὅτι τὰ εἰς ν̄ λήγοντα ἀναλογώτερά ἐστι τῶν εἰς c̄ ληγόντων. τὰ εἰς ις λήγοντα ἀποβολῇ τοῦ c̄ ποιεῖ τὴν κλητικὴν οἷον ὁ Πάρις ὦ Πάρι, ὁ μάντις ὦ μάντι, ὁ λάτρις ὦ λάτρι, ἡ πόλις ὦ πόλι, ἡ Θέτις ὦ Θέτι· τὸ γὰρ ὁμόφωνον Ἀττικόν ἐστιν, ὦ μάντις, ὦ πόλις. εἰ ἄρα οὖν τὸ δελφίς καὶ Τελχίς καὶ τὰ ὅμοια οὐκ ἀποβάλλει τὸ c̄ ἐν τῇ κλητικῇ, ἀλλὰ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον ὁ δελφίς ὦ δελφίς, ὁ Τελχίς ὦ Τελχίς, δηλονότι οὐ καταλήγει φύσει εἰς c̄ ἀλλ' εἰς ν̄, τροπὴ δὲ ἐγένετο τοῦ ν εἰς c̄ κατὰ Δωρικὴν διάλεκτον, ὥσπερ ἦν ἧς, ἤρπομεν ἤρπομες, ὡς παρὰ Θεοκρίτῳ (7, 1)

ἧς χρόνος,

ἀντὶ τοῦ ἦν χρόνος, καὶ παρὰ τῷ αὐτῷ (7, 2)

ἤρπομες ἐκ πόλιος,

ἀντὶ τοῦ ἤρπομεν ἐκ πόλεως.

Choer. 283, 5 (70, 11): πάντα τὰ εἰς ῡν βαρύνεται, οἷον μόσυν, Φόρκυν, Γόρτυν, ἐπειδὴ τὰ πολλὰ παρὰ τοῖς Αἰολεῦσιν εὑρίσκεται, καὶ λοιπὸν ὡς δοκοῦντα εἶναι Αἰολικὰ εὐλόγως βαρύνεται· οἱ γὰρ Αἰολεῖς βαρυντικοί εἰσιν, οἷον Πηλεύς Πήλευς, Ἀτρεύς Ἄτρευς, Ἀχιλλεύς Ἀχίλλευς.

Dichr. 287, 6: αἱ εὐθεῖαι τῶν εἰς υν συστέλλουσι τὸ υ Φόρκυν, Πόλτυν, αἱ δὲ διὰ τοῦ νος γενικαὶ τῷ ῡ ἐκτεταμένῳ παραλήγονται.

---

l. 31 de Φόρκυν cf. not. ad Cathol. 18, 14. De Γόρτυν haec apud St. B. 212, 2 servata sunt: Γόρτυν (Γόρτυς)· φασὶ δὲ τὴν αἰτιατικὴν οἱ μὲν δισυλλάβως Γόρτυν, οἱ δὲ τρισυλλάβως «Γόρτυνά τε τειχιόεσσαν» (B 646), οἱ δὲ Γόρτυναν ὡς ἄμυναν. l. 35 cf. Choer. 283, 9 ἰστέον καὶ τοῦτο, ὅτι διάφοροι δόξαι περὶ τοῦ χρόνου τῆς εὐθείας γεγόνασιν, αἱ μὲν γὰρ ἀξιοῦσι καὶ ἐν τῇ εὐθείᾳ καὶ ἐν πάσαις ταῖς πτώσεσιν ἐκτείνεσθαι τὸ ῡ, οἱ δὲ λέγουσιν ὅτι ἐν μὲν τῇ εὐθείᾳ συστέλλεται τὸ ῡ, ἐν δὲ ταῖς ἄλλαις πτώσεσι ταῖς πλαγίαις ἐκτείνεται· καὶ διάφοροί εἰσι δόξαι τῶν τεχνικῶν περὶ τούτου.

Choer. 297, 24: τὰ εἰς ω̄ν̄ περισπώμενα διὰ τοῦ ντ κλίνεται καὶ φυλάττει τὸ ω̄ ἐν τῇ γενικῇ καί ἐστι μόνου ἀρσενικοῦ γένους, οἷον ὁ Θῶν τοῦ Θῶντος (ἔστι δὲ ὄνομα κύριον), ὁ Ξενοφῶν τοῦ Ξενοφῶντος, ὁ Ἀγλαοφῶν τοῦ Ἀγλαοφῶντος, ὁ Ἱπποκῶν τοῦ Ἱπποκῶντος, χωρὶς ἑνὸς ἐν τῇ συνηθείᾳ λεγομένου (ἔστι δὲ ὄνομα πόλεως Περσικῆς), τοῦτο γὰρ θηλυκοῦ γένους ἐστίν, οἷον ἡ Κτησιφῶν, περισπᾶται δὲ καὶ διὰ τοῦ ντ κλίνεται καὶ φυλάττει τὸ ω̄ ἐν τῇ γενικῇ οἷον τῆς Κτησιφῶντος· τοῦτο δὲ ἀπὸ ἀρσενικοῦ γένους γέγονε θηλυκόν, καὶ τὴν αὐτὴν κλίσιν ἐφύλαξεν. οἷον ἀπὸ τοῦ Κτησιφῶν. οὐ μόνον δέ ἐστι τοῦτο τὸ ὄνομα ἐν τῇ συνηθείᾳ, ἀλλὰ καὶ παρὰ τοῖς ἀρχαίοις τὸ ὄνομα τοῦτο τῆς πόλεως εὕρηται.

Choer. 300, 5: τὰ εἰς ω̄ν̄ περισπώμενα οὐ γίνεται εἰς ω̄ς̄, οἷον Κτησιφῶν Ἀγλαοφῶν Ξενοφῶν. τὸ δὲ τυφῶν καὶ ταῶν καὶ εἰς ως λήγει. μηδεὶς δὲ οἰέσθω τὸ τυφῶν καὶ τυφῶς καὶ ταῶν καὶ ταῶς δικατάληκτα εἶναι. τὰ γὰρ δικατάληκτα τὴν αὐτὴν ἔχει κλίσιν, οἷον δελφίν δελφῖνος καὶ δελφίς δελφῖνος, Τελχίν Τελχῖνος καὶ Τελχίς Τελχῖνος, Σαλαμίν Σαλαμῖνος καὶ Σαλαμίς Σαλαμῖνος. ταῦτα δὲ οὐκ ἔχει τὴν αὐτὴν κλίσιν, τυφῶν μὲν γὰρ τυφῶνος, καὶ ταῶν ταῶνος, ὥσπερ καὶ Ποσειδῶν Ποσειδῶνος· τυφῶς δὲ τυφῶ, καὶ ταῶς ταῶ, ἀποβολῇ τοῦ ς̄ Ἀττικῶς, ὥσπερ ὁ ὀρφῶς τοῦ ὀρφῶ, καὶ ὁ λαγῶς τοῦ λαγῶ. κρεῖττον οὖν ἕτερα θέματα λέγειν τοῦ τυφῶν καὶ ταῶν, καὶ ἕτερα τοῦ τυφῶς καὶ ταῶς. ἰστέον δὲ ὅτι τινὲς βούλονται τὸ ταῶς ἀπὸ τοῦ ταός τοῦ διὰ τοῦ ο̄ λέγειν κατ᾽ ἔκτασιν τοῦ ο εἰς τὸ ω καὶ ἐναλλαγῇ τοῦ τόνου εἰς περισπωμένην τάσιν· ἀλλ᾽ ἔστι λέγειν, ὅτι τὸ ταῶς οὐκ ἠδύνατο ἀπὸ τοῦ ταός τοῦ διὰ τοῦ ο εἶναι, ἐπειδὴ τὸ ταός τὸ διὰ τοῦ ος οὐκ ἔστι σύνηθες τοῖς Ἕλλησι.

Choer. 300, 30: Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα τὰ εἰς ω̄ν̄ περισπώμενα οὐδέποτε φύσει μακρᾷ παραλήγεται, οἷον Δημοφῶν, Ἀγλαοφῶν, Κτησιφῶν, Ἀντιφῶν (τὸ γὰρ Δεξικρῶν οὐ παραλήγεται φύσει μακρᾷ ἀλλὰ θέσει), πῶς τὸ Ποσειδῶν φύσει μακρᾷ παραλήγεται. ἔστιν οὖν εἰπεῖν, ὅτι ἀπὸ τοῦ Ποσειδέης γέγονε Ποσειδέων καὶ κατὰ κρᾶσιν Ποσειδῶν, ὥστε δυνάμει μὴ εἶναι φύσει μακράν, φημὶ τὴν δίφθογγον, ἐν τῇ παραληγούσῃ, ἀλλ᾽ ἐν τῇ προπαραληγούσῃ.

Περὶ τῶν εἰς ξ̄.

Dichr. 284, 20: τὰ εἰς α̅ξ̅ μονοσύλλαβα θηλυκὰ μὲν ὄντα θέλει συστέλλειν τὸ α̅· σπάξ, οὕτως ἡ κύων παρὰ Πέρσαις, κλάξ, πλάξ,

l. 12 cf. East. 346, 13, abi et haec: Ἡρωδιανὸς δὲ τοῖς εἰς ω̄ν̄ περισπωμένοις οἷον Δημοφῶντι καὶ Ξενοφῶντι συντεταχὼς καὶ τὸν Τυφῶνα καὶ τὸν ταῶνα λέγει ὡς μόνον τὸ Τυφῶν καὶ τὸ ταῶν οὐκ ἐκλίθη διὰ τοῦ ντ, ἐπειδὴ καὶ ἑτέραν ἔσχε κατάληξιν· Τυφῶς γὰρ καὶ ταῶς διὰ τοῦ ς̄. Etymologias a Choereb. 299, 32 prolatas, quippe quam dubiae sint velut Ξενοφῶν a φῶ τὸ φονεύω et Δεξικρῶν a κρείω τὸ βασιλεύω καὶ κρατῶ aut etiam falsae ut Ἱπποκῶν a κτῶμαι Ἱπποκτῶν καὶ Ἱπποκῶν (cf. Lob. El. II 115 seqq.) Herodiano non obtrudendas iudicavi. De ταός cf. Cathol. p. 109, 5.

γλάξ, δράξ, ἡ δὲ ῥάξ ἐκτείνεται. τὰ δὲ ἐκτείνοντα τὸ ᾱ ἀρσενικά ἐστι, βλάξ, κράξ, πτάξ. τὸ δὲ Πράξ ἱστορεῖται μὲν ἐκτείνεσθαι· ἐγένετο δὲ Ἀχιλλέως ἀπόγονος, ἔνθεν οἱ Πρᾶκες· συστέλλεται δὲ ἔσθ' ὅτε τὸ ᾰ.

Choer. 305, 4: τὰ εἰς αξ λήγοντα δισύλλαβα ἀρσενικά, ἐὰν ἔχῃ φύσει μακρὰν τὴν παραλήγουσαν, ἐκτείνει πάντως τὸ ᾱ, τουτέστι φύσει μακρὸν αὐτὸ ἔχει οἷον θώραξ, οἴαξ. πρόσκειται «ἐὰν ἔχῃ φύσει μακρὰν τὴν παραλήγουσαν» διὰ τὰ θέσει μακρὰν ἔχοντα ταύτην οἷον τὸ ἅρπαξ καὶ κέκραξ· ταῦτα γὰρ συνεσταλμένον ἔχει τὸ ᾰ, τουτέστι θέσει μακρὸν αὐτὸ ἔχει, οὐκ ἀναστρέφοντος τοῦ κανόνος, οὐδὲ γὰρ τὰ ἔχοντα ἢ βραχεῖαν τὴν παραλήγουσαν ἢ θέσει μακρὰν πάντως συστέλλει τὸ ᾰ τουτέστι θέσει μακρὸν αὐτὸ ἔχει. εὑρίσκομεν γάρ τινα ἐν αὐτοῖς ἔχοντα τὸ ᾱ ἐκτεταμένον, τουτέστι φύσει μακρὸν οἷον νέαξ (σημαίνει δὲ τὸν νεώτερον), φέναξ (σημαίνει δὲ τὸν ἀπατεῶνα), κόρδαξ (σημαίνει δὲ τοῦτο ὄρχησιν κωμικήν). ἰδοὺ οὖν ταῦτα μὴ παραληγόμενα φύσει μακρᾷ ἔχει τὸ ᾱ ἐκτεταμένον, τουτέστι φύσει μακρόν, ὡς δῆλον ἐκ τῶν ἄλλων πτώσεων τῶν μὴ ἐχουσῶν τὸ ξ. σημειούμεθα ἐν τῷ κανόνι τινὰ ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν καὶ συστέλλοντα τὸ ᾰ, τουτέστι θέσει μακρὸν αὐτὸ ἔχοντα, ἔστι δὲ ταῦτα Γῦναξ, Γῦλαξ (ὀνόματα δὲ ταῦτα κύρια), σῦναξ (φασηλοειδὲς ὄσπριον), καὶ τὸ καυαξ διφορούμενον· τοῦτο γὰρ ποτὲ μὲν συστέλλει τὸ α, ποτὲ δὲ ἐκτείνει αὐτό· ἔστι δὲ εἶδος ὀρνέου. πρόσκειται «δισύλλαβα», ἐπειδὴ τὰ ὑπὲρ δύο συλλαβάς, κἂν βραχείᾳ παραλήγηται, ἐκτείνει τὸ ᾱ, ὡς ἐπὶ τοῦ ἱέραξ, χωρὶς εἰ μὴ ᾖ σύνθετα ἀπὸ ἁπλοῦ συστέλλοντος τὸ ᾰ, ὡς ἐπὶ τοῦ Ἱππῶναξ καὶ Ἀρχιάναξ. τὸ ἀσφάλαξ ὑπὲρ δύο συλλαβὰς ὂν καὶ συστέλλον τὸ ᾰ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ κατὰ πλεονασμὸν ἔχει τὸ ᾱ, καὶ φύσει δισύλλαβόν ἐστιν· ἀπὸ γὰρ τοῦ σπῶ γέγονεν σπάλαξ καὶ κατὰ πλεονασμὸν τοῦ α ἀσπάλαξ καὶ κατὰ μετάθεσιν τοῦ ψιλοῦ εἰς τὸ ἀντίστοιχον δασὺ ἀσφάλαξ· τὸ γὰρ ζῷον τοῦτο ἀποσπᾷ τὴν γῆν καὶ ποιεῖ βάθος καὶ οὕτως εἰσέρχεται ἐκεῖ. πρόσκειται «ἀπὸ ἁπλοῦ συστέλλοντος τὸ ᾱ», ἐπειδὴ ἐὰν ᾖ

---

l. 4 quae de quantitate genetivi vocabulorum in ιξ υξ tradit Choer., non ab omni parte congruunt cum doctrina Herodianea in Dichr. 285, 5 sqq., nam quum contra Aristophanem grammaticum et Ptolemaeum Ascalonitam χοίνικος metri causa corripi, id quod etiam inde quod interdum producta paenultima legatur appareat, doceat Herodianus, Choerob. 312, 6 χοῖνιξ χοίνικος πανταχοῦ συστέλλει τὸ ι tradit et quum Herod. Βέβρυκος ex lege corripi et poetarum licentia produci existimet, Choer. 314, 8 dicit: τὸ Βέβρυξ κατὰ τὰς πτώσεις τὰς μὴ ἐχούσας τὸ ξ διφορεῖται κατὰ τὸν χρόνον, εὑρέθη γὰρ καὶ ἐκτεταμένον — καὶ συνεσταλμένον. Quare hanc particulam omittere satius habui quam ad Herodiani sententiam ope libri περὶ διχρόνων dirigere. Nam verum Herodiani doctrinam ex ipso illo libro petere licet. l. 9 verba οὐκ ἀναστρέφοντος τοῦ κανόνος — τουτέστι θέσει, quae explevi addens μακρὸν αὐτὸ ἔχει, ex p. 306, 11, ubi in alienum locum irrepserunt, huc retraxi, quo loco necessaria sunt propter εὑρίσκομεν γάρ, quae non haberent, quo referrentur. Cum hoc l. conferendus est Herod. Dichr. 283, 25, unde pro Ὕλαξ Κῆαξ reposui Γῦναξ Γῦλαξ, quamquam prius suspicione non caret; intactum reliqui σῦαξ, pro quo in Dichr. σαῦαξ exstat propter Lehrsii admonitionem.

ἀπὸ ἁπλοῦ ἐκτείνοντος τὸ ᾱ φυλάττει αὐτὸ ἐκτεταμένον οἷον Φαίαξ φιλοφαίαξ, θώραξ λινοθώραξ. πρόσκειται ἐν τῷ κανόνι «ἀρσενικά», ἐπειδὴ τὰ θηλυκὰ ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν συστέλλει τὸ ᾱ, οἷον αὖλαξ, πῖδαξ, κλῖμαξ· διὰ τοῦτο τὸ μεῖραξ ἀναλογώτερόν ἐστι θηλυκῶς λεγόμενον, συστέλλει γὰρ τὸ ᾱ φύσει μακρὰν ἔχον τὴν παραλήγουσαν· ὅταν δὲ λεχθῇ ἀρσενικῶς παρὰ τοῖς Ἀθηναίοις, ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ διαβολῇ παραλαμβάνεται, ἀντὶ τοῦ ὁ γυναικώδης.

Περὶ θηλυκῶν ὀνομάτων.

Choer. 323, 14: τὰ εἰς α λήγοντα θηλυκὰ ἢ συστέλλει τὸ ᾱ ἢ ἐκτείνει αὐτό· καὶ ὅσα μέν ἐστι προπαροξύτονα ὡμολόγηται ὅτι συνεσταλμένον ἔχει τὸ α, οἷον πανδοκεύτρια, Πολύμνια, πότνια, Ἐρέτρια, κιθαρίστρια, εὐσέβεια, εὐγένεια, θάλασσα, ἄελλα, θύελλα. μακρᾶς γὰρ οὔσης τῆς ἐπὶ τέλους, οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα. τὰ δὲ ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχοντα τὸν τόνον, πάντα μακρὸν ἔχει τὸ ᾱ, οἷον Ἀθηνᾶ, ἀργυρᾶ, σιδηρᾶ, φοβερά, πονηρά, Ναυσικᾶ. τὰ δὲ πρὸ μιᾶς ἔχοντα τὸν τόνον ἔστιν ὅτε συστέλλει τὸ ᾱ, οἷον ταχεῖα, ὀξεῖα, βραδεῖα, ἔστι δ' ὅτε ἐκτείνει αὐτὸ οἷον Βυζαντία, Λεσβία, Ῥοδία, μετρία.

Περὶ οὐδετέρων ὀνομάτων.

Choer. 366, 15: τὰ εἰς α λήγοντα οὐδέτερα συνεσταλμένον ἔχει τὸ α, οἷον κῦμα ἅρμα βῆμα· χωρὶς τοῦ κάρα. τοῦτο γὰρ ἐκ τοῦ κάρηνον ἐγένετο τούτῳ τῷ τρόπῳ· ἔστι κάρηνον καὶ κατὰ τροπὴν τοῦ η εἰς ᾱ μακρὸν κάρανον γίνεται καὶ κατὰ ἀποκοπὴν τῆς νον συλλαβῆς κάρα, καὶ ἔμεινε τὸ α μακρόν.

Choer. 366, 20: θέλει δὲ τὰ εἰς α λήγοντα οὐδέτερα πρὸ τοῦ α ἔχειν τὸ μ̄, οἷον ποίημα, ῥῆμα, ἅρμα, κῦμα, δηλονότι μονογενῆ ὄντα. τοῦτο εἴρηται διὰ τὸ μέγα· τοῦτο γὰρ οὐκ ἔχει πρὸ τοῦ α τὸ μ̄, ἀλλ' οὐκ ἔστι μονογενές, ἀπὸ γὰρ τοῦ ὁ μέγας γέγονε. τὰ μὴ ἔχοντα πρὸ τοῦ ᾱ τὸ μ ἐστὶ πεπονθότα, οἷον τὸ κάρα ἀπὸ τοῦ κάρηνον κατὰ ἀποκοπήν, καὶ τὸ λίπα ἀπὸ τοῦ λίπας

ἀλείψατο δὲ λίπ' ἐλαίῳ (Il. Ξ 171),

καὶ τὸ ἄλειφα (σημαίνει δὲ τὸ ἄλειμμα) ἀπὸ τοῦ ἄλειφαρ ἢ ἄλειφας κατὰ ἀποβολὴν τοῦ τελευταίου συμφώνου ἐγένετο. καὶ τὸ ὕφα δὲ ἀπὸ τοῦ ὕφασμά ἐστι κατὰ ἀποκοπήν. καὶ τὸ γάλα ἀπὸ τοῦ γάλαξ κατ' ἔνδειαν τοῦ ξ̄· ἡ γὰρ κλίσις αὐτοῦ ἀπὸ εὐθείας τῆς εἰς ξ̄ καταληγούσης

---

l. 30 Choer. λίπα per apocopen ex λιπαρόν expedit, Herodianus vero ex λίπας, quae altera forma vocabuli λίπος esset, ortum putavit ap. Eust. 1560, 26, quare Herodianeam sententiam substitui. Omisi quod Choer. dicit οὐκ ἔστιν ἐν χρήσει τὸ ὕφα, ἀλλὰ τὸ ὕφασμα, quia Herod. περὶ παθῶν in E. M. 785, 26 ὕφα ex ὕφασμα ortum dicit; de γάλα consentit Herod. ap. Eust. 1627, 47; de affectis cf. E. M. 60, 53.

ἐγένετο, γάλακος γὰρ ἡ γενική, καὶ κατὰ πλεονασμὸν τοῦ τ γάλακτος, ὥσπερ ἄναξ ἄνακος καὶ ἄνακτος. πᾶσα γὰρ γενικὴ διὰ τοῦ κος κλινομένη ἢ διὰ τοῦ κτος τὴν εὐθεῖαν ἔχει εἰς ξ καταλήγουσαν, οἷον Φοίνικος Φοῖνιξ, θώρακος θώραξ, νυκτός νύξ, ἄνακτος ἄναξ. εἰ οὖν γάλακτος, δηλονότι εἰς ξ γάλαξ. ἄλλως τε δὲ πᾶσα δοτικὴ πληθυντικῶν εἰς ι λήγουσα μετὰ διπλοῦ ἀποβολῇ τοῦ ι τὴν εὐθεῖαν τῶν ἑνικῶν ἀποτελεῖ, οἷον Φοίνιξι Φοῖνιξ, κήρυξι κῆρυξ, Πέλοψι Πέλοψ, Κύκλωψι Κύκλωψ. εἰ οὖν ἐστιν ἡ δοτικὴ τῶν πληθυντικῶν γάλαξι, δηλονότι ἀποβολῇ τοῦ ι γίνεται ἡ εὐθεῖα τῶν ἑνικῶν γάλαξ· ἀλλ' ἐπειδὴ τὸ ξ οὐκ ἔστι τελικὸν τῶν οὐδετέρων, τούτου χάριν ἀπεβλήθη καὶ ἐγένετο γάλα.

Choer. 367, 21: περὶ δὲ τοῦ κρᾶτα, οἷον

ἐς τὸ κείνου κρᾶτ' ἐνήλαθ' ἡ τύχη

παρὰ Σοφοκλεῖ (Oed. Tyr. 263), μήποτε ἔστιν εἰπεῖν ὅτι τοῦτο ἀπὸ ἀρσενικοῦ ἢ θηλυκοῦ γέγονεν. ἀπὸ ἀρσενικοῦ μὲν ἀπὸ τοῦ ὁ κράς τοῦ κρατός τῷ κρατί τὸν κρᾶτα, ἀπὸ θηλυκοῦ δὲ ἀπὸ τοῦ ἡ κράς τῆς κρατός τῇ κρατί τὴν κρᾶτα καὶ τὸ κρᾶτα· τὸ γὰρ κρὰς ἀρσενικῶς καὶ θηλυκῶς λέγεται.

Choer. 378, 7: πᾶν οὐδέτερον εἰς ν λῆγον ἀπαθὲς βραχυκαταληκτεῖν θέλει, οἷον ξύλον μέτρον πλέθρον, χωρὶς τοῦ πᾶν, τοῦτο γὰρ μακροκατάληκτόν ἐστι, καὶ τῶν παρὰ τὸ πούς συγκειμένων, καὶ ταῦτα γὰρ μακροκαταληκτεῖ εἰς ν λήγοντα, οἷον τὸ δίπουν τὸ τρίπουν τὸ τετράπουν καὶ τὸ ἄπουν. πρόσκειται «ἀπαθές», διὰ τὸ βοῶν τὸ ποιοῦν τὸ χρυσοῦν τὸ χαλκοῦν, ταῦτα γὰρ ἀπὸ κράσεως ἔχει τὴν μακράν, καὶ τὸ διπλοῦν ἀπὸ τοῦ διπλόον καὶ τὸ εὐγήρων ἀπὸ τοῦ εὐγήραον· τὸ καρχαρόδουν καὶ τὸ τιμήειν ἀπὸ τοῦ καρχαρόδον καὶ τιμῆεν γέγονε κατὰ πλεονασμὸν τὸ μὲν τοῦ υ τὸ δὲ τοῦ ι· τὸ ἀξιόχρεων καὶ ἀνάπλεων Ἀττικὴν ἔκτασιν ἔπαθε τοῦ ο εἰς τὸ ω, ἀπὸ τοῦ ἀξιόχρεον καὶ ἀνάπλεον διὰ τοῦ ο.

Choer. 378, 21: ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὸ πᾶν μακροκαταληκτεῖ. καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν οὐδέτερον παρεσχηματισμένον ἀρσενικῷ θέλει φυλάττειν ἐν τῇ τελευταίᾳ συλλαβῇ τὸν τόνον τῆς τελευταίας συλλαβῆς τοῦ ἀρσενικοῦ, οἷον καλός καλόν, σοφός σοφόν, ὀξύς ὀξύ, ταχύς ταχύ, αὐτάρκης ἐν τῇ τελευταίᾳ συλλαβῇ βαρεῖαν ἀλλὰ καὶ αὔταρκες ἐν τῇ τελευταίᾳ συλλαβῇ βαρεῖαν, κακοήθης ἐν τῇ τελευταίᾳ συλλαβῇ βαρεῖαν, ἀλλὰ καὶ ἐν τῷ κακόηθες ἐν τῇ τελευταίᾳ συλλαβῇ βαρεῖαν. σεσημείωται τὸ εἷς ἕν· ἐνταῦθα γὰρ οὐκ ἐφυλάχθη ὁ τόνος τοῦ ἀρσενικοῦ ἐν τῷ οὐδετέρῳ·

---

l. 12 quae apud Choerob. sequuntur, non mirum esse articulum neutr. cum feminino coniungi, quum dicatur φοίνικι λίνῳ, ἄρωξιν ὅπλοις, μανιάσι λυσσήμασι, non ab Herodiano profecta sunt, qui potius ex accusativo generis mascul. vel femin. alterum nominativum neutr. gen. τὸ κρᾶτα fictum esse videtur putasse.

l. 30 cf. Dichr. 282, 15 et 290, 6.

τὸ μὲν γὰρ εἰς περισπᾶται, τὸ δὲ ἕν ὀξύνεται, ἐπειδὴ βραχυκαταληκτεῖ· ἐπειδὴ οὖν τὸ πᾶς περισπᾶται, ἀναγκάζεται καὶ τὸ οὐδέτερον περισπασθῆναι, ἵνα φυλάξῃ τὸν τόνον τοῦ ἀρσενικοῦ, περισπώμενον δὲ εὐλόγως ἐκτείνει τὸ α, ἐπειδὴ οὐδέποτε περισπωμένη οὔτε ἐπάνω βραχείας τίθεται οὔτε ἐπάνω θέσει μακρᾶς, ἀλλ' ἐπάνω φύσει μακρᾶς, οἷον Ἑρμῆς, Ἡρακλῆς, παῖς. εἰ δέ τις εἴπῃ ὀξυνέσθω τὰ ἀρσενικά, ἵνα μὴ ἀναγκασθῇ τὸ οὐδέτερον ἐκτεῖναι τὸ ᾰ, λέγομεν ὅτι οὐ δύναται τὸ πᾶς ὀξύνεσθαι, ἐπειδὴ ποιεῖ οὐδέτερον παρεσχηματισμένον, οἷον τὸ πᾶν. τὰ γὰρ εἰς $\overline{\text{ας}}$ ὀξύτονα ἐπ' ὀνομάτων οὐ ποιεῖ οὐδετέρου παρασχηματισμὸν οἷον Ἀρκάς, φυγάς, χαλκοκράς, γαλακτοκράς. «ἐπ' ὀνομάτων» πρόσκειται διὰ τὰς μετοχὰς οἷον ὁ ἱστάς ἡ ἱστᾶσα τὸ ἱστάν, ὁ κιχράς ἡ κιχρᾶσα τὸ κιχράν, ὁ φθάς ἡ φθᾶσα τὸ φθάν, ὁ βάς ἡ βᾶσα τὸ βάν. καὶ ἀποροῦσι δέ τινες λέγοντες, ποία γὰρ ἀνάγκη ἐστὶ ποιεῖν τὸ πᾶς τριγένειαν, οἷον ὁ πᾶς καὶ ἡ πᾶσα καὶ τὸ πᾶν, ὅπου τὰ εἰς ας μονοσύλλαβα ἐπ' ὀνομάτων οὐ ποιεῖ τριγένειαν, οἷον Πράς, Ζάς, κράς, Χνᾶς, Γρᾶς. ἔστιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην· τὰ εἰς $\overline{\text{ας}}$ μονοσύλλαβα ἐπ' ὀνομάτων διὰ τοῦτο οὐ ποιεῖ τριγένειαν, ἐπειδὴ πᾶν ὄνομα μονοσύλλαβον εἰς ας λῆγον ἢ κύριόν ἐστιν ἢ προσηγορικὸν οἷον Πράς Πραντός (ἔστι δὲ ὄνομα πόλεως), Ζάς Ζαντός (ἔστι δὲ ὄνομα κύριον ὁ Ζάς), ὁ Γρᾶς τοῦ Γρᾶ (ἔστι δὲ ὄνομα κύριον), ὁ Χνᾶς τοῦ Χνᾶ (οὕτω δὲ ἐλέγετο ὁ Ἀγήνωρ, ὅθεν καὶ ἡ Φοινίκη Χνᾶ λέγεται), προσηγορικὸν δὲ τὸ κράς κρατός (σημαίνει δὲ τὴν κεφαλήν), οὐδέποτε δὲ οὔτε ἀπὸ κυρίων οὔτε ἀπὸ προσηγορικῶν γίνεται οὐδετέρου παρασχηματισμός, ἤγουν τριγένεια, οἷον Αἴας, Θόας, κοχλίας, λᾶας· τὸ δὲ πᾶς ἐπίθετόν ἐστι καὶ οὐ κωλύεται ποιεῖν τριγένειαν, ἀπὸ γὰρ ἐπιθέτων γίνεται τριγένεια, οἷον ὁ μέγας ἡ μεγάλη τὸ μέγα, ὁ τάλας ἡ τάλαινα τὸ τάλαν, ὁ σοφός ἡ σοφή τὸ σοφόν, ὁ καλός ἡ καλή τὸ καλόν.

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΚΛΙΣΕΩΣ ΟΝΟΜΑΤΩΝ.

1.

Anecd. Ox. IV 333, 6:

Ἐπιτομὴ τῶν ὀνοματικῶν κανόνων ἐκ τῶν Ἡρωδιανοῦ.

τὸ ὅμοιον ἐν τοῖς ὀνόμασιν ἢ γένει ἢ εἴδει ἢ σχήματι ἢ ἀριθμῷ ἢ τόνῳ ἢ πτώσει, ἢ καταλήξει ἐν παρατελεύτῳ συλλαβῇ· ἐν χρόνῳ, ἐν ποσότητι συλλαβῆς, πολλάκις δὲ καὶ ἐν ἐπιπλοκῇ συμφώνου· εἰ δὲ παρὰ ταῦτά τι γένοιτο, ἀνόμοιος ἡ κλίσις γίνεται· οἷον ἐν γένει μὲν ὁ τοξότης καὶ ἡ φιλότης· ἐν εἴδει δὲ οἷον Ὀλυμπιονίκης προσηγορικόν, Πολυνίκης κύριον· σχήματι δὲ οἷον ἱππότης ἁπλοῦν, Σωκράτης σύνθετον· ἀριθμῷ δὲ ἰχθῦς ἰχθύος ἑνικόν, ἰχθῦς δὲ ἰχθύων κατὰ κρᾶσιν ἀπὸ τοῦ ἰχθύες· τόνῳ δέ ἥρως ὅτι βαρύτονον διὰ καθαροῦ τοῦ $\overline{ος}$, εὐρὼς ὀξύτονον διὰ τοῦ $\overline{τος}$· πτώσει δὲ τοξότης εὐθεῖα, ἐλάτης γενική· καταλήξει δὲ καλός βραδύς, ἐπεὶ γὰρ διήλλαξε τὴν κατάληξιν, διήλλαξε καὶ τὴν κλίσιν· παρατελεύτῳ δὲ συλλαβῇ Πέρσης, ἐπεὶ μακρᾷ παραλήγεται, Πέρσου κέκλιται, Λάχης δέ, ὅτι βραχείᾳ, περιττοσυλλάβως εἰς $\overline{τος}$· χρόνῳ δὲ οἷον Ἀρκάς ἱμάς, τὸ πρῶτον γὰρ συνεσταλμένον διὰ τοῦ $\overline{δος}$ κλίνεται Ἀρκάδος, τὸ δεύτερον δὲ διὰ τοῦ $\overline{ντ}$ ἱμάντος· ἐν ποσότητι δὲ συλλαβῆς οἷον Λυσίας Βίας, τὸ μὲν γὰρ πρῶτον ὅτι ὑπὲρ δύο συλλαβάς, ἰσοσυλλάβως κλίνεται Λυσίου, τὸ δεύτερον δὲ ὅτι δισύλλαβον, διὰ τοῦ $\overline{ντ}$ Βίαντος· πολλάκις δὲ καὶ διαφόρου συμφώνου ἕνεκα διαφόρως ἐκλίθη οἷον σωλήν σωλῆνος, ὑμήν ὑμένος, εἴωθε γὰρ τὸ $\overline{μ}$ τρέπειν τὸ $\overline{η}$ εἰς $\overline{ε}$.

Περὶ ἀρσενικῶν.

2.

Anecd. Ox. IV 333, 30: πέντε ἐστὶ στοιχεῖα τελικὰ τῶν ἀρσενικῶν ὀνομάτων $\overline{ν}$, $\overline{ξ}$, ρ, ς, ψ· εἰ δέ τινες καὶ τὸ $\overline{ε}$ τελικὸν τιθέασιν, ὡς ἐν τῷ τοιόσδε, τηλικόσδε, ἢ τὸ $\overline{λ}$ διὰ τὴν ἧλος γενικὴν ἢ Ἀσδρουβάλ

---

l. 4 in titulo scripsi ὀνοματικῶν pro ὀνομάτων. l. 29 ἧλος genetivus intellegendus est ab apocopato ἧλ declinatus cf. Lob. Parall. p. 116.

εὐθεῖαν, οὐ παραδεκτέον· τούτων γὰρ τὸ μὲν πρῶτον κατ᾽ ἐπέκτασιν τοῦ δε λέγεται· ὅθεν καὶ τῶν ἄλλων τρεπόντων τὴν τελευταίαν ἐπὶ τῶν πτώσεων καὶ τῶν ἀριθμῶν καὶ τῶν γενῶν ταῦτα τὴν παρατέλευτον ἀντὶ τῆς τελευταίας ἔτρεψε· καὶ τὸ λ δὲ οὐδαμῶς τελικὸν ἡγητέον· τὰ γὰρ τοιαῦτα ὀνόματα οὐχ Ἑλληνικά, ἀλλὰ βάρβαρα καὶ ἀχαρακτήριστα. οὐ μὴν οὐδὲ τὸ α τελικὸν παραδεξόμεθα διὰ τὰ θηλυκὰ ἐπώνυμα τό τε Κόπαινα καὶ Μύριλλα ἢ τὰ ποιητικῶς μεταπλασθέντα νεφεληγερέτα Ζεύς, ἱππότα Νέστωρ.

Τὰ μὲν οὖν δ᾽ οἷον ν, ξ, ρ, ψ ἀεὶ περιττοσυλλαβεῖ ἐπὶ τῆς γενικῆς καὶ εἰς ος καταλήγει, οἷον Δίων Δίωνος, κῆρυξ κήρυκος, Νέστωρ Νέστορος, Πέλοψ Πέλοπος· τὰ δὲ εἰς ς λήγοντα ποτὲ μὲν περιττοσύλλαβον ἔχει τὴν γενικήν, ποτὲ δὲ ἰσοσύλλαβον· καὶ ἰσοσυλλαβοῦσα εἰς φωνῆεν λήγει οἷον σοφός σοφοῦ, περιττοσυλλαβοῦσα δὲ ἔχει τελικὸν τὸ ος, Μίνως Μίνωος, στάχυς στάχυος.

Τὰ εἰς ς πᾶσιν εὕρηται χρώμενα τοῖς φωνήεσι πλὴν τοῦ ε, οἷον Αἴας, Χάρης, μάντις, καλός, ταχύς, ἥρως· τὸ δὲ ε καθ᾽ αὑτὸ μὲν οὐκ ἐκφωνεῖται, μετὰ δὲ συμπλοκῆς τοῦ ι ἢ τοῦ υ, οἷον χαρίεις, Πηλεύς· τινὰ δὲ εἰς ους λήγει, Μελάμπους, Οἰδίπους.

Περὶ τῶν εἰς ας ὀνομάτων.

3.

Anecd. Ox. IV 334, 22: τὰ εἰς ας ἀρσενικὰ μονοσύλλαβα σπάνιά ἐστιν· ὀξύνεται δὲ ἢ περισπᾶται καὶ κλίνεται κατὰ ἀποβολὴν τοῦ ς ἢ διὰ τοῦ ντ· ἔστι γὰρ ἰσοσύλλαβα ὁ Θᾶς τοῦ Θᾶ, ὁ Γρᾶς τοῦ Γρᾶ, ὁ Λᾶς τοῦ Λᾶ, ὁ πᾶς τοῦ πᾶ, ὁ Βᾶς τοῦ Βᾶ· περιττοσύλλαβα δὲ κράς κρατός μόνον χωρὶς τοῦ ν· διὰ τοῦ ν κλινόμενον πᾶς παντός τὸ τριγενὲς ἔχον τὴν γενικὴν ὀξύτονον, Ζάς Ζάντος, Φθάς Φθάντος, μετοχῆς ἀπενεγκάμενος κατάληξιν ὁμοίως ταῖς μετοχαῖς καὶ κατὰ τὴν γενικὴν ἠνάγκασται τονοῦσθαι ὡς στάς στάντος.

Τὰ ἐκ παρακειμένου συνεσχηματισμένα ὀξύνεται καὶ διὰ τοῦ τ κλίνεται χαλκοκράς χαλκοκρᾶτος, νεοκράς νεοκρᾶτος· τὸ μέντοι εὐκράς παρ᾽ Εὐριπίδῃ ἀνεγνώσθη.

Τὰ εἰς ας συνεσταλμένα ἀρσενικὰ καὶ θηλυκὰ ὀξύνεται καὶ διὰ τοῦ δος κλίνεται· τὸ δὲ μέγας ἐπίθετον καὶ τὸ λᾶας προσηγορικὸν ὡς συστέλλον τὸ α βαρύνεται καὶ οὐ διὰ τοῦ δος κλίνεται. καὶ τὸ μέγας ἐπιθετικῶς εἰρημένον ἡμάρτηται περὶ τὴν εὐθεῖαν, ἐπείπερ ἢ βραχὺ ἔχον τὸ α ὤφειλεν ὀξύνεσθαι κατὰ τὸ Ἀρκάς καὶ φυγάς, ἢ βαρυνό-

---

l. 7 Κόπαινα pro Κόπεννα emendavit Lob. Proll. p. 69. l. 24 Βᾶς Βᾶ scripsi pro Φᾶς Φᾶ. l. 29 vox συνεσχηματισμένα reperitur in Mon. 14, 32. l. 33 in codice sunt haec: τὸ δὲ μέλας ἐπίθετον καὶ λάας ἐπιθετικῶς εἰρημένον ἡμάρτηται· διὰ τοῦτο οὐδ᾽ ἀκόλουθον τὴν κλίσιν ἔσχον, quae verba corrupta et mutilata sunt; Herodianum restitui ex Arcad. 22, 22 et Herod. ap. Eustath. 1447, 23.

μενον ἐκτείνειν τὸ ᾱ ὧν οὐδέτερον ἔχει· καὶ διὰ τοῦτο οὐδὲ ἔςχεν ἀκόλουθον κλίςιν, μέγας γὰρ μεγάλου φαμέν.

Τὰ δὲ βαρύτονα ὅςα μὲν διςύλλαβα εἰς ας καθαρὸν λήγει οἷον Αἴας, καὶ ὅςα παρὰ μετοχήν, Ἄτλας, Περίφας, καὶ ὅςα παρὰ ῥῆμα βαρύτονον, Ἀφείδας, ἀδάμας, δάμνω γάρ, καὶ ὅςα δὶς τὸ αὐτὸ cύμφωνον ἔχει ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ cυλλαβῇ ἢ τὸ ἀντίςτοιχον, Μάμας, γίγας, Τεύθρας, Κάλχας, καὶ ὅςα τριγενῆ, διὰ τοῦ ντ κλίνεται· ἀλλὰ τὸ μέλας γὰρ καὶ τάλας τριγενῆ ὑποςτολὴν τοῦ τ πέπονθε, μέλανος καὶ τάλανος.

Ὅςα δὲ εἰς ας καθαρὸν ὑπὲρ δύο cυλλαβὰς τῷ ῑ παραλήγεται, Νικίας, Λυςίας, ἢ τῷ ε̄ Αὐγέας, Πυθέας, ἢ τῇ ει Αἰνείας, ἢ τῷ υ Μαρςύας, καὶ ὅςα εἰς ρας ἐπὶ τῆς παρατελεύτου τὸ ō ἔχει Ξεναγόρας, εἰς ου ἔχει τὴν γενικήν· εἰ δέ τι τούτων εἰς α καταλήξειεν, Δώριός ἐςτιν ἡ κλίςις cυνήθης γεγονυῖα τῇ κοινῇ διαλέκτῳ· ἐκεῖνα δὲ μόνον εἰς α κατάληκτα εἴη (sic) κατὰ τὴν γενικήν, ὅςα ἀπὸ ἀμεταβόλου ἀρξάμενα μεταβολικῷ κατὰ τὸ τέλος χρῆται, οἷον Λίχας· καὶ ὅςα ἀπὸ φύςει μακρᾶς ἀρξάμενα cυμφώνῳ παραλήγεται κατὰ τὴν τελευταίαν, οἷον Cώτας· καὶ ὅςα δὶς τὸ αὐτὸ cύμφωνον ἔχει καὶ μή ἐςτι ῥηματικὰ οἷον Ἀγρίππας, Περδίκκας, τὸ Πάλλας γὰρ ῥηματικόν· καὶ ὅςα εἰς μας μακρᾷ παραλήγεται, Πυρίμμας, Λυκόρμας, τὸ γὰρ Ἀθάμας καὶ ἀδάμας βραχυκαταληκτεῖ· καὶ ὅςα εἰς δας ἁπλᾶ Τιμαχίδας, Θρακίδας, ἁπλᾶ διὰ τὸ Ἀφείδας· καὶ ὅςα εἰς πας μονογενῆ, Ἀράςπας, Γοργόπας, τὸ ἅπας γὰρ οὐ μονογενές· καὶ ὅςα παρὰ ῥῆμα περιςπώμενον βοῶ Τηλεβόας, ἀλοιῶ πατραλοίας πατραλοία. τὰ δὲ εἰς ας περιςπώμενα ἐπιεικῶς ὑποκοριςτικὰ εὑρίςκεται καὶ κατὰ ἀποβολὴν τοῦ ε̄ κλίνεται Ζηνᾶς, Μηνᾶς. τὸ ἀλλᾶς, Γλιςᾶς ἐκ τοῦ ἀλλάεις, Γλιςάεις· τὸ δὲ Μαρικᾶς Μαρικᾶντος περιττοςυλλάβως κέκλιται ἀλλὰ καὶ ἰςοςυλλάβως. ἕν ἐςτιν ἀρςενικὸν εἰς αις περιςπώμενον παῖς, κέκλιται δὲ διὰ τοῦ δ̄ ὡς ἀπὸ τοῦ πάϊς.

4.

Steph. Byz. 1, 2 Mein.: Ἡρωδιανός φηςιν ὅτι τὸ Ἄβας, ὅτε ἔθνος cημαίνει, περιττοςυλλάβως κλίνεται ἀεί, ὅτε δὲ κύριον, καὶ ἰςοςυλλάβως καὶ περιττοςυλλάβως.

5.

Steph. B. 83, 28: Βρίγες. Ἡρωδιανὸς ἐν τῇ πρώτῃ κλίςεως ὀνομάτων Βρίγαντας αὐτούς φηςι τὰ γὰρ εἰς γας λήγοντα ὀνόματα ἰςοςυλλάβως κλίνεται, ὅτε μόνον ἐςτὶ κύρια. τοῦτο δέ φημι διὰ τὸ Βρίγας. ἔθνος δέ ἐςτι Βρεττανικὸν οἱ Βρίγαντες.

6.

Eustath. 1447, 23: Ἡρωδιανὸς καθάπαξ ἡμαρτῆςθαι τὸ μέγας

l. 12 τὸ ō ἔχει Ξεναγόρας scripsi pro τὸ Ἐξαγόρας. l. 20 pro Πυρίμμας, quod tamen defendi posse censet, Lobeckius Proll. 168 proponit Ἀρίμμας. l. 27 περιττοςυλλάβως κέκλιται scripsi pro πέπλεκται. l. 30 cf. Choer. Dict.. 33, 3, Lob. El. II 305. l. 34 cf. Choer. 34, 2.

περὶ τὴν εὐθεῖαν γράφει καὶ διὰ τοῦτο μηδὲ cχεῖν ἀκόλουθον κλίcιν, μέγας γὰρ μεγάλου φαμέν· ἑτεροκλίτως δηλαδή. ἡμάρτηται δὲ κατ' ἐκεῖνον, ἐπείπερ ἢ βραχὺ ἔχον τὸ α ὤφειλεν ὀξύνεcθαι κατὰ τὸ Ἀρκάς φυγάς ἢ βαρυνόμενον ἐκτείνειν τὸ α· ὧν οὐδέτερον ἔχει.

7.

Choerob. Dict. 35, 15, Bekk. Anecd. 1186: τὰ εἰc ᾱc ἔχοντα πρὸ τοῦ ᾱ ἕν τι τῶν διπλῶν ἰcocυλλάβως κλίνεται οἷον Ἀρίζας Ἀρίζα, Ἐλίξας Ἐλίξα, Ἄψας Ἄψα. τὰ δὲ περιττοcυλλάβως κλίνεται, ἡνίκα εὑρεθῇ τὸ υ πρὸ τοῦ ζ οἷον Βύζας Βύζαντος, Γύζας Γύζαντος, Πύζας Πύζαντος. ἰcτέον ὅτι Ἡρωδιανὸς οὕτως κανονίζει ταῦτα.

8.

Eustath. 300, 14: ὅτι ὁ Ἀρκάς τό τε κύριον καὶ τὸ ἐθνικὸν cυcτέλλει τὸ α καὶ ὀξύνεται καὶ διὰ τοῦ δος κλίνεται κατὰ τὸ φυγάς φυγάδος καὶ τὰ ὅμοια, ἐκ τῶν Ἡρωδιανοῦ δῆλον, ὃς παρατιθεὶς τὸ ἱμάς καὶ ἀνδριάς ἐκτεινόμενα ἐν τῇ ληγούςῃ κατὰ μετοχὰς μιμήcαcθαί φηcιν αὐτὰ καὶ τὴν τῶν μετοχῶν κλίcιν τοῦ ἱcτάς ἱcτάντος καὶ βιβάς βιβάντος. τὸν μέντοι παρὰ τῷ κωμικῷ ἀλλᾶντα προπεριcπᾷ ἐκεῖνος, ὀκνῶν βαρύνειν αὐτὸν κατὰ τὴν κοινὴν cυνήθειαν. λέγει γὰρ ὅτι ὁ ἀλλᾶς ὡς ἀπὸ τοῦ ἀλλάεις κέκλιται διὰ τοῦ ντ, ἵν' ᾖ ἀλλάεντος καὶ κατὰ κρᾶcιν ἀλλᾶντος· ὁ δὲ τοιοῦτος λόγος ἀπαιτεῖ καὶ τὴν ἐντελῆ εὐθεῖαν τοῦ ἀλλᾶντος περιcπᾶcθαι. δῆλον γὰρ ὡς ἀλλάεις γενόμενος ἀλλᾶς τὴν περιcπωμένην ἀπαιτεῖ τὴν ἀπὸ κράcεως. ὁ δὲ Ἡρωδιανὸς τοῖς εἰρημένοις παραπηγνὺς καὶ τὸν παρὰ τῷ κωμικῷ Μαρικᾶν (Nub. 533 «Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν») τὸ βάρβαρον ὄνομα διὰ τοῦ ντ κλιθῆναι λέγει, παραφέρων χρῆσιν ταύτην· «ἀλλ' οὖν ἔγωγέ σοι λέγω Μαρικᾶντα μὴ κολάζειν» (Eupol. Meinek. fr. Com. I 139 ed. min.).

9.

Eustath. 1390, 33: τοῦ Ἄτλαντος τῆς κλίσεως ὁ κανὼν τοιοῦτος κατ' Ἡρωδιανόν· τὰ παρὰ μετοχὴν εἰς ας διcύλλαβα διὰ τοῦ ντ κλίνεται οἷον τλάς Ἄτλας Ἄτλαντος, φάς Περίφας Περίφαντος. τοιαύτῃ δὲ κλίσει ἐκεῖνον ὑπάγει καὶ ὅσα δὶς τὸ αὐτὸ σύμφωνον ἔχει, γίγας γίγαντος, Μίμας Μίμαντος.

10.

Choer. Dict. 32, 21: τὰ εἰς ας λήγοντα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον συνεσταλμένον καταλήγουσαν περιττοσυλλάβως κλίνεται, τουτέστι διὰ τοῦ ντ Βίας Βίαντος, Ἀρύβας Ἀρύβαντος, ἔστι δὲ ὄνομα κύριον, λυκάβας λυκάβαντος, σημαίνει δὲ τὸν ἐνιαυτόν, Θίσβας Θίσβαντος· τὸ γὰρ ς μετὰ τοῦ β ἐστί. πρόσκειται «ἔχοντα τὴν πρὸ

l. 12 cf. Epim. Cr. I 217, 10 et Catholicam p. 50, 12 sqq. 	 l. 37 'Αρύβας pro 'Αρίβας scripsi ex Od. ο 425.

τέλουϲ cυλλαβὴν εἰϲ δίχρονον cυνεϲταλμένον καταλήγουϲαν», ὥϲ φηϲιν Ἡρωδιανόϲ, διὰ τὸ Ἰόβαϲ Ἰόβα καὶ Ῥήβαϲ Ῥήβα.

Περὶ τῶν εἰϲ ειϲ.

Περὶ τῶν εἰϲ ευϲ.

11.

An. Ox. IV 337, 8: τὰ εἰϲ ευϲ εἴτε ἁπλᾶ εἴτε ϲύνθετα ὀξύνεται καὶ διὰ τοῦ εοϲ κλίνεται, Ὀδυϲϲεύϲ Ὀδυϲϲέοϲ. τὸ Ὀδυϲϲῆοϲ Ἰωνικόν, ὥϲπερ τὸ Ὀδυϲϲέωϲ Ἀττικόν. τὸ δὲ Ζεύϲ Διόϲ ἑτερόκλιτον καὶ Βοιωτῶν. τοῖϲ δρομεῦϲι καὶ δρομέϲι διχῶϲ.

12.

Choer. 217, 15: ἐπὶ τῶν εἰϲ ευϲ κυρίων ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ δύο εε εἰϲ τὴν ει δίφθογγον ϲυναλείφει μόνωϲ, ἐπὶ δὲ τῶν μὴ ὄντων κυρίων εἰϲ τὴν ει δίφθογγον ϲυναλείφει τὰ δύο εε καὶ εἰϲ τὸ η Ἀττικῶϲ, βαϲιλέεϲ βαϲιλεῖϲ διὰ τῆϲ ει διφθόγγου καὶ βαϲιλῆϲ Ἀττικῶϲ διὰ τοῦ η. ἡ δὲ τούτων αἰτιατικὴ διὰ τῆϲ ει διφθόγγου μόνωϲ λέγεται, οὐκέτι δὲ καὶ διὰ τοῦ η οἷον τοὺϲ βαϲιλεῖϲ τοὺϲ ἱππεῖϲ. καὶ τοῦτο εὐλόγωϲ, ἐπειδὴ οὔτε ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἐϲτι γνηϲία ἡ κρᾶϲιϲ ἡ τῶν δύο εε εἰϲ τὸ η. Cημειοῦται ὁ Ἡρωδιανὸϲ παρὰ τῷ Cοφοκλεῖ τοὺϲ βαϲιλῆϲ διὰ τοῦ η γραφομένουϲ κατὰ τὴν αἰτιατικὴν οἷον «τούϲ τε διϲϲάρχαϲ ὀλέϲαϲ βαϲιλῆϲ» (Ai. 390).

Περὶ τῶν εἰϲ ηϲ ληγόντων ὀνομάτων.

13.

Anecd. Ox. IV 336, 1: τῶν εἰϲ ηϲ ληγόντων τὰ μὲν ὀξύνεται, οἷον ἀθλητήϲ, τὰ δὲ βαρύνεται, οἷον Λάχηϲ κτλ.

Περὶ βαρυτόνων.

Τὸ δὲ Ἄρηϲ καὶ ὡϲ ἰαμβικὸν μὴ ἔχον ἐπ' εὐθείαϲ τὸ τ Ἄρητοϲ ἐκλίθη, καὶ ὡϲ ϲπονδειακὸν Ἄρου, καὶ «Ἄρεοϲ ἀνδροφόνοιο» παρ' Ὁμήρῳ (Δ 441), καὶ Ἄρεωϲ ἀπὸ Ἄρευϲ, εὑρέθη δὲ παρὰ Ἀλκαίῳ.

Ὅϲα δὲ ὑπὲρ δύο ϲυλλαβάϲ ἐϲτιν εἰϲ δηϲ πατρωνυμικά, οἷον Ἀτρείδηϲ ἢ τύπου πατρωνυμικοῦ Ἡρακλείδηϲ, Ὑπερίδηϲ, καὶ τὸ Δημάδηϲ ἐκ τοῦ Δημεάδηϲ ὃν τῇ αὐτῇ ὑποπίπτει κλίϲει.

Καὶ τὰ εἰϲ νηϲ παρώνυμα, Λεπτίνηϲ, Ἀξίνηϲ, Ἀψίνηϲ ἢ τύπου παρωνύμου, Cμικρίνηϲ, Θεοκρίνηϲ.

Καὶ τὰ εἰϲ ληϲ ῥηματικά, χωρὶϲ τῶν παρὰ τὸ ὄλω οἷον πανώληϲ· φαινόληϲ, ἢ παρώνυμα γενειόληϲ καὶ ὅϲα εἰϲ τηϲ ἁπλᾶ οἰκέτηϲ, τοξότηϲ κτλ.

---

l. 9 δρομέϲιν ex Simonide affertur in libro pseudepigrapho Ἡρωδιανοῦ περὶ Ζητουμένων κτλ. Anecd. Ox. III 254, 21. l. 11 cf. Io. Al. p. 16 et 20, 15. l. 25 inserui inscriptionem propter sequentem περὶ ὀξυτόνων. l. 34 χωρὶϲ τῶν παρὰ τὸ ὄλω οἷον πανώληϲ scripsi pro ὀλολυκτόδηϲ.

Καὶ ὅϲα παρὰ ῥῆμα προϲηγορικά, ἱερονίκηϲ, Ὀλυμπιονίκηϲ· ταῦτα πάντα εἰϲ $\overline{\text{ου}}$ ἔχει τὴν γενικήν, χωρὶϲ τῶν εἰϲ ωληϲ, ἃ μετὰ τοῦ $\overline{\text{ϲ}}$ τὴν γενικὴν ποιεῖ, πανώλουϲ, ἐξώλουϲ· ἐξῶλεϲ καὶ πανῶλεϲ τὸ οὐδέτερον κτλ. ἔτι γε μὴν καὶ ὅϲα ἀμεταβόλῳ παραλήγεται ὑπὲρ δύο ϲυλλαβὰϲ εἰϲ $\overline{\text{τοϲ}}$ λήγει, Ἀφάρητοϲ, Ἐπιάλητοϲ· καὶ ταῦτα μὲν περὶ βαρυτόνων.

Περὶ ὀξυτόνων.*

Τῆϲ προειρημένηϲ τοίνυν καταλήξεωϲ οὔϲηϲ διχῶϲ εἰϲ $\overline{\text{τοϲ}}$ καὶ εἰϲ εοϲ, ἥτιϲ ϲυναιρεθεῖϲα γίγνεται εἰϲ $\overline{\text{ουϲ}}$, εἴπωμεν περὶ τῶν εἰϲ τοϲ πρότερον. ὅϲα μὲν ὀξύτονα δύο ϲυμφώνοιϲ παραλήγεται, εἰϲ $\overline{\text{τοϲ}}$ ποιεῖ τὴν γενικήν· ἀβλῆτοϲ, προβλῆτοϲ καὶ ἡμιθνῆτοϲ. ὅϲα δὲ ἑνὶ ϲυμφώνῳ, ϲαφήϲ, νωθήϲ, πρυλήϲ εἰϲ $\overline{\text{ουϲ}}$ κτλ.

14.

Priscian. VI 60 tom. I p. 244, 17 Hertz: Apud Graecos quoque inveniuntur huiuscemodi ancipitem habentia declinationem teste Herodiano: Γύγηϲ (nomen gigantis) Γύγου et Γύγητοϲ. Κόμηϲ (proprium) Κόμου καὶ Κόμητοϲ, μύκηϲ μύκου et μύκητοϲ, Μύνηϲ Μύνου et Μύνητοϲ, Ποδῆϲ Ποδοῦ et Ποδῆτοϲ, Μέγηϲ Μέγου et Μέγητοϲ, Πύδηϲ Πύδου et Πύδητοϲ.

15.

Eustath. 518, 24: Ἡρωδιανὸϲ φηϲιν ὅτι πλείοϲι κλίϲεϲιν ὁ Ἄρηϲ κέχρηται· καὶ γὰρ καὶ ὡϲ ἰαμβικὸν μὴ ἔχον ἐπ' εὐθείαϲ τὸ $\overline{\text{τ}}$ περιττοϲύλλαβον ἔχει τὴν γενικὴν Ἄρηϲ Ἄρητοϲ, ὅθεν Ἀρητιάδηϲ παρ' Ἡϲιόδῳ πατρωνυμικὸν καὶ Ἀρητίων ὑποκοριϲτικόν· κλίνεται δὲ καὶ ὡϲ ϲπονδειακὸν Ἄρηϲ Ἄρου, ὅθεν κατὰ Ἰάδα διάλεκτον ἐπεκτείναϲ Ἀρχίλοχοϲ ἔφη ἐν τριμέτροιϲ (fragm. 47 Bergk.) «παῖδ' Ἄρεω μιηφόνου». ἔϲτι, φηϲί, καὶ ἄλλη πλάγιοϲ παρ' Ὁμήρῳ (Δ 441) «Ἄρεοϲ ἀνδροφόνοιο» καθ' ὁμοιότητα τῶν ὑπὲρ δύο ϲυλλαβάϲ· ὡϲ γοῦν Ϲωκράτηϲ Ϲωκράτεοϲ ὦ Ϲώκρατεϲ, οὕτωϲ Ἄρηϲ Ἄρεοϲ Ἄρεϲ. ἔϲτι καὶ Ἄρεωϲ γενικὴ ἣν οὐ χρὴ γενέϲθαι ἀπὸ τοῦ Ἄρηϲ· ὡϲ γὰρ οὐκ ἂν Ἀττικοὶ ἐπεκτείνοντεϲ ἐροῦϲιν ἀπὸ τοῦ Ϲωκράτηϲ Ϲωκράτεωϲ διὰ τοῦ ω μεγάλου, ἀλλ' οὐδὲ Ἴωνεϲ Ϲωκράτητοϲ, οὕτωϲ οὐδὲ ἀπὸ τοῦ Ἄρηϲ Ἄρεοϲ τοιοῦτόν τι γενήϲεται. ἀλλὰ μὴν εὑρίϲκομεν καὶ Ἄρηοϲ καὶ «Ἄρηϊ κρατερῷ» (B 515) καὶ Ἄρηα. λεκτέον οὖν, ὅτι Ἀττικοὶ καὶ Ἴωνεϲ ἑτέραν κατάληξιν, φηϲίν, ὑποϲτηϲάμενοι οὕτω πεποίηνται ταύτην τὴν κλίϲιν. ἔϲτι δὴ καὶ Ἄρευϲ εὐθεῖα, ἥτιϲ παρ' Ὁμήρῳ οὐκ ἔϲτι, παρὰ δὲ Ἀλκαίῳ εὑρέθη,

---

l. 9 post εἰϲ $\overline{\text{ουϲ}}$ emisi καὶ εἰϲ $\overline{\text{ου}}$ quae pertinere videntur ad exemplum κριτήϲ κριτοῦ, sed hoc periit ut quaedam post περὶ ὀξυτόνων, ut ex προειρημένηϲ intellegitur, exciderunt supplenda ex Choer. 54, 29. l. 12 εἰϲ $\overline{\text{ουϲ}}$ addidi.
l. 14 cf. Choer. 139, 10, Lehrs ad Herod. p. 290 seqq. l. 26 Ἄρεω legit etiam Aristarchus in C 100, ubi Herodianus ἀρῆϲ, ἀπὸ τῆϲ εὐθείαϲ τῆϲ ὁ Ἄρεωϲ ὡϲ ὁ Πείρεωϲ «Πείρεω υἱόν» Didymus ad h. l. Cf. E. M. 138, 2, qui ex Schol. AD hausit. l. 36 cf. Eustath. 187, 2 τοῦ Ἄρηοϲ εὐθεῖα Ὁμήρῳ ἄρρητοϲ ὁ Ἄρευϲ

οὐ καὶ χρῆςιν προαγαγὼν λέγει καὶ ὅτι βεβαρυτόνηται μόνον ἐκ πάντων τῶν εἰς ευς ὡς Αἰολικόν· Αἰολέων γὰρ ἴδιον τὸ βαρυτονεῖν. καὶ ταῦτα μὲν τὰ τοῦ Ἡρωδιανοῦ.

An. Ox. III 237, 1: Ζητοῦμεν καὶ τὴν τοῦ Ἄρης Ἄρεος γενικήν, πῶς εὕρηται διὰ διφθόγγου· λέγομεν Ἄρευος Ἄρευι «μίξαν δ' ἀλλάλαις Ἄρευα», ἡ κλητικὴ «Ἄρευ δαΐφοβος δαΐκτηρ»· καὶ ἠπορήκαςι περὶ τῆς κλίςεως, πόθεν ἄρα ἡ δίφθογγος; τὰ γὰρ εἰς ευς παρ' αὐτοῖς τοῖς Ἴωςι διὰ τοῦ ῆ. καὶ τοιαύτην λύςιν ἐπινοοῦμεν· τὸ ἀκόλουθον Ἄρηος· ἔθος Αἰολεῦςι τὸ ῡ πλεονάζειν φωνήεντος ἐπιφερομένου ἢ ρ̄ ναός ναυός, ἀώς αὐώς, ἑάλωκεν εὐάλωκεν, ἄρρηκτον αὔρηκτον, ἐρράγη εὐράγη· ἔδωκαν οὖν καὶ ἐπὶ τοῦ Ἄρης τὸν πλεοναςμὸν τοῦ ῡ· εἶτα ἐγένετο Ἄρηυος ἡ γενική· καὶ ηὑρίςκετο ἡ ηῡ δίφθογγος· αὕτη δέ ἐςτι κακόφωνος καὶ ἐν κλίςει ῥημάτων θέλει ὁρᾶςθαι, ηὔλει καὶ ηὔχει καὶ ηὗδα, καὶ περὶ τὴν ἀρχὴν θέλει ἀναςτρέφεςθαι. ὥςπερ [γὰρ] τὸ γραῦς τροπὴν παθὸν τοῦ ᾱ εἰς η̄ γέγονε γρηῦς, ἵνα δὲ μὴ γένηται ἀκατάλληλος, τροπῆς γενομένης διῃρέθη καὶ γρηῦς ἐγένετο. ὅτι γὰρ ἐπὶ ῥημάτων, οὐκ ἔτι δὲ καὶ ἐφ' ἑτέρας λέξεως (sc. τὸ ηῡ θέλει ὁρᾶςθαι), καὶ ἐξ ἐκείνων καταλαμβάνω ὅτι ἐςτὶν ηὖτε, ἀλλ' ἵνα μὴ γένηται ἡ κακοφωνία τῆς διφθόγγου, ἡ διαίρεςις ἠῦτε γίνεται ἡ τροπὴ εὖτε. ὁμοίως οὖν καὶ ἐπὶ τοῦ Ἄρευος· ὁ πλεοναςμὸς γὰρ ἐποίηςε τὴν δίφθογγον· ἐνταῦθα οὖν τροπή, ἵνα ἀποςτῇ ἡ κακοφωνία τῆς διφθόγγου.

16.

Il. Pr. I 529: Κουρῆτες: οὕτως ἀνεγνώςθη ὡς ἀβλῆτες πρὸς διαςτολὴν τοῦ «κούρητες Ἀχαιῶν» (Il. T 248). οὐκ ἐχρῆν δέ, καθότι οὐ φιλεῖ τὰ εἰς ης λήγοντα ἐθνικὰ ὑπὲρ μίαν ςυλλαβὴν ὀξύνεςθαι. ἐλέγχεται δὲ καὶ ἡ κλίςις τοῦ κουρῆτες ἐν τῇ κλίςει τῶν ὀνομάτων.

Περὶ τῶν εἰς ις.

17.

An. Ox. IV 336, 29: τὰ εἰς ις βαρύτονα ὑπὲρ μίαν ςυλλαβὴν ςυνεςταλμένον ἔχει τὸ ῐ καὶ διὰ τοῦ δ̄ ἢ διὰ καθαροῦ τοῦ ος κλίνεται μόνον. τὸ δὲ τίς διὰ τοῦ ν̄ ἐκλίθη καὶ ὡς μονοςύλλαβον ὀξύνεται ἀεὶ καὶ

Αἰολική, ὡς καὶ Ἡρωδιανῷ δοκεῖ. cf. Choer. 145, 13. — Quaestionem de genetivo Ἄρευος eiusque solutionem ab Herodiano profectas arbitror, quippe cuius sit πάντων λύςεις ἐπινοεῖν καὶ διδόναι; etiam sermo Herodianeus est, licet ab epitomatore valdo corruptus, quem quantum potui restituere conatus sum. l. 6 in cod. δι' ὁ φόβος διακτήρ, secutus sum Bergkium Alcaei fr. 28 ut in praecedente fragmento, quod eidem tribuit 31, in cod. est ἀλλήλοις. l. 14 in cod. ἀνατρέφεςθαι, quod Cram. in ἀνατρέπεςθαι, ipse in ἀναςτρέφεςθαι mutavi, l. 16 τροπῆς γενομένης posui pro τροπικῶς, l. 17 ἑτέρας scripsi pro ἑκατέρας. l. 18 καταλαμβάνω ὅτι posui pro καταλαμβάνονται et inserui ἡ κακοφωνία τῆς διφθόγγου, l. 19 bis ἡ scripsi pro ἢ. de ἠῦτε cf. Il. Pr. O 365. l. 23 cf. Eustath. 1179, 21 ad Il. T 193: ὅτι ἐνταῦθα λέγει τοὺς νέους, ὅπερ Ἡρωδιανὸς ἀναγινώςκει ἐν τόνῳ ὡς πένητας, κλίνων ὡς ἰαμβικὸν ἀπὸ τοῦ κόρος ὁ νέος κόρης κόρητος· τὸ μέντοι ἔθνος Κουρῆτας ὡς ἀδμῆτας.

ἐν τῇ ϲυμφράϲει· τὸ λίϲ παρ' Ὁμήρῳ «ὥϲτε — λὶϲ ἠϋγένειοϲ» (Ο 275).

Καὶ ὅϲα μὲν κύρια εἰϲ ῑϲ Πάριϲ, Κίκιϲ καὶ ὅϲα μακρᾷ παραληγόμενα προϲηγορικά, εὖνιϲ, νῆιϲ, ἄναλκιϲ διὰ τοῦ δ κλίνεται. τὸ εὖνιϲ εὑρέθη καὶ ἄνευ τοῦ δ εὔνιοϲ εὔνιν κτλ.

Περὶ τῶν εἰϲ υϲ.

18.

Anecd. Ox. IV 337, 12: τὰ εἰϲ ῡϲ ὀξύνεται καὶ βαρύνεται καὶ περιϲπᾶται καὶ τὸ ῡ φυλάϲϲει κτλ.. ϲημείωϲαι δὲ ὅτι γλυκέωϲ καὶ ἡδέωϲ οὐ λέγομεν ἵνα μὴ ϲυνεμπέϲῃ τῷ ἐπιρρήματι· ὅϲα δὲ ϲύνθετα παρ' ὄνομα ὡϲ τὰ ἁπλᾶ κλίνεται, ἄδριμυϲ ἀδρίμεοϲ· δριμύϲ γὰρ κτλ.

19.

Choer. 233, 21: λέγει ὁ Ἡρωδιανόϲ, ὅτι πήχυοϲ καὶ πελέκυοϲ κατὰ ἀκολουθίαν ὥϲπερ βότρυϲ βότρυοϲ, καὶ ἐπειδὴ τὰ μεταβάλλοντα τὸ ō Ἀττικῶϲ εἰϲ ω, δηλονότι κατὰ τὴν γενικήν, ἠναγκάϲθη καὶ τὸ παραλῆγον φωνῆεν εἰϲ ε̄ μεταβάλλειν, ὁ δὲ λόγοϲ ἐπὶ τῶν καθαρευόντων οἷον μάντιοϲ μάντεωϲ, ὄφιοϲ ὄφεωϲ, λαόϲ λεώϲ, Μενέλαοϲ Μενέλεωϲ, εἰκότωϲ καὶ τὸ πήχυοϲ καὶ πελέκυοϲ ἐκτείναντα τὸ ō εἰϲ ω̄ Ἀττικῶϲ, δηλονότι κατὰ τὴν γενικήν, ἠναγκάϲθη καὶ τὸ παραλῆγον φωνῆεν τρέψαι εἰϲ τὸ ε̄ καὶ γενέϲθαι πήχεωϲ καὶ πελέκεωϲ διὰ τοῦ ε̄ καὶ ω.

20.

Choer. 223, 30: ἄξιόν ἐϲτι ζητῆϲαι διὰ τί τὰ εἰϲ ῡϲ καὶ τὰ εἰϲ ευϲ κατὰ τὴν γενικὴν μὴ ἐγένετο κατὰ κρᾶϲιν τοῦ ε̄ καὶ ō εἰϲ τὴν ου δίφθογγον οἷον ταχέοϲ ταχοῦϲ, Πηλέοϲ Πηλοῦϲ, ὥϲπερ Δημοϲθένεοϲ Δημοϲθένουϲ. — καὶ λέγει ὁ Ἡρωδιανὸϲ ταύτην τὴν ἀπολογίαν· ὅτι ἐπὶ τῶν εἰϲ ηϲ γίνεται κρᾶϲιϲ ἐν τῇ γενικῇ, ἐπειδὴ τὰ εἰϲ ηϲ λήγοντα πέφυκε καὶ περιττοϲυλλάβωϲ κλίνεϲθαι καὶ ἰϲοϲυλλάβωϲ οἷον λέβηϲ λέβητοϲ, Λάχηϲ Λάχητοϲ, Χρύϲηϲ Χρύϲου, Ὀρέϲτηϲ Ὀρέϲτου· ἔχει οὖν τι μιμήϲαϲθαι τὰ εἰϲ ηϲ ϲυναιρούμενα, ϲυναιρούμενα γὰρ μιμεῖται τὴν ἰϲοϲύλλαβον κλίϲιν, Δημοϲθένηϲ γὰρ Δημοϲθένουϲ ἰϲοϲυλλάβωϲ ὥϲπερ καὶ Ὀρέϲτηϲ Ὀρέϲτου· τὰ δὲ εἰϲ ῡϲ λήγοντα καὶ τὰ εἰϲ ευϲ, ἐπειδὴ ἀεὶ πέφυκε περιττοϲυλλάβωϲ κλίνεϲθαι οἷον ταχύϲ ταχέοϲ, ὀξύϲ ὀξέοϲ, Πηλεύϲ Πηλέοϲ, Ἀτρεύϲ Ἀτρέοϲ εἰκότωϲ οὐ ϲυναιρεῖται ἐν τῇ γενικῇ· ϲυναιρούμενα γὰρ οὐκ ἔχει τι μιμήϲαϲθαι, οὐδὲ γὰρ κλίνεται ἰϲοϲυλλάβωϲ, ἵνα ϲυναιρούμενα μιμήϲηται τὴν ἰϲοϲύλλαβον κλίϲιν. ταῦτα εἶπεν ὁ Ἡρωδιανόϲ.

21.

Choer. 114, 28: τὰ εἰϲ ῡϲ ἔχοντα τὸ ῡ ἐκτεταμένον οὐ φυλάττει τὸ ῡ ἐκτεταμένον, ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, ἀλλὰ ϲυϲτέλλει

l. 13 transiit in Zonarae lex. 1556 et ap. Lascar. reperitur.

αὐτό, οἷον ἰχθῦϲ ἰχθύοϲ ἰχθύϲι «ἰχθύϲι τοῖϲ ὀλίγοιϲι» (μ 252) καὶ πάλιν δρῦϲ δρυόϲ δρυϲί «παρὰ δρυϲὶ καὶ παρὰ πεύκαιϲ». καὶ λέγει ὁ Ἡρωδιανὸϲ χωρὶϲ τοῦ μῦϲ μυόϲ μυϲί· τοῦτο γὰρ φυλάττει τὸ υ, φηϲίν, ἐκτεταμένον ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν.

Περὶ τῶν εἰϲ ωϲ.

Περὶ τῶν εἰϲ δύο ϲύμφωνα.

Περὶ τῶν εἰϲ ᾱν καὶ εἰϲ ην.

22.

Anecd. Ox. IV 337, 17: τὰ εἰϲ ᾱν ἁπλᾶ μὲν ὄντα ὀξύνεται, Ἀλκμάν, παιάν, Πάν, ὅτε τὸν θεὸν κατὰ τοὺϲ ποιητάϲ· ϲύνθετα δὲ βαρύνεται, Εὐπαίαν, Τιτανόπαν· καὶ προϲθέϲει τοῦ οϲ κλίνεται.

*23.

Anecd. Ox. III 237, 23: Ἰϲτέον ὅτι τοῦ Ζήν Ζηνόϲ ἐφύλαξαν οἱ παλαιοὶ Ἴωνεϲ τὴν κλίϲιν οἷον

ἐπεὶ δ' ἴϲχε Ζηνὸϲ ὑψερέφηϲ δόμοιϲ Ζάρηϲ·

μεταγενέϲτεροι Αἰολεῖϲ ἔτρεψαν Ζανόϲ καὶ Ζάν· καὶ ἔτι μεταγενέϲτεροι οἱ Ἴωνεϲ διὰ τοῦ ᾱ Ζάν ὁμοίωϲ τῷ Λυκᾶνι

κλῦθί μοι Ζανόϲ τε κούρη Ζανί τ' ἐλευθερίῳ.

πάλιν ἄπορον πῶϲ παρ' Ἴωϲι τὸ η̄ εἰϲ ᾱ τέτραπται· τὸ ἐναντίον τὸ ᾱ εἰϲ η̄ τρέπουϲι, τὸ γὰρ Ζανόϲ Ζηνόϲ εἰρήκαϲι· λέγω δὴ ὅτι οὐκ ἔτρεψαν, ἀλλ' ἐμιμήϲαντο μεταγενεϲτέρουϲ Αἰολεῖϲ.

Περὶ τῶν εἰϲ ῑν καὶ εἰϲ ῡν.

Περὶ τῶν εἰϲ ων̄.

24.

Mon. 10, 22: δῆλον ὅτι κατὰ ταῦτα πάντα μονήρέϲ ἐϲτι τὸ ὄνομα (sc. Ποϲειδῶν) οὔτε τοῖϲ ὀξυνομένοιϲ τὴν αὐτὴν ἀκολουθίαν ϲῷζον οὔτε τοῖϲ περιϲπωμένοιϲ· τὴν δὲ τούτων κλίϲιν ἐν τῇ κλίϲει τῶν ὀνομάτων δηλοῦμεν.

---

l. 4 tum pergit Choerob. λαμβάνεται δὲ αὐτοῦ Ὧροϲ λέγων μηδαμῶϲ εὑρίϲκεϲθαι ἐκτεταμένον. εὑρίϲκομεν δὲ αὐτὸ ἔχον τὸ ῡ ἐκτεταμένον καὶ ϲυνεϲταλμένον ἐν τῇ Βατραχομυομαχίᾳ. Lobeckius El. II 118 magnopere «veretur, ne canonista hic turbas dederit. Herodianum scimus aliquando de nomine λίϲ eiusque mensura duplici disputasse appositis Antimachi verbis λῖεϲ μέν ῥα λίεϲϲι Choer. 181, 22 cf. Meinek. Anall. 63 atque huic Schol. Il. Λ 480 adiecit ὡϲ μύεϲϲι, id autem Choeroboscum decepit, μυϲί ex μύεϲϲι contractum natura ῡ longum habere. Sed huius prosodiae exemplum in hoc et similibus δρυϲί, ϲυϲί etc. nullum exstat; in Batrachom. v. 173. 174 μυϲί bibrove est». l. 13 hic locus neque in grammatica parte neque in versibus poetarum satis adhuc explicatus est; operam ei dederunt Ahrens de dial. Aeol. p. 87 et 163 et Bergk Poet. lyr. frg. adesp. 77 et 81. 82. — l. 17 addidi ᾱ post διὰ τοῦ; ὁμοίωϲ inseruit Ahrens; accentum in Λύκανι mutavi; versum κλῦθί μοι ex emendatione Ahrensii exhibui, in codice est κλῦθι μοι Ζανόϲ τε κουρηξαν τε λευθεριω. — l. 19 Ahrens τὸ η̄ εἰϲ ᾱ emendavit pro τὸ ᾱ εἰϲ η̄; γάρ, quod in cod. est inter τὸ et ἐναντίον, inter τὸ Ζανόϲ inserui.

25.

Eustath. 346, 15: Ἡρωδιανὸϲ τοῖϲ εἰϲ ων περιϲπωμένοιϲ οἷον Δημοφῶντι καὶ Ξενοφῶντι καὶ τοῖϲ ὁμοίοιϲ ϲυντεταχὼϲ καὶ τὸν Τυφῶνα καὶ ταῶνα λέγει, ὡϲ μόνον τὸ Τυφῶν καὶ ταῶν οὐκ ἐκλίθη διὰ τοῦ ν̄τ, ἐπεὶ καὶ ἑτέραν ἔϲχε παράληξιν· Τυφῶϲ γὰρ καὶ ταῶϲ διὰ τοῦ ϲ̄.

26.

Eustath. 1615, 22: λέγει Ἡρωδιανὸϲ ὅτι διὰ τοῦ ω̄ κλίνονται Λάκωνεϲ Κίκωνεϲ· τὸ μέντοι «Κικόνεϲϲι πέλαϲϲεν» (ι 39) διὰ μέτρον φηϲὶν οὕτωϲ κλιθῆναι.

27.

Eustath. 1741, 26: Ἡρωδιανὸϲ λέγει ὅτι τὸ Ϲιδῶνοϲ γραφόμενον ὡϲ Ἀντρῶνοϲ Πλευρῶνοϲ μετέπεϲε παρ' Ὁμήρῳ ϲυνεπενεχθὲν τοῖϲ εἰϲ δ̄ω̄ν̄ λήγουϲι ῥηματικοῖϲ ἤγουν τῷ ἀλγηδόνοϲ, ἀηδόνοϲ.

*28.

E. M. 549, 44, Anecd. Par. III 304, 33: δύο κανόνεϲ εἰϲὶ οἱ μαχόμενοι ἀλλήλοιϲ. ὁ μὲν εἷϲ λέγει, ὅτι τὰ εἰϲ ων βαρύτονα καθαρὰ διχρόνῳ παραληγόμενα ϲυνεϲταλμένῳ φυλάττει τὸ ω ἐπὶ τῆϲ γενικῆϲ, Ἀμφιτρύων Ἀμφιτρύωνοϲ. ὁ δὲ ἕτεροϲ λέγει· τὰ δὲ κοινὰ τῷ γένει διὰ τοῦ ο̄ κλίνεται. ἀπαιτοῦντοϲ οὖν τοῦ μὲν τὸ ω, τοῦ δὲ τὸ ο̄, ϲυνεκόπη τὸ ἀμφίβολον καὶ ἐγένετο κυνόϲ. ἡ μέντοι κλητικὴ εὕρηται διὰ τοῦ ο̄ μικροῦ, ὡϲ ἀπὸ τῆϲ κύονοϲ γενικῆϲ «ἐξ αὖ νῦν ἔφυγεϲ θάνατον, κύον» (Λ 362).

Περὶ τῶν εἰϲ ξ̄.

29.

Eustath. 1922, 8: ὥϲπερ ϲπάνια τὰ εἰϲ εξ, κρέξ, ἐπιτέξ, Λέλεξ τὸ διὰ τοῦ γ̄ κλιθέν, οὕτω καὶ τὰ εἰϲ ωξ, πτώξ, βῶξ, ῥώξ, ὃ καὶ αὐτὸ διὰ τοῦ γ̄ κλίνεται· τούτων δὲ ϲύνθετα πολυπτώξ καὶ ἀπορρώξ. εἰϲὶ δὲ τοιαῦτα καθ' Ἡρωδιανὸν καὶ ἀπὸ τοῦ τρώγω γραμματοτρώξ, κυαμοτρώξ. οὕτω καὶ ϲπανίζεται τὰ εἰϲ οξ διὰ τοῦ ο̄ μικροῦ φλόξ διὰ τοῦ γ̄ καὶ πρόξ καὶ Καππάδοξ, ὧν κλίϲιϲ διὰ τοῦ κ̄· ὁ δὲ ταῦτα παραδιδοὺϲ καὶ τὰ εἰϲ αιξ εἰϲ δύο μόνα περιγράφει· αἴξ γὰρ αἰγόϲ καὶ Θρᾷξ Θρᾳκόϲ. ὑποτέτακται γάρ, φηϲί, τὸ ι̅ τῷ α̅, εἰ μὴ ϲυνεκφωνεῖται ὡϲ δῆλον ἐκ τοῦ Θρήϊκαϲ καὶ Θρηΐκιον καὶ τῶν ὁμοίων. τὸ μέντοι γύναιξ πλαγίαν μὲν ἔχει, εὐθεῖαν δὲ οὔ· ᾗ ϲυνεπιλείπει καὶ ἡ ἐντελὴϲ κλητική. τὸ γὰρ γύναι, καθὰ καὶ τὸ Ζεῦ ἄνα λείπεται διπλοῦ τοῦ κατ' ἀναλογίαν.

30.

Choer. 310, 7, Gaisf. Bekk. Anecd. 1422: τέττιξ: τὰ εἰϲ ιξ ἀρϲενικὰ ἁπλᾶ ὑπὲρ μίαν ϲυλλαβὴν διὰ τοῦ κ̄ κλίνεται οἷον πέρδιξ πέρ-

l. 33 de γύναιξ cf. Eustath. 113, 24: οὐδὲ ἡ γυναικόϲ γενικὴ εὐθεῖαν ἐκφωνουμένην ἔχει τὴν γύναιξ, ἀλλὰ καθ' Ἡρωδιανὸν εἰπεῖν ἑτερόζυγοϲ ἡ γυναικόϲ γενικὴ ἐξενήνεκται ὡϲ πρὸϲ τὴν εὐθεῖαν· γυνὴ γάρ. Choer. 306, 32, Lob. El. II

δικος, φοῖνιξ φοίνικος, Κίλιξ Κίλικος πλὴν τοῦ τέττιξ τέττιγος· τοῦτο γὰρ διὰ τοῦ γ̄ κλίνεται· καὶ λέγει ὁ Ἡρωδιανός, ὅτι τὸ κεχρεωστημένον ἀνεπλήρωσαν οἱ Δωριεῖς καὶ οἱ Ἀθηναῖοι διὰ τοῦ κ̄ κλίνοντες αὐτὸ οἷον τέττικος.

*31.

Anecd. Ox. IV 337, 20: τὰ εἰς υ̅ξ̅ μονοσύλλαβα μὲν ὄντα ὀξύνεται, Στύξ, τρύξ, νύξ. ὑπὲρ μίαν δὲ συλλαβὴν βαρύνεται, ἄντυξ, πομφόλυξ. τὸ πτερύξ ὑπὸ Ἀριστάρχου σεσημείωται ὀξυνθὲν ὡς περιεκτικόν. κλίνεται δὲ τὰ μὲν μονοσύλλαβα διὰ τοῦ γ̄ ἢ διὰ τοῦ χ· τρυγός.

32.

Dichr. 286, 5: τὰ μέντοι εἰς υ̅ξ̅ ὑπὲρ δύο συλλαβὰς ἤτοι σύνθετα ἢ καὶ ἁπλᾶ πρόδηλον ἔχει τὸν χρόνον, ὡς ἐν τῇ κλίσει παραδέδοται.

Περὶ τῶν εἰς ρ̄.

33.

Choer. 347, 17: εἰς ω̅ρ̅ διὰ τοῦ ω οὐκ ἔχομεν θηλυκόν· βούλονται δέ τινες ἀναπλάττειν ἀπὸ τοῦ (Ε 486) «ἀμυνέμεναι ὤρεσσιν» ἀντὶ τοῦ ταῖς γυναιξίν εὐθεῖαν τῶν ἑνικῶν ὤρ ἀπὸ τοῦ ὄαρ γενομένην κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ᾱ εἰς ω ὥσπερ κρείττονα κρείττω, ὧν ἐστι καὶ Ἡρωδιανὸς ἑαυτῷ ἐναντιούμενος. αὐτὸς γὰρ λέγει ἐν ἄλλῳ τόπῳ, ὅτι ὥσπερ τὰ εἰς η̅ρ̅ μονοσύλλαβα, μόνου μὲν ἀρσενικοῦ γένους ὄντα, φυλάττει τὸ η̄ ἐν τῇ γενικῇ οἷον θήρ θηρός, φήρ φηρός «φηρσὶν ὀρεσκῴεσσιν» (Α 268) ἀντὶ τοῦ κενταύροις, θηλυκοῦ δὲ γένους ὄντα καὶ φυλάττει τὸ η̄ καὶ συστέλλει οἷον κήρ κηρός καὶ καρός «κῆρα δ' ἐγὼ τότε δέξομαι» (Σ 115) καὶ «τίω δέ μιν ἐν καρὸς αἴσῃ» (Ι 378), οὕτως οὖν καὶ τὰ εἰς ω̅ρ̅ μονοσύλλαβα φυλάττει τὸ ω̄ ἐν τῇ γενικῇ οἷον φώρ φωρός.

Περὶ τῶν εἰς ψ.

Περὶ θηλυκῶν.

Περὶ τῶν εἰς ω̄ θηλυκῶν.

34.

Choer. 332, 25: λέγει ὁ Ἡρωδιανὸς ὅτι οὐδέποτε εὑρίσκομεν ἐν χρήσει ταύτην τὴν δοτικὴν διάστασιν ἔχουσαν τοῦ ο̄ καὶ ῑ. οὐδὲ γὰρ εὑρίσκεται ἐν χρήσει ἡ τρισύλλαβος δοτικὴ ἐπὶ τούτων, ἀλλ' ἡ δισύλλαβος οἷον ἡ Λητοῖ καὶ Σαπφοῖ.

---

285 cum not. l. 4 addit Choerob.: ταῦτα δέ ἐστι τῆς δόξης, ὅτι παρὰ τῷ Θεοκρίτῳ καὶ παρὰ Ἀριστοφάνει διὰ τοῦ κ̄ κλίνεται· ἡ δὲ παράδοσις τῶν ἀντιγράφων οὐκ ἔχει οὕτως, ἀλλὰ διὰ τοῦ γ̄. — cf. de τέττιξ Dichr. 285, 9, An. Ox. II 417, 24 τὰ εἰς ξ λήγοντα ὀνόματα ἔχοντα ῥῆμα ἀντιπαρακείμενον εἰς ζω διὰ τοῦ γ̄ κλίνεται, ἅρπαξ ἁρπάζω ἅρπαγος, τέττιξ τεττίζω τέττιγος. l. 8 de πτερύξ cf. Eustath. 230, 40, ubi Herodianus pro teste citatur. In fine pro τρυχός scripsi τρυγός. canon mancus est, intercidit totus in An. Ox. III p. 243, ubi de nominibus in ξ monosyllabis alioquin accurate agitur. l. 15 cf. Cathol. p. 49, 1 sqq. et περὶ παθῶν.

35.

Choer. 333, 21: λέγει ὁ Ἡρωδιανὸς ὅτι ἔστι τὴν Cαπφών καὶ τὴν Λητών ἡ αἰτιατικὴ καὶ κατὰ τροπὴν Ἰωνικὴν τοῦ ω̄ εἰς οι̅ δίφθογγον γίνεται τὴν Cαπφοῖν καὶ τὴν Λητοῖν.

36.

Choer. 335, 20: ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα ἡ κλητικὴ οὐδέποτε πλείονα φωνήεντα ἔχει τῆς ἰδίας εὐθείας οἷον μοῦσα ὦ μοῦσα, τιμή ὦ τιμή, βῆμα ὦ βῆμα, ἄστυ ὦ ἄστυ, βοῦς ὦ βοῦ, διὰ ποίαν αἰτίαν ἐπὶ τῶν εἰς ω̄ θηλυκῶν ἡ κλητικὴ πλείονα φωνήεντα ἔχει τῆς ἰδίας εὐθείας, οἷον Καλυψώ ὦ Καλυψοῖ, Λητώ ὦ Λητοῖ. καὶ λέγει ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν, ὅτι τὰ ἀρχαῖα τῶν ἀντιγράφων ἐν ταῖς εἰς ω̄ ληγούσαις εὐθείαις εἶχε τὸ ῑ προσγεγραμμένον οἷον ἡ Λητώι, ἡ Cαπφώι σὺν τῷ ῑ· συσταλὲν (sic) οὖν τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ κλητικῇ ἐξεφωνήθη τὸ ῑ· τούτου χάριν ἡ κλητικὴ ἔδοξε πλείονα φωνήεντα ἔχειν τῆς ἰδίας εὐθείας.

Περὶ τῶν εἰς ρ̄ θηλυκῶν.

37.

Eustath. 110, 36: μονῆρες ἐν θηλυκοῖς ἡ χείρ, ἣ κλίνεται διχῶς ποτὲ μὲν διὰ τοῦ ε̄, ὅθεν καὶ τὰ χέρνιβα, ποτὲ διὰ τῆς ει διφθόγγου, ποτὲ δὲ κατὰ Ἡρωδιανὸν καὶ μετατεθείσης αὐτῆς εἰς η̄, ὡς μαρτυρεῖ, φησίν, Ἀλκμὰν ἐν τῷ «ἐπ' ἀριστερὰ χηρὸς ἔχων».

Περὶ τῶν εἰς α̅ς̅ θηλυκῶν.

38.

Eustath. 1571, 30: Ἡρωδιανὸς παραδοὺς τὰ εἰς α̅ς̅ ὀξύτονα διὰ τοῦ δ̄ κλίνεσθαι οἷον στιβάδος, ἰσχάδος, πελιάδος ἓν μόνον ἐκ τούτων εἰς α̅ι̅ς̅ φησὶ λήγειν τὸ δάς.

Περὶ τῶν εἰς α̅υ̅ς̅.

*39.

Anecd. Ox. IV 337, 25: δύο εἰς α̅υ̅ς̅, ναῦς, γραῦς. κέκλιται δὲ διὰ καθαροῦ τοῦ ᾱ ναός, γραός· τὸ νεώς Ἀττικῶς. τὸ νηῦς ἢ γρηῦς διῃρημένον κατὰ τοὺς Ἴωνας οὐκ ἐκλίθη· τὴν δὲ αἰτιατικὴν καὶ κλητικὴν ἔχει

Θριαὶ τὴν γρηῦν ἐπιπνείουσι κορώνην

καὶ «δεῦρο δὴ ὄρσεο (sic) γρηῦ» (Od. χ 395).

---

l. 14 quod contra hanc explicationem dicit Choeroboscus: οὗτος ὁ λόγος οὐκ ἔστιν ἀναγκαστικός· ἐὰν γὰρ δῶμεν τὰ εἰς ω̄ θηλυκὰ ἔχειν τὸ ῑ προσγεγραμμένον κατὰ τὴν εὐθεῖαν, εὑρεθήσεται τὸ ῑ τελικὸν τῶν θηλυκῶν καὶ οὐ τὸ ω, ὅπερ ἐστὶν ἄτοπον· τὸ γὰρ ῑ οὐκ ἔστι τελικὸν τῶν θηλυκῶν, ἀλλὰ τῶν οὐδετέρων οἷον τὸ μέλι, τὸ σίνηπι, Lobeck. Rhem. p. 327 non aptum ad refellendum Herodianum esse pertendit, quum hanc regulam Herodiano ignotam fuisse minime credibile sit, sed fortasse nomina ista iota ineffabile habere putaverit idque perinde esse ac si non haberent. l. 25 λήγειν scripsi pro λέγειν.

Περὶ τῶν εἰς ις θηλυκῶν.

40.

Eustath. 1618, 29, Favorin. E. M. 445, 24: ὥσπερ χάρις χάριδος καὶ Δωρικῶς χάριτος, κατὰ δὲ τὴν παρὰ Ἡρωδιανῷ Ἀλκμανικὴν χρῆσιν καὶ Ἀρτέμιδος Ἀρτέμιτος οἷον «Ἀρτέμιτος θεράποντα», οὕτω καὶ θέμις θέμιτος καὶ πλεονασμῷ τοῦ σ̄ θέμιστος οἷον «Θέμιστι δὲ καλλιπαρήῳ» (Ο 87) καὶ ἐξ αὐτοῦ ἀθέμιστος.

41.

Eustath. 1716, 48: ἰστέον ὅτι οὐ κλίνεται ὡς Θέτις Θέτιδος, Ἶσις Ἴσιδος, οὕτω καὶ Χάρυβδις Χαρύβδιδος, ἵνα μὴ ἐπάλληλον δὶς γένηται τὸ δ̄ καθ' Ἡρωδιανόν. τούτῳ δὲ τῷ λόγῳ καὶ τὸ ἐκ τοῦ δείδω δέδοιδα δέδοικα γέγονε· πολλαὶ δέ τινες καὶ ἄλλαι ἐπαλληλίαι μισοῦνται.

42.

Choer. Orthogr. 227, 27: κίσηρις: ἡ πρώτη ῑ, ἡ δευτέρα η̄ καὶ ἡ τρίτη ῑ· ἡ γενικὴ κισήριδος κισήρεος. ἀμφότερα οὕτως ἡ παράδοσις. Ἡρωδιανὸς δὲ διὰ τοῦ ω̄· εἶπεν γάρ, ὅτι ἐπὶ γενικῆς κισήρεως.

43.

Choer. Dict. 103, 27: μῆνις μήνιδος εἰς ν ἔχει τὴν αἰτιατικὴν οἷον «μῆνιν ἄειδε», «μῆνιν Ἀπόλλωνος» καὶ οὐδέποτε εἰς ᾱ κατὰ χρῆσιν, ὥς φησιν Ἡρωδιανός.

Περὶ οὐδετέρων.

*44.

Anecd. Ox. IV 337, 32: τελικὰ οὐδετέρων ὀνομάτων ἕξ, α, ῑ, ν, ρ, σ̄, ῡ. τὸ δῶ καὶ κάρη ἐξ ἀποκοπῆς ἐστι «ποτὶ χαλκοβατὲς δῶ» (Α 426) καὶ «πολιόν τε κάρη» (Χ 74) ἀντὶ τοῦ κάρηνον. διὸ καὶ ἐπὶ πληθυντικῶν εὑρίσκεται «ναίει χρύσεα δῶ» (Hesiod. Theog. 933) ἀντὶ τοῦ δώματα, «κάρη κομόωντες Ἀχαιοί» ἀντὶ τοῦ κάρηνα. τὸ δὲ θηλυκῶς εἰρημένον ὀξύνεται.

Τὸ γάλα γάλακτος γάλακτι παρὰ Καλλιμάχῳ ὡς ἀπὸ εἰς ξ̄ ληγούσης εὐθείας. τὰ τῶν στοιχείων ὀνόματα ἄκλιτα. ἓν μόνον ἀπαρασχημάτιστον τὸ μέλι, κέκλιται δὲ εἰς το̄ς̄ μέλιτος. τὸ δὲ τρόφι κατὰ ἀποκοπήν, τὸ κρῖ καὶ ἄλφι ἐκ πάθους. τὸ σίνηπι καὶ πέπερι οὐχ Ἑλληνικά, κλίνουσι δὲ αὐτὰ χωρὶς συμφώνου σινήπεως, πεπέρεως. τὸ δὲ πεπέριδος Εὔβουλος εἶπε.

---

l. 15 verba ἡ γενικὴ κισήριδος κισήρεος, quae sensus desiderat, ex Choer. Dict. 355, 26 hic inserui; pro ἐπινικῆς l. 16 scripsi ἐπὶ γενικῆς addito κισήρεως. l. 18 cf. p. 356, 35 λέγει ὁ Ἡρωδιανὸς μὴ εἶναι χρῆσιν τοῦ μήνιδα. l. 32 Priscianus I 205, 7 Hertz: Herodianus gummi quoque et peperi barbara dicit esse, sed nostri piper piperis dixerunt.

Περὶ τῶν εἰϲ α οὐδετέρων.

45.

Eustath. 1627, 35: τὸ γάλακτοϲ πλεοναϲμὸν ἔχει τοῦ κ̄· οὐ γὰρ ἔϲτιν εὐθεῖαν εἰπεῖν αὐτοῦ τὸ γάλαξ· ἐπεὶ μηδέ ἐϲτι τὸ ξ̄ τελικὸν οὐδετέρων ὀνομάτων, εἰ καὶ ἔμφαϲιν εὐθείαϲ τοιαύτηϲ ὁ κατ' οὐρανὸν γαλαξίαϲ κύκλοϲ δίδωϲι καὶ τὸ εὑρίϲκεϲθαι δοτικὴν πληθυντικὴν τοῖϲ γάλαξιν· ἐφ' οἷϲ δῆλον ὅτι τοῦ κτ κειμένων ἐν τῷ γάλακτι ἡ δοτικὴ τῶν πληθυντικῶν τρέψαϲα μὲν ϲυνήθωϲ τὸ τ̄ εἰϲ ϲ̄, κεράϲαϲα δὲ τὸ κϲ εἰϲ ξ̄ πεποίηκε τὸ γάλαξιν. ἐξ οὗ καὶ ὁ γαλαξίαϲ γενέϲθαι δοκεῖ. τέωϲ γε μὴν οἱ τὸ γάλαξ λέγοντεϲ διὰ τοῦ κ̄ κλίνοντεϲ αὐτὸ πλεονάζειν δοκοῦϲι τὸ τ̄. ὡϲ γὰρ ἄναξ ἄνακοϲ, ὅθεν καὶ Διόϲκουροι ἀνακοὶ καὶ ἀνακῶϲ ἐπίρρημα ὅ ἐϲτιν ἐπιμελῶϲ, καὶ πλεοναϲμῷ τοῦ τ̄ ἄνακτοϲ, οὕτω καὶ γάλαξ μονήρηϲ εὐθεῖα γάλακοϲ γάλακτοϲ. οὗ χρῆϲιϲ καὶ ἐν τῷ «γάλακτι δ' ἴκελον ἄνθοϲ». οἱ δὲ τοιοῦτοι φαίνονται λέγειν ὥϲπερ τὴν μὲν γύναιξ εὐθεῖαν ϲεϲιγημένην εἶναι, κεῖϲθαι δὲ τὰϲ πλαγίαϲ πτώϲειϲ ἐν χρήϲει οὕτω καὶ ἐπὶ τοῦ γάλακτοϲ γενέϲθαι. ϲιγᾶϲθαι μὲν γὰρ τὴν ὀρθήν, λαλεῖϲθαι δὲ τὰϲ μετ' αὐτήν. γάλαξ μὲν γὰρ οὐκ ἐκφωνεῖται, τὰ δὲ ἐφεξῆϲ αὐτῇ χρηϲτά ἐϲτιν. — ὅτι δὲ τὸ γάλα εἰϲ ξ̄ δοκεῖ λήγειν, ἐπιϲτώϲατο Ἡρωδιανὸϲ καὶ ἀπὸ ϲυνθέτου τοῦ ἀρτιγάλαξ καὶ ἀπὸ πληθυντικῆϲ δοτικῆϲ τοῖϲ γάλαξι.

Περὶ τῶν εἰϲ ρ̄ οὐδετέρων.

46.

Cod. Ottobon. 173 fol. 164. v. in Bekk. Anecd. 1174: περὶ τῶν μεταβαλλόντων τὸ ρ̄ εἰϲ τὸ τ̄ κατὰ τὴν γενικήν φηϲιν Ἡρωδιανόϲ, ὅτι ὡϲ ἀπὸ τῆϲ εἰϲ ϲ̄ καταλήξεωϲ γέγονεν ἡ κλίϲιϲ οἷον τὸ ἧπαρ τοῦ ἥπατοϲ ὡϲ ἀπὸ τοῦ ἧπαϲ φηϲὶν εἶναι καὶ φρέαρ φρέατοϲ ὡϲ ἀπὸ τοῦ φρέαϲ.

Περὶ τῶν εἰϲ αϲ οὐδετέρων.

47.

Choer. 387, 9: ἰϲτέον ὅτι τινὲϲ θέλουϲιν ὀξύνειν τὴν Ἀττικὴν γενικὴν τῶν ἑνικῶν οἷον τοῦ κρεῶϲ τοῦ γηρῶϲ τοῦ κερῶϲ λέγοντεϲ, ὅτι ἀπὸ τοῦ κρέατοϲ καὶ γήρατοϲ καὶ κέρατοϲ ἐγένετο κατὰ ϲυγκοπὴν τοῦ ᾱ καὶ τ̄ κρεόϲ καὶ γηρόϲ καὶ κερόϲ διὰ τοῦ ο ὀξυτόνωϲ τῷ λόγῳ τῶν εἰϲ οϲ̄ διϲυλλάβων γενικῶν οἷον ὥϲπερ πατρόϲ, μητρόϲ, φωτόϲ, μηνόϲ, χηνόϲ, παιδόϲ, ϲπληνόϲ, ϲυόϲ, φρενόϲ, γραόϲ, καὶ λοιπὸν οἱ Ἀθηναῖοι ἐκτείνοντεϲ τὸ ο̄ εἰϲ ω̄ ἐφύλαξαν τὴν ὀξεῖαν τάϲιν οἷον κρεῶϲ, γηρῶϲ, κερῶϲ. τῷ δὲ Ἡρωδιανῷ οὐ δοκεῖ τοῦτο, ἀλλὰ ταῦτα βαρυτόνωϲ δοξάζει λέγεϲθαι οἷον τοῦ κρέωϲ τοῦ γήρωϲ τοῦ κέρωϲ τῷ λόγῳ τῆϲ ϲυναιρέϲεωϲ τῆϲ γενομένηϲ ἀπὸ δύο βαρειῶν εἰϲ βαρεῖαν οἷον

l. 8 τῶν πληθυντικῶν scripsi pro τῶν παλαιῶν. l. 39 ἀπὸ δύο βαρειῶν εἰϲ βαρεῖαν scripsi pro ἀπὸ ὀξείαϲ καὶ δύο βαρειῶν εἰϲ ὀξεῖαν.

κρέαος κρέως, γήραος γήρως, ὥσπερ Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους. κέχρηται δὲ λόγῳ τοιούτῳ· εἰ δὲ λέγεται συγκοπὴν γεγενῆσθαι ἐν τῇ γενικῇ τῇ κρέως, ὤφειλε συγκοπὴ γενέσθαι καὶ ἐν τῇ δοτικῇ. καθόλου γὰρ πᾶσα γενικὴ συγκοπτομένη ἔχει καὶ τὴν δοτικὴν συγκοπτομένην, οἷον πατέρος πατρός πατέρι πατρί, μητέρος μητρός μητέρι μητρί, Δημήτερος Δήμητρος Δημήτερι Δήμητρι, ἀνέρος ἀνδρός ἀνέρι ἀνδρί, θυγατέρος θυγατρός θυγατέρι θυγατρί. εἰ οὖν τῷ κρέατι ἡ δοτικὴ ἀρχὴν οὐ δέχεται συγκοπὴν τοῦ α καὶ τοῦ τ̄, ἐπεὶ κρεῖ ἤμελλεν εἶναι, νυνὶ δὲ κρέαϊ ἐστίν, οὐκ ἄρα δὴ οὐδὲ ἡ κρέατος γενικὴ δύναται συγκοπὴν ἀναδέξασθαι τοῦ ᾱ καὶ τοῦ τ̄ καὶ γενέσθαι τοῦ κρεός ὀξυτόνως, κἀκεῖθεν τοῦ κρεώς ὁμοίως ὀξυτόνως κατ' ἐπέκτασιν τοῦ ō εἰς ω̄, ἀλλ', ὡς εἴρηται, αὗται αἱ γενικαὶ κατὰ κρᾶσιν γεγόνασι καὶ βαρύνονται.

Sequuntur, quae apud Choeroboscum ex libro περὶ κλίσεως ὀνομάτων petita videntur, composita cum praeceptis, quae ab aliis epitomatoribus et in reliquis scriptis Herodiani servata sunt.

Περὶ τῶν εἰς ᾱς ὀνομάτων.

Choer. 26, 33: τὰ εἰς ᾱς μονοσύλλαβα, εἰ μὲν περισπᾶται, ἀποβολῇ τοῦ ς̄ ποιεῖ τὴν γενικήν οἷον ὁ Γρᾶς τοῦ Γρᾶ, ὁ Λᾶς τοῦ Λᾶ (τοῦτο δέ καὶ ποταμὸν καὶ λίθον καὶ πόλιν σημαίνει), ὁ Θᾶς τοῦ Θᾶ (ὄνομα δὲ κύριον), ὁ Χνᾶς τοῦ Χνᾶ (οὕτως δὲ ἐλέγετο ὁ Ἀγήνωρ, ὅθεν καὶ ἡ Φοινίκη Χνᾶ), ὁ Δᾶς τοῦ Δᾶ (ὄνομα δὲ τοῦτο ποταμοῦ), ὁ Βᾶς τοῦ Βᾶ (ἱστορεῖται δὲ οὗτος βασιλεὺς Πόντου). τὸ δὲ πᾶς, ὅτε μέν ἐστι προσηγορικὸν καὶ σημαίνει τὸν πατέρα, ἀποβολῇ τοῦ ς̄ ποιεῖ τὴν γενικήν οἷον τοῦ πᾶ· ὅτε δὲ ἐπίθετόν ἐστι καὶ σημαίνει τριγένειαν οἷον πᾶς ἄνθρωπος, πᾶσα γυνή, καὶ πᾶν παιδίον, διὰ τοῦ ντ̄ κλίνεται οἷον παντός, πρὸς γὰρ διάφορον σημαινόμενον εἰκότως καὶ ἡ κλίσις διάφορος γέγονε. σεσημείωται τὸ Πρᾶς (ἔστι δὲ ὄνομα πόλεως Περραιβικῆς) περισπώμενον καὶ περιττοσυλλάβως διὰ τοῦ ντ̄ κλινόμενον. εἰ δὲ ὀξύνεται τὰ εἰς ᾱς μονοσύλλαβα, περιττοσυλλάβως κλίνεται οἷον Ζάς Ζαντός (σημαίνει δὲ τὸν Δία), Φθάς Φθάντος (ὄνομα δὲ τοῦτο κύριον). 16, 20: τοῦτο δὲ κατὰ τὴν γενικὴν βαρύνεται, μετοχικὸν γάρ ὑπάρχει καὶ τὸν τόνον τῆς μετοχῆς ἀνεδέξατο, φημὶ δὴ τῆς φθάντος. τὸ δὲ κράς, ὃ σημαίνει τὴν κεφαλήν, διὰ τοῦ τ̄ ἐκλίθη, οἷον

---

l. 8 pro ὑπάρχον scripsi ἀρχήν. cf. Cathol. p. 407, 5. l. 29 de Πρᾶς cf. not. ad Cathol. 399, 10. l. 33 cf. Ep. Cr. I 231, 15, Arc. 125, 14.

κρατὸς ἀπ' ἀθανάτοιο,

καὶ ἔχει ἀπολογίαν τοιαύτην, ὅτι τὰ εἰς $\bar{\alpha}$ς μονοσύλλαβα ὀξύτονα ἅπαντα κύριά ἐστιν οἷον Ζάς, Φθάς, τοῦτο δὲ μόνον, φημὶ δὴ τὸ κράς, προσηγορικόν ἐστι· ἐπειδὴ οὖν διήλλαξε περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὴν κλίσιν. — ἔχομεν δὲ τὴν χρῆσιν τῆς εὐθείας παρὰ Σιμμίᾳ τῷ Ῥοδίῳ οὕτως

χρυσῷ τοι φαέθοντι πολύλλιτος ἐμφέρεται κράς.

Τὰ εἰς ας καθαρὸν ὀνόματα δισύλλαβα βαρύτονα μακροκατάληκτα μὴ ἀπὸ Δωρίδος διαλέκτου μηδὲ κατὰ ποιητικὴν ἄδειαν ὄντα διὰ τοῦ $\overline{\nu\tau}$ κλίνεται οἷον Αἴας Αἴαντος, Θόας Θόαντος, Βίας Βίαντος, Δρύας Δρύαντος (ἔστι δὲ ταῦτα ὀνόματα κύρια), Ὕας Ὕαντος (Ὕαντες δὲ λέγονται οἱ κατοικοῦντες τὴν Βοιωτίαν), Εὔας Εὔαντος (τὸ δὲ Εὔας ἐπίθετον τοῦ Διονύσου ἐστίν). πρόσκειται «μὴ ἀπὸ Δωρίδος διαλέκτου» διὰ τὸ Λάας τὸ κύριον καὶ τὸ Κλεύας καὶ τὸ Κέας. καὶ τὸ μὲν Λάας τὸ κύριον Δωρικὴν κρᾶσιν πέπονθεν. ἡ γὰρ Λάαος γενικὴ τρισύλλαβος μετάγεται εἰς εὐθεῖαν καὶ γίνεται ὁ Λάαος ὥσπερ ὁ Καππάδοξ τοῦ Καππάδοκος καὶ ὁ Καππάδοκος καὶ κατὰ κρᾶσιν Δωρικὴν τοῦ α καὶ ο εἰς $\bar{\alpha}$ μακρὸν γίνεται Λάας ὥσπερ Πτερέλαος Πτερέλας καὶ Μενέλαος Μενέλας ὡς παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ

τοῦ στρατηλάτα
Μενέλα.

οὕτως ὁ Λάας τοῦ Λάα «Λάα περὶ λίθων γλυφῆς» (οὗτος δὲ λιθογλύφος ἦν). τὸ δὲ προσηγορικὸν λᾶας συνεσταλμένον ἔχον τὸ $\breve{\alpha}$ οἷον «λᾶας ἀναιδής» κλίνεται διὰ καθαροῦ τοῦ $\overline{o\varsigma}$ οἷον λᾶας λάαος, ὃ κατὰ κρᾶσιν τῶν δύο $\overline{\alpha\alpha}$ εἰς ἓν μακρὸν γίνεται λᾶος «λᾶος ὑπὸ ῥιπῆς» (Μ 462). τὸ δὲ Κλεύας καὶ Κέας Δωρικὴν τροπὴν πέπονθεν ἀπὸ τοῦ Κλεύης καὶ Κέης καὶ ἐφύλαξε τὴν ἰσοσύλλαβον κλίσιν. πρόσκειται «μὴ κατὰ ποιητικὴν ἄδειαν ὄντα», ἐπειδὴ παρὰ τοῖς ποιηταῖς εὑρίσκομεν τοιαῦτα, πάντα ἔχοντα τοῦ κανόνος καὶ ἰσοσυλλάβως κλιθέντα οἷον ὁ Βίας τοῦ Βία, ὁ Δρύας τοῦ Δρύα, ὁ Θόας τοῦ Θόα ὡς παρ' Ἡσιόδῳ «ἡ δὲ Θόαν τέκεν υἱόν», ὁ Αἴας τοῦ Αἴα ὡς παρὰ Ἀλκαίῳ «Αἴαν τὸν ἄριστον».

Choer. 118, 29: τὰ εἰς ας καθαρὸν ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ βαρύτονα μὴ ὄντα ἐθνικὰ ἀπὸ τοῦ $\bar{\pi}$ ἀρχόμενα εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικήν οἷον κοχλίας κοχλίου, Αἰνείας Αἰνείου, Βορέας Βορέου, δρακοντίας δρακοντίου, τραυματίας τραυματίου, ταραξίας ταραξίου. — πρόσκειται «ἁπλᾶ» διὰ τὸ Λυκοθόας Λυκοθόαντος καὶ Λευκοθόας Λευκοθόαντος· ταῦτα γὰρ σύνθετά ἐστι καὶ τὴν τοῦ ἁπλοῦ κλίσιν ἐφύ-

l. 7 versus emendatus a Lobeck. Parall. p. 78, 14; sed cf. Cobet. apud Gaisf. praef. E. M. p. 7. l. 8 Choer. 27, 20—28, 5; 30, 25 coll. 92, 5; 95, 2; 96, 5. Cf. Ep. Cr. I 258, 3, E. M. 498, 30. An. Ox. II 388, 22. l. 33 cf. p. 31, 9, E. M. 271, 3 Δίας: ὡς ἀπὸ τοῦ δράκων δράκοντος δρακοντίας, οὕτω καὶ ἀπὸ τοῦ Διός γίνεται Διΐας καὶ κράσει Δίας· ἰστέον δὲ ὅτι τὸ Δίας καὶ Θείας διὰ τοῦ $\overline{\nu\tau}$ κλίνεται, τὸ

λαξε, φημὶ δὲ τὴν τοῦ Θόαντος. πρόσκειται «βαρύτονα» διὰ τὰ ὀξύτονα οἷον διὰ τὸ ἀνδριάς ἀνδριάντος. πρόσκειται «μὴ ὄντα ἐθνικὰ ἀπὸ τοῦ π ἀρχόμενα» διὰ τὸ Πικίας Πικίαντος καὶ Πευκετίας Πευκετίαντος· τὸ γὰρ Παπίας Παπίου ἀπὸ τοῦ π μὲν ἄρχεται, ἀλλ' οὐκ ἔστιν ἐθνικόν· τὸ δὲ Ὠπίας Ὠπίου ἐθνικὸν μέν ἐστιν, ἀλλ' οὐκ ἄρχεται ἀπὸ τοῦ π, ἀλλ' ἀπὸ τοῦ ω.

Cεσημείωται δέ τινα περιττοσυλλάβως κλιθέντα· ἔστι δὲ ταῦτα· Ἀφίας Ἀφίαντος παρ' Εὐφορίωνι, Φλεγύας Φλεγύαντος παρ' Εὐριπίδῃ, Ἐλέας Ἐλέαντος παρὰ Φιλοστεφάνῳ, Cατύας Cατύαντος παρ' Ἡγησίππῳ· εὑρέθη δὲ καὶ τὸ Ἀρύας Ἀρύαντος περιττοσυλλάβως κλιθὲν

ἡ δὲ ὑπὲρ Ἀρύαντος ἐπὶ προχοαῖς ποταμίων (leg. αἱ δὲ πέρην Ἀρύαντος ἐπὶ προχοαῖς ποταμοῖο),

παρ' Ἐρατοσθένει, καὶ Παρίας Παρίαντος· ἔστι δὲ ὄνομα κύριον καὶ διὰ τοῦ ῑ γράφεται. τὸ δὲ παρείας σημαῖνον τὸν ὄφιν διὰ τῆς ει διφθόγγου γράφεται κτλ. ταῦτα δὲ πάντα περιττοσυλλάβως κλίνεται· εὕρηνται δὲ καὶ ἰσοσυλλάβως κλινόμενα, οἷον ὁ Φλεγύας τοῦ Φλεγύου, καὶ οἱ Φλεγύαι τοὺς Φλεγύας, ὡς παρὰ τῷ ποιητῇ (N 302)

ἠὲ μετὰ Φλεγύας μεγαλήτορας.

Choer. 32, 21: τὰ εἰς ας λήγοντα, ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον συνεσταλμένον καταλήγουσαν, περιττοσυλλάβως κλίνεται, τουτέστι διὰ τοῦ ντ, Βίας Βίαντος, Ἀρύβας Ἀρύβαντος (ἔστι δὲ ὄνομα κύριον), λυκάβας λυκάβαντος (σημαίνει δὲ τὸν ἐνιαυτόν), Θίσβας Θίσβαντος· τὸ γὰρ c μετὰ τοῦ β ἐστί. πρόσκειται «ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον συνεσταλμένον καταλήγουσαν» διὰ τὸ Ἰόβας Ἰόβα, καὶ Ῥήβας Ῥήβα (ἔστι δὲ ταῦτα ὀνόματα κύρια). — δοκεῖ δέ τινα ἀντικεῖσθαι τῷ κανόνι, οἷον τὸ Κάβας καὶ Λάβας καὶ τὸ Ἄβας. ταῦτα γὰρ διχρόνῳ συνεσταλμένῳ παραληγόμενα ἰσοσυλλάβως κλίνεται, οἷον τοῦ Κάβα, τοῦ Ἄβα, τοῦ Λάβα. ἰστέον δὲ ὅτι τὸ Ἄβας, ἡνίκα μὲν σημαίνει τὸ ἔθνος μόνως, ἰσοσυλλάβως κλίνεται οἷον ὁ Ἄβας τοῦ Ἄβα· ἡνίκα δὲ τὸν ἥρωα σημαίνει, καὶ περιττοσυλλάβως καὶ ἰσοσυλλάβως οἷον ὁ Ἄβας τοῦ Ἄβαντος καὶ ὁ Ἄβας τοῦ Ἄβα.

Choer. 33, 10: τὰ εἰς βας λήγοντα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, μὴ τὸ ρ, ἰσοσυλλάβως κλίνεται· οἷον Χάλβας Χάλβα (ἔστι δὲ ποταμὸς Cυρίας), Cάμβας Cάμβα (ἔστι δὲ ὄνομα ποταμοῦ), Λυκάμβας Λυκάμβα, Χηράμβας Χηράμβα. πρόσκειται «μὴ τὸ ρ», διὰ τὸ Φόρβας Φόρβαντος, καὶ Κύρβας Κύρβαντος.

Τὰ εἰς βας λήγοντα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον συνεσταλμένον καταλήγουσαν ἢ εἰς τὸ ρ περιττοσυλλάβως κλίνεται

δὲ Θεῖας καὶ Διΐας ἰσοσυλλάβως. — De Φλεγύας St. B. 667, 15 Φλεγύα. — ὁ πολίτης Φλεγιεύς. λέγεται δὲ ἡ χώρα Φλεγυαντὶς ὡς ἀπὸ περιττοσυλλάβου γενικῆς τοῦ Φλεγύαντος. l. 11 versum correxit Gaisford praef. ad E. M. p. 7 ex cod. Marciano. l. 19 cf. fr. 10 et 11.

οἷον Φόρβας Φόρβαντος, Κύρβας Κύρβαντος, Θίςβας Θίςβαντος, λυκάβας λυκάβαντος. εἰ δὲ μὴ οὕτω ἔχοι, ἰςοςυλλάβως κλίνεται, οἷον Χάλβας Χάλβα, Ῥήβας Ῥήβα, Ἰόβας Ἰόβα. ἰςτέον ὅτι ἐςτί τινα εἰς βας ὀφείλοντα κλίνεςθαι περιττοςυλλάβως, ἤγουν διὰ τοῦ ντ, καὶ ὅμως ἰςοςυλλάβως κλινόμενά ἐςτι ταῦτα, Cκρίβας Cκρίβα, Ἶβας Ἶβα, Ψευδαρτάβας Ψευδαρτάβα, Ἀννίβας Ἀννίβα. τοῦτο δὲ ςυςτέλλει τὸ ῑ, τὸ δὲ Ἀλύβας καὶ ςυςτέλλει καὶ ἐκτείνει τὸ δίχρονον ἐν τῇ παραληγούςῃ, καὶ ὅμως περιττοςυλλάβως κλίνεται, ἤγουν διὰ τοῦ ντ, οἷον Ἀλύβαντος (ἔςτι δὲ ἔθνος).

Τὰ εἰς γας λήγοντα διςύλλαβα μόνως κύρια ἰςοςυλλάβως κλίνεται οἷον Μίγας Μίγα, Μέγας Μέγα (τὸ κύριον ὄνομα, τοῦ γὰρ ἐπιθέτου μεγάλου ἡ γενική Cάγγας Cάγγα, Ἄλγας Ἄλγα. πρόςκειται «μόνως κύρια» διὰ τὸ γίγας γίγαντος καὶ Βρίγας Βρίγαντος· ταῦτα γὰρ οὐκ ἔςτι μόνως κύρια· τὸ μὲν γὰρ γίγας ἐςτὶ καὶ κύριον καὶ προςηγορικὸν καὶ ἐθνικόν, τὸ δὲ Βρίγας ἐςτὶ κύριον καὶ ἐθνικόν· ἔθνος γὰρ οἱ Βρίγαντες. ςεςημείωται τὸ Cάλγας Cάλγαντος, τοῦτο γὰρ μόνον κύριον περιττοςυλλάβως κλιθέν.

Τὰ εἰς γας λήγοντα ὑπὲρ δύο ςυλλαβὰς ἰςοςυλλάβως κλίνεται, οἷον Cατύργας Cατύργα, Cτροάγας Cτροάγα, χωρὶς τοῦ Ἀκράγας Ἀκράγαντος· ἔςτι δὲ ὄνομα πόλεως Cικελίας.

Τὰ εἰς γας λήγοντα ἐν διςυλλάβοις καὶ τὰ ὑπὲρ δύο ςυλλαβὰς καθόλου ἰςοςυλλάβως κλίνεται, οἷον Μίγας Μίγα, Μέγας Μέγα, Cατύργας Cατύργα· χωρὶς τοῦ Cάλγας Cάλγαντος, καὶ Ἀκράγας Ἀκράγαντος.

Τὰ εἰς δας λήγοντα διςύλλαβα ἰςοςυλλάβως κλίνεται, οἷον Λάδας Λάδα, Κλύδας Κλύδα, Ἴδας Ἴδα, Λήδας Λήδα, Δέρδας Δέρδα. δεῖ προςθεῖναι, χωρὶς εἰ μὴ διφθόγγῳ παραλήγοιτο· ἐὰν γὰρ διφθόγγῳ παραλήγοιτο, περιττοςυλλάβως κλίνεται, ἤγουν διὰ τοῦ ντ, οἷον Φείδας Φείδαντος, Οἴδας Οἴδαντος, τοῦ δὲ Μείδας τὴν γενικὴν ὁ Ἀπολλώνιος εἴρηκε Μείδαντος, ἐπεὶ διφθόγγῳ παραλήγεται· ἔςτι γὰρ Μίδας ἄλλο ὅπερ ἰςοςυλλάβως κλίνεται οἷον ὁ Μίδας τοῦ Μίδα.

Τὰ εἰς δας λήγοντα ὑπὲρ δύο ςυλλαβὰς ἰςοςυλλάβως κλίνεται, οἷον Cακάδας Cακάδα, Τιμαχίδας Τιμαχίδα, Λεωνίδας Λεωνίδα, Χαρμάδας Χαρμάδα. δεῖ προςθεῖναι, χωρὶς εἰ μὴ ἀπὸ βαρυτόνου ῥήματος γένηται, ἐκεῖνα γὰρ περιττοςυλλάβως κλίνεται, ἤγουν διὰ τοῦ ντ, οἷον οἶδα Οἴδας Οἴδαντος, μείδω Μείδας Μείδαντος, χαρίζομαι Χαρίδας

---

l. 6 verba τὸ ῑ, τὸ δὲ Ἀλύβας καὶ ςυςτέλλει inserui. l. 10 cf. fr. 5; de Μέγας proprio et μέγας adiectivo Ep. Cr. I 374, 7. l. 21—23 haec sane superflua videntur. l. 31 cf. E. M. 779, 20. Schol. A ad Il. Δ 66. Lobeckium secutus sum pronunciantem verba γέγονε κτλ., quae ap. Choer. desunt, in E. M. et in Schol. A medio in articulo posita sunt, Herodiani sententiam continentia in finem releganda esse; in singulorum autem παθῶν enumeratione inter κυδήεντας et ὑπερκύδαντας aliquid excidisse patet. Cf. fr. 4 περὶ ὀνομάτων. Canon sic profertur in An. Ox. II 354, 30 τὰ εἰς δας ἀρςενικὰ βαρύτονα ὑπὲρ δύο ςυλλαβὰς ἀποβολῇ τοῦ ς ποιεῖ τὴν γενικὴν Πλακίδας Πλακίδα, Ἰούδας Ἰούδα, γεννάδας

Χαρίδαντος, φείδομαι Ἀφείδας Ἀφείδαντος. τὸ δὲ «ὑπερκύδαντας Ἀχαιούς» (Δ 66) ὄνομα οὕτως γέγονε, κυδήεις κυδήεντος κυδήεντας καὶ ὑπερκύδαντας.

Τὰ εἰς ας λήγοντα ἔχοντα πρὸ τοῦ ᾱ ἕν τι τῶν διπλῶν, ἰcocυλλάβως κλίνεται οἷον Ἀρίζας Ἀρίζα, Ἑλίξας Ἑλίξα, Ἄψας Ἄψα. τὰ δὲ περιττοσυλλάβως κλίνεται, ἡνίκα εὑρεθῇ τὸ ῡ πρὸ τοῦ ζ̄, οἷον Βύζας Βύζαντος, Γύζας Γύζαντος, Πύζας Πύζαντος.

Τὰ εἰς θας λήγοντα ἰcocυλλάβως κλίνεται, οἷον Στρούθας Στρούθα, Παγάθας Παγάθα, Ἄρθας Ἄρθα, Ἀόρθας Ἀόρθα.

Τὰ εἰς κᾱς λήγοντα ἅπαντα ἰcocυλλάβως κλίνεται, οἷον Πελέκας Πελέκα, Κύκας Κύκα, Κρίκας Κρίκα (ἔστι δὲ ὄνομα ποταμοῦ), Σάκας Σάκα, Πολύκκας Πολύκκα (ἔστι δὲ ποταμὸς Μακεδονίας), Ματάκας Ματάκα (ἔστι δὲ ὄνομα εὐνούχου), Ἰνδύκας Ἰνδύκα, Κοτύκας Κοτύκα (ἔστι δὲ ὄνομα βασιλέως Παφλαγονίας).

Τὰ εἰς λᾱς καθαρὰ ἁπλᾶ δισύλλαβα, μὴ παραληγόμενα φύσει μακρᾷ, μονογενῆ, μὴ ἔχοντα δὶς τὸ λ ἰcocυλλάβως κλίνεται οἷον Ὕλας Ὕλα, Γέλας Γέλα, Γάλας Γάλα, Κάλας Κάλα. πρόσκειται «μὴ παραληγόμενα φύσει μακρᾷ», ἐπειδὴ ἐὰν παραλήγηται φύσει μακρᾷ περιττοσυλλάβως κλίνεται οἷον Φύλας Φύλαντος, Χήλας Χήλαντος. πρόσκειται «ἁπλᾶ καθαρὰ» διὰ τὸ Ἄτλας Ἄτλαντος· τοῦτο γὰρ οὔτε ἁπλοῦν ἐστιν, ἀπὸ γὰρ τοῦ α τοῦ ἐπιτατικοῦ καὶ τοῦ τλάς τοῦ σημαίνοντος τὸ καρτερεῖν γίνεται ἄτλας οἱονεὶ ὁ πάνυ ὑπομένων, ἀλλ' οὔτε δὲ καθαρόν ἐστιν, ἔχει γὰρ πρὸ τοῦ λ ἕτερον σύμφωνον, ἤγουν τὸ τ̄ κατὰ σύλληψιν. πρόσκειται «μὴ ἔχοντα δὶς τὸ λ» διὰ τὸ Πάλλας καὶ Κίλλας, ταῦτα γὰρ Πάλλαντος καὶ Κίλλαντος περιττοσυλλάβως κλίνεται. πρόσκειται «μονογενῆ» διὰ τὸ τάλας, ὃ σημαίνει τὸν ἄθλιον, καὶ τὸ μέλας, ταῦτα γὰρ περιττοσυλλάβως κλίνεται οἷον μέλαντος μέλανος, τάλαντος τάλανος, τοῦ τ̄ ἀποβληθέντος, καὶ τὸ Μέλας δὲ τὸ κύριον, εἰ καὶ μονογενές ἐστιν, ἠκολούθησε κατὰ τὴν κλίσιν τῶν ἐπιθέτων, καὶ περιττοσυλλάβως κλίνεται ὁμοίως αὐτῷ οἷον Μέλανος (ἐγένετο δὲ οὗτος συγκλητικὸς Ῥωμαίων).

Τὰ εἰς λᾱς λήγοντα δισύλλαβα ἀρχόμενα ἀπὸ συμφώνου ἔχοντα δὶς τὸ λλ, ὁμόφωνα κυρίοις, περιττοσυλλάβως κλίνεται, ἤγουν διὰ τοῦ ντ, οἷον Κύλλας Κύλλαντος, Βάλλας Βάλλαντος, Φέλλας Φέλλαντος, Πάλλας Πάλλαντος. πρόσκειται «δισύλλαβα» διὰ τὰ ὑπὲρ δύο συλλαβάς· ταῦτα γὰρ ἔχοντα δὶς τὸ λ̄ πάντα ἰcocυλλάβως κλίνεται οἷον Ἰόλλας Ἰόλλα, Ἀβόλλας Ἀβόλλα (ὄνομα δὲ τοῦτο ποταμοῦ), Ἀμύλλας Ἀμύλλα (ὄνομα δὲ τοῦτο ποταμοῦ), Λευκόλλας Λευκόλλα. πρόσκειται «ἀρχόμενα ἀπὸ συμφώνου» διὰ τὸ Σίλλας Σίλλα, Ἴλλας Ἴλλα· ταῦτα

γεννάδα. l. 4 cf. fr. 7. l. 27 de μέλας et τάλας cf. Ep. Cr. I 275, 9, E. M. 575, 48, An. Ox. II 416, 15. l. 39 συμφώνου ter scripsi pro φωνήεντος; in

γάρ, ἐπειδὴ ἀπὸ ϲυμφώνου οὐκ ἄρχεται, ἰϲοϲυλλάβωϲ κλίνεται. τὸ μὲν Cίλλαϲ ἀπὸ ἡμιφώνου ἄρχεται, τὸ δὲ Ἴλλαϲ ἀπὸ φωνήεντοϲ. πρόϲκειται δὲ «ὁμοφωνοῦντα κυρίοιϲ» διὰ τὸ Κίλλαϲ Κίλλαντοϲ. τοῦτο γάρ ἐϲτι κύριον. ἔϲτι δὲ καὶ ἔθνοϲ ὁμοφώνωϲ.

Τὰ εἰϲ λαϲ καθαρὰ ὑπὲρ δύο ϲυλλαβάϲ, μὴ ἐξ ἁπλῶν περιττοϲυλλάβωϲ κλινομένων ϲυντεθειμένα, ἰϲοϲυλλάβωϲ κλίνεται οἷον Πτερέλαϲ Πτερέλα, Κριτόλαϲ Κριτόλα, Μιϲγόλαϲ Μιϲγόλα, Γενειόλαϲ Γενειόλα, Ἀρτύλαϲ Ἀρτύλα, Δορύλαϲ Δορύλα. πρόϲκειται «μὴ ἐξ ἁπλῶν περιττοϲυλλάβωϲ κλινομένων ϲυντεθειμένα» διὰ τὸ μέλαϲ μέλανοϲ, καὶ παμμέλαϲ παμμέλανοϲ.

Τὰ εἰϲ λαϲ λήγοντα, μετ' ἐπιπλοκῆϲ ϲυμφώνου — περιττοϲυλλάβωϲ κλίνεται οἷον Ἄτλαϲ Ἄτλαντοϲ, πολύτλαϲ πολύτλαντοϲ, Ἀμύκλαϲ Ἀμύκλαντοϲ ὡϲ Cιμίαϲ ἐν Μηϲίν «ὃν ῥ' ἀπ' Ἀμύκλαντοϲ παιδὸϲ ἀποφθιμένου λαοὶ κικλήϲκουϲιν. ϲεϲημείωται τὸ Βάμβλαϲ Βάμβλα ἰϲοϲυλλάβωϲ κλινόμενον, ἔϲτι δὲ ὄνομα βαϲιλέωϲ Ἰνδῶν.

Τὰ εἰϲ μαϲ ἔχοντα ϲύμφωνον πρὸ τοῦ μ ἰϲοϲυλλάβωϲ κλίνεται, οἷον Cίλμαϲ Cίλμα, Τέλμαϲ Τέλμα, ἀκαμαντοχάρμαϲ ἀκαμαντοχάρμα, Ἀρίμμαϲ Ἀρίμμα, Ἐχέμμαϲ Ἐχέμμα, Λυκόρμαϲ Λυκόρμα· χωρὶϲ τοῦ Τόλμαϲ Τόλμαντοϲ, ἔϲτι δὲ ὄνομα κύριον.

Τὰ εἰϲ μαϲ διϲύλλαβα, ἔχοντα τὴν πρὸ τέλουϲ ϲυλλαβὴν εἰϲ φωνήεντα καταλήγουϲαν, περιττοϲυλλάβωϲ κλίνεται, ἤγουν διὰ τοῦ ντ οἷον Θαύμαϲ Θαύμαντοϲ, Δύμαϲ Δύμαντοϲ, Βρίμαϲ Βρίμαντοϲ, Δάμαϲ Δάμαντοϲ.

Τὰ εἰϲ μαϲ ὑπὲρ δύο ϲυλλαβὰϲ ἔχοντα τὴν πρὸ τέλουϲ ϲυλλαβὴν εἰϲ φωνῆεν καταλήγουϲαν, ἅπερ θέλει καὶ βραχεῖαν παραλήγεϲθαι, περιττοϲυλλάβωϲ κλίνεται οἷον ἀδάμαϲ ἀδάμαντοϲ, Ὀδόμαϲ Ὀδόμαντοϲ (ἔϲτι δὲ ὄνομα ἔθνουϲ), Γαράμαϲ Γαράμαντοϲ, Πολυδάμαϲ Πολυδάμαντοϲ, Θειοδάμαϲ Θειοδάμαντοϲ, Ἀκάμαϲ Ἀκάμαντοϲ, Εὐρυδάμαϲ Εὐρυδάμαντοϲ, Ἀλκιδάμαϲ Ἀλκιδάμαντοϲ. δεῖ προϲθεῖναι χωρὶϲ τῶν Περϲικῶν ὀνομάτων, ἐκεῖνα γὰρ καὶ μακρᾷ παραλήγεται, καὶ ἰϲοϲυλλάβωϲ κλίνεται οἷον Cαλάμαϲ Cαλάμα, Cπιτάμαϲ Cπιτάμα.

Τὰ εἰϲ ναϲ λήγοντα ἅπαντα ἰϲοϲυλλάβωϲ κλίνεται οἷον Πίναϲ Πίνα, Ἀλέναϲ Ἀλένα, Ξέναϲ Ξένα, Πρατίναϲ Πρατίνα, Ἀρτύναϲ Ἀρτύνα, χωρὶϲ τοῦ Κάναϲ Κάναντοϲ.

---

fine ἔϲτι κύριον pro ἔϲτι ὁμοφώνωϲ κυρίωϲ exhibui et ὁμοφώνωϲ in finem relegavi. l. 6 Πτερέλαϲ scr. pro Περέλαϲ, l. 7 Κριτόλαϲ pro Κωτέλαϲ coll. Lob. Proll. 130, potui etiam Κορύλαϲ p. 125, Μιϲγόλαϲ pro Μιδιόλαϲ secutus Lob. p. 130, l. 8 Ἀρτύλαϲ pro Ἀτύλαϲ coll. p. 125. l. 11 omisi post ϲυμφώνου verba ϲύνθετα ἀπὸ μετοχῆϲ, quum hic non de his solis agi canon ipse demonstret; praeterea exturbavi Ἀνδρόκλαϲ auctoritate destitutum (cf. Lob. El. I 383); Ἀμύκλαϲ addidi ex St. B. 87, 17. l. 22 Θαύμαϲ scr. pro Θάμαϲ, quod praebet etiam Lascaris. l. 27 Γαράμαϲ scr. pro Γαδάμαϲ ex St. B. l. 33 pro Ἀλέναϲ fortasse ex Strabone Μέναϲ (VII p. 319); Ξέναϲ scripsi pro Κλῆναϲ ex Arc. 22, 9; cf. Lob. Proll. 247 not. eodem auctore Ἀρτύναϲ scripsi pro Ἀρτίναϲ.

Τὰ εἰς ̄πας μονογενῆ ἰcοcυλλάβωc κλίνεται, χωρὶc τοῦ Κύπας Κύπαντος, οἷον Κάλπας Κάλπα, Πάπας Πάπα, Cκόπας Cκόπα, Λάμπας Λάμπα, Πάμπας Πάμπα, Λίπας Λίπα. πρόcκειται «μονογενῆ» διὰ τὸ ἅπας ἅπαντος· τοῦτο γὰρ περιττοcυλλάβωc κλίνεται, ἀλλ' οὐκ ἔcτι μονογενέc.

Τὰ εἰς ̄ρας διcύλλαβα, ἔχοντα τὴν πρώτην καὶ δευτέραν cυλλαβὴν ἀπὸ τοῦ αὐτοῦ cυμφώνου ἢ ἀπὸ τοῦ ἀντιcτοίχου ἀρχομένην, περιττοcυλλάβωc κλίνεται οἷον Βάβρας Βάβραντος, Πρόφρας Πρόφραντος, Τεύθρας Τεύθραντος.

Τὰ εἰς ̄ρας λήγοντα cυνεμπίπτοντα μετοχῇ διcύλλαβα ὁμοίως περιττοcυλλάβωc κλίνεται οἷον Πείρας Πείραντος, Ἄρας Ἄραντος· ἔcτι δὲ ταῦτα ὀνόματα κύρια, καὶ cυνεμπίπτει τῇ ἄρας καὶ πείρας μετοχῇ.

Τὰ εἰς ̄ρας λήγοντα διcύλλαβα ἔχοντα τὴν πρὸ τέλους εἰς ̄α καταλήγουcαν ὁμοίως περιττοcυλλάβωc κλίνεται οἷον Τάρας Τάραντος, Κάρας Κάραντος, Λάρας Λάραντος, καὶ τὰ ὅμοια.

Τὰ εἰς ̄ρας λήγοντα, μηδὲν ἐκ τούτων τῶν προειρημένων ἔχοντα, ἰcοcυλλάβωc κλίνεται οἷον Κάρρας Κάρρα, Καίρρας Καίρρα, Cίρρας Cίρρα, Cιμμόρας Cιμμόρα, Κύδρας Κύδρα, Κόδρας Κόδρα, Κοψίφρας Κοψίφρα, Λάμπρας Λάμπρα. Ἀθύρας ὡς Εὐφορίων «ὕδατα δινήεντος ἀμευcάμενος Ἀθύραο».

Τὰ εἰς ̄cας λήγοντα ἰcοcυλλάβωc κλίνεται οἷον Χρύcας Χρύcα, Βαρβύcας Βαρβύcα, Κέρcας Κέρcα, Πετίcας Πετίcα· χωρὶc εἰ μὴ εὑρεθῇ ὑπὲρ δύο cυλλαβὰc παραληγόμενα τῷ ̄ε· τοῦτο δὲ εἴρηται διὰ τὸ Ἀπέcας Ἀπέcαντος, τοῦτο γὰρ διὰ τοῦ ντ κλίνεται, ὅθεν Ἀπεcάντειος ἔμελλεν εἶναι, ὥcπερ Αἴας Αἴαντος Αἰάντειος, ἀλλὰ cυcτέλλεται Ζεὺc Ἀπεcάντιος.

Τὰ εἰς ̄τας λήγοντα ἅπαντα ἰcοcυλλάβωc κλίνεται οἷον Ἀρχύτας Ἀρχύτα, Εὐρώτας Εὐρώτα, Ὀφέλτας Ὀφέλτα, Ἀκέλτας Ἀκέλτα, Τύντας Τύντα· χωρὶc τοῦ Τελεύτας Τελεύταντος, ἔcτι δὲ ὄνομα κύριον, καὶ τοῦ Κώcτας Κώcταντος.

Τὰ εἰς ̄φας λήγοντα διcύλλαβα ἰcοcυλλάβωc κλίνεται, καὶ παραλήγεται τὸ λ ἢ τὸ α, οἷον Δέλφας Δέλφα, Ἄλφας Ἄλφα, Ἄφας Ἄφα τὸ κύριον· τὸ Κύφας Κύφαντος (ἔcτι δὲ χωρίον τῆc Λακωνικῆc), περιττοcυλλάβωc κλιθὲν ἤγουν διὰ τοῦ ντ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὔτε τὸ α, οὔτε τὸ ̄λ παραλήγεται, ἀλλὰ τὸ ̄υ.

Τὰ εἰς φας λήγοντα ὑπὲρ δύο cυλλαβὰc περιττοcυλλάβωc κλίνεται, εἰ μὴ παραλήγοιτο τὸ ο, οἷον Κορύφας Κορύφαντος, Ὑπέρφας Ὑπέρφαντος, Περίφας Περίφαντος, ἐλέφας ἐλέφαντος· τὸ Ἀκύφας (ἔcτι δὲ

l. 10 cf. E. M. 38, 21. l. 19 Ἀθύρας addidi ex St. B. 35, 21. l. 22 Βαρβύcας pro Βαρύνcας dedi ex p. 41, 26; pro Κέρcας praebet Lascar. Κόρcας; post κλίνεται addidi ὅθεν et in fine ἀλλὰ cυcτέλλεται Ζεὺc Ἀπεcάντιος ex St. B. 104, 16. l. 30 Κώcτας addidi ex St. B. 403, 14.

ὄνομα πόλεως) Δωρικῶς ἐπὶ ἀρσενικοῦ λέγεται οἷον ὁ Ἀκύφας ἰσοσυλλάβως ὁ θεόπνευστος ὁ ἰατρός, τὸν Ἀκύφαν γὰρ εἴρηκε (quis?) τὴν αἰτιατικήν. πρόσκειται τῷ κανόνι «εἰ μὴ παραλήγοιτο τὸ ο» διὰ τὸ Ὀνόφας, τοῦτο γὰρ τῷ ο παραλήγεται καὶ ἰσοσυλλάβως κλίνεται.

Τὰ εἰς χας λήγοντα πάντα ἰσοσυλλάβως κλίνεται οἷον Ὕρχας Ὕρχα, Λέχας Λέχα, Καλλίχας Καλλίχα, Λίχας Λίχα, Λάχας Λάχα· χωρὶς εἰ μὴ εὑρεθῇ ἐν τῇ πρώτῃ συλλαβῇ κατὰ τὴν ἄρχουσαν τὸ κ· τοῦτο δὲ εἰρήκαμεν διὰ τὸ Κάλχας Κάλχαντος περιττοσυλλάβως κλινόμενον, ἤγουν διὰ τοῦ ντ, ἔστι δὲ ὄνομα μάντεως. σεσημείωται δὲ τὸ Τρύχας Τρύχαντος, οὕτως γὰρ Λυκόφρων μεταφράσας καλεῖ Τρύχας πόλιν Εὐβοίας.

Τὰ εἰς ας λήγοντα δισύλλαβα, παραληγόμενα τῷ α, ἔχοντα μεταξὺ τῶν δύο αα ἓν τῶν ἀφώνων σύμφωνον, μὴ ὄντα ἐπιθετικά, ἰσοσυλλάβως κλίνεται οἷον Σάκας Σάκα, Λάδας Λάδα, Σφάδας Σφάδα, Λάκας Λάκα, Μέγας Μέγα (ἔστι δὲ ὀνόματα κύρια). πρόσκειται «δισύλλαβα» ἐν τῷ κανόνι διὰ τὸ λυκάβας λυκάβαντος (σημαίνει δὲ τὸν ἐνιαυτόν), «ἓν δὲ σύμφωνον», διὰ τὸ Κάλχας Κάλχαντος· τοῦτο γὰρ οὐκ ἔχει ἄφωνον μόνον, ἀλλ' ἡμίφωνον προηγούμενον. «μὴ ὄντα δὲ ἐπιθετικά» πρόσκειται διὰ τὸ ἅπας ἅπαντος, ἐπιθετικὸν ὄν, καὶ διὰ τοῦ ντ κλινόμενον.

Τὰ εἰς ᾱς λήγοντα δισύλλαβα παραληγόμενα τῷ ᾱ ἔχοντα μεταξὺ τῶν δύο ᾱᾱ ἓν σύμφωνον, μὴ τὸ ρ̄, μονογενῆ, ἰσοσυλλάβως κλίνεται οἷον Σάκας Σάκα, Λάδας Λάδα. τούτῳ τῷ λόγῳ καὶ τὸ Μάμας ἰσοσυλλάβως κλίνεται οἷον Μάμας Μάμα. πρόσκειται «ἓν σύμφωνον» διὰ τὸ Κάλχας Κάλχαντος δύο σύμφωνα ἔχον οὐ περιττοσυλλάβως κλινόμενον. πρόσκειται «μὴ τὸ ρ̄» διὰ τὸ Τάρας Τάραντος. πρόσκειται «μονογενῆ» διὰ τὸ ἅπας ἅπαντος, τριγενὲς ὂν καὶ περιττοσυλλάβως κλινόμενον· ὁ ἅπας γὰρ ἡ ἅπασα καὶ τὸ ἅπαν.

Τὰ εἰς ας δισύλλαβα, ἔχοντα τὴν πρώτην καὶ δευτέραν συλλαβὴν ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἀρχομένην, ἢ ἀπὸ τοῦ ἀντιστοίχου, περιττοσυλλάβως κλίνεται οἷον γίγας γίγαντος, Βίβας Βίβαντος, Τεύθρας Τεύθραντος, Πρόφρας Πρόφραντος, Κάλχας Κάλχαντος. τούτῳ τῷ λόγῳ καὶ τὸ Μάμας Μάμαντος διὰ τοῦ ντ κλίνεται. δεῖ προσθεῖναι τῷ

---

l. 1 de Ἀκύφας cf. St. B. 66, 3. — ὁ θεόπνευστος ὁ ἰατρός Lucas esse videtur; in Act. Apostol. occurrit nomen Ἀκύλας et hoc fortasse a Choerobosco hic cum voce Ἀκύφας collatum est. Totum locum sic fere scribendum esse dixerim: τὸ Ἀκύφας (ἔστι δὲ ὄνομα πόλεως Δωρικῆς) ἀρσενικῶς λέγεται οἷον ὁ Ἀκύφας. τὸ δὲ Ἀκύλας ἰσοσυλλάβως ὁ θεόπνευστος ὁ ἰατρός, τὸν Ἀκύλαν γὰρ εἴρηκε τὴν αἰτιατικήν. l. 9 exceptionem de Τρύχας addidi ex St. B. 639, 15, qui respicit versum 374: σπίλοι καὶ Τρυχατὰ καὶ ταχὺς Νέδων, ubi Stephanum legisse videri καὶ Τρύχαντα monuit Hermann. opusc. V p. 240 ut Meinekius adnotavit.
l. 18 post ἄφωνον apposui μόνον et post ἡμίφωνον προηγούμενον. l. 25 δύο σύμφωνα ἔχον scr. pro ἔχοντα. l. 29 canonem in brevius contraxi. l. 31 pro Βίας scribendum esse Βίβας canon ipse significat.

κανόνι χωρὶς τῶν κ̄, π̄, τ̄, δ̄, διὰ τὸ Κώκας Κώκα, καὶ Πάπας Πάπα, καὶ Ταύτας Ταύτα, καὶ Δέρδας Δέρδα.

Τὰ εἰς ᾱς τρισύλλαβα παραληγόμενα διχρόνῳ συνεσταλμένῳ, ἀρχόμενα ἀπὸ τοῦ ᾱ, εἰ ἔχει ἄρχον τῆς τελευταίας συλλαβῆς ἕν τι τῶν μέσων ἢ τὸ μ̄, περιττοσυλλάβως κλίνεται· οἷον ἀλίβας ἀλίβαντος, ὃ σημαίνει τὸ ὄξος, Ἀθάμας Ἀθάμαντος, Ἀκράγας Ἀκράγαντος. τὸ Cακάδας Cακάδα ἔχον τὸ δ ἰσοσυλλάβως κλίνεται, καὶ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἄρχεται ἀπὸ τοῦ ᾱ, ἀλλ' ἀπὸ τοῦ c̄.

Τὰ εἰς ᾱς λήγοντα πρὸ τοῦ ᾱ ἕν τι τῶν διπλῶν ἢ ἕν τι τῶν δασέων ἢ ἕν τι τῶν ψιλῶν ἢ ἔχοντα τὸ c̄, μονογενῆ, μὴ σύνθετα ἀπὸ μετοχῆς, μὴ ἐν δισυλλάβῳ ἔχοντα τὴν πρώτην καὶ δευτέραν συλλαβὴν ἀπὸ τοῦ ἀντιστοίχου ἀρχομένας, ἰσοσυλλάβως κλίνεται οἷον Ἑλίξας Ἑλίξα, Ἀρίζας Ἀρίζα, Ἀνάξας Ἀνάξα, Γαρτάζας Γαρτάζα, Ἄψας Ἄψα, Παγάθας Παγάθα, Cτρούθας Cτρούθα, Δέλφας Δέλφα, Ὕρχας Ὕρχα, Πελέκας Πελέκα, Περδίκκας Περδίκκα, Ἀρχύτας Ἀρχύτα, Εὐρώπας Εὐρώπα, Κάλπας Κάλπα, Cκόπας Cκόπα, Χρύσας Χρύσα, Βαρβύσας Βαρβύσα. εἰ δὲ περιττοσυλλάβως κλιθείη, ἢ τῷ ῡ παραλήγεται ἢ τῷ ε̄ οἷον Βύζας Βύζαντος, Κορύφας Κορύφαντος, ἐλέφας ἐλέφαντος. πρόσκειται ἐν τῷ κανόνι «μονογενῆ», διὰ τὸ ἅπας ἅπαντος, πρόπας πρόπαντος. πρόσκειται «μὴ σύνθετα ἀπὸ μετοχῆς» διὰ τὸ φᾱς, Περίφας Περίφαντος, Ὑπέρφας Ὑπέρφαντος. πρόσκειται «μὴ ἐν δισυλλάβῳ ἔχοντα τὴν πρώτην καὶ δευτέραν συλλαβὴν ἀπὸ τοῦ ἀντιστοίχου ἀρχομένας» διὰ τὸ Κάλχας Κάλχαντος.

Τὰ ἀπὸ τῶν εἰς ας συντεθειμένα τὴν τοῦ ἁπλοῦ φυλάττει κλίσιν, οἷον Θόας Θόαντος Λυκοθόας Λυκοθόαντος, πᾶς παντός σύμπας σύμπαντος, μέλας μέλανος παμμέλας παμμέλανος, τάλας τάλανος τριτάλας τριτάλανος.

Τὰ εἰς ᾱς παρὰ μετοχῆς τῆς εἰς ᾱς συντεθειμένα περιττοσυλλάβως κλίνεται, οἷον τλάς Ἄτλας Ἄτλαντος, βάς Ἄβας Ἄβαντος, φάς Περίφας Περίφαντος ὡς στάς περίστας περίσταντος. τὰ εἰς ας ἀπὸ βαρυτόνου ῥήματος συντεθειμένα περιττοσυλλάβως κλίνεται, οἷον λείβω ἀλίβας ἀλίβαντος (σημαίνει δὲ τὸ ὄξος), φείδομαι Ἀφείδας Ἀφείδαντος, κάμνω Ἀκάμας Ἀκάμαντος, δάμνω Πολυδάμας Πολυδάμαντος.

Τὰ εἰς ᾱς ἀπὸ περισπωμένου ῥήματος συντεθειμένα ἰσοσυλλάβως κλίνεται οἷον ἀλοιῶ (σημαίνει δὲ τὸ τύπτω) πατραλοίας πατραλοία, βῶ (τὸ πορεύομαι) Ἰόβας Ἰόβα, πιπῶ (σημαίνει δὲ τὸ περιβλέπομαι) παρθενοπίπας παρθενοπίπα.

l. 2 Δέρδας pro Δέκας posui ex p. 34, 17. l. 5 ἀλίβας initiale ᾱ productum habere monet Lob. Proll. 289: sed si fragmentum ex Herod. Epim. in E. Orion. 158, 13 (E. Gud. 539, 36, E. M. 774, 25) ab Herodiano profectum est, sumi debet Herodianum putasse ᾱ in ἀλίβας productum esse ut in ἀθάνατος. l. 9 canonem in brevius contraxi, l. 21 Ὑπέρφας addidi ex p. 39, 28, quum plura quam unum vocabulum protulisse Choeroboscum ex ipsius verbis pateat. l. 30 ὡς ante στάς addidi.

Τὰ εἰϲ ᾱϲ ἀπὸ θηλυκῶν ϲυντεθειμένα ἰϲοϲυλλάβωϲ κλίνεται οἷον φαρέτρα εὐφαρέτραϲ εὐφαρέτρα, θήρα θυννοθήραϲ θυννοθήρα, βία Εὐρυβίαϲ Εὐρυβία, ἀγορά Πυθαγόραϲ Πυθαγόρα, ἀνία Παυϲανίαϲ Παυϲανία.

Τὰ εἰϲ ᾱϲ περιϲπώμενα δύο κλίϲειϲ ἐπιδέχεται καὶ ἰϲοϲυλλάβωϲ κλίνεται οἷον Μηνᾶϲ Μηνᾶ, καὶ περιττοϲυλλάβωϲ, οἷον πελεκᾶϲ πελεκᾶντοϲ· χωρὶϲ τῶν Ἰωνικῶϲ ἐκφερομένων διὰ τοῦ δοϲ, οἷον Βιττᾶϲ Βιττᾶδοϲ, Κυρᾶϲ Κυρᾶδοϲ, ἔϲτι δὲ ὀνόματα κύρια.

Τὰ εἰϲ ᾱϲ περιϲπώμενα, εἰ μόνωϲ κύρια ἢ ὑποκοριϲτικὰ ἢ ἐπιϲκόμματα ἢ ἀπὸ ϲυμβεβηκότοϲ, ἰϲοϲυλλάβωϲ κλίνεται. κύρια μὲν οἷον Μηνᾶϲ Μηνᾶ, Ζηνᾶϲ Ζηνᾶ, Μητρᾶϲ Μητρᾶ, Κομητᾶϲ Κομητᾶ, Φιλητᾶϲ Φιλητᾶ καὶ τὰ ὅμοια. ὑποκοριϲτικὰ δὲ οἷον ὀϲτρακᾶϲ ὀϲτρακᾶ, πινακᾶϲ πινακᾶ, λαχανᾶϲ λαχανᾶ. ἐπιϲκώμματα δὲ οἷον καταφαγᾶϲ καταφαγᾶ, δακνᾶϲ δακνᾶ. ἀπὸ ϲυμβεβηκότοϲ δὲ οἷον τρεϲᾶϲ τρεϲᾶ ὁ δειλόϲ. εἰ δὲ μὴ οὕτωϲ ἔχοι, περιττοϲυλλάβωϲ κλίνεται οἷον πελεκᾶϲ πελεκᾶντοϲ, ἱλᾶϲ ἱλᾶντοϲ (ϲημαίνει δὲ τὸν εὐμενῆ), ἀλλᾶϲ ἀλλᾶντοϲ, χωρὶϲ τοῦ ἀτταγᾶϲ ἀτταγᾶ· τοῦτο γὰρ ἰϲοϲυλλάβωϲ κλίνεται. ϲεϲημείωται ἐν τοῖϲ κυρίοιϲ τὸ Γλιϲᾶϲ Γλιϲᾶντοϲ περιττοϲυλλάβωϲ κλιθὲν (ἔϲτι δὲ ὄνομα πόλεωϲ) καὶ τὸ παρὰ τῷ κωμικῷ ἰϲοϲυλλάβωϲ κλινόμενον Μαρικᾶϲ βάρβαρον ὄνομα «Εὔπολιϲ μὲν τὸν Μαρικᾶν πρώτιϲτον παρείλκυϲεν» (Nub. 557) διὰ τοῦ ντ κλίνεται «ἀλλ᾽ οὖν ἔγωγέ ϲοι λέγω Μαρικᾶντα μὴ κολάζειν».

Περὶ κινήϲεωϲ τῶν εἰϲ ᾱϲ περιττοϲυλλάβωϲ κλινομένων.

Choer. 99, 12: πᾶϲα γενικὴ εἰϲ οϲ λήγουϲα τροπῇ τοῦ οϲ εἰϲ ῑ τὴν δοτικὴν ποιεῖ ὁμότονον καὶ ὁμόχρονον οἷον φωτόϲ φωτί, ἀνδρόϲ ἀνδρί, χηνόϲ χηνί, μηνόϲ μηνί, παιδόϲ παιδί, Αἴαντοϲ Αἴαντι, ταχέοϲ ταχέϊ, ἡδέοϲ ἡδέϊ. τὸ δὲ

Αἴαντι δὲ μάλιϲτα δαΐφρονι θυμὸν ὄρινε (Ξ 459)

κοινὴν ἔχει τὴν τῑ ϲυλλαβήν. ἀπαρτίζει γὰρ εἰϲ μέροϲ τοῦ λόγου τὸ ἰῶτα, καὶ τούτου χάριν ἀντὶ μακρᾶϲ παραλαμβάνεται, ὡϲ ἐπὶ τοῦ

Νέϲτορα δ᾽ οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπηϲ (Ξ 1)

ἡ θεν ϲυλλαβὴ ἀπαρτίζει εἰϲ μέροϲ λόγου καὶ ἀντὶ μακρᾶϲ παραλαμβάνεται. τὸ δὲ ταχέοϲ ταχέϊ, ἡδέοϲ ἡδέϊ ὁμότονά ἐϲτι καὶ ὁμόχρονα· ὅτε δὲ γένηται κατὰ ϲυναίρεϲιν τῷ ταχεῖ καὶ τῷ ἡδεῖ, τὸ ε̄ καὶ τὸ ῑ, εἰϲ τὴν ει δίφθογγον μετελθόντα τότε, οὔτε τόνον τῆϲ γενικῆϲ φυλάττει οὔτε χρόνον, ἐπειδὴ πέπονθεν ἡ δοτική.

---

l. 2 θυννοθήραϲ scripsi pro ϲτιννοθήραϲ. l. 7 Βιττᾶϲ pro Βιτᾶϲ scripsi ex Io. Al. 8, 18, qui habet praeterea Βοιβᾶϲ. l. 11 Φιλητᾶϲ pro Φιδιτᾶϲ scripsi; l. 13 πινακᾶϲ pro πινακιδᾶϲ cum Lob. Proll. 506 not. 33; καταφαγᾶϲ pro καταφυγᾶϲ. Observationem de Μαρικᾶϲ addidi ex fr. 8. In E. M. 234, 29 declinatio abnormis vocis Γλιϲᾶϲ ex contractione ex Γλιϲάειϲ repetitur, quod etiam ab Herodiano in An. Ox. IV traditur. l. 24 ap. Arc. 129, 1 idem de accentu traditur, quod h. l.; de ectasi vocalis ῑ in Αἴαντι cf. similem locum in Il. Pr. Ε 887.

Choer. 100, 26 et 102, 2: πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ῑ ἐκφωνούμενον λήγουϲα ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰϲοϲύλλαβον, τροπῇ τοῦ ῑ εἰϲ ᾱ αὐτὴν ποιεῖ οἷον Αἴαντι Αἴαντα, Λάχητι Λάχητα. ἐὰν δὲ εὑρεθῇ τὸ ῑ ἀνεκφώνητον, οὐ ποιεῖ τροπῇ τοῦ ῑ εἰϲ ᾱ τὴν αἰτιατικὴν οἷον τῷ Χρύϲῃ τὸν Χρύϲην, κοχλίᾳ κοχλίαν.

Ἔχει δὲ τὴν αἰτιατικὴν ἰϲοϲύλλαβον τῇ δοτικῇ τῇ εἰϲ ῑ ἐκφωνούμενον ληγούϲῃ καὶ τροπῇ τοῦ ῑ εἰϲ ᾱ αὐτὴν ποιεῖ τὰ εἰϲ ν̄ ξ̄ ρ̄ ϲ̄ ψ̄. τὰ οὖν ἀπὸ τῶν εἰϲ ν̄ ξ̄ ρ̄ ϲ̄ ψ̄ ὀνόματα ἔχει τὴν αἰτιατικὴν ἰϲοϲύλλαβον τῇ δοτικῇ, καὶ εἰϲ ῑ ἐκφωνούμενον λήγει οἷον Φοῖνιξ Φοίνικοϲ Φοίνικι Φοίνικα, Νέϲτωρ Νέϲτοροϲ Νέϲτορι Νέϲτορα, Πέλοψ Πέλοποϲ Πέλοπι Πέλοπα, Πλάτων Πλάτωνοϲ Πλάτωνι Πλάτωνα. τὸ γὰρ Ἀπόλλω καὶ Ποϲειδῶ ἀπὸ τοῦ Ἀπόλλωνα καὶ Ποϲειδῶνα γέγονε κατὰ ἀποκοπὴν τῆϲ να ϲυλλαβῆϲ. καὶ τὰ εἰϲ ϲ̄ λήγοντα ἔχει τὴν αἰτιατικὴν ἰϲοϲύλλαβον τῇ δοτικῇ, καὶ δηλονότι ἐὰν ἔχῃ τὸ ῑ ἐκφωνούμενον, τρέπει αὐτὸ εἰϲ τὸ ᾱ, καὶ ποιεῖ τὴν αἰτιατικὴν οἷον Αἴαϲ Αἴαντοϲ Αἴαντι Αἴαντα, Λάχηϲ Λάχητοϲ Λάχητι Λάχητα, ἱδρώϲ ἱδρῶτοϲ ἱδρῶτι ἱδρῶτα, τὸ γὰρ (Χ 2) «ἱδρῶ ἀπεψύχοντο» ἀπὸ τοῦ ἱδρῶτα γέγονε κατὰ ἀποκοπὴν τῆϲ τα ϲυλλαβῆϲ. δεῖ προϲθεῖναι χωρὶϲ τῶν εἰϲ ο̄ῡϲ̄, καὶ χωρὶϲ τῶν ἐχόντων εἰϲ ο̄ϲ̄ καθαρὸν τὴν γενικήν, διχρόνῳ παραληγομένου τοῦ ο̄ϲ̄. ἐπὶ τούτων γὰρ ἔϲτιν ὅτε οὐκ ἰϲοϲυλλαβεῖ οἷον, βότρυϲ βότρυοϲ βότρυϊ βότρυν, ϲτάχυϲ ϲτάχυοϲ ϲτάχυϊ ϲτάχυν, μάντιϲ μάντιοϲ μάντιϊ μάντιν, ὄφιϲ ὄφιοϲ ὄφιϊ ὄφιν, βοῦϲ βοόϲ βοΐ βοῦν, χοῦϲ χοόϲ χοΐ χόα καὶ χοῦν διχῶϲ.

Choer. 104, 14: πᾶϲα γενικὴ διὰ τοῦ ν̄τ̄ κλινομένη καὶ μὴ διφθόγγῳ παραληγομένη χωρὶϲ τῶν εἰϲ ᾱϲ μονοϲυλλάβων ὀξυτόνων ἀποβολῇ τῆϲ τ̄ο̄ϲ̄ ποιεῖ τὴν κλητικὴν οἷον Αἴαντοϲ Αἶαν, Θόαντοϲ Θόαν, Ξενοφῶντοϲ Ξενοφῶν. πρόϲκειται «χωρὶϲ τῶν εἰϲ ᾱϲ μονοϲυλλάβων ὀξυτόνων» διὰ τὸ Ζάϲ Ζαντόϲ καὶ Φθάϲ Φθάντοϲ ὦ Ζάϲ ὦ Φθάϲ ὁμοφώνωϲ τῇ εὐθείᾳ. τὰ γὰρ εἰϲ ᾱϲ ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον φυγάϲ ὦ φυγάϲ, Ἀρκάϲ ὦ Ἀρκάϲ, χαλκοκράϲ ὦ χαλκοκράϲ, τριάϲ ὦ τριάϲ, Παλλάϲ ὦ Παλλάϲ. πρόϲκειται «εἰ μὴ διφθόγγῳ παραλήγοιτο» διὰ τὸ πλακοῦντοϲ πλακοῦ καὶ Ϲιμοῦντοϲ Ϲιμοῦ, χωρὶϲ τοῦ ν̄. ἰδοὺ γὰρ ἐπὶ τούτων οὐ μόνον τὸ τοϲ ἀποβάλλει, ἀλλὰ καὶ τὸ ν̄.

Δεῖ προϲθεῖναι τῷ κανόνι χωρὶϲ τῶν μετοχῶν οἷον γράψαϲ γράψαντοϲ καὶ ὦ γράψαϲ, ποιήϲαϲ ποιήϲαντοϲ καὶ ὦ ποιήϲαϲ, ὁμοφώνωϲ τῇ εὐθείᾳ. καὶ «χωρὶϲ τῶν μετοχικῶν», ἱμάϲ γὰρ ἱμάντοϲ καὶ ὦ ἱμάϲ, ἀνδριάϲ ἀνδριάντοϲ καὶ ὦ ἀνδριάϲ, ὁμοφώνωϲ τῇ εὐθείᾳ. αἱ γὰρ μετοχαὶ καὶ τὰ μετοχικὰ ὀνόματα περιττοϲυλλάβωϲ κλινόμενα τὰϲ αὐτὰϲ

l. 25 χωρὶϲ τῶν εἰϲ ᾱ μονοϲυλλάβων ὀξυτόνων addidi ex sequentibus p. 106, 9, indidem l. 27, quae explicationi huius exceptionis inserviunt πρόϲκειται χωρὶϲ τῶν εἰϲ αϲ μονοϲυλλάβων — ὦ Παλλάϲ.

ἔχει ὀρθὰϲ καὶ κλητικὰϲ οἷον τύψαϲ τύψαντοϲ ὦ τύψαϲ, λέξαϲ λέξαντοϲ ὦ λέξαϲ, τύπτων τύπτοντοϲ ὦ τύπτων, ὁ ὀδοὺϲ τοῦ ὀδόντοϲ ὦ ὀδούϲ. πρόϲκειται «περιττοϲυλλάβωϲ κλινόμενα», ἐπειδὴ ὅτε ἰϲοϲυλλάβωϲ κλίνεται, οὐκ ἔχει τὴν αὐτὴν ὀρθὴν καὶ κλητικήν. ἰδοὺ γὰρ ὁ τυπτόμενοϲ τοῦ τυπτομένου μετοχὴ καὶ τούτου ἡ κλητικὴ ὦ τυπτόμενέ ἐϲτι· καὶ ὁ ἐρώμενοϲ τοῦ ἐρωμένου ὄνομα μετοχικὸν καὶ τούτου ἡ κλητικὴ ὦ ἐρώμενέ ἐϲτιν. ἔτι δεῖ προϲθεῖναι ἐν τῷ κανόνι «χωρὶϲ τῶν Ἀττικῶν». οἱ γὰρ Ἀττικοὶ τὰϲ αὐτὰϲ εἰώθαϲι ποιεῖν ὀρθὰϲ καὶ κλητικὰϲ οἷον ὁ Θόαϲ ὦ Θόαϲ, ὁ Αἴαϲ ὦ Αἴαϲ

ὦ οὗτοϲ Αἴαϲ, δεύτερόν ϲε προϲκαλῶ (Soph. Ai. 89),

ἔτι δεῖ προϲθεῖναι «καὶ χωρὶϲ τῶν εἰϲ αϲ ὑπὲρ δύο ϲυλλαβὰϲ βαρυτόνων παρὰ τὸ δάμνω ϲυντεθειμένων» οἷον Πολυδάμαϲ Πολυδάμαντοϲ ὦ Πολυδάμα

Πολυδάμα ϲὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύειϲ (Σ 285),

Λαοδάμαϲ Λαοδάμαντοϲ ὦ Λαοδάμα. ταῦτα δὲ λέγομεν εἶναι ποιητικά. ἢ λέγομεν ὅτι καθόλου τὰ εἰϲ ᾱϲ ὑπὲρ δύο ϲυλλαβὰϲ βαρύτονα οὐ θέλει ἔχειν τὴν κλητικὴν εἰϲ ν̄, εἴτε περιττοϲυλλάβωϲ κλίνεται εἴτε ἰϲοϲυλλάβωϲ οἷον Εὐρυδάμαϲ Εὐρυδάμαντοϲ ὦ Εὐρυδάμα, Ἀλκιδάμαϲ Ἀλκιδάμαντοϲ ὦ Ἀλκιδάμα, κοχλίαϲ κοχλίου ὦ κοχλίᾰ, Αἰνείαϲ Αἰνείου ὦ Αἰνεία χωρὶϲ εἰ μὴ ἀπὸ διϲυλλάβων εὑρεθῇ ϲύνθετα, ἐκεῖνα γὰρ τὴν τῶν ἁπλῶν φυλάττει κλίϲιν, οἷον Λυκοθόαϲ Λυκοθόαντοϲ ὦ Λυκοθόαν· τοῦ γὰρ Θόαντοϲ τὴν κλητικὴν ἐφύλαξε· καὶ πάλιν παμμέλαϲ παμμέλανοϲ ὦ παμμέλαν, τριτάλαϲ τριτάλανοϲ ὦ τριτάλαν· τὴν γὰρ τοῦ τάλαϲ καὶ μέλαϲ κλίϲιν ἐφύλαξεν. παραφυλαττόμεθα δὲ ἐν τῷ νῦν εἰρημένῳ κανόνι τὸ Εὐρυδάμαϲ ὦ Εὐρύδαμαν παρὰ τῷ Ἀλκαίῳ μετὰ τοῦ ν̄ λεγόμενον κατὰ τὴν κλητικήν, καὶ παρὰ Πινδάρῳ ὦ ἀκαμαντοχάρμαν οἷον

ὑπερμενὲϲ ἀκαμαντοχάρμαν Αἶαν,

περὶ οὗ ἔϲτιν εἰπεῖν, ὅτι κατὰ ϲυνεκδρομὴν τοῦ Αἶαν ἐγένετο ἀκαμαντοχάρμαν, μετὰ τοῦ ν̄, διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων· ἐπεὶ εἰ οὕτω ἐγένετο ὦ ἀκαμαντοχάρμα Αἶαν, ἀλλεπαλληλία ἔμελλεν εἶναι τῶν φωνηέντων, καὶ ἐκ τούτου κακοφωνία ἐγένετο.

Choer. 106, 30: πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ῑ ἐκφωνούμενον λήγουϲα τροπῇ τοῦ ῑ εἰϲ ε̄ τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ οἷον Αἴαντι

l. 25 accentum in Εὐρυδάμαν mutavi auctore Lob. El. II 279. l. 26 ante διά eieci ἤ; de ἀκαμαντοχάρμαν cf. Herod. περὶ παθῶν in E. M. 44, 15, in quo loco quae dicitur πλάνη κλίϲεωϲ, a Choerobosco dicitur ϲυνεκδρομὴ τοῦ Αἶαν, sed Herodiani sententiam in eo pervertit Choer., quod aut per synecdromen aut per ἐπαλληλίαν ἀκαμαντοχάρμαν dictum esse pronunciat, quum Herodianus κατὰ ϲυνεκδρομὴν διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων factum esse dixisse videatur. Epalleliam autem hoc loco Herodianus non repetitionem earundem vel similium vocalium, sed concursum vocalium intellexisse videtur. Sic Choeroboscus cum Herodiano conciliari potest, a quo eum abhorrere pertendit Lob. El. II 194.

Αἴαντε, λέβητι λέβητε, βοΐ βόε. χωρὶc τῶν μὴ δυναμένων κλιθῆναι εἰc δυϊκά, καὶ χωρὶc τῶν ἀπὸ τῶν εἰc ω̄ καὶ εἰc ω̄c̄ θηλυκῶν καὶ τῶν πεπονθότων. πρόcκειται «χωρὶc τῶν μὴ δυναμένων κλιθῆναι εἰc δυϊκὰ» διὰ τὸ εἷc καὶ ἕν. πῶc γὰρ τὸ εἷc καὶ τὸ ἕν εἰc δυϊκὰ κλίνεcθαι δύναται, δυϊκῷ ἀριθμῷ θεωρηθῆναι μὴ δυνάμενα; ἐὰν γὰρ παραληφθῇ ἐν δυϊκῷ ἀριθμῷ καὶ τοῦ cημαινομένου ἐκπίπτει καὶ οὐκ ἔτι cημαίνει τὸν ἕνα ἀριθμόν, ὥcπερ καὶ ἐκ τοῦ ἐναντίου ὁ δύο ἀριθμὸc οὐ δύναται ἑνικῷ ἀριθμῷ θεωρηθῆναι. πρόcκειται «καὶ χωρὶc τῶν ἀπὸ τῶν εἰc ω καὶ εἰc ω̄c̄ θηλυκῶν», ἐπειδή ἐcτιν ἡ Λητώ τῆc Λητοῦc τῇ Λητοῖ καὶ ἡ αἰδώc τῆc αἰδοῦc τῇ αἰδοῖ. καὶ ἰδοὺ ταῦτα εἰc ῑ ἐκφωνούμενον λήγει, καὶ οὐ τρέπει τὸ ῑ εἰc ε̄ καὶ ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν. οὐδὲ γὰρ λέγομεν τὰ Λητόε καὶ τὰ αἰδόε τὴν εὐθεῖαν τῶν δυϊκῶν, ἀλλὰ τὰ Λητώ καὶ τὰ αἰδώ εἰc ω̄, ὁμοφώνωc τῇ αἰτιατικῇ τῶν ἑνικῶν. πρόcκειται «χωρὶc τῶν πεπονθότων», ἐπειδὴ ἐcτι πατέρι καὶ μητέρι καὶ γίνεται κατὰ cυγκοπὴν πατρί καὶ μητρί, καὶ ἰδοὺ ταῦτα εἰc ῑ ἐκφωνούμενον λήγει, καὶ ὅμωc οὐ τρέπει τὸ ῑ εἰc τὸ ε̄ καὶ ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν· οὐδὲ λέγομεν μῆτρε καὶ πάτρε τὴν εὐθεῖαν τῶν δυϊκῶν, ἀλλὰ μητέρε καὶ πατέρε, ὡc ἀπὸ τῆc ἐντελοῦc δοτικῆc μητέρι καὶ πατέρι.

Choer. 107, 32: πᾶcα εὐθεῖα δυϊκῶν εἰc ε̄ ἢ εἰc ω̄ λήγουcα εἰc ο̄ῑν̄ ποιεῖ τὴν γενικὴν καὶ δοτικὴν οἷον Αἴαντε Αἰάντοιν, βόε βοοῖν, Ὁμήρω Ὁμήροιν, ἀνθρώπω ἀνθρώποιν χωρὶc τῶν ἐπεκτεταμένων. ἔcτι γὰρ τοιώδε καὶ τοcώδε ἡ εὐθεῖα τῶν δυϊκῶν, καὶ γίνεται ἡ γενικὴ καὶ δοτικὴ τοιοῖνδε καὶ τοcοῖνδε. ἰδοὺ γὰρ ἐνταῦθα εἰc ε̄ λήγουcα ἡ εὐθεῖα τῶν δυϊκῶν, οὐ λήγει εἰc ο̄ῑν̄ ἡ γενικὴ καὶ δοτική· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἔκταcιν ἀνεδέξατο, ἤγουν πρόcθεcιν τῆc δ̄ε̄ cυλλαβῆc. δεῖ γινώcκειν, ὅτι ἐν τούτοιc κατὰ πτῶcιν γίνεται ἡ ἔκταcιc, ἔcτι γὰρ τοίω καὶ τόcω, καὶ κατ' ἐπέκταcιν τῆc δε cυλλαβῆc γίνεται τοιώδε καὶ τοcώδε. καὶ πάλιν ἔcτι τοίοιν καὶ τόcοιν καὶ κατ' ἐπέκταcιν τῆc δ̄ε̄ cυλλαβῆc τοιοῖνδε καὶ τοcοῖνδε. τούτων οὕτωc ἐχόντων, τὸ ἄμφω καὶ δύο ἀναλόγωc ἔχει τὴν γενικὴν καὶ δοτικὴν εἰc ο̄ῑν̄, ἀμφοῖν καὶ δυοῖν. τὸ δὲ δυοῖν γίνεται καὶ δυεῖν διὰ τῆc ε̄ῑ διφθόγγου κατὰ τροπὴν τοῦ ο̄ εἰc τὸ ε̄.

Choer. 108, 17: δεῖ γινώcκειν ὅτι ἐν τοῖc δυϊκοῖc cυνημμέναι εἰcὶν αἱ πτώcειc· ὀρθὴν γὰρ καὶ αἰτιατικὴν ὁμοῦ λέγομεν, καὶ γενικὴν καὶ δοτικὴν πάλιν ὁμοῦ. καὶ ἄξιόν ἐcτι ζητῆcαι, διὰ ποίαν αἰτίαν ἐν τοῖc δυϊκοῖc cυνημμέναι εἰcὶν αἱ πτώcειc· καὶ ἔcτιν εἰπεῖν ὅτι τὰ δυϊκὰ ὑcτερογενῆ ἐcτιν, ὅθεν πολλάκιc καὶ τοῖc πληθυντικοῖc κεχρήμεθα ἀντὶ τῶν δυϊκῶν ἐν τῇ κοινῇ διαλέκτῳ. ὅτι γὰρ ὑcτερογενῆ ἐcτι τὰ δυϊκὰ δῆλον

l. 36 cf. p. 505, 34, unde hanc sententiam a Philoxeno recepisse Herodianum comperimus; prior quae hanc praecedit, explicatio e rerum natura petita ab Apollonio proposita videtur.

ἀφ' ὧν οὐ πᾶϲαι αἱ διάλεκτοι ἔχουϲι δυϊκά· ἰδοὺ γὰρ οἱ Αἰολεῖϲ οὐκ ἔχουϲι δυϊκά, ὅθεν οὐδὲ οἱ Ῥωμαῖοι, ἄποικοι ὄντεϲ τῶν Αἰολέων, κέχρηνται τῷ δυϊκῷ ἀριθμῷ. ἐπειδὴ οὖν τὰ δυϊκὰ ὑϲτερογενῆ ἐϲτι καὶ διὰ τῶν πληθυντικῶν, ὡϲ εἴρηται, πολλάκιϲ ἀναπληροῦται παρὰ τῇ κοινῇ διαλέκτῳ, εἰκότωϲ οὐκ ἔχει πλατείαϲ φωνάϲ.

Choer. 109, 11: ἄξιόν ἐϲτι ζητῆϲαι, διὰ ποίαν αἰτίαν ἐν τοῖϲ δυϊκοῖϲ ὀρθὴν καὶ αἰτιατικὴν λέγομεν ὁμοῦ, καὶ γενικὴν καὶ δοτικὴν ὁμοῦ λέγομεν, καὶ πάλιν καὶ μὴ τυχὸν ὀρθὴν καὶ γενικὴν λέγομεν καὶ δοτικὴν καὶ αἰτιατικήν. καὶ ἔϲτιν εἰπεῖν εὐλόγωϲ ὀρθὴν καὶ αἰτιατικὴν λέγομεν, ἐπειδὴ ϲυγγένειαν ἔχει ἡ ὀρθὴ πρὸϲ τὴν αἰτιατικήν, καὶ δῆλον ἐκ τῶν οὐδετέρων· καὶ γὰρ ἐν τοῖϲ οὐδετέροιϲ τὴν αὐτὴν λέγομεν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικὴν οἷον τὸ βῆμα τοῦ βήματοϲ τῷ βήματι τὸ βῆμα ὦ βῆμα. δεικνύομεν δὲ καὶ ἀπὸ τούτων τῆϲ εὐθείαϲ τὴν ϲυγγένειαν πρὸϲ τὴν αἰτιατικήν, καὶ τῆϲ γενικῆϲ πρὸϲ τὴν δοτικήν. ἰδοὺ γὰρ ἔϲτιν ἄνθρωποϲ καὶ Ὅμηροϲ καὶ ταῦτα προπαροξύνεται κατὰ τὴν εὐθεῖαν· ἐν δὲ τῇ γενικῇ καὶ δοτικῇ πρὸ μιᾶϲ ἔχει τὸν τόνον, τουτέϲτι παροξύνεται, οἷον ἀνθρώπου ἀνθρώπῳ, Ὁμήρου Ὁμήρῳ· καὶ ἰδοὺ ἡ γενικὴ καὶ δοτικὴ τὸν αὐτὸν ἔχουϲι τόνον. ἡ δὲ αἰτιατικὴ πρὸϲ τὴν εὐθεῖαν γίνεται, τουτέϲτι προπαροξύνεται, οἷον ἄνθρωπον Ὅμηρον, ὥϲπερ ἄνθρωποϲ Ὅμηροϲ· καὶ ἰδοὺ εὑρίϲκεται ἡ μὲν δοτικὴ ἔχουϲα τὴν ὁμοιότητα πρὸϲ τὴν γενικήν, ἡ δὲ αἰτιατικὴ πρὸϲ τὴν εὐθεῖαν. διὰ τοῦτο οὖν ἐν τοῖϲ δυϊκοῖϲ λέγομεν ὀρθὴν καὶ αἰτιατικὴν ὁμοῦ, καὶ πάλιν γενικὴν καὶ δοτικήν.

Choer. 110, 17: ἄξιον δέ ἐϲτι ζητῆϲαι, διὰ ποίαν αἰτίαν ἐπὶ μὲν τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ἡ αὐτή ἐϲτιν ὀρθὴ καὶ κλητικὴ οἷον τὼ Αἴαντε ὦ Αἴαντε, οἱ Αἴαντεϲ ὦ Αἴαντεϲ, ἐπὶ δὲ τοῖϲ ἑνικοῖϲ οὐ πάντωϲ, ἔϲτι γὰρ ὅτε διαλλάϲϲουϲιν οἷον ὁ Αἴαϲ ὦ Αἶαν, καὶ ἔϲτιν ὅτε ὁμοφωνοῦϲιν οἷον ὁ Λάχηϲ ὦ Λάχηϲ. ἔϲτιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην, ὅτι τῆϲ μὲν γενικῆϲ μήτηρ ἐϲτὶν ἡ εὐθεῖα, ἐξ αὐτῆϲ γὰρ τίκτεται ἡ γενική, τῶν δὲ ἄλλων πτώϲεων μήτηρ ἐϲτὶν ἡ γενική. ἐπειδὴ οὖν ἐν τοῖϲ δυϊκοῖϲ ἕν ἐϲτι τελικὸν τῆϲ γενικῆϲ, φημὶ δὲ τὸ ν̄, οἷον τοῖν Αἰάντοιν, ταῖν Ἑλέναιν, ὁμοίωϲ δὲ καὶ ἐν τοῖϲ πληθυντικοῖϲ ἀεὶ τὸ αὐτό ἐϲτι τελικὸν τῆϲ γενικῆϲ, φημὶ δὴ τὸ ν̄, οἷον τῶν Αἰάντων, τῶν μουϲῶν, εἰκότωϲ ἐπειδὴ οὐκ ἐγένετο διάφοροϲ ἡ γενικὴ πρὸϲ τὴν ἰδίαν εὐθεῖαν, οὐδὲ ἡ κλητικὴ διάφοροϲ γέγονεν, ἐν δὲ τοῖϲ ἑνικοῖϲ ἐπειδὴ οὐκ ἔϲτιν ἓν τὸ τελικὸν τῆϲ γενικῆϲ (ποτὲ μὲν γάρ ἐϲτι τὸ ϲ̄ οἷον Αἴαϲ Αἴαντοϲ, ποτὲ δὲ τὸ ῡ οἷον κοχλίαϲ κοχλίου, ποτὲ δὲ τὸ ᾱ οἷον Μηνᾶϲ Μηνᾶ), εἰκότωϲ ἐπειδὴ τῆϲ γενικῆϲ τῆϲ ἐν τοῖϲ ἑνικοῖϲ οὐκ ἔϲτιν ἡ κατάληξιϲ μία, ἀλλὰ διάφοροϲ, καὶ ἡ κλητικὴ ὁμοίωϲ ἐν τοῖϲ ἑνικοῖϲ πολλάκιϲ πρὸϲ τὴν ἰδίαν εὐθεῖαν διάφοροϲ γίνεται· οἱ μέν τοι Ἀττικοὶ τὰϲ αὐτὰϲ καὶ ἐπὶ τῶν ἑνικῶν εἰώθαϲι ποιεῖν ὀρθὰϲ καὶ κλητικὰϲ οἷον Αἴαϲ ὦ Αἴαϲ

Αἴαϲ, δεύτερόν ϲε προϲφωνῶ (immo προϲκαλῶ) (Soph. Ai. 89),

οὗτος ὦ οὗτος, ἥλιος ὦ ἥλιος
Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις (Γ 277).
ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν εἰώθασιν οἱ Ἀττικοὶ ποιεῖν τὰς αὐτὰς ὀρθὰς καὶ κλητικάς· καὶ ἔστιν εἰπεῖν ὅτι ἐπειδὴ ἐπὶ τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὥσπερ ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική, τούτου χάριν καὶ ἐν τοῖς ἑνικοῖς τὴν αὐτὴν ὀρθὴν καὶ κλητικὴν ποιοῦσιν, ἵνα καὶ ἐπὶ αὐτοῖς ἡ αὐτὴ ἀκολουθία φυλαχθῇ. ἄλλως τε δὲ πέντε τελικά ἐστι τῶν ἀρσενικῶν ὀνομάτων στοιχεῖα, ν̄, ξ̄, ρ̄, ς̄, ψ̄· τὰ μὲν οὖν ἀπὸ τῶν εἰς ν̄, ξ̄, ρ̄, ψ τὸ αὐτὸ σύμφωνον ἔχει καὶ ἐν τῇ κλητικῇ ὅπερ καὶ ἐν τῇ εὐθείᾳ οἷον ὁ Πλάτων ὦ Πλάτων, Φοῖνιξ ὦ Φοῖνιξ, Ἕκτωρ ὦ Ἕκτορ, Πέλοψ ὦ Πέλοψ· τὰ δὲ ἀπὸ τῶν εἰς ς̄ οὐ πάντως ἔχει τὸ αὐτὸ σύμφωνον ἐν τῇ κλητικῇ ὅπερ καὶ ἐν τῇ εὐθείᾳ οἷον ὁ Αἴας ὦ Αἶαν, ὁ Χρύσης ὦ Χρύση. τούτου οὖν χάριν οἱ Ἀττικοὶ τὰς αὐτὰς ὀρθὰς καὶ κλητικὰς ποιοῦσιν, ἵνα καὶ ἐπὶ τῶν εἰς ς̄ ληγόντων εὑρεθῇ ἡ κλητικὴ τὸ αὐτὸ σύμφωνον ἔχουσα ὅπερ καὶ ἡ εὐθεῖα.

Choer. 111, 25: πᾶσα εὐθεία δυϊκῶν εἰς ε̄ λήγουσα προσθέσει τοῦ ς̄ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, οἷον Αἴαντε Αἴαντες, μύε μύες, χάριτε χάριτες, ἀσπίδε ἀσπίδες. χωρὶς τῶν οὐδετέρων, τὼ βήματε γὰρ ἡ εὐθεῖα τῶν δυϊκῶν εἰς ε̄, καὶ ὅμως οὐ ποιεῖ προσθέσει τοῦ ς̄ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, τὰ βήματα γὰρ ἡ εὐθεῖα τῶν πληθυντικῶν εἰς ᾱ.

Choer. 113, 11: πᾶσα γενικὴ πληθυντικὴ εἰς ων̄ λήγει ἐπὶ παντὸς γένους οἷον Αἰάντων, Λαχήτων, μουσῶν, μαιῶν, βημάτων, δοράτων, χωρὶς τῶν μονοπτώτων, οἱ πέντε γὰρ τῶν πέντε, καὶ οἱ ἑπτά τῶν ἑπτά, καὶ οἱ ἑκατόν τῶν ἑκατόν, καὶ χωρὶς τῶν ἐπεκτεταμένων, τῶν τοιῶνδε καὶ τῶν τοσῶνδε, — καὶ χωρὶς τῶν κατὰ διάλεκτον, Ἀτρειδᾶν γὰρ καὶ νυμφᾶν λέγουσιν οἱ Δωριεῖς ἀντὶ τοῦ Ἀτρειδῶν καὶ νυμφῶν.

Choer. 113, 22: πᾶσα εὐθεῖα εἰς ς̄ λήγουσα μετὰ μακρᾶς, περιττοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικήν, προσθέσει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν οἷον λέβης λέβητος λέβησι, Τρώς Τρωός Τρωσί, Πηλεύς Πηλέως Πηλεῦσι, Αἴας Αἴαντος Αἴασιν. πρόσκειται «εἰς ς̄ λήγουσα» διὰ τὰ εἰς ν̄ λήγοντα οἷον διὰ τὸ αὐχήν καὶ ποιμήν καὶ ὅσα τοιαῦτα· οὐδὲ γὰρ προσθέσει τοῦ ῑ ποιεῖ ταῦτα τὴν δοτικὴν τῶν πληθυντικῶν, οὐδὲ γὰρ λέγομεν τοῖς αὐχῆνι καὶ τοῖς ποιμῆνι, ἀλλὰ τοῖς αὐχέσι καὶ τοῖς ποιμέσι. πρόσκειται «μετὰ μακρᾶς» διὰ τὸ ταχύς καὶ βραδύς καὶ τὰ τοιαῦτα· οὐδὲ γὰρ προσθέσει τοῦ ῑ ποιεῖ ταῦτα τὴν δοτικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν τοῖς ταχύσι καὶ τοῖς βραδύσιν, ἀλλὰ τοῖς ταχέσι καὶ τοῖς βρα-

---

l. 26 omisi verba, quae post τοσῶνδε leguntur: καὶ χωρὶς τῶν κατὰ μεταπλασμόν, τὸ γὰρ ἱπποτᾶν ἀντ τοῦ ἱπποτῶν καὶ ἀρχηγετᾶν (pro ἀρχετᾶν scr.) ἀντὶ τοῦ ἀρχηγετῶν. nam etiam haec dialectica sunt.

δέςιν, ἐπειδὴ οὐκ ἔχει ἐκτεταμένον τὸ ῡ ἀλλὰ ςυνεςταλμένον. λέγει ὁ τεχνικὸς «πλὴν τοῦ πούς ποδός ποςί», ἐπειδὴ ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζεται. πᾶςα γὰρ δοτικὴ ἑνικῶν εἰς δι λήγουςα τροπῇ τοῦ δ εἰς ϲ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, οἷον Πάριδι Πάριςι, ἔριδι ἔριςι, Ἀδώνιδι Ἀδώνιςι, Ἀθήνιδι Ἀθήνιςιν, οὕτως οὖν καὶ ποδί ποςί. δεῖ προςθεῖναι «καὶ χωρὶς τῶν εἰς υς τῶν ἐχόντων τὸ ῡ ἐκτεταμένον»· ἐκεῖνα γὰρ προςλαμβάνει τὸ ῑ καὶ οὐ φυλάττει τὸ ῡ ἐκτεταμένον ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, ἀλλὰ ςυςτέλλει αὐτὸ οἷον

ἰχθῦς ὅς κε φάγηςι Λυκάονος ἀργέτα δημὸν (Φ 127),

ἰχθύος ἰχθύςι διὰ ςυνεςταλμένου τοῦ υ

ἰχθύςι τοῖς ὀλίγοιςι (μ 252),

καὶ πάλιν δρῦς δρυός δρυςίν ὁμοίως διὰ ςυνεςταλμένου τοῦ ῠ·

παρὰ δρυςὶ καὶ παρὰ πεύκαις.

ταῦτα δὲ καθόλου ςυςτέλλει τὸ ῡ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν.

Choer. 115, 12: ἔτι δεῖ προςθεῖναι «χωρὶς τοῦ υἱέςι παρ' Ἀθηναίοις», υἱεύς γὰρ ἡ εὐθεῖα τῶν ἑνικῶν ὡς Πηλεύς, καὶ λέγουςι τὴν δοτικὴν τῶν πληθυντικῶν υἱέςιν, ὀφείλοντες εἰπεῖν τοῖς υἱεῦςιν ὥςπερ τοῖς Πηλεῦςι, «καὶ τοῦ δρομέςι παρὰ Καλλιμάχῳ»· ἐκεῖνο γὰρ οὗτος ἐπέγραψεν, ὀφείλων ἐπιγράψαι δρομεῦςι· δρομεύς γάρ ἐςτιν ἡ εὐθεῖα τῶν ἑνικῶν. ἔτι δεῖ προςθεῖναι καὶ χωρὶς τοῦ τάλας καὶ τοῦ μέλας, εἰς ϲ γάρ ἐςτιν ἡ εὐθεῖα ἐπὶ πάντων μετὰ μακρᾶς, καὶ περιττοςυλλάβως κλίνεται τάλανος καὶ μέλανος, καὶ οὐ ςυναιρεῖται κατὰ τὴν γενικήν, καὶ ὅμως οὐ φυλάττει τὸ ᾱ ἐκτεταμένον ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν ἀλλὰ ςυνεςταλμένον· καὶ λέγομεν ὅτι ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, οἷον ἀπὸ τῆς τάλανι καὶ μέλανι, τροπῇ τοῦ ν εἰς ϲ· πᾶςα γὰρ εὐθεῖα εἰς ν λήγουςα τροπῇ τοῦ ν εἰς ϲ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ οἷον μηνί μηςί, χηνί χηςί, ποιμένι ποιμέςι, λιμένι λιμέςι, Πλάτωνι Πλάτωςι, Μέμνονι Μέμνοςι, Τρύφωνι Τρύφωςι· οὕτως οὖν καὶ τάλανι τάλαςι καὶ μέλανι μέλαςι. καὶ λοιπόν, ἐπειδὴ ἡ δοτικὴ τῶν ἑνικῶν ςυςτέλλει τὸ α, εἰκότως καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν ςυςτέλλει αὐτό, ὡς ἐξ αὐτῆς γεγενημένη.

Choer. 116, 12: ἔτι δεῖ προςθεῖναι «καὶ χωρὶς τοῦ κτείς κτενός, δείς δενός», ὅπερ μετὰ τῆς οὐ ἀποφάςεως καὶ τῆς μή ἀπαγορεύςεως γίνεται οὐδείς οὐδενός καὶ μηδείς μηδενός. ταῦτα γὰρ οὐ προςλαμβάνει τὸ ῑ κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν καὶ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, οὐδὲ γὰρ λέγομεν τοῖς κτειςίν καὶ τοῖς δειςί καὶ τοῖς μηδειςίν, ἀλλὰ τοῖς κτεςί καὶ τοῖς οὐδέςι διὰ τοῦ ε̄ μόνον, ἀπὸ γὰρ τῆς δοτικῆς

l. 6 omisi in exceptione de dativo in δι exeunte verba μὴ οὖςα κατὰ μεταπλαςμόν ut ab Herodiani doctrina aliena, nam is omnino metaplasmos in ipsis demum casibus fieri opinabatur. l. 14 cf. fr. 21. l. 26 omisi post λήγουςα verba μὴ οὖςα κατὰ μεταπλαςμόν propter causam modo prolatam.

τῶν ἑνικῶν γίνεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, τροπῇ τοῦ ν εἰς c̄ οἷον κτενί κτεcί, μηδενί μηδέcι, οὐδενί οὐδέcιν. ἔτι δεῖ προcθεῖναι «καὶ χωρὶς τῶν εἰς ωc μετοχικῶν ὀνομάτων καὶ τῶν εἰς ωc μετοχῶν», οἷον Ἀραρώc Ἀραρότοc Ἀραρόcιν, ἔcτι δὲ ὄνομα υἱοῦ τοῦ Ἀριcτοφάνουc, ὑποδεδιώc ὑποδεδιότοc ὑποδεδιόcιν, ἔcτι δὲ εἶδοc ὀρνέου, τετυφώc τετυφότοc τετυφόcι, πεποιηκώc πεποιηκότοc πεποιηκόcι. καὶ λέγομεν ὅτι ἀπὸ τῆc δοτικῆc τῶν ἑνικῶν γίνεται ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν, οἷον ἀπὸ τῆc Ἀραρότι καὶ ὑποδεδιότι καὶ τετυφότι καὶ πεποιηκότι. κανὼν γάρ ἐcτιν ὁ λέγων, ὅτι πᾶcα δοτικὴ ἑνικῶν εἰc ῑ ἐκφωνούμενον λήγουcα, πρὸ τοῦ ῑ λαμβάνουcα τὸ c̄, καὶ ἀποβάλλουcα τὰ μὴ δυνάμενα cὺν αὐτῷ ἐκφωνηθῆναι cτοιχεῖα, τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ οἷον ὄφεϊ ὄφεcι, ἠδέϊ ἠδέcι, ταχέϊ ταχέcι, βραδέϊ βραδέcι, Πλάτωνι Πλάτωcι, Μέμνονι Μέμνοcι, Ἕκτορι Ἕκτορcι, Πάριδι Πάριcιν· οὕτωc οὖν καὶ Ἀραρότι Ἀραρόcι, καὶ ὑποδεδιότι ὑποδεδιόcι, καὶ τετυφότι τετυφόcι, καὶ πεποιηκότι πεποιηκόcι, τοῦ c̄ προcελθόντοc καὶ ἀποβληθέντων τῶν μὴ δυναμένων cὺν αὐτῷ ἐκφωνηθῆναι cτοιχείων.

Choer. 117, 25: πᾶcα αἰτιατικὴ ἑνικῶν εἰc ᾱ λήγουcα προcθέcει τοῦ c̄ ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, οἷον Αἴαντα Αἴαντας, Θόαντα Θόαντας, Λάχητα Λάχητας, ἔρωτα ἔρωτας, Κύπριδα Κύπριδας. χωρὶc τῶν ἀπὸ τῶν εἰc ω̄ καὶ εἰc ω̄c θηλυκῶν καὶ τῶν οὐδετέρων καὶ τῶν πεπονθότων. πρόcκειται «χωρὶc μὲν τῶν ἀπὸ τῶν εἰc ω καὶ εἰc ωc» διὰ τὸ ἡ Λητώ καὶ ἡ Cαπφώ καὶ ἡ αἰδώc καὶ ἡ ἠώc, ἰδοὺ γὰρ ἐπὶ τούτων αἱ ἑνικαὶ καὶ αἰτιατικαὶ αὐτῶν εἰc ᾱ λήγουcιν, οἷον τὴν Λητόα καὶ Cαπφόα καὶ αἰδόα καὶ ἠόα, καὶ ὅμωc αἱ πληθυντικαὶ αἰτιατικαὶ αὐτῶν οὐ γίνονται προcθέcει τοῦ c̄, οὐδὲ γὰρ λέγομεν τὰc Λητόαc καὶ Cαπφόαc καὶ τὰc αἰδόαc καὶ ἠόαc, ἀλλὰ τὰc Λητοῦc καὶ Cαπφοῦc καὶ τὰc αἰδοῦc καὶ ἠοῦc. «χωρὶc δὲ τῶν οὐδετέρων» πρόcκειται διὰ τὸ βῆμα καὶ ἅρμα. ἰδοὺ γὰρ ἐπὶ τούτων εἰc α λήγει ἡ αἰτιατικὴ τῶν ἑνικῶν, καὶ ὅμωc οὐ ποιεῖ προcθέcει τοῦ c̄ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ λέγομεν βῆμαc καὶ ἅρμαc τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, ἀλλὰ τὰ βήματα καὶ τὰ ἅρματα. πρόcκειται «χωρὶc τῶν πεπονθότων» διὰ τὸ νιφάc νιφάδοc νιφάδι νιφάδα. τὸ γὰρ νιφάδα γίνεται κατὰ πάθοc, ἤγουν κατὰ ἀποκοπήν, νίφα, ὡc παρὰ τῷ ποιητῇ (Hesiod. Opp. 533)

ἀλευάμενοc νίφα λευκήν,

ἰδοὺ γὰρ εἰc ᾱ λήγει ἡ αἰτιατικὴ τῶν ἑνικῶν, καὶ ὅμωc οὐ ποιεῖ προcθέcει τοῦ c̄ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, οὐδὲ γὰρ λέγομεν τὰc νίφαc, ἀλλὰ τὰc νιφάδαc.

---

l. 12 ἠδέϊ ἠδέcι quod sententia flagitat et Lascar. praebet, pro Πηλέϊ Πηλεῦcι posui et ταχέcι pro ταχεῦcι. l. 34 de νίφα apocopato cf. Io. Al. 12, 19, Choer. 419, 25.

Περὶ κινήcεωc τῶν εἰc ας ἰcocυλλάβωc κλινομένων.

Choer. 121, 23: πᾶcα γενικὴ ἰcocυλλάβωc κλινομένη μακροκαταληκτεῖν θέλει οἷον ἄνθρωπος ἀνθρώπου, Ὅμηρος Ὁμήρου, δίψα δίψης, μοῦcα μούcης, Ἀντιόχεια Ἀντιοχείας, Ἀπάμεια Ἀπαμείας, Μήδεια Μηδείας· αἱ πατρός καὶ μητρός γενικαὶ ἰcocυλλαβοῦcαι ταῖc ἰδίαιc εὐθείαιc, καὶ μὴ μακροκαταληκτοῦcαι, οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐ κλίνονται ἰcocυλλάβωc· πατήρ γὰρ πατέρος ἦcαν καὶ μήτηρ μητέρος, καὶ κατὰ cυγκοπὴν τοῦ ε̄ γεγόναcι πατρός καὶ μητρός, καὶ λοιπὸν ἡ cυγκοπὴ γέγονεν αἰτία τῆc κλίcεωc.

Choer. 120, 9: ἐπὶ τῶν εἰc ας βαρυτόνων ἐὰν εὕρωμεν εἰc α τὴν γενικὴν οἷον τοῦ Παπίᾳ καὶ τοῦ κοχλία, Δωρικὴν αὐτὴν λέγομεν, τῇ κοινῇ διαλέκτῳ cυνήθη γενομένην· ἐπὶ δὲ τῶν εἰc ας περιcπωμένων ἐὰν εἰc α̅ εὕρωμεν τὴν γενικήν, οὐκέτι Δωρικὴν αὐτὴν λέγομεν, ἀλλὰ κοινὴν οἷον ὁ Μηνᾶc τοῦ Μηνᾶ, ὁ Ζηνᾶc τοῦ Ζηνᾶ, ὁ μητρᾶc τοῦ μητρᾶ. δεῖ γινώcκειν ὅτι τὸ Αἰνείας Αἰνείου Αἰνεία λέγουcιν οἱ Δωριεῖc διὰ μακροῦ τοῦ α, οἱ δὲ Βοιωτοὶ Αἰνείαο προcτιθέντες τὸ ο̅, οἱ δὲ Ἴωνες Αἰνείεω, τὸ α εἰc ε̄ τρέποντες καὶ τὸ ο εἰc ω. ἰcτέον δὲ ὅτι τὸ Αἰνείαο ἐκτείνεται κατὰ τὴν παραλήγουcαν. πᾶcα γὰρ γενικὴ ὀνόματος εἰc φωνῆεν λήγουcα καὶ περιττοcυλλαβοῦcα τῆc ἰδίαc εὐθείαc ἐκτείνει τὴν λήγουcαν καὶ cυcτέλλει τὴν παραλήγουcαν οἷον Ἀτρείδεω, Πριαμίδεω· ἢ cυcτέλλει τὴν λήγουcαν καὶ ἐκτείνει τὴν παραλήγουcαν οἷον καλοῖο, coφοῖο, Πριάμοιο, ποταμοῖο, ὠκεανοῖο. εἰ οὖν τὸ Αἰνείαο οὐκ ἐξέτεινε τὴν τελευταίαν cυλλαβήν, ἀνάγκην ἔχει τὴν παραλήγουcαν ἐκτεῖναι.

Choer. 122, 7: πᾶcα δοτικὴ ἑνικῶν ἰcocυλλαβοῦcα τῇ ἰδίᾳ γενικῇ καὶ ἰcοχρονεῖν αὐτῇ θέλει οἷον Αἴαντος Αἴαντι, Λάχητος Λάχητι, Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ, Μηδείας Μηδείᾳ.

Choer. 121, 9 et 123, 1: πᾶcα γενικὴ ἰcocυλλαβοῦcα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰc ι̅ ἀνεκφώνητον λήγουcαν — οἷον ὁ Πέρcης τοῦ Πέρcου τῷ Πέρcῃ, Αἰνείας Αἰνείου Αἰνείᾳ, Μήδεια Μηδείας Μηδείᾳ, Ὅμηρος Ὁμήρου Ὁμήρῳ. χωρὶc τῶν εἰc υc ὑποκοριcτικῶν, τὰ γὰρ εἰc υc ὑποκοριcτικὰ ἔχει τὴν γενικὴν ἰcocύλλαβον τῇ εὐθείᾳ, καὶ ὅμως οὐκ ἔχει τὴν δοτικὴν εἰc ι̅ ἀνεκφώνητον λήγουcαν οἷον ὁ Διονῦc τοῦ Διονῦ τῷ Διονῦ, ὁ Καμμῦc τοῦ Καμμῦ τῷ Καμμῦ, ὁ Λαρδῦc τοῦ Λαρδῦ τῷ

l. 29 ex canone Theodosii omisi verba μετὰ φωνήεντος τῆc εὐθείαc ἢ μείζονος ἀντιcτοίχου, quum ω ex posteriorum grammaticorum more ἀντίcτοιχον τοῦ ο vocatum sit; Herodianus dixerat sic fere μετὰ φωνήεντος τῆc εὐθείαc, εἰ μακρόν ἐcτιν, ἢ ἐκταθέντος, εἰ βραχύ ἐcτιν; sed praemisso canone de pari quantitate genetivi et dativi haec facile desiderari possunt. De genetivo deminutivorum cf. Herod. Mon. 31, 11 ὧν (sc. τῶν ὑποκοριcτικὴν ἔννοιαν ἐχόντων) οὐδὲ αἱ γενικαὶ παρόμοιοι τῷ προκειμένῳ (sc. τῷ ἰχθῦc)· ἰχθύος γὰρ λέγεται. οὐ μεμελέτηκε δὲ ἀπφύος λέγεcθαι. Cf. Lob. El. II 22.

Λαρδῦ, ὁ Κλαυcῦc τοῦ Κλαυcῦ τῷ Κλαυcῦ. τούτων γὰρ αἱ δοτικαὶ χωρὶc τοῦ ῑ εἰcίν. οὐκ ἠδύνατο γὰρ ταῦτα τὰ ὀνόματα ἔχειν ἐν τῇ δοτικῇ τὸ ῑ, ἐπειδὴ οὐδέποτε ἡ ῡῑ δίφθογγοc ἐν τέλει λέξεωc εὑρίcκεται, οἷον μυῖα, ἅρπυια, υἱόc· ἐν γὰρ τῷ

cύμβαλον ἀμφὶ νέκυϊ κατατεθνειῶτι μάχεcθαι (Π 565)

οὐκ ἔcτιν ἐν διφθόγγῳ τὸ υ καὶ τὸ ῑ, ἀλλ' ἐν τῷ μέτρῳ κατὰ cυνίζηcιν μετρεῖται, ὥcπερ ἐν τῷ

χρυcέῳ ἀνὰ cκήπτρῳ (A 15)

τὸ ε̄ καὶ τὸ ῳ̄ δίφθογγοc εἰc μίαν cυλλαβὴν μετρεῖται, οἷον χρυcῷ.

Choer. 123, 26: ἰcτέον δὲ ὅτι οὐ μόνον τὰ εἰc ῡc ὑποκοριcτικὰ cημειούμεθα ἐν τῷ κανόνι, ἀλλὰ καὶ τὰ εἰc ῑc περιcπώμενα· ταῦτα γὰρ ἀποβολῇ τοῦ c̄ ποιεῖ τὴν γενικὴν οἷον ὁ κομβῖc τοῦ κομβῖ. ἰδοὺ ἡ δοτικὴ οὐκ ἔχει ἀνεκφώνητον τὸ ῑ, ἀλλ' ἐκφωνούμενον οἷον τῷ κομβῖ, ἐπειδὴ οὔτε τὸ η̄ ἔχει οὔτε τὸ ω̄ οὔτε τὸ α μακρόν, ἀλλὰ τὸ ῑ· τότε δὲ τὸ ῑ ἀνεκφώνητόν ἐcτι, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η ἢ μετὰ τοῦ ω̄ ἢ μετὰ τοῦ α μακροῦ ἐν μιᾷ cυλλαβῇ. ἰcτέον δὲ ὅτι μονήρέc ἐcτι τὸ ὄνομα τοῦτο, οὐκ ἔχει γὰρ ἄλλο ὅμοιον αὐτῷ ἐν χρήcει.

Choer. 124, 5: ἔτι δεῖ προcθεῖναι «χωρὶc τῶν κατὰ διάλεκτον», ἐπειδὴ οἱ Αἰολεῖc ταῖc εἰc ω̄ ληγούcαιc δοτικαῖc οὐ προcγράφουcι τὸ ῑ, τῷ Ὁμήρω γάρ φαcι καὶ τῷ cοφῶ χωρὶc τοῦ ῑ. καὶ πάλιν οἱ Βοιωτοὶ ταῖc εἰc η̄ ληγούcαιc δοτικαῖc οὐ προcγράφουcι τὸ ῑ, τῇ Ἑλένη γάρ φαcι καὶ τῇ Πηνελόπη χωρὶc τοῦ ῑ. ἔτι δεῖ προcθεῖναι «καὶ χωρὶc τῶν διὰ τὸ μέτρον». ἔcτι γὰρ ὁ ζελᾶc τοῦ ζελᾶ τῷ ζελᾶ (οὕτωc δὲ λέγεται κατὰ Θρᾷκαc ὁ οἶνοc), καὶ τούτου ἡ δοτικὴ εὑρίcκεται παρ' Εὐπόλιδι χωρὶc τοῦ ῑ. cυcτεῖλαι γὰρ βουλόμενοc τὸ ᾱ οὐ προcέγραψε τὸ ῑ, οἷον

ταυτὸν ποιεῖ τό τ' Ἀττικὸν τῷ ζελά, cὺν γὰρ κεραννοῖc (κεράννυc).

ἔτι δεῖ προcθεῖναι «καὶ χωρὶc τῶν πεπονθότων». ἔcτι γὰρ τῷ κυανοχαίτῃ, καὶ γίνεται κατὰ μεταπλαcμὸν τῷ κυανοχαίτα, καὶ οὐκ ἔχει προcγεγραμμένον τὸ ῑ, οἷον ὡc παρὰ Ἀντιμάχῳ,

πατρί τε κυανοχαῖτα Ποcειδάωνι πεποιθώc,

ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ πέπονθεν. καὶ πάλιν ἔcτι πατήρ πα-

l. 12 κομβῖc memoratur inter hypocoristica etiam in Schol. ad Dionys. 857, 8, ubi tamen oxytonos scriptum est ὁ κομβίc τοῦ κομβίc (?). l. 25 Εὐπόλιδι pro Εὐριπίδῃ Cod. Marc. apud Gaisf. E. M. p. 7. l. 29 cf. Eust. 75, 30 τὸ ἱππότηc ἱππότα καὶ ὅμοια ἀπὸ τῶν εἰc ηc εὐθειῶν εἰc α μεταπεcόντα μεταπλαcμὸν παράδοξον ἔπαθεν. ἔcτι δὲ κατὰ τοὺc παλαιοὺc Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτοc τύποc τοῦ cχηματιcμοῦ, διὸ καί τινα ἐκ τούτων προπαροξύνεται ὡc ἐνταῦθα τὸ μητίετα Ζεύc cf. Il. Pr. 508 et 510. Π 185. An. Par. III 338, 15 μητίετα Ζεύc: ἰcτέον ὅτι ταῦτα κατὰ ποιητικὴν ἄδειαν λέγεται ὡc ἱππότα Νέcτωρ καὶ μητίετα Ζεύc. καὶ «αὐτὰρ ὁ Θυέcτα» καὶ τὰ τούτοιc ὅμοια. ταῦτα γὰρ καὶ μονόπτωτά ἐcτι καὶ ποιητικῷ μεταπλαcμῷ λέγεται εἶναι αὐτά. διὸ καὶ ἄκλιτα ἔμεινεν. Vide etiam Lobeck Parall. p. 184.

τρόc πατρί, καὶ μήτηρ μητρόc μητρί, καὶ ἰδοὺ ἐπὶ τούτων ἡ γενικὴ ἰcocυλλαβεῖ τῇ εὐθείᾳ, καὶ οὐκ ἔχει τὴν δοτικὴν εἰc ῑ ἀνεκφώνητον λήγουcαν, ἀλλ' εἰc ῑ ἐκφωνούμενον· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ πέπονθεν ἡ γενικὴ καὶ ἰcocυλλαβεῖ τῇ εὐθείᾳ, ὡcαύτωc δὲ καὶ ἡ δοτικὴ πέπονθεν, οἷον πατέροc πατέρι, καὶ μητέροc μητέρι, καὶ κατὰ cυγκοπὴν πατρόc καὶ μητρόc καὶ πατρί καὶ μητρί.

Choer. 126, 2: ἐπὶ τῶν ἰcocυλλάβωc κλινομένων ἡ αἰτιατικὴ ἰcocύλλαβόc ἐcτι τῇ εὐθείᾳ, οἷον ὁ καλόc τοῦ καλοῦ τῷ καλῷ τὸν καλόν, ὁ κοχλίαc τοῦ κοχλίου τῷ κοχλίᾳ τὸν κοχλίαν, ὁ Χρύcηc τοῦ Χρύcου τῷ Χρύcῃ τὸν Χρύcην, καὶ ἐπὶ τῶν εἰc ῡc καὶ ἐπὶ τῶν εἰc οῡc καὶ ἐπὶ τῶν ἐχόντων τὴν γενικὴν εἰc ōc καθαρὸν διχρόνῳ παραληγόμενον οἷον βότρυc βότρυοc βότρυν, cτάχυc cτάχυοc cτάχυν, χροῦc χροόc χροῦν, ὄφιc ὄφιοc ὄφιν, πόλιc πόλιοc πόλιν, μάντιc μάντιοc μάντιν.

Πᾶcα εὐθεῖα ἑνικῶν μὴ ἔχουcα κατὰ πάθοc τὴν αἰτιατικήν, ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰcocύλλαβον, εἰc ν̄ αὐτὴν ἔχει λήγουcαν οἷον ἡ μοῦcα τὴν μοῦcαν, ἡ Μήδεια τὴν Μήδειαν, ἡ τιμή τὴν τιμήν, ἡ Ἀφροδίτη τὴν Ἀφροδίτην, ἡ cοφή τὴν cοφήν, καλόc καλόν, ἰχθῦc ἰχθῦν. πρόcκειται «μὴ ἔχουcα κατὰ πάθοc τὴν αἰτιατικὴν» διὰ τὸ εὐφυήc εὐφυῆ, ὑγιήc ὑγιῆ, εὐcεβήc εὐcεβῆ καὶ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Cτειριᾶ καὶ ἀφυᾶ καὶ ὑγιᾶ. ἀπὸ γὰρ τοῦ εὐφυέα καὶ ὑγιέα γέγονε κατὰ κρᾶcιν — καὶ διὰ τὸ ἰδρῶ «ἰδρῶ ἀπεψύχοντο» (Χ 2)· ἰδοὺ γὰρ ἔcτιν ἰδρώc ἰδρῶτοc ἰδρῶτα καὶ γίνεται κατὰ πάθοc ἤγουν κατὰ ἀποκοπὴν ἰδρῶ.

Choer. 128, 14: τὰ εἰc αc ἰcocυλλάβωc κλινόμενα ἀποβολῇ τοῦ c̄ ποιεῖ τὴν κλητικὴν οἷον ὁ Ζηνᾶc τοῦ Ζηνᾶ ὦ Ζηνᾶ, ὁ Μητρᾶc τοῦ Μητρᾶ ὦ Μητρᾶ, ὁ κοχλίαc τοῦ κοχλίου ὦ κοχλία, ὁ Αἰνείαc τοῦ Αἰνείου ὦ Αἰνεία, ὁ Παπίαc τοῦ Παπίου ὦ Παπία. χωρὶc τῶν Ἀττικῶν, οἱ γὰρ Ἀττικοὶ τὰc αὐτὰc ἔχουcιν ὀρθὰc καὶ κλητικάc, ὁ Αἰνείαc ὦ Αἰνείαc, ὁ κοχλίαc ὦ κοχλίαc, καὶ χωρὶc τοῦ

ἀκαμαντοχάρμαν Αἶαν

παρὰ Πινδάρῳ· οὗτοc γὰρ τὴν κλητικὴν εἰc ν̄ εἶπεν, οἷον

ὑπερμενὲc ἀκαμαντοχάρμαν Αἶαν

Choer. 128, 30: πᾶcα δοτικὴ ἑνικῶν εἰc ᾱ ἢ εἰc ῳ λήγουcα ὁμόφωνον ἔχει τὴν εὐθεῖαν τῶν δυϊκῶν, ἀλλ' ἐν τοῖc δυϊκοῖc οὐκ ἔcτι τὸ ῑ προcγεγραμμένον οἷον τῷ κοχλίᾳ, τὼ κοχλία, τῷ Αἰνείᾳ τὼ Αἰνεία, τῷ καλῷ τὼ καλώ, τῷ cοφῷ τὼ cοφώ. δεῖ δὲ γινώcκειν ὅτι ἐκτείνεται τὸ α ἐν τῇ εὐθείᾳ τῶν δυϊκῶν, ὥcπερ καὶ ἐν τῇ δοτικῇ τῶν ἑνικῶν, ἀλλ', ὡc εἴρηται, οὐκ ἔcτι τὸ ῑ προcγεγραμμένον ἐν τῇ εὐθείᾳ τῶν δυϊκῶν, οὐδὲ γάρ ἐcτι τὸ ῑ τελικὸν τῆc εὐθείαc τῶν δυϊκῶν· τελικὰ γὰρ τῆc εὐθείαc τῶν δυϊκῶν τρία ἐcτὶν ᾱ, ε̄, ω, οἷον Ἀτρείδα, Ἕκτορε, φίλω.

l. 14 ex Choer. 124, 31—127, 31 composui.

Choer. 129, 11: πᾶcα εὐθεῖα δυϊκῶν εἰc ᾱ λήγουcα προcθέcει τοῦ ῑν ποιεῖ τὴν γενικὴν καὶ δοτικὴν οἷον τὼ κοχλία τοῖν κοχλίαιν, τὼ Αἰνεία τοῖν Αἰνείαιν, τὰ μούcα ταῖν μούcαιν, τὰ Ἑλένα ταῖν Ἑλέναιν. δεῖ δὲ γινώcκειν ὅτι τῇ προcθήκῃ τοῦ ῑ καὶ τοῦ ν cυcτέλλεται τὸ ᾱ, καὶ διὰ τοῦτο γὰρ καὶ ἐκφωνεῖται τὸ ῑ, ἐπεὶ εἰ ἔμεινε τὸ α μακρόν, ἤμελλε τὸ ῑ ἀνεκφώνητον εἶναι· ἐμάθομεν δὲ ὅτι τὸ ῑ, ἡνίκα εὑρεθῇ μετὰ τοῦ η ἢ μετὰ τοῦ ω ἢ μετὰ τοῦ α μακροῦ ἐν μιᾷ cυλλαβῇ, ἀνεκφώνητον εὑρίcκεται οἷον τῷ Χρύcῃ, τῷ cοφῷ, τῷ Αἰνείᾳ.

Τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡc ἡ ὀρθὴ οὕτω καὶ ἡ κλητική. πᾶcα εὐθεῖα δυϊκῶν εἰc ᾱ λήγουcα προcθέcει τοῦ ῑ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ποιεῖ οἷον τὼ κοχλία, οἱ κοχλίαι, τὼ Αἰνεία οἱ Αἰνεῖαι, τὰ μούcα αἱ μοῦcαι, τὰ Ἑλένα αἱ Ἑλέναι. δεῖ δὲ πάλιν εἰδέναι ὅτι ἅμα τῇ προcθήκῃ τοῦ ῑ cυcτέλλεται τὸ ᾱ, διὰ τοῦτο γὰρ καὶ ἐκφωνεῖται τὸ ῑ, ἐπεὶ εἰ ἔμεινε τὸ ᾱ μακρὸν ἔμελλε τὸ ῑ ἀνεκφώνητον εἶναι. πᾶcα γενικὴ πληθυντικῶν εἰc ων λήγει ἐπὶ παντὸc γένουc οἷον τῶν Αἰάντων, τῶν μουcῶν, τῶν βημάτων.

Choer. 130, 18: πᾶcα εὐθεῖα πληθυντικῶν εἰc ῑ λήγουcα, προcθέcει τοῦ c̄ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν οἷον τοξόται τοξόταιc μοῦcαι μούcαιc, καλοὶ καλοῖc, Ὅμηροι Ὁμήροιc.

Choer. 130, 28: πᾶcα εὐθεῖα πληθυντικῶν εἰc αι δίφθογγον λήγουcα τροπῇ τοῦ ῑ εἰc c̄ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν ποιεῖ οἷον κοχλίαι κοχλίαc, Αἰνεῖαι Αἰνείαc, Ἀτρεῖδαι Ἀτρείδαc, μοῦcαι μούcαc, Ἑλέναι Ἑλέναc, Ἀφροδῖται Ἀφροδίταc. δεῖ δὲ εἰδένα ὅτι ἅμα τῇ τροπῇ τοῦ ῑ εἰc c̄ ἐκτείνεται τὸ α, θέλει γὰρ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν ἰcοχρονεῖν τῇ ἰδίᾳ εὐθείᾳ οἷον Αἴαντεc τὸ ε̄ βραχύ ἐcτιν, ἀλλὰ καὶ Αἴανταc τὸ α βραχύ· ὁμοίωc πάλιν οἱ ἄνθρωποι, ἡ οι δίφθογγοc μακρά ἐcτιν, ἀλλὰ καὶ ἀνθρώπουc ἡ ουc μακρὰ ὁμοίωc, καὶ κοχλίαι ἡ αι δίφθογγοc μακρά ἐcτιν, ἀλλὰ καὶ κοχλίαc τὸ αc μακρὸν ὁμοίωc. χωρὶc τῶν Δωρικῶν· cυcτέλλεται γὰρ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν παρὰ τοῖc Δωριεῦcιν ἐπὶ τῶν ἐχόντων τὴν εὐθεῖαν τῶν πληθυντικῶν εἰc τὴν αι δίφθογγον λήγουcαν, οἷον τοῦ κοῦραι κούραc, καὶ τὸ ὄγχναι ὄγχναc.

Περὶ τῶν εἰc εῑc.

Choer. 198, 20: τὰ εἰc ειc μονοcύλλαβα ὀνόματα ἀρcενικὰ διὰ τοῦ νοc̄ κλίνεται, οἷον κτείc κτενόc, εἷc ἑνόc, δείc δενόc, ὅπερ ἰcοδυναμεῖ τῷ τὶc, ὅπερ μετὰ τῆc οὐ ἀποφάcεωc καὶ τῆc μὴ ἀπαγορεύcεωc λέγεται καὶ οὐδείc καὶ μηδείc. πρόcκειται «μονοcύλλαβα» διὰ τὰ ὑπὲρ μίαν cυλλαβήν, διὰ τὸ χαρίειc χαρίεντοc. πρόcκειται «ὀνόματα»

l. 16 exempla τῶν Αἰάντων, τῶν βημάτων non quadrant quum de isosyllabis hic agatur. — sive Choerobosci sive librarii negligentiae hoc tribuendum est.
l. 29 de Dorica systole cf. Diehr. 296, 18. l. 34 cf. Ep. Cr. I 133, 27 et An. Ox. II 364, 13.

διὰ τὰς μονοσυλλάβους μετοχάς, αὗται γὰρ διὰ τοῦ ντ κλίνεται οἷον θείς θέντος, εἵς ἕντος, ἐξ οὗ τὸ ἀφείς ἀφέντος, σημαίνει δὲ τὸ ἀπολύσας. πρόσκειται «ἀρσενικὰ» διὰ τὸ κλείς κλειδός· τοῦτο γὰρ διὰ τοῦ δος κλίνεται καὶ οὐ διὰ τοῦ ντος, ἀλλ' οὐκ ἔστιν ἀρσενικόν, ἀλλὰ θηλυκόν. εὐλόγως δὲ ταῦτα τὰ μονοσύλλαβα οὐ κλίνεται διὰ τοῦ ντ, ἐπειδὴ οὐ ποιεῖ οὐδετέρου παρασχηματισμόν· οὐδὲ γὰρ λέγομεν τὸ κτέν ὥσπερ τὸ ἕν. ἐπειδὴ οὖν οὐ ποιεῖ οὐδετέρου παρασχηματισμὸν τὸ κτείς, τούτου χάριν οὐ κλίνεται διὰ τοῦ ντ. τὰ γὰρ εἰς εις ἀρσενικά, μὴ ὄντα κύρια, ποιεῖ οὐδετέρου παρασχηματισμόν, οἷον χαρίεις χαρίεν, τιμήεις τιμῆεν, εἷς ἕν, δείς δέν, ἐξ οὗ τὸ οὐδέν καὶ τὸ μηδέν. τὸ οὖν κτείς μὴ ὂν κύριον ἀλλὰ προσηγορικόν, καὶ μὴ ποιοῦν οὐδετέρου παρασχηματισμόν, εἰκότως ὡς παραλλάξαν κατὰ τοῦτο πρὸς τὰ ἄλλα, παρήλλαξε καὶ κατὰ τὴν κλίσιν, καὶ οὐ κλίνεται διὰ τοῦ ντ. πρόσκειται «ἀρσενικὰ» διὰ τὸ κλείς· τοῦτο γὰρ οὐ ποιεῖ οὐδέτερον εἰς εν· ἀλλ' οὐκ ἔστιν ἀρσενικόν, ἀλλὰ θηλυκόν. πρόσκειται «μὴ ὄντα κύρια» διὰ τὸ Σιμόεις (ἔστι δὲ ὄνομα κύριον ποταμοῦ τῆς Τροίας), τοῦτο οὐ ποιεῖ οὐδετέρου παρασχηματισμόν. ταῦτα μὲν περὶ τοῦ κτείς· τὸ δὲ δείς δενός, ἐπειδὴ ἐνομίσθη ταυτὸν εἶναι τῷ εἷς ἑνός, εἰκότως οὐ κλίνεται διὰ τοῦ ντ ἀλλὰ διὰ μόνου τοῦ ν, ὁμοίως τοῦ εἷς ἑνός. τὸ δὲ μείς, ὃ σημαίνει τὸν μῆνα οἷον

ὁ δ' ἕβδομος εἱστήκει μείς (Τ 117),

διὰ τοῦτο οὐ κλίνεται διὰ τοῦ ντ, ἐπειδὴ μήν ἦν, καὶ Αἰολικῶς ἐγένετο μείς διὰ τῆς ει διφθόγγου, καὶ λοιπὸν ἐφύλαξε τὴν αὐτὴν κλίσιν.

Ἀποροῦσι δέ τινες λέγοντες, διατί τῶν εἰς εις μονοσυλλάβων ὀνομάτων μὴ ποιούντων οὐδετέρου παρασχηματισμὸν οἷον μείς κτείς τὸ εἷς ποιεῖ οὐδετέρου παρασχηματισμὸν οἷον ἕν; καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο τὸ εἷς ποιεῖ οὐδετέρου παρασχηματισμόν, ἐπειδὴ ἀριθμητικόν ἐστι, τὰ δὲ ἀριθμητικὰ πέφυκε ποιεῖν οὐδετέρου παρασχηματισμὸν οἷον ὁ τρεῖς τὰ τρία, οἱ τέσσαρες τὰ τέσσαρα· οὕτως οὖν καὶ τὸ εἷς τὸ ἕν.

Ἰστέον ὅτι τὸ εἷς διὰ τοῦ ντ ὤφειλε κλίνεσθαι, ὡς ἔχον οὐδέτερον τὸ ἕν. τὰ γὰρ εἰς εις ἔχοντα οὐδέτερον εἰς εν διὰ τοῦ ντ θέλει κλίνεσθαι, οἷον χαρίεις χαρίεντος ὅτι χαρίεν, τιμήεις τιμήεντος ὅτι τιμῆεν, δαφνήεις δαφνήεντος ὅτι δαφνῆεν, οὕτως οὖν ὤφειλεν εἶναι εἷς ἕντός ὅτι τὸ ἕν. ἀλλ' ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ πνεύματα τῶν εὐθειῶν φυλάττεσθαι θέλει καὶ ἐν ταῖς λοιπαῖς πτώσεσιν οἷον τὸ ἀλήτης ψιλοῦται, ἀλλὰ καὶ αἱ λοιπαὶ πτώσεις ὁμοίως, ἀλήτου ἀλήτῃ ἀλήτην ὦ ἀλῆτα, καὶ τὸ ἄλγος ψιλοῦται, ἀλλὰ καὶ αἱ λοιπαὶ πτώσεις ὁμοίως, ἄλγους ἄλγει τὸ ἄλγος ὦ ἄλγος, πάλιν τὸ ἁγνός δασύνεται, ἀλλὰ καὶ αἱ λοιπαὶ πτώσεις ὁμοίως, ἁγνοῦ ἁγνῷ ἁγνόν ὦ ἁγνέ, καὶ τὸ ἁπλοῦς δασύνεται, ἀλλὰ καὶ αἱ λοιπαὶ πτώσεις ὁμοίως, ἁπλοῦ ἁπλῷ ἁπλοῦν ὦ ἁπλοῦ· τούτου χάριν ἐξ ἀνάγκης ἀπέβαλλε τὸ τ, καὶ ἐγένετο ἑνός ἡ γενική, ἵνα ὁμοφώνως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική.

εἰ γὰρ ἐκλίθη διὰ τοῦ ντ, ἔμελλε τῆς εὐθείας δασυνομένης ψιλοῦσθαι ἡ γενική, ὅπερ ἐστὶν ἄτοπον. καὶ ἡ μὲν εὐθεῖα δασύνεται, ἐπειδὴ πᾶς ἀριθμὸς ἀπὸ τοῦ ε ἀρχόμενος δασύνεσθαι θέλει οἷον ἕξ, ἑπτά, ἕν· οὕτως οὖν καὶ τὸ εἷς. δεῖ προσθεῖναι «χωρὶς τοῦ εἴκοσι καὶ ἐννέα καὶ τῶν παρ' αὐτοῦ» οἷον ἔννατος ἐννάκις ἐννενήκοντα· ταῦτα γὰρ ψιλοῦται. πρόσκειται «ἀπὸ τοῦ ε ἀρχόμενος» διὰ τὸν ὀκτὼ ἀριθμόν, οὗτος γὰρ ψιλοῦται. ἡ δὲ γενικὴ εἶχε ψιλοῦσθαι εἰ ἐκλίθη διὰ τοῦ ντ, ἐπειδὴ τὸ ε, εἰ καταλήγει εἰς ν, ἐπιφερομένου συμφώνου τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, τουτέστι τὸ δ ἢ θ ἢ τ, ψιλοῦσθαι θέλει οἷον ἔνδον, ἔνθα, ἐνταῦθα. δεῖ προσθεῖναι «χωρὶς εἰ μὴ ἐν ῥήματι ἢ ἀπὸ ῥήματος εὑρεθῇ» οἷον διὰ τὸ ἕντο, ὡς τὸ

αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,

τοῦτο γὰρ δασύνεται· ἀλλὰ ῥῆμά ἐστιν. πρόσκειται δὲ «ἢ ἀπὸ ῥήματος» διὰ τὴν ἕντος μετοχήν, αὕτη γὰρ δασύνεται, ἐξ ἧς καὶ τὸ ἀφείς ἀφέντος· ἀλλ' ἀπὸ ῥήματός ἐστιν. εἰ ἐγένετο οὖν, ὡς εἴρηται, εἷς ἕντος, ἡ γενικὴ ψιλοῦσθαι ἤθελε τῆς εὐθείας δασυνομένης, ὅπερ ἐστὶν ἄτοπον καὶ ἀδύνατον. ἀεὶ γάρ, ὡς εἴρηται, τὰ πνεύματα τῶν εὐθειῶν φυλάττεσθαι θέλει καὶ ἐν ταῖς λοιπαῖς πτώσεσι· διὰ τοῦτο οὖν ἀπεβάλλετο τὸ τ καὶ ἐγένετο ἑνός, ἵνα ὁμοίως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική. ἴσως δέ τις ἀπορήσει καὶ διὰ ποίαν αἰτίαν μὴ τὸ ν ἀπέβαλλεν ἀλλὰ τὸ τ· πρὸς οὓς λέγομεν, ὅτι οὐκ ἐνδέχεται μεῖναι τὸ τ. πᾶσα γὰρ γενικὴ διὰ τοῦ τος κλινομένη τὸν χρόνον τῆς εὐθείας θέλει φυλάττειν οἷον λέβης λέβητος, ἔρως ἔρωτος, ἱδρώς ἱδρῶτος, χαλκοκράς χαλκορᾶτος. ἰδοὺ ταῦτα ἐφύλαξε τὴν μακρὰν τῆς εὐθείας ἐν τῇ γενικῇ. πάλιν κρέας κρέατος, βῆμα βήματος· ἰδοὺ πάλιν ταῦτα τὴν βραχεῖαν τῆς εὐθείας φυλάττει καὶ ἐν τῇ γενικῇ. δεῖ προσθεῖναι «χωρὶς τῶν εἰς ως μετοχῶν καὶ τῶν μετοχικῶν». μετοχῶν μὲν οἷον τετυφώς τετυφότος, πεποιηκώς πεποιηκότος· μετοχικῶν δὲ οἷον ὑποδεδιώς ὑποδεδιότος (ἔστι δὲ εἶδος ὀρνέου [Aristoph. Av. 65]), Ἀραρώς Ἀραρότος (ἔστι δὲ ὄνομα τοῦ υἱοῦ τοῦ Ἀριστοφάνους). ταῦτα δὲ ἐσημειωσάμεθα, ὅτι διὰ καθαροῦ τοῦ τος κλιθέντα οὐκ ἐφύλαξε τὸν χρόνον τῆς εὐθείας ἐν τῇ γενικῇ, ἀλλὰ συνέστειλε τὸ ω εἰς ο. τούτων οὕτως ἐχόντων, ἔστιν εἷς διὰ τῆς ει διφθόγγου ἡ εὐθεῖα· εἰ ἐγένετο ἡ γενικὴ διὰ καθαροῦ τοῦ τος οἷον εἵς ἑτός, οὐκ ἐφύλαττε τὸν χρόνον τῆς εὐθείας, ὅπερ ἐστὶν ἄτοπον. τούτου χάριν τὸ τ ἀπέβαλε, καὶ οὐ τὸ ν, καὶ ἐγένετο εἷς ἑνός, ὥσπερ κτείς κτενός.

Choer. 202, 26: τὰ εἰς εις ὑπὲρ μίαν συλλαβὴν κοινολεκτούμενα διὰ τοῦ ντ κλίνεται οἷον χαρίεις χαρίεντος, τιμήεις τιμήεντος. πρόσκειται «κοινολεκτούμενα» ἐπειδὴ οἱ Βοιωτοὶ τὰ εἰς ης λήγοντα διὰ τοῦ η περιττοσυλλάβως κλινόμενα, εἴτε βαρύτονα ἢ εἴτε ὀξύτονα, μεταποιοῦσιν εἰς τὴν ει δίφθογγον καὶ φυλάττουσι τὴν αὐτὴν κλίσιν, οἷον λέβης λέβητος λέβεις, πένης πένητος πένεις, ἀφανής ἀφανοῦς ἀφανείς,

εὐγενής εὐγενοῦς εὐγενείς. ἀποροῦςι δέ τινες λέγοντες, εἰ ἄρα τὰ εἰς εις ὑπὲρ μίαν ςυλλαβὴν διὰ τοῦ ντ κλίνεται, πῶς τὸ οὐδεὶς οὐδενός οὐ κλίνεται διὰ τοῦ ντ; ἔςτιν οὖν εἰπεῖν, ὅτι οὐκ ἔςτι τοῦτο ὑπὲρ μίαν ςυλλαβήν, οὐδέ ἐςτι γὰρ μία λέξις ἀλλὰ δύο. ἔςτι γὰρ τὸ δείς ὄνομα, ὅπερ ἰςοδυναμεῖ τῷ τὶς, καὶ ἡ οὐ ἀπόφαςις, καὶ λοιπὸν εὐλόγως ἡ κλίςις τοῦ δείς δενός ἐφυλάχθη. ὥςπερ γὰρ τῷ Ὅμηρος ὀνόματι ἤ τινι τοιούτῳ ςυντάςςοντες τὴν οὐ ἀπόφαςιν φυλάττομεν τὴν αὐτὴν κλίςιν οἷον οὐχ Ὅμηρος, οὐχ Ὁμήρου, οὐχ Ὁμήρῳ, οὐχ Ὅμηρον, οὕτως καὶ ἐνταῦθα προςελθοῦςα ἡ οὐ ἀπόφαςις τῷ δείς δενός τὴν αὐτὴν κλίςιν ἐφύλαξεν, οἷον οὐδείς οὐδενός.

Choer. 204, 29: Ἡ κλητικὴ τριχῶς λέγεται. λέγεται γὰρ καὶ ὦ χαρίεις ὁμοφώνως τῇ εὐθείᾳ Ἀττικῶς, οἱ γὰρ Ἀττικοὶ τὰς αὐτὰς [ἔχουςιν] εἰώθαςι ποιεῖν ὀρθὰς καὶ κλητικάς, οἷον ὁ Αἴας ὦ Αἴας, ὁ κοχλίας ὦ κοχλίας. τὸ δὲ ὦ χαρίει κανονίζεται τοῦτον τὸν τρόπον· τὰ εἰς ϲ λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ ϲ ποιεῖ τὴν κλητικήν, οἷον ὁ Ζεὺς ὦ Ζεῦ, ὁ Πηλεύς ὦ Πηλεῦ, ὁ Ἀχιλλεὺς ὦ Ἀχιλλεῦ, ὁ παῖς ὦ παῖ, ὁ βοῦς ὦ βοῦ, ὁ νοῦς ὦ νοῦ· οὕτως οὖν καὶ ὁ χαρίεις ὦ χαρίει, καὶ ὁ τιμήεις ὦ τιμήει. δεῖ προςθεῖναι «κοινολεκτούμενα» διὰ τὰ Αἰολικά· οἱ γὰρ Αἰολεῖς τὸ τάλας τάλαις λέγουςι, καὶ τὸ Θόας Θόαις, καὶ τὸ μέλας μέλαις. καὶ ἰδοὺ ταῦτα εἰς ϲ λήγει μετὰ διφθόγγου, καὶ ὅμως οὐ ποιεῖ τὴν κλητικὴν ἀποβολῇ τοῦ ϲ, οὐδὲ γὰρ λέγομεν ὦ τάλαι καὶ ὦ μέλαι καὶ ὦ Θόαι, ἀλλ' ὦ τάλαν καὶ ὦ Θόαν καὶ ὦ μέλαν, τῷ ἀπὸ γενικῆς κανόνι τῷ λέγοντι, ὅτι πᾶςα γενικὴ διὰ τοῦ ντ κλινομένη ἀποβολῇ τῆς τος ποιεῖ τὴν κλητικήν, εἰ μὴ διφθόγγῳ παραλήγοιτο, οἷον Αἴαντος Αἶαν, Δρύαντος Δρύαν, Ξενοφῶντος Ξενοφῶν, Κάλχαντος Κάλχαν· οὕτως οὖν καὶ Θόαντος Θόαν, καὶ μέλαντος μέλαν, καὶ τάλαντος τάλαν· τὸ γὰρ τάλανος καὶ μέλανος ἀποβολῇ τοῦ τ γέγονε. δεῖ προςθεῖναι «χωρὶς τῶν μετοχῶν καὶ τῶν οὐδετέρων». τῶν μετοχῶν, διὰ τὸ τυφθείς δαρείς νυγείς, ταῦτα γὰρ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, καὶ οὐ ποιεῖ τὴν κλητικὴν ἀποβολῇ τοῦ ϲ· τῶν δὲ μετοχικῶν διὰ τὸ ὀδούς τοῦ ὀδόντος· καὶ τοῦτο γὰρ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. αἱ γὰρ μετοχαὶ καὶ τὰ μετοχικὰ ὅταν περιττοςυλλάβως κλίνηται, τὰς αὐτὰς ἔχει ὀρθὰς καὶ κλητικὰς οἷον ὁ τύψας τοῦ τύψαντος ὦ τύψας, ὁ γράψας τοῦ γράψαντος ὦ γράψας, ὁ ἱμάς τοῦ ἱμάντος ὦ ἱμάς, ὁ ἀνδριάς τοῦ ἀνδριάντος ὦ ἀνδριάς. «χωρὶς δὲ τῶν οὐδετέρων» πρόςκειται διὰ τὸ οὖς. ἐὰν γὰρ ὅλως λάβωμεν αὐτοῦ τὴν κλητικήν, τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν τῷ λόγῳ τῶν οὐδετέρων. τὰ γὰρ οὐδέτερα τὴν αὐτὴν ἔχει καὶ κλητικὴν καὶ ὀρθήν, οἷον τὸ βῆμα ὦ βῆμα, τὸ τεῖχος ὦ τεῖχος. ἔτι δεῖ προςθεῖναι «καὶ χωρὶς τοῦ πούς»,

l. 18—672, 41 maxime confusa et a proposito aliena sunt et Byzantinam originem clarissime produnt.

τὴν αὐτὴν γὰρ ἔχει ὀρθὴν καὶ κλητικήν, οἷον ὁ πούϲ ὦ πούϲ, καὶ οὐ ποιεῖ αὐτὴν ἀποβολῇ τοῦ ϲ̄. «καὶ χωρὶϲ τοῦ εἷϲ», τοῦ γὰρ εἷϲ οὐκ ἔϲτι κατὰ ἀποβολὴν τοῦ ϲ̄ ἡ κλητική, ἀλλ' οὐδ' ὅλωϲ ἔχει τοῦτο κλητικήν. μηδεὶϲ δὲ οἰέϲθω τὸ ἕν τὸ οὐδέτερον ὡϲ ἀπὸ τῆϲ ὦ ἕν κλητικῆϲ γεγενῆϲθαι, ὡϲ γὰρ εἴρηται τὸ εἷϲ οὐχ ἔχει κλητικήν, ἀλλὰ κατὰ ϲυνεκδρομὴν τῶν ἄλλων οὐδετέρων τῶν ἀπὸ τῶν εἰϲ ε̄ῑϲ̄ ἐγένετο τὸ ἕν τὸ οὐδέτερον οὕτωϲ· ὥϲπερ γὰρ χαρίειϲ χαρίεν καὶ τιμήειϲ τιμῆεν, οὕτωϲ καὶ εἷϲ ἕν. δεῖ πάλιν προϲθεῖναι ἐν τῷ κανόνι «καὶ χωρὶϲ τοῦ κτείϲ κτενόϲ, καὶ κλείϲ κλειδόϲ». ταῦτα γὰρ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον ὁ κτείϲ ὦ κτείϲ, ἡ κλείϲ ὦ κλείϲ. ἰϲτέον ὅτι καθόλου τὰ εἰϲ ϲ̄ λήγοντα μονοϲύλλαβα ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν χωρὶϲ τοῦ Ζεύϲ· τούτου γὰρ ἡ κλητικὴ κατὰ ἀποβολήν ἐϲτιν οἷον ὦ Ζεῦ. ἔϲτω δὲ παραδείγματα τοῦ κανόνοϲ ταῦτα· ὁ Κρήϲ ὦ Κρήϲ, ὁ Τρώϲ ὦ Τρώϲ, ὁ δμώϲ ὦ δμώϲ, ὁ πούϲ ὦ πούϲ, ἡ δαίϲ ὦ δαίϲ (ϲημαίνει δὲ τὴν εὐωχίαν), ὁ κίϲ ὦ κίϲ (ϲημαίνει δὲ τὸν ϲκώληκα), ὁ λίϲ ὦ λίϲ (ϲημαίνει δὲ τὸν λέοντα), ἡ κλείϲ ὦ κλείϲ, ὁ κτείϲ ὦ κτείϲ. ταῦτα γὰρ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, καὶ τὰ ἐξ αὐτῶν δὲ ϲύνθετα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον ἡ ἀντίκλειϲ ὦ ἀντίκλειϲ, ὁ ὁμόδαιϲ ὦ ὁμόδαιϲ (ὁ ὁμοῦ εὐωχούμενοϲ), ὁ Οἰδίπουϲ ὦ Οἰδίπουϲ. ἰϲτέον δὲ ὅτι τὸ Οἰδίπουϲ ὅταν κλιθῇ διὰ τοῦ δ̄ο̄ϲ̄, οἷον Οἰδίπουϲ Οἰδίποδοϲ, τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον Οἰδίπουϲ ὦ Οἰδίπουϲ· ὅταν δὲ ἀποβολῇ τοῦ ϲ̄ ποιῇ τὴν γενικὴν Ἀττικῶϲ οἷον ὁ Οἰδίπουϲ τοῦ Οἰδίπου, τότε καὶ τὴν κλητικὴν ἀποβολῇ τοῦ ϲ̄ ποιεῖ οἷον ὁ Οἰδίπουϲ ὦ Οἰδίπου. καὶ ἄξιόν ἐϲτι ζητῆϲαι, διατί τὸ Οἰδίπουϲ ὅταν μὲν κλιθῇ διὰ τοῦ δ̄ο̄ϲ̄ οἷον Οἰδίποδοϲ, τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, οἷον ὁ Οἰδίπουϲ ὦ Οἰδίπουϲ, ὅταν δὲ ἀποβολῇ τοῦ ϲ̄ ποιεῖ τὴν γενικὴν Ἀττικῶϲ, οἷον τοῦ Οἰδίπου, τότε καὶ τὴν κλητικὴν ἀποβολῇ τοῦ ϲ̄ ποιεῖ, οἷον ὁ Οἰδίπουϲ ὦ Οἰδίπου. καὶ ἔϲτιν εἰπεῖν, ὅτι εὐλόγωϲ τοῦτο γίνεται· ἐπειδὴ ἡνίκα μὲν διὰ τοῦ δ̄ο̄ϲ̄ κλίνεται τὸ Οἰδίπουϲ, τὴν κλίϲιν τὴν τοῦ πούϲ φυλάττει καὶ εἰϲ τὰϲ ἑξῆϲ πτώϲειϲ οἷον πούϲ ποδόϲ, καὶ Οἰδίπουϲ Οἰδίποδοϲ· τούτου χάριν καὶ κατὰ τὴν κλητικὴν τὴν κλίϲιν τοῦ πούϲ φυλάττει, καὶ ὁμοίωϲ αὐτῷ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, καὶ ὥϲπερ ὦ πούϲ ὁμοίωϲ καὶ ὦ Οἰδίπουϲ· ἡνίκα δὲ ἀποβολῇ τοῦ ϲ̄ ποιεῖ τὴν γενικὴν Ἀττικῶϲ οἷον ὁ Οἰδίπουϲ τοῦ Οἰδίπου, ἐπειδὴ οὐ φυλάττει τὴν κλίϲιν τοῦ πούϲ κατὰ τὰϲ ἑξῆϲ πτώϲειϲ, τούτου χάριν οὔτε κατὰ τὴν κλητικὴν φυλάττει αὐτήν, ἀλλ' ἀποβολῇ τοῦ ϲ̄ ποιεῖ τὴν κλητικὴν οἷον ὦ Οἰδίπου. πρόϲκειται ἀνωτέρω «μονοϲύλλαβα» ἐν τῷ κανόνι τῷ λέγοντι ὅτι τὰ εἰϲ ϲ̄ λήγοντα μονοϲύλλαβα ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, διὰ τὸ ὁ Πηλεύϲ ὦ Πηλεῦ. πρόϲκειται «ὀξύτονα» διὰ τὸ ὁ βοῦϲ περιϲπώμενον. ταῦτα μὲν περὶ τοῦ ὦ χαρίει. τὸ δὲ ὦ χαρίεν διαφόρωϲ κανονίζεται, πρῶτον μὲν ὅτι πᾶϲα γενικὴ διὰ τοῦ ν̄τ̄ κλινομένη ἀποβολῇ τοῦ τ̄ο̄ϲ̄ ποιεῖ τὴν κλητικήν, εἰ μὴ διφθόγγῳ παραλήγοιτο, οἷον Αἴαντοϲ

Αἴαν, Θόαντος Θόαν, οὕτως οὖν καὶ χαρίεντος χαρίεν. δεύτερον δέ, ὅτι πᾶν οὐδέτερον ὄνομα εἰ ἰσοσυλλάβως κλίνοιτο τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ, τοῦ καλοῦ τὸν καλόν ὦ καλόν καὶ τὸ καλόν, ὁ σοφός τοῦ σοφοῦ τὸν σοφόν ὦ σοφόν καὶ τὸ σοφόν, ὁ κάλλιστος τοῦ καλλίστου τὸν κάλλιστον καὶ τὸ κάλλιστον. ἐὰν δὲ περιττοσυλλάβως κλίνοιτο, τῇ κλητικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ οἷον ὦ σῶφρον καὶ τὸ σῶφρον, ὁ ἄρσην τοῦ ἄρσενος ὦ ἄρσεν, τοῦ ταχέος ὦ ταχύ καὶ τὸ ταχύ. εἰ οὖν τοῦ χαρίεις χαρίεν ἐστὶ τὸ οὐδέτερον δηλονότι καὶ ἡ κλητικὴ ὦ χαρίεν ὁμοφωνεῖ τῷ οὐδετέρῳ. ἰστέον δὲ ὅτι παρὰ τοῖς Ἀττικοῖς χάριεν προπαροξυνόμενον οὐκ ἔστιν ὄνομα ἀλλ' ἐπίρρημα, ἀντὶ γὰρ τοῦ χαριέντως πρόσκειται «ὄνομα οὐδέτερον» διὰ τὴν ἐκεῖνος καὶ αὐτός καὶ οὗτος ἃ ἰσοσυλλάβως κλινόμενα οὐκ ἔχει τὸ οὐδέτερον ὁμόφωνον τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ ἐκεῖνον καὶ αὐτόν καὶ τοῦτον ἀλλὰ τὸ οὐδέτερον ἐκεῖνο καὶ αὐτό καὶ τοῦτό ἐστι χωρὶς τοῦ ν.

Διχῶς λέγεται τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν οἷον χαρίεσι καὶ χαρίεισι. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα καὶ πρὸ τοῦ ῑ λαμβάνουσα τὸ σ̄ καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα σὺν αὐτῷ ἐκφωνηθῆναι στοιχεῖα τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ οἷον ὄφεϊ ὄφεσι, πόλεϊ πόλεσι, Πλάτωνι Πλάτωσι, χαρίεντι χαρίεσι, τετυφότι τετυφόσι, πεποιηκότι πεποιηκόσι, τοῦ σ̄ προσελθόντος καὶ ἀποβληθέντων τῶν μὴ δυναμένων σὺν αὐτῷ ἐκφωνηθῆναι στοιχείων, φημὶ δὴ τὸ ν καὶ τὸ τ̄. λέγουσι δέ τινες, ὅτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι χωρὶς τῶν εἰς ευς̄. ἰδοὺ γάρ ἐστιν Ἀχιλλεύς Ἀχιλλέϊ ἡ δοτικὴ τῶν ἑνικῶν καὶ οὐ γίνεται ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς Ἀχιλλέσι προσθέσει τοῦ σ̄ ὡς πόλεϊ πόλεσι, ἀλλὰ τὸ Ἀχιλλεῦσι ἐκ τῆς εὐθείας τῶν ἑνικῶν ἐστι. τότε δὲ κανονίζομεν τὴν δοτικὴν τῶν πληθυντικῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν, ἡνίκα οὐδὲ δύναται κανονισθῆναι ἡ δοτικὴ τῶν πληθυντικῶν ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν οἷον Μέμνοσι μεταθέσει τοῦ ν̄ εἰς σ̄, ταχέσι προσθέσει τοῦ σ̄ ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζομεν, τὸ δὲ Τρωσὶ λέβησι ἀπὸ τῆς εὐθείας τῶν ἑνικῶν. πᾶσα γὰρ εὐθεῖα εἰς σ̄ λήγουσα μετὰ μακρᾶς περιττοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικὴν προσθέσει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν οἷον λέβης λέβητος λέβησι, Τρώς Τρωός Τρωσί, Πηλεύς Πηλέως Πηλεῦσι, Αἴας Αἴαντος Αἴασι. οὕτως οὖν καὶ χαρίεις χαρίεντος χαρίεισι.

Περὶ τῶν εἰς ευς̄.

Choer. 209, 18: τὰ εἰς ευς̄ λήγοντα πέντε κλίσεις ἐπιδέχεται. διὰ τοῦ εο κοινῶς οἷον Ἀχιλλέος, βασιλέος· διὰ τοῦ ε̄ καὶ ω̄ Ἀττικῶς οἷον Ἀχιλλέως, βασιλέως· διὰ τοῦ η̄ καὶ ο̄ παρὰ τοῖς ἀρχαίοις Ἴωσιν

l. 15 ex Choer. 208, 14 cuius MS. hoc loco multis lacunis deformatum est; ad textum restituendum adhibui Choer. 167, 11 et 113, 22.

οἷον Ἀχιλλῆος βασιλῆος, ὁμοίως δὲ καὶ παρὰ τοῖς ἀρχαίοις Αἰολεῦσιν, ἀλλ' οἱ Αἰολεῖς προπαροξύνουσιν, Ἀχίλληος βασίληος λέγοντες· παρὰ δὲ τοῖς νεωτέροις Ἴωσι διὰ τῆς ει διφθόγγου καὶ ō οἷον Ἀχιλλεῖος βασιλεῖος, ὁμοίως δὲ καὶ παρὰ τοῖς νεωτέροις Αἰολεῦσιν, ἀλλὰ πάλιν οἱ Αἰολεῖς προπαροξύνουσιν, Ἀχίλλειος βασίλειος λέγοντες. ἰστέον δὲ ὅτι τινὲς θέλουσι παρὰ τῷ ποιητῇ τὸ «αὐτὰρ Φωκήων» (Β 517) διὰ τῆς ει διφθόγγου γράφεσθαι κατὰ τοὺς νεωτέρους Ἴωνας, οὐκ ἔστι δὲ εἰ μὴ διὰ τοῦ η κατὰ τοὺς παλαιοὺς Ἴωνας, οἷς συνεχῶς κέχρηται ὁ ποιητὴς οἷον

Πηληϊάδεω Ἀχιλλῆος.

Κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν.

παρὰ δὲ τοῖς Βοιωτοῖς διὰ τοῦ ῑ καὶ ō γίνεται ἡ γενικὴ οἷον Ἀχιλλίος βασιλίος. τοιοῦτόν ἐστι καὶ τὸ Ζεύς Βοιωτικῶς γινόμενον κατὰ τὴν γενικὴν Διός διὰ τοῦ ῑ καὶ ō, τὸ γὰρ ζ̄ εἰς τὸ δ̄ τρέπουσιν οἱ Βοιωτοὶ οἷον Ζῆθος Δῆθος, οὕτως οὖν καὶ Ζεύς Δεύς, καὶ λοιπὸν ἀπὸ τοῦ Δεύς ἐγένετο ἡ γενικὴ διὰ τοῦ ῑ καὶ ō Βοιωτικῶς Διός, τὸ γὰρ κοινολεκτούμενον, λέγω δὴ τὸ Ζεύς, οὐ κλίνεται διὰ τοιαύτην αἰτίαν· πᾶν ὄνομα μονοσύλλαβον εἰς ς̄ λῆγον, ὀξύτονον ὄν, διὰ καθαροῦ τοῦ ος κλινόμενον, τὸν χρόνον τῆς εὐθείας θέλει φυλάττειν καὶ ἐν τῇ γενικῇ οἷον Τρώς Τρωός, δμώς δμωός, κίς κιός, λίς λιός. πρόσκειται «μονοσύλλαβα» διὰ τὸ Ἀχιλλεύς Ἀχιλλέως. πρόσκειται «εἰς ς̄ λῆγον» διὰ τὸ φρήν φρενός. πρόσκειται «ὀξύτονον» διὰ τὸ βοῦς βοός καὶ νεῦς νεός καὶ γρεῦς γρεός· νεῦς δέ ἐστιν ἡ ναῦς καὶ γρεῦς ἡ γραῦς. πρόσκειται «διὰ καθαροῦ τοῦ ος κλινόμενα» διὰ τὸ Ζάς Ζαντός, πούς ποδός καὶ κτείς κτενός. εἰ ἄρα οὖν ὁ Ζεύς εἰς ς̄ λῆγον καὶ μονοσύλλαβόν ἐστι καὶ ὀξύτονον καὶ διὰ καθαροῦ τοῦ ος κλίνεται, ὀφείλει Ζευός εἶναι κατὰ τὴν γενικὴν διὰ τῆς ευ διφθόγγου, ἵνα φυλάξῃ τὸν χρόνον τῆς εὐθείας ἐν τῇ γενικῇ· ἀλλ' ἐπειδὴ τὰ εἰς ευς ἀποβάλλει τὸ υ κατὰ τὴν γενικὴν οἷον Πηλεύς Πηλέος, Ἀχιλλεύς Ἀχιλλέος, βασιλεύς βασιλέως, Θησεύς Θησέος· χωρὶς τοῦ Ἄρευς Ἄρευος (τοῦτο γὰρ ἐφύλαξε τὸ υ παρὰ τοῖς Αἰολεῦσιν οἷον

Ἄρευος στρατιωτέροις.

καὶ πάλιν

τὸ γὰρ Ἄρευϊ καταθανεῖν καλόν,

καὶ πάλιν,

μίξαντες ἀλλήλοισιν Ἄρευα).

τούτου χάριν ἠναγκάζετο Ζεός εἶναι κατὰ τὴν γενικήν, κατὰ ἀποβολὴν τοῦ υ. τούτων οὖν τῶν δύο κανόνων μαχομένων, ἀπέλειψεν ἡ κοινὴ κλίσις καὶ παρεισῆλθεν ἡ τῶν Βοιοτῶν κλίσις οἷον Διός Διί Δία, ὥσπερ Ἀχιλλίος Ἀχιλλίϊ Ἀχιλλία. οὐ γάρ, ὡς νομίζουσί τινες, ἀπὸ τῆς Δίς

l. 6 pro θέλουσι ἐνόμισαν Cod. Marc. apud Gaisf. E. M. p. 7. l. 32 στρατιωτέρους, l. 34 τῷ γὰρ, l. 36 Ἄρευι (quod minus probem) cod. Marc. l. l. p. 8.

εὐθείας τῆς κειμένης παρὰ τῷ Ῥίνθωνι ἐγένετο ἡ Διός γενική, ὥςπερ ἀπὸ τοῦ κίς κιός (σημαίνει δὲ τὸν σκώληκα), καὶ ἀπὸ τοῦ λίς λιός· ἐκεῖνος γὰρ τὴν Δίς εὐθεῖαν ἐπλάσατο πρὸς τὴν Διός γενικήν, ἵνα νομισθῇ ἀκόλουθος εἶναι ἡ γενική.

Τὰ εἰς ευς λήγοντα ἐὰν καθαρεῦον ἔχει τὸ ε, συναιρεῖται κατὰ τὴν γενικὴν τὴν Ἀττικὴν παρὰ τοῖς Ἀθηναίοις οἷον Ἐρετριεύς Ἐρετριέως Ἐρετριῶς, τοῦ ε καὶ ω εἰς τὸ ω κιρναμένων, ὡς ποιέω ποιῶ, νοέω νοῶ· ἐὰν δὲ μὴ ἔχῃ καθαρεῦον τὸ ε, ἀλλ' ἔχει προηγούμενον σύμφωνον, οὐ γίνεται κρᾶσις κατὰ τὴν γενικὴν οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις οἷον Ἀχιλλεύς Ἀχιλλέως, Πηλεύς Πηλέως, βασιλεύς βασιλέως. παρὰ δὲ τοῖς Δωριεῦσιν καὶ τοῖς Ἴωσι κρᾶσις γίνεται ἐπὶ τούτων κατὰ τὴν γενικὴν τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον οἷον τοῦ Ὀδυσσέος τοῦ Ὀδυσσεῦς

Ὀδυσσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ (ω 398),

καὶ πάλιν ἐν τῷ

Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα (Ν 424)

τινὲς περισπῶσιν Ἰδομενεῦς ἀντὶ τοῦ Ἰδομενέος. ἄμεινον δὲ τὸ εὐθεῖαν εἶναι ὡς τὸ «οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος» (Φ 305). ἰστέον δὲ ὅτι οὐ μόνον ἐπὶ τῶν γενικῶν τῶν εἰς ευς ποιοῦνται οἱ Ἴωνες καὶ οἱ Δωριεῖς τὴν τοιαύτην κρᾶσιν, ἀλλὰ καὶ ἐπ' ἄλλων. ἰδοὺ γὰρ τὸ Ἔρεβος τοῦ Ἐρέβεος καὶ κατὰ κρᾶσιν Ἰωνικὴν ἢ Δωρικὴν τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον γίνεται Ἐρέβευς, ὡς παρὰ τῷ ποιητῇ (Θ 368)

ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο,

ἀντὶ τοῦ Ἐρέβους. δεῖ δὲ γινώσκειν, ὅτι τὸ υἱεύς υἱέος οὐ γίνεται παρὰ τοῖς Ἀθηναίοις διὰ τοῦ ε καὶ ω κατὰ τὴν γενικήν, ἀλλὰ φυλάττει τὸ ο· υἱεύς δέ ἐστιν ὁ υἱός.

Ἄξιόν ἐστι ζητῆσαι, διατί, ὥςπερ ἐπὶ τοῦ Πηλέϊ Πηλεῖ κατὰ συναίρεσιν γίνεται τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, μὴ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ νεῦς νεός νεῖ καὶ γρεῦς γρεός γρεῖ γίνεται κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον νεῖ καὶ γρεῖ. ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται γενέσθαι κατὰ συναίρεσιν ἡ δοτικὴ νεῖ καὶ γρεῖ, ἐπειδὴ οὐδέποτε ἡ δοτικὴ τῶν ἑνικῶν ἐπ' ὀνομάτων μονοσυλλάβων ἐκφωνεῖ τὸ ι οἷον τῷ Γρᾷ, τῇ γῇ, τῇ μνᾷ, τῷ νῷ. εἰ οὖν ἐγένετο κατὰ συναίρεσιν νεῖ νεῖ, γρεῖ γρεῖ, ἤμελλεν ἐκφωνεῖσθαι τὸ ι ἐν τῇ δοτικῇ τῶν ἑνικῶν ἐπὶ μονοσυλλάβων ὀνομάτων, ὅπερ ἄτοπον. ἰστέον δὲ ὅτι οἱ Ἀττικοὶ μόνῃ τῇ συνῃρημένῃ χρῶνται δοτικῇ ἐν τοῖς

l. 4 cf. Choer. 60, 3, Ep. Cr. I 107, 2, An. Par. III 305, 19; de Φωκήων et Φωκείων cf. Eust. 1108, 7; de Boiotico genetivo in ιος An. Ox. III 238, 7, Ahrens de dial. Aeol. p. 205 not. 5; de genetivo Ἄρευος p. 121 not. 5.

l. 17 observationem de N 424 Ἰδομενεῦς, quod Choerob. circumflectit, mutavi ex Il. Pr. ad b. l. l. 32 verba inde ab ἐπειδὴ οὐδέποτε ἡ δοτικὴ — ὅπερ ἄτοπον ex p. 240, 15 huc transposui.

τοιούτοις ὀνόμασιν, οὐ μὴν καὶ τῇ ἐντελεῖ τῷ Πηλέϊ, τῷ Πηλεῖ γὰρ καὶ τῷ βασιλεῖ λέγουσιν, οὐ μὴν καὶ τῷ Πηλέϊ καὶ τῷ βασιλέϊ.

Ἀπὸ τῆς Πηλέϊ δοτικῆς ἐγένετο τροπῇ τοῦ ῑ εἰς α Πηλέα ὥσπερ Αἴαντι Αἴαντα, Θόαντι Θόαντα. ἰστέον ὅτι πᾶσα γενικὴ εἰς ο͞ς λήγουσα, ἔχουσα τὴν αἰτιατικὴν τῶν ἑνικῶν εἰς ᾰ, ὁμόχρονον ἑαυτῇ ἔχει αὐτὴν οἷον Αἴαντος Αἴαντα, Θόαντος Θόαντα. ἰδοὺ ἐνταῦθα τὸ ᾰ βραχύ ἐστιν, ἐπειδὴ καὶ ἡ ο͞ς συλλαβὴ βραχεῖά ἐστιν· ὁμοίως Πηλέος Πηλέα, Ἀχιλλέως Ἀχιλλέα. οἱ μέντοι Ἀθηναῖοι, ἐπειδὴ Πηλέως καὶ Ἀχιλλέως λέγουσι διὰ τοῦ ε̄ καὶ ω, τούτου χάριν καὶ τὴν αἰτιατικὴν ποιοῦσιν εἰς α μακρόν, ἵνα ἰσόχρονος γένηται ἡ αἰτιατικὴ τῇ ἰδίᾳ γενικῇ. καὶ πολλή ἐστιν ἡ χρῆσις τῆς τοιαύτης αἰτιατικῆς, ὡς ἔχομεν καὶ παρὰ τῷ Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ (545)

καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλας,

ἐξέτεινε γὰρ τὸ ᾱ.

Ἐπὶ τῶν Ἀττικῶν τῶν γινομένων κατὰ συναλοιφὴν ἐν τῇ γενικῇ τοῦ ε̄ καὶ ω εἰς τὸ ῶ οἷον τοῦ Ἐρετριέως τοῦ Ἐρετριῶς, τοῦ Στειριέως τοῦ Στειριῶς, οἱ Ἀθηναῖοι τὰς αἰτιατικὰς συναλείφοντες εἰς α μόνον ποιοῦσιν αὐτὰς οἷον τὸν Ἐρετριέα τὸν Ἐρετριᾶ, τὸν Στειριέα τὸν Στειριᾶ, καὶ οὐκέτι εἰς η, καίτοι κανόνος λέγοντος, ὅτι τὸ ε̄ καὶ ᾱ εἰς η καὶ μακρὸν ᾱ κιρνᾶται. ἡνίκα μὲν γὰρ προηγεῖται τοῦ ε̄ σύμφωνον, τότε τὸ ε̄ καὶ α εἰς η μόνως κίρναται οἷον εὐσεβέα εὐσεβῆ, εὐγενέα εὐγενῆ, τείχεα τείχη, βέλεα βέλη· ἡνίκα δὲ προηγεῖται φωνῆεν τοῦ ε̄, τότε τὸ ε̄ καὶ α εἰς η καὶ εἰς ᾱ μακρὸν κίρναται οἷον εὐφυέα εὐφυᾶ καὶ εὐφυῆ, ἀφυέα ἀφυᾶ καὶ ἀφυῆ, ὑγιέα ὑγιῆ καὶ ὑγιᾶ. ἐπὶ οὖν τοῦ Ἐρετριέα Ἐρετριᾶ καὶ Πειραιέα Πειραιᾶ καὶ Στειριέα Στειριᾶ εἰς α μόνως ἐγένετο ἡ κρᾶσις, οὐκέτι δὲ καὶ εἰς η, καίτοι φωνήεντος προηγουμένου τοῦ ε̄. καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· διὰ τοῦτο ἐπὶ τοῦ Ἐρετριέα Πειραιέα Στειριέα, Ἐρετριᾶ καὶ Στειριᾶ καὶ Πειραιᾶ, οὐκ ἐγένετο εἰς η ἡ κρᾶσις, ἀλλ' εἰς α μόνον, ἐπειδὴ τούτων ἡ κλητικὴ εἰς φωνῆεν λήγει οἷον ὦ Ἐρετριεῦ καὶ ὦ Πειραιεῦ καὶ ὦ Στειριεῦ. οὐδέποτε δὲ τῆς κλητικῆς εἰς φωνῆεν ληγούσης ὀφείλει ἡ αἰτιακὴ εἰς η καταλήγειν οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις οἷον ὦ Χρύση τὸν Χρύσην, ὦ τοξότα τὸν τοξότην, ὦ Δημοσθένη Ἀττικῶς καὶ τὸν Δημοσθένην Ἀττικῶς μετὰ τοῦ ν̄. «παρ' ἡμῖν ἢ παρὰ τοῖς Ἀθηναίοις» πρόσκειται, ἐπειδὴ παρὰ τοῖς Δωριεῦσιν εὑρίσκεται ἡ κλητικὴ εἰς φωνῆεν λήγουσα, τῆς αἰτιατικῆς εἰς η καταληγούσης οἷον ὦ Τυδεῦ καὶ τὸν Τυδῆ, ὡς παρὰ τῷ ποιητῇ (Δ 384)

ἔνθ' αὖτ' ἀγγελίην ἐπὶ (sic) Τυδῆ στεῖλαν Ἀχαιοί.

τούτου χάριν ἐπὶ τοῦ Ἐρετριέα Ἐρετριᾶ καὶ Πειραιέα Πειραιᾶ καὶ Στειριέα Στειριᾶ εἰς ᾱ μόνως ἐγένετο ἡ κρᾶσις, οὐκέτι δὲ καὶ εἰς η, ἵνα μὴ εὑρεθῇ τῆς κλητικῆς εἰς φωνῆεν ληγούσης ἡ αἰτιατικὴ εἰς η καταλήγουσα.

Ἀποροῦcι δέ τινες λέγοντες, διατί, ὥςπερ λέγομεν τὸν Δημοcθένεα καὶ Δημοcθένη κατὰ κρᾶcιν τοῦ ε̄ καὶ α εἰc η, μὴ τὸν αὐτὸν τρόπον καὶ τὸν Πηλέα καὶ τὸν Πηλῆ, καὶ τὸν Ἀχιλλέα καὶ τὸν Ἀχιλλῆ λέγομεν; ἔcτιν οὖν εἰπεῖν, ὅτι πρῶτον μέν, ὡc εἴρηται, οὐ δύναται ἡ αἰτιατικὴ εἰc η̄ καταλήγειν, διὰ τὸ τὴν κλητικὴν εἰc φωνῆεν λήγειν, ὦ Πηλεῦ γὰρ καὶ ὦ Ἀχιλλεῦ ἐcτιν ἡ κλητική· δεύτερον δέ, ἐπειδὴ ἡ γενικὴ ἐπὶ τούτων οὐ cυναιρεῖται (οὐδὲ γὰρ λέγομεν Πηλοῦc καὶ Ἀχιλλοῦc ὥcπερ Δημοcθένουc), τούτου χάριν οὔτε ἡ αἰτιατικὴ cυναιρεῖται. ὅτι γὰρ τοῦτο ἀληθέc ἐcτι δῆλον, εἴγε παρὰ τοῖc Δωριεῦcι καὶ τοῖc Ἴωcιν ἐπὶ τούτων τῶν εἰc ε̄ῡc γίνεται ἡ κρᾶcιc ἐν τῇ αἰτιατικῇ τοῦ ε̄ καὶ ᾱ εἰc η̄ οἷον Τυδέα Τυδῆ, ὡc παρὰ τῷ ποιητῇ

ἔνθ' αὖτ' ἀγγελίην ἐπὶ Τυδῆ cτεῖλαν Ἀχαιοί,

καὶ ἐπὶ τῶν ὁμοίων ὡcαύτωc, ἐπειδὴ καὶ ἐν τῇ γενικῇ ποιοῦcι κρᾶcιν οἷον τοῦ Ὀδυccεῦc, τοῦ Ἰδομενεῦc.

Choer. 216, 29: ἐν τοῖc δυϊκοῖc τὰ δύο εε εἰc η̄ κίρναται οἷον Δημοcθένεε Δημοcθένη, Διομήδεε Διομήδη, βαcιλέε βαcιλῆ, Πηλέε Πηλῆ.

Ἡ γενικὴ τῶν δυϊκῶν οὐ cυναιρεῖται ἐνταῦθα, ἐπειδὴ οὔτε ἡ γενικὴ τῶν ἑνικῶν cυναιρεῖται οἷον Πηλέοc. δεῖ γινώcκειν ὅτι ἡνίκα μὲν cυναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν τότε καὶ ἡ γενικὴ τῶν δυϊκῶν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν cυναιροῦνται οἷον Δημοcθένεοc Δημοcθένουc Δημοcθενέοιν Δημοcθενοῖν Δημοcθενέων Δημοcθενῶν, Διομήδεοc Διομήδουc Διομηδέοιν Διομηδοῖν Διομηδέων Διομηδῶν, τείχεοc τείχουc τειχέοιν τειχοῖν τειχέων τειχῶν· ἡνίκα δὲ μὴ cυναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν, τότε οὔτε ἡ γενικὴ τῶν δυϊκῶν οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν cυναιροῦνται οἷον ὄφιc ὄφεοc ὀφέοιν ὀφέων, ταχύc ταχέοc ταχέοιν ταχέων, ἡδύc ἡδέοc ἡδέοιν ἡδέων. ἰδοὺ ἐπὶ τούτων τῶν εἰc ευc, ἐπειδὴ οὐ cυναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν, οὔτε ἡ γενικὴ τῶν δυϊκῶν οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν cυναιροῦνται οἷον Πηλέοιν Πηλέων.

Ἐπὶ τῶν εἰc ευc κυρίων ἡ εὐθεῖα τῶν πληθυντικῶν διὰ δύο εε εἰc τὴν ει δίφθογγον cυναλείφει μόνωc, ἐπὶ δὲ τῶν μὴ ὄντων κυρίων εἰc τὴν ει δίφθογγον cυναλείφει τὰ δύο ε̄ε̄ καὶ εἰc τὸ η Ἀττικῶc, βαcιλέεc βαcιλεῖc διὰ τῆc ει διφθόγγου καὶ βαcιλῆc Ἀττικῶc διὰ τοῦ η̄. ἡ δὲ τούτων αἰτιατικὴ διὰ τῆc ει διφθόγγου μόνωc λέγεται, οὐκέτι δὲ καὶ διὰ τοῦ η οἷον τοὺc βαcιλεῖc, τοὺc ἱππεῖc, καὶ τοῦτο εὐλόγωc, ἐπειδὴ οὔτε ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἐcτι γνηcία ἡ κρᾶcιc ἡ τῶν δύο ε̄ε̄ εἰc τὸ η̄. cημειοῦται δὲ ὁ Ἡρωδιανὸc παρὰ τῷ Cοφοκλεῖ τοὺc βαcιλῆc διὰ τοῦ η γραφομένουc κατὰ τὴν αἰτιατικὴν οἷον (Ai. 390)

τούc τε διccάρχαc ὀλέcαc βαcιλῆc.

ἔcτι δὲ καὶ παρὰ τῷ Ξενοφῶντι (Cyrop. I 1, 2) τοὺc νομῆc διὰ τοῦ η̄.

l. 27 cf. fr. 12.

Περὶ τῶν εἰϲ ηϲ.

Choer. 43, 10: τὰ εἰϲ η̅ϲ̅ μονοϲύλλαβα, ἐὰν μὲν περιϲπᾶται, ἀποβολῇ τοῦ ϲ̅ ποιεῖ τὴν γενικὴν οἷον ὁ Δρῆϲ τοῦ Δρῆ, ὁ Τρῆϲ τοῦ Τρῆ. ταῦτα δὲ παραλόγωϲ ἔχει τὴν γενικὴν εἰϲ η̅ καταλήγουϲαν, οὐδέποτε γὰρ εὑρίϲκεται γενικὴ εἰϲ η̅ καταλήγουϲα εἰ μὴ ἐπὶ τούτων τῶν δύο, ἔϲτι δὲ ταῦτα ὀνόματα κύρια. ἐὰν δὲ ὀξύνηται, διὰ τοῦ τ̅ο̅ϲ̅ κλίνεται οἷον ϲήϲ ϲητόϲ (ἔϲτι δὲ εἶδοϲ ϲκώληκοϲ), Κρήϲ Κρητόϲ (ὁ ἀπὸ Κρήτηϲ), θήϲ θητόϲ (ϲημαίνει δὲ τὸν μίϲθιον), Γνήϲ Γνητόϲ (Γνῆτεϲ δὲ λέγονται οἱ Ῥόδιοι καὶ Ἴγνητεϲ οἱ γνήϲιοι Ῥόδιοι).

Choer. 133, 1: ἄξιον δέ ἐϲτι ζητῆϲαι, διατί μὴ λέγομεν ὁ Δρῆϲ τοῦ Δροῦ καὶ ὁ Τρῆϲ τοῦ Τροῦ, ὥϲπερ ὁ Ἑρμῆϲ τοῦ Ἑρμοῦ, ἵνα μὴ εὑρεθῇ παράλογοϲ γενικὴ εἰϲ η̅ καταλήγουϲα; ἔϲτιν οὖν εἰπεῖν, ὅτι πᾶϲα εὐθεῖα μονοϲύλλαβοϲ ἰϲοϲυλλάβωϲ κλινομένη ἀποβολῇ τοῦ ϲ̅ τὴν γενικὴν ἀποτελεῖ οἷον ὁ Γρᾶϲ τοῦ Γρᾶ (ἔϲτι δὲ ὄνομα κύριον), ὁ Χνᾶϲ τοῦ Χνᾶ (οὕτω δὲ ἐλέγετο ὁ Ἀγήνωρ), ὁ νοῦϲ τοῦ νοῦ, ὁ ῥοῦϲ τοῦ ῥοῦ, οὕτωϲ οὖν καὶ ὁ Δρῆϲ τοῦ Δρῆ καὶ ὁ Τρῆϲ τοῦ Τρῆ.

Choer. 137, 18: τὰ εἰϲ η̅ϲ̅ ἰαμβικὰ ἔχοντα ϲύμφωνον ἀπὸ τοῦ ἐνεϲτῶτοϲ διὰ τοῦ τ̅ο̅ϲ̅ κλίνεται οἷον λείβω λέβηϲ λέβητοϲ, δείρω Δάρηϲ Δάρητοϲ, φέρω Φέρηϲ Φέρητοϲ, χαίρω Χάρηϲ Χάρητοϲ (ὄνομα δὲ τοῦτο ϲτρατηγοῦ τῶν Ἀθηναίων), πλανῶ πλάνηϲ πλάνητοϲ, πένω πένηϲ πένητοϲ, τρέμω Τρόμηϲ Τρόμητοϲ (οὕτωϲ δὲ ἐλέγετο ὁ πατὴρ Αἰϲχίνου τοῦ ῥήτοροϲ), κρατῶ Κράτηϲ Κράτητοϲ. ὁ δὲ δότηϲ πλύτηϲ θύτηϲ οὐκ ἔχει ἀπὸ ἐνεϲτῶτοϲ τὸ τ̅. τούτοιϲ δὲ ἀκολουθεῖ κατὰ τὴν κλίϲιν καὶ τὸ Ϲκύθηϲ Ϲκύθου.

Choer. 139, 10: εὑρίϲκεται πολλὰ ἰαμβικὰ καὶ διὰ τοῦ τοϲ καὶ διὰ τῆϲ ου διφθόγγου κλινόμενα· ἔϲτι δὲ ταῦτα Ἴδηϲ Ἴδου (ἔϲτι δὲ ὄνομα κύριον), Γύγηϲ Γύγου καὶ Γύγητοϲ, ἐπὶ τοῦ γίγαντοϲ, ὅτε δὲ ἐπὶ τοῦ βαϲιλέωϲ τῆϲ Λυδίαϲ λέγεται ϲπονδειακόν ἐϲτι καὶ ἰϲοϲυλλάβωϲ κλίνεται, Ϲάκηϲ Ϲάκου (ἔϲτι δὲ ὄνομα ἔθνουϲ), Πύδηϲ Πύδου (ὄνομα ποταμοῦ, ὡϲ παρὰ Ἀντιμάχῳ

καδδ᾽ ἦα Πύδη ἐρόεντα.

τοῦτο δὲ ἐναντίωϲ ἔκλινεν ὁ Ἀντίμαχοϲ· ὅτε μὲν γὰρ ἰαμβικόν ἐϲτιν, ἰϲοϲυλλάβωϲ αὐτὸ κλίνει, ὡϲ ἐπὶ τῆϲ λεχθείϲηϲ χρήϲεωϲ, ὅτε δὲ ϲπονδειακόν ἐϲτι, περιττοϲυλλάβωϲ αὐτὸ κλίνει οἷον

Πύδητοϲ κούρη τηλεκλείτου ποταμοῖο),

μύκηϲ μύκου καὶ μύκητοϲ, εἰ καὶ πολλὰ ϲημαίνει ἡ λέξιϲ· ϲημαίνει γὰρ καὶ τὰ καρβόνια τὰ ἐπικείμενα τοῖϲ λύχνοιϲ, ὡϲ παρὰ Καλλιμάχῳ ἐν τῇ Ἑκάλῃ (fr. 47)

ὅπποτε λύχνου
δαιομένου πυρόεντεϲ ἄδην ἐγένοντο μύκητεϲ.

---

l. 2 cf. Ep. Cr. I 389, 15. l. 17 cf. p. 43, 20. l. 35 versus correctus ex cod. Marc. apud Gaisf. E. M. p. 7.

σημαίνει δὲ καὶ τοὺς ἀμανίτας τοὺς περὶ τὰ δένδρα γενομένους, ὡς παρὰ Ἀντιφάνει (Athen. II p. 60 D)

ὄπτα μύκητας πρινίνους τουσδὶ δύο,

σημαίνει δὲ καὶ τὸ μέρος τῆς λαβῆς τοῦ ξίφους, ἔνθα κρατεῖ τις, οὗ πεσόντος ἐκ Περσέως Μυκῆνας συνέβη κτισθῆναι· σημαίνει δὲ καὶ τὸ αἰδοῖον τοῦ ἀνθρώπου, ὅπερ ἰσοσυλλάβως ἔκλινεν ὁ Ἀρχίλοχος, εἰπὼν (fr. 46 Bergk)

ἀλλ' ἀπερρώγασί μοι
μύκεω τένοντες.

καὶ ὅτι οὐ τὸ μέτρον αἴτιόν ἐστι, δῆλός ἐστιν Ἑκαταῖος οὕτως κλίνας· φησὶ γὰρ «καὶ ἐπαφήσας τὸν κολεὸν τοῦ ξίφεος, τὸν μύκην εὗρεν ἀποπεπτωκότα». ὁ δὲ Ἄρατος (Dios. 244) περιττοσυλλάβως ἔκλινεν «ἢ λύχνοιο μύκητες ἀγείρονται περὶ μύξαν» πάλιν Σάπης Σάπου, καὶ Χάρης Χάρου καὶ Χάρητος, Πύλης Πύλου καὶ Πύλητος, Μύνης Μύνου καὶ Μύνητος (ὁ μὲν γὰρ Σοφοκλῆς Μύνου ἔκλινεν, Αἰχμαλωτίσιν εἰπὼν

Μύνου τ' Ἐπιστρόφου τε,

ὁ δὲ ποιητὴς ἀναλόγως Μύνητος οἷον [Τ 296]

πέρσεν δὲ πόλιν θείοιο Μύνητος),

Μέγης Μέγου (ἐξ οὗ τὸν [Ο 302]

Μέγην ἀτάλαντον Ἄρηϊ)

καὶ Μέγητος. καὶ τὸ Κόμης κύριον διχῶς κλινόμενον εὑρέθη παρὰ τοῖς ἀρχαίοις οἷον Κόμητος καὶ Κόμου ὡς παρὰ Καλλιμάχῳ «δημεχθέα Χελλῶνα κοκόκνημόν τε Κόμητα»· Ἰωνικῶς δὲ καὶ Κόμεω. καὶ τὸ μὲν γύης μέρος τι γῆς καὶ μέρος ἀρότρου κατὰ Ἡσίοδον (Erg. 427) γύου κλίνεται. φασὶ δὲ ὅτι Γύης οὕτω τις καλούμενος βασιλεὺς τῶν Φρυγῶν. ὅταν δὲ ἰσοσυλλάβως εὑρεθῶσιν ὁ Κόμης Κόμου καὶ γύης γύου κλινόμενα, ἔχουσι ἀπολογίαν τοιαύτην.

Choer. 134, 28: τὰ ἀπὸ τῶν εἰς η̅ θηλυκῶν εἰς ης γινόμενα βαρύτονα ἀρσενικὰ μὴ ἔχοντα οὐδέτερον εἰς ες, εἰς τὴν ου̅ δίφθογγον ἔχει τὴν γενικὴν οἷον λέσχη ὁ λέσχης τοῦ λέσχου, ἀράχνη ὁ ἀράχνης τοῦ ἀράχνου, κόμη ὁ ἀκερσεκόμης τοῦ ἀκερσεκόμου, δίκη ἑλλανοδίκης ἑλλανοδίκου, γυνὴ ὁ μισογύνης τοῦ μισογύνου, χαίτη ὁ κυανοχαίτης τοῦ κυανοχαίτου, τέχνη ὁ κλυτοτέχνης τοῦ κλυτοτέχνου, οὕτως οὖν καὶ κόμη ὁ Κόμης τοῦ Κόμου καὶ γύη ὁ γύης τοῦ γύου. πρόσκειται «βαρύτονα» διὰ τὸ τύχη Εὐτυχής Εὐτυχοῦς (ἔστι δὲ ὄνομα κύριον)· τοῦτο γὰρ εἰς ους̅ ἔχει τὴν γενικήν, ἀλλ' οὐκ ἔστι βαρύτονον ἀλλ' ὀξύτονον. πρόσκειται «μὴ ἔχοντα οὐδέτερον εἰς ες», διὰ τὸ ἄκη τανυήκης τανυήκους. τοῦτο γὰρ βαρύτονόν ἐστι, καὶ ὅμως εἰς ους ἔχει τὴν γενικήν, ἀλλ' ἔχει οὐδέτερον εἰς ες οἷον

σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ (Π 473).

---

l. 10—13 ex Il. Pr. O 302 addidi. l. 21 ex p. 134, 16 coll. p. 47, 24.
l. 23 Κόμεω Hippocrati vindicavit Meinek. d. epidem. p. 15.

Choer. 140, 30: τὰ εἰϲ ηϲ βαρύτονα ϲπονδειακὰ εἰϲ ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον Χρύϲηϲ Χρύϲου, Πέρϲηϲ Πέρϲου, Τέννηϲ Τέννου, Ξέρξηϲ Ξέρξου. ϲεϲημείωται τὸ μάϲθληϲ μάϲθλητοϲ (ϲημαίνει δὲ τὸν μεμαλαγμένον λῶρον) καὶ Μήληϲ Μήλητοϲ ποταμὸϲ Κολοφῶνοϲ διὰ τοῦ τοϲ κλινόμενα. ἀλλὰ ταῦτα ὑπάγεται κανόνι τοιούτῳ, «τὰ εἰϲ ληϲ λήγοντα διϲύλλαβα ὡϲ ἐπὶ τὸ πλεῖϲτον διὰ τοῦ τοϲ κλίνεται» οἷον Μέληϲ Μέλητοϲ ποταμὸϲ Ϲμυρναῖοϲ, Πόλληϲ Πόλλητοϲ, Μέμβληϲ Μέμβλητοϲ, Βάμβληϲ Βάμβλητοϲ. πρόϲκειται «ὡϲ ἐπὶ τὸ πλεῖϲτον» διὰ τὸ Μέϲθληϲ Μέϲθλου· τοῦτο γὰρ ἰϲοϲυλλάβωϲ κλίνεται οἷον ὡϲ παρὰ τῷ ποιητῇ (Ρ 216)

Μέϲθλην τε Γλαῦκόν τε.

ἔτι ϲεϲημείωται τὸ Μόργηϲ Μόργητοϲ (ἔϲτι δὲ ὄνομα ἔθνουϲ), τοῦτο δὲ διὰ τοῦ τοϲ ἐκλίθη, ἐπειδὴ τὰ εἰϲ γηϲ λήγοντα ἔχοντα πρὸ τοῦ γ τὸ ϲ ἢ τὸ ρ διὰ τοῦ τοϲ κλίνεται οἷον Μίϲγηϲ Μίϲγητοϲ, Λίργηϲ Λίργητοϲ, χωρὶϲ τοῦ Ἄργηϲ Ἄργου· τοῦτο γὰρ ἰϲοϲυλλάβωϲ κλίνεται οἷον ὡϲ παρ' Ἡϲιόδῳ (Theog. 140)

Βρόντην τε Ϲτερόπην τε καὶ Ἄργην ὀμβριμόθυμον.

ἔτι ϲεϲημείωται τὸ Ναίηϲ Ναίητοϲ (ἔϲτι δὲ ὄνομα κύριον), κούρηϲ κούρητοϲ (ὁ νεώτεροϲ οἷον

κούρητεϲ Ἀχαιῶν [Τ 248]),

Ὄπληϲ Ὄπλητοϲ (ὄνομα κύριον), Πίγρηϲ Πίγρητοϲ, Τίγρηϲ Τίγρητοϲ (ἔϲτι δὲ ὄνομα ποταμοῦ), Βάβρηϲ Βάβρητοϲ, Φάγρηϲ Φάγρητοϲ, Μάγνηϲ Μάγνητοϲ (ἔϲτι δὲ ὄνομα κύριον καὶ ἐθνικόν, Μάγνηϲ γὰρ λέγεται ὁ πολίτηϲ τῆϲ Μαγνηϲίαϲ), Ἴγνηϲ Ἴγνητοϲ, Μάϲηϲ Μάϲητοϲ, Πάρνηϲ Πάρνηθοϲ (ἔϲτι δὲ ὄροϲ Ἀττικῆϲ), Μένδηϲ Μένδητοϲ (ἔϲτι δὲ ὄνομα πόλεωϲ Αἰγύπτου), γλοίηϲ γλοίητοϲ (ϲημαίνει δὲ τὸν κακοήθη), καὶ τὸ πλήρηϲ πλήρουϲ, Ἄρηϲ Ἄρεοϲ. καὶ τὸ μὲν Ναίηϲ Ναίητοϲ καὶ τὸ κούρηϲ κούρητοϲ ἔχει ἀπολογίαν τοιαύτην, ὅτι νάηϲ νάητοϲ καὶ κόρηϲ κόρητοϲ ἦν, καὶ τῷ λόγῳ τῶν ἰαμβικῶν διὰ τοῦ τοϲ ἐκλίνετο, καὶ ἐπλεόναϲε τὸ μὲν νάηϲ τὸ ι καὶ ἐγένετο ναίηϲ, τὸ δὲ κόρηϲ τὸ υ καὶ ἐγένετο κούρηϲ, καὶ ἐφύλαξε τὴν αὐτὴν κλίϲιν. ἔχει δὲ καὶ ἄλλην ἀπολογίαν τὰ τοιαῦτα, τὸ μὲν κούρηϲ, ὅτι τὰ εἰϲ ρηϲ λήγοντα διϲύλλαβα τῇ ου διφθόγγῳ παραληγόμενα διὰ τοῦ τοϲ κλίνεται οἷον μούρηϲ μούρητοϲ, δούρηϲ δούρητοϲ, οὕτωϲ οὖν καὶ κούρηϲ κούρητοϲ. περὶ δὲ τοῦ Ναίηϲ Ναίητοϲ ἔϲτιν εἰπεῖν, ὅτι πολλάκιϲ ἡ αι καὶ οι δίφθογγοι ἀντὶ κοινῆϲ παραλαμβάνονται, ὅθεν καὶ τούτων τῶν διφθόγγων ἐπὶ τέλουϲ οὐϲῶν πολλάκιϲ προπαροξύνεται ἡ λέξιϲ οἷον Ῥόδιοι, Ὅμηροι, ἅμαξαι, ἄελλαι. καὶ παρὰ τοῖϲ ποιηταῖϲ δὲ πολλάκιϲ ἡ αι καὶ ἡ οι δίφθογγοι ἀντὶ κοινῆϲ παραλαμβάνονται, τῆϲ κοινῆϲ μὴ ἀπαρτιζούϲηϲ εἰϲ μέροϲ λόγου, ὡϲ παρὰ Θεοκρίτῳ (11, 18)

ὑψηλᾶϲ ἐϲ πόντον ὁρῶν ἄειδε τοιαῦτα

καὶ παρὰ Μενάνδρῳ

οἱ τηλικοῦτοι καὶ τοιοῦτοι τῷ γένει,

καὶ παρὰ τῷ ποιητῇ (Π 235)

cοὶ ναίουc' ὑποφῆται, ἀνιπτόποδεc, χαμαιεῦναι.

τούτου οὖν χάριν τὸ Ναίηc, ὡc ἔχον τὴν αι δίφθογγον ἀντὶ κοινῆc, τῷ λόγῳ τῶν ἰαμβικῶν ἐκλίθη· τούτῳ τῷ λόγῳ δὲ καὶ τὸ γλοίηc γλοίητοc ἐπάγεται, ἔχει γὰρ τὴν οι δίφθογγον, ἥτιc, ὡc εἴρηται, πολλάκιc ἀντὶ κοινῆc παραλαμβάνεται. τὸ δὲ Ὅπληc Ὅπλητοc, καὶ Τίγρηc Τίγρητοc, καὶ Βάβρηc Βάβρητοc, καὶ Φάγρηc Φάγρητοc, καὶ Μάγνηc Μάγνητοc. καὶ Ἴγνηc Ἴγνητοc ἔχει ἄφωνον πρὸ ἀμεταβόλου, καὶ κοινὴν τὴν cυλλαβὴν ἔχει, καὶ ὡc ἔχοντα κοινὴν τὴν cυλλαβὴν τῷ λόγῳ τῶν ἰαμβικῶν διὰ τοῦ τοc ἐκλίθη. τὸ δὲ λάγνηc λάγνου, εἰ καὶ ἔχει ἄφωνον πρὸ ἀμεταβόλου, εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν τῷ λόγῳ τοῦ κόμηc κόμου καὶ γύηc γύου· ὥcπερ γὰρ ἀπὸ τοῦ δίκη γίνεται πλανοδίκηc πλανοδίκου, οὕτω καὶ ἀπὸ τοῦ γυνή καὶ τοῦ λα τοῦ ἐπιτατικοῦ μορίου γίνεται λαγύνηc, οἱονεὶ ὁ ἐπίταcιν πολλὴν ἔχων πρὸc τὰc γυναῖκαc, καὶ κατὰ cυγκοπὴν λάγνηc λάγνου. τὸ δὲ Ἴγνηc Ἴγνητοc ἔχει καὶ ἄλλην ἀπολογίαν, ὅτι γνήc γνητόc ἦν. ὥcπερ Κρήc Κρητόc, καὶ ἐγένετο ἐν cυνθέcει μετὰ τοῦ ῑ ἀντωνυμίαc (ἐγώ, cύ), ἵ, Ἴγνηc Ἴγνητοc, καὶ ἐφύλαξε τὴν κλίcιν τὴν αὐτήν, ὥcπερ καὶ ἀπὸ τοῦ Κρήc Κρητόc Ἔγκρηc Ἔγκρητοc, καὶ φυλάττει καὶ τὴν αὐτὴν κλίcιν. τὸ δὲ Μάcηc Μάcητοc (ἔcτι δὲ ὄνομα πόλεωc, ὡc παρὰ τῷ ποιητῇ οἷον [Β 562]

οἵ τ' ἔχον Αἴγιναν Μάcητά τε υἷεc Ἀχαιῶν)

ἔcτιν εἰπεῖν ὅτι cυνεcταλμένον ἔχει τὸ ᾱ καὶ ὡc ἰαμβικὸν ἐκλίθη διὰ τοῦ τοc, ἀλλὰ ποιητικῶc τὸ ᾱ ἐξέτεινε διὰ τὸ μέτρον· ἢ λέγομεν ὅτι ἀπὸ τοῦ ὁ Μάcητοc τοῦ Μαcήτου τῷ Μαcήτῳ τὸν Μάcητον γέγονε κατὰ μεταπλαcμὸν Μάcητα. τὸ δὲ πλήρηc πλήρουc, ἐπειδὴ ἔχει οὐδέτερον εἰc εc οἷον τὸ πλῆρεc, διὰ τοῦτο εἰc ουc ἔχει τὴν γενικήν. ἄλλωc τε δὲ ὅτι οὐδὲ ἔcτι τοῦτο διcύλλαβον φύcει· ἀπὸ γὰρ τοῦ πλείων γέγονε πλειήρηc καὶ κατὰ cυγκοπὴν πλήρηc. τὸ δὲ Πάρνηc Πάρνηθοc καὶ Μένδηc Μένδητοc, ἐπειδὴ θηλυκῶc λέγεται οἷον (Aristoph. Nub. 322)

βλέπε νῦν δεῦρο πρὸc τὴν Πάρνηθα.

λέγεται δὲ καὶ ἀρcενικῶc· Ἀντιφάνηc ἐν Πυραυνῷ «ἐc κόρακαc. ἦξω φέρων τε δεῦρο τὸν Πάρνηθ' ὅλον». καὶ πάλιν Αἰγυπτία Μένδηc εἰκότωc διὰ τοῦ τοc ἐκλίθη. τὰ γὰρ εἰc ηc θηλυκὰ μονογενῆ διὰ τοῦ τοc κλίνεται οἷον ἐcθήc ἐcθῆτοc, ποτήc ποτῆτοc

ἐδητύοc ἠδὲ ποτῆτοc (Λ 779)

(cημαίνει δὲ τὴν πόcιν), ποιότηc ποιότητοc, φιλότηc φιλότητοc, κακότηc κακότητοc. οὕτωc οὖν καὶ Μένδηc Μένδητοc καὶ Πάρνηc Πάρνητοc καὶ Πάρνηθοc κατὰ μετάθεcιν τοῦ τ̄ εἰc θ̄. πρόcκειται «μονογενῆ» διὰ τὸ νημερτήc νημερτοῦc· τοῦτο γὰρ ὡc ἔχον οὐδέτερον εἰc

l. 33—34 ex St. B. s. v. Πάρνηc addidi.

εϲ εἰϲ ουϲ ἔχει τὴν γενικήν, τοῦτο δὲ κύριον γινόμενον τὴν αὐτὴν κλίϲιν φυλάττει. ἔχομεν δὲ τὴν χρῆϲιν τοῦ κυρίου παρ' Ὁμήρῳ οἷον

Νημερτής τε καὶ Ἀψευδὴϲ καὶ Καλλιάναϲϲα (Σ 46).

τὸ δὲ Ἄρηϲ διαφόρουϲ ἔχει κλίϲειϲ· καὶ γὰρ κλίνεται τῷ λόγῳ τῶν ἰαμβικῶν οἷον Ἄρητοϲ ἔχον τὸ Ἀρητιάδηϲ πατρωνυμικόν, καὶ πάλιν τῷ λόγῳ τῶν ϲπονδειακῶν οἷον Ἄρου, ἐξ οὗ τὸ

ἦλθεν Ἄρῃ ἐπίκουροϲ (Φ 431),

ὥϲπερ τῷ Χρύϲῃ· καὶ πάλιν

παύϲαϲθαι βροτολοιγὸν Ἄρην ἀνδροκταϲιάων (Ε 909)

ὥϲπερ τὸν Χρύϲην. ἔϲτι δὲ καὶ Ἄρηϲ Ἄρουϲ, ἐκ ταύτηϲ δὲ τῆϲ γενικῆϲ ἔϲτι κλητική

Ἄρεϲ, Ἄρεϲ, βροτολοιγέ, μιαιφόνε,

ὥϲπερ Δημοϲθένηϲ Δημοϲθένουϲ Δημόϲθενεϲ. εὑρίϲκεται δὲ καὶ Ἄρεωϲ Ἀττικῶϲ διὰ τοῦ ω, ὡϲ ἀπὸ τοῦ Ἄρευϲ Ἄρηοϲ Ἰωνικῶϲ καὶ Ἄρευοϲ Αἰολικῶϲ.

Choer. 54, 29: τὰ εἰϲ ηϲ ὀξύτονα διϲύλλαβα πλὴν τῶν εἰϲ τηϲ, εἰ μὲν ἔχει ἓν ϲύμφωνον, εἰϲ ουϲ ἔχει τὴν γενικὴν οἷον ψευδήϲ ψευδοῦϲ, ϲαφήϲ ϲαφοῦϲ, πρηνήϲ πρηνοῦϲ. πρόϲκειται «πλὴν τῶν εἰϲ τηϲ» διὰ τὸ κριτήϲ κριτοῦ· τοῦτο δὲ παραλόγωϲ ὀξύνεται, ὤφειλε γὰρ βαρύνεϲθαι, ἐπειδὴ τὰ εἰϲ τηϲ λήγοντα ἀρϲενικὰ φύϲει διϲύλλαβα βαρύνεται οἷον δότηϲ, κλύτηϲ, θύτηϲ, ὅθεν καὶ τὸ ψάλτηϲ ἀναλογώτερόν ἐϲτι κατὰ τὴν κοινὴν διάλεκτον βαρυνόμενον τοῦ παρὰ τοῖϲ Ἀθηναίοιϲ ὀξυνομένου. εἰ ἔχει δύο ϲύμφωνα, διὰ τοῦ τοϲ κλίνεται οἷον ἀργήϲ ἀργῆτοϲ (ϲημαίνει δὲ τὸ λευκόν), ἑρπήϲ ἑρπῆτοϲ (πάθοϲ τι περὶ τὸ ϲῶμα), προβλήϲ προβλῆτοϲ (ὁ προβεβλημένοϲ καὶ ἐξέχων), ἀδμήϲ ἀδμῆτοϲ ὁ ἀδάμαϲτοϲ, χερνήϲ χερνῆτοϲ ὁ χειροτέχνηϲ. ϲεϲημείωται τὸ Κουρήϲ Κουρῆτοϲ, δηλήϲ δειλῆτοϲ (sic) καὶ τὸ ψιλήϲ ψιλῆτοϲ, ὅτι τῶν εἰϲ ηϲ ὀξυτόνων διϲυλλάβων ἓν ϲύμφωνον ἐχόντων, εἰϲ ουϲ ἐχόντων τὴν γενικὴν οἷον ϲαφήϲ ϲαφοῦϲ, ψευδήϲ ψευδοῦϲ, ταῦτα διὰ τοῦ τοϲ ἐκλίθη· ἔϲτι δὲ ἐθνικά.

Choer. 46, 16: τὰ εἰϲ ηϲ ἔχοντα οὐδέτερον εἰϲ εϲ εἰϲ ουϲ ἔχει τὴν γενικὴν οἷον ὁ εὐϲεβήϲ τοῦ εὐϲεβοῦϲ τὸ εὐϲεβέϲ, ὁ εὐγενήϲ τοῦ εὐγενοῦϲ τὸ εὐγενέϲ, ὁ ἀναιδήϲ τοῦ ἀναιδοῦϲ τὸ ἀναιδέϲ, ὁ ϲαφήϲ τοῦ ϲαφοῦϲ τὸ ϲαφέϲ, ὁ ψευδήϲ τοῦ ψευδοῦϲ τὸ ψευδέϲ, ὁ κακοήθηϲ τοῦ κακοήθουϲ τὸ κακόηθεϲ, ὁ ἐπιμήκηϲ τοῦ ἐπιμήκουϲ τὸ ἐπίμηκεϲ, ὁ πλήρηϲ τοῦ πλήρουϲ τὸ πλῆρεϲ, ὁ φιλαλήθηϲ τοῦ φιλαλήθουϲ τὸ φιλάληθεϲ, ὁ ϲυνήθηϲ τοῦ ϲυνήθουϲ τὸ ϲύνηθεϲ.

l. 15 cf. Choer. 44, 32, An. Ox. II 46, 16; omisi Choerobosci etymologiam vocis Ἄρηϲ ab ᾱ privativo et ῥῶ τὸ λέγω ut ab Herodiano alienum, quem Ἄρηϲ ab ἀρῶ ἀρῶμαι repetivisse scimus ex Il. Pr. Ε 310. l. 19 verba τοῦτο δὲ παραλόγωϲ — περὶ τοῖϲ Ἀθηναίοιϲ ὀξυνομένου concinentia cum Arc. 24, 6 sumpsi ex Choer. 176, 22. l. 27 quid δηλήϲ δειλῆτοϲ sibi velit, non intellego, Herodian. περὶ ὀνομάτων fr. 7 duo tantum Κουρήϲ et ψιλήϲ excipit. Similiter habent Ep. Cr. I 239, 2 et 368, 10.

Choer. 46, 24: τὰ εἰc ηc περιcπώμενα τρεῖc κλίcειc ἐπιδέχεται, τὴν εἰc ουc, ὅταν παρὰ τὸ κλέοc ᾖ οἷον Ἡρακλῆc Ἡρακλέοc Ἡρακλοῦc, Ἀνδροκλῆc Ἀνδροκλέοc Ἀνδροκλοῦc· τὴν διὰ τοῦ ντ, ὅταν ἀπὸ cυναιρέcεωc τῶν εἰc εις ᾖ οἷον δαφνήειc δαφνήεντοc δαφνῆc δαφνῆντοc, τιμήειc τιμήεντοc τιμῆc τιμῆντοc, φθογγήειc φθογγήεντοc φθογγῆc φθογγῆντοc· τὰ δὲ μηδὲν ἐκ τούτων ἔχοντα, εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον Θαλῆc Θαλοῦ (ἔcτι δὲ ὄνομα κύριον) ὡc παρ' Ἀριcτοφάνει (Nub. 180) «τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν», (τοῦτο δέ, ἡνίκα βαρύνεται, διὰ τοῦ τοc κλίνεται τῷ λόγῳ τῶν ἰαμβικῶν οἷον ὁ Θάληc τοῦ Θάλητοc ὡc παρὰ Καλλιμάχῳ (fr. 96) «πάλιν τὸ δῶρον ἐc Θάλητα ὤλιcθεν»), Ἑρμῆc Ἑρμοῦ, Cωcῆc Cωcοῦ, Ἀπελλῆc Ἀπελλοῦ, Ποδῆc Ποδοῦ· τοῦτο δὲ καὶ Ποδῆτοc κλίνεται.

Choer. 48, 6: τὰ εἰc δηc πατρωνυμικὰ ἢ τύπου πατρωνυμικοῦ ὄντα εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικήν. πατρωνυμικὰ μὲν οἷον Ἀτρείδηc Ἀτρείδου, Τελαμωνιάδηc Τελαμωνιάδου, Πηλείδηc Πηλείδου· τύπου δὲ πατρωνυμικοῦ οἷον Εὐριπίδηc Εὐριπίδου, Θουκυδίδηc Θουκυδίδου, Μιλτιάδηc Μιλτιάδου, Ἡρώδηc Ἡρώδου.

Choer. 54, 7: τὰ διὰ τοῦ ωδηc εἰc ουc ἔχει τὴν γενικὴν οἷον πετρώδηc πετρώδουc, λιμώδηc λιμώδουc, κτηνώδηc κτηνώδουc, πυρώδηc πυρώδουc.

Choer. 51, 9: τὰ ἀπὸ τῶν εἰc οc εἰc ηc γινόμενα βαρύτονα, εἴτε ἁπλᾶ εἴτε παραcύνθετα, εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον Ἄραξοc Ἀράξηc Ἀράξου, Λάπιθοc Λαπίθηc Λαπίθου, εἴcπνηλοc (Callim. fr. 169) εἰcπνήληc (Theocr. 12, 13) εἰcπνήλου (cημαίνει δὲ τὸν ἐρώμενον), ἑπτάπουc ἑπτάποδοc ἑπταπόδηc ἑπταπόδου, εὐπατρις εὐπάτριδοc εὐπατρίδηc εὐπατρίδου, Οἰδίπουc Οἰδίποδοc Οἰδιπόδηc Οἰδιπόδου. οὕτωc καὶ ἀπὸ τοῦ ἀγκυλόχειλοc ἀγκυλοχείληc ἀγκυλοχείλου γέγονεν ἀπὸ τοῦ cυνθέτου παραcύνθετον, καὶ εὐλόγωc εἰc τὴν ου δίφθογγον ἔcχε τὴν γενικήν.

Choer. 55, 12: τὰ ἀπὸ τῶν εἰc οc ἀρcενικῶν εἰc ηc γινόμενα ὀξύτονα εἰc ουc ἔχει τὴν γενικὴν οἷον νεόπτορθοc νεοπτορθήc νεοπτορθοῦc (cημαίνει δὲ τὸν ἔχοντα νέον κλάδον), νεόκλαδοc νεοκλαδήc νεοκλαδοῦc, δύcηχοc δυcηχήc δυcηχοῦc, τὸ δὲ ἐθελοντήc καὶ ἑκοντήc ἀπὸ τοῦ ἐθέλοντοc καὶ ἑκόντοc γενικῆc μετοχῆc εἰc ου ἔχει τὴν γενικήν.

Choer. 50, 9: ἔcτι τινὰ εἰc ηc ἔχοντα πρὸ τοῦ η ἀμετάβολον καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν, μὴ τὸ ι μήτε τὸ ο μήτε τὸ υ μήτε τὸ ω, ἅτινα διὰ τοῦ τοc κλίνεται οἷον Ἐπιάληc Ἐπιάλητοc, Ὑπέρηc Ὑπέρητοc (ἔcτι δὲ ὀνόματα κύρια), Ἀκέληc Ἀκέλητοc (ἔcτι δὲ ὄνομα ποταμοῦ), ὑψικέρηc ὑψικέρητοc (cημαίνει δὲ τὸν ἐν ὕψει κεκτημένον τὰ

l. 10 quae de barytono Θάληc proposita sunt, sumpsi ex p. 44, 13 et 136, 24, quae de Ποδῆc ex Priscian. VI 60. l. 21 cf. p. 150, 16, An. Ox. II 372, 10.
l. 33 observationem de ἑκοντήc et ἐθελοντήc addidi ex Arc. 25, 24. — Cf. Choer. 51, 18 et 150, 25.

κέρατα), Καβάρης Καβάρητος (ἔστι δὲ ὄνομα ποταμοῦ), Κεφάλης Κεφάλητος (ἔστι δὲ ὄνομα κύριον), Ἀμέλης Ἀμέλητος (ἔστι δὲ ὄνομα ποταμοῦ), καὶ ἀμένης ἀμένητος (cημαίνει δὲ τὸ παιδίον διὰ τὸ μὴ ἔχειν μένος), οὐκ ἀντιςτρέφοντος τοῦ κανόνος. οὐδὲ γὰρ τὰ ἔχοντα πρὸ τοῦ η ἀμετάβολον καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν μὴ τὸ ῑ μὴ τὸ ο μὴ τὸ ῡ μὴ τὸ ω, πάντα διὰ τοῦ τοc κλίνεται· ἰδοὺ γὰρ τὸ Δημοcθένης Δημοcθένουc καὶ Ἀντιγένης Ἀντιγένουc καὶ Ἀριcτομένης Ἀριcτομένουc οὐ κλίνεται διὰ τοῦ τοc. πρόcκειται «μὴ ἔχοντα μήτε τὸ ῑ μήτε τὸ ō μήτε τὸ ῡ μήτε τὸ ω̄», ἐπειδὴ ταῦτα ἰcοcυλλάβωc κλίνεται, ἤγουν εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον Αἰcχίνης Αἰcχίνου, Μηριόνης Μηριόνου, Κερύνης Κερύνου (ἔcτι δὲ ταῦτα ὀνόματα κύρια), τελώνης τελώνου.

Choer. 53, 26: τὰ εἰc ης ὑπὲρ δύο cυλλαβὰc βαρύτονα ἔχοντα πρὸ τοῦ η δύο τὰ αὐτὰ ἀμετάβολα εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον Ἰωάννης Ἰωάννου, Ὀρθάννης Ὀρθάννου, Καβάλλης Καβάλλου. πρόcκειται «ὑπὲρ δύο cυλλαβὰc» διὰ τὸ Πόλλης Πόλλητοc· τοῦτο γὰρ διὰ τοῦ τοc κλίνεται, ἀλλ' οὐκ ἔcτιν ὑπὲρ δύο cυλλαβὰc ἀλλὰ διcύλλαβον. πρόcκειται «βαρύτονα» διὰ τὸ ἀελλῆc ἀελλοῦc (cημαίνει δὲ τὸν cυcτρεφώδη ἄνεμον)· τοῦτο γὰρ εἰc ουc ἔχει τὴν γενικήν, ἀλλ' οὐκ ἔcτι βαρύτονον ἀλλ' ὀξύτονον.

Choer. 53, 18 (Eustath. 1684, 31): τὰ διὰ τοῦ ολης εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον Ὀζόλης (ἔθνοc δὲ οἱ Ὀζόλαι) Ὀζόλου, γενειόλης γενειόλου, φαινόλης φαινόλου.

Choer. 53, 35: τὰ διὰ τοῦ ανης εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον Ἰορδάνης Ἰορδάνου, Ἐξοcτάνης Ἐξοcτάνου, Ἀϊάνης Ἀϊάνου, Βαρδάνης Βαρδάνου.

Choer. 55, 9: τὰ εἰc ηνης ὀξύτονα εἰc ουc ἔχει τὴν γενικὴν οἷον caφηνήc caφηνοῦc ὁ caφήc, παιδηνήc παιδηνοῦc ὁ παιδικόc, γαληνήc γαληνοῦc ὁ γαληνὸc τρόποc.

Choer. 49, 1: τὰ διὰ τοῦ ινης εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον Αἰcχίνης Αἰcχίνου, Λεπτίνης Λεπτίνου, Cμικρίνης Cμικρίνου, Μηκίνης Μηκίνου.

Choer. 53, 18 (An. Ox. II 378, 18): τὰ διὰ τοῦ ονης καὶ τὰ διὰ τοῦ υνης καὶ τὰ διὰ τοῦ ωνης εἰc τὴν ου δίφθογγον ἔχει τὴν γενικήν, Μηριόνης Μηριόνου, Κεβριόνης Κεβριόνου, Κερύνης Κερύνου, τελώνης τελώνου, cιτώνου.

Choer. 54, 3: τὰ διὰ τοῦ ωρης καὶ τὰ διὰ τοῦ ηρης εἰc ουc ἔχει τὴν γενικὴν οἷον χαλκήρης χαλκήρουc, ξιφήρης ξιφήρουc, τριήρης τριήρουc,

1. 3 de ἀμένης ἀμένητοc cf. Arc. 62, 16 et Hesych. ἀμένητα cum Schmidtii adnotatione. In quibusdam in ιλης declinationem fluctuasse patet ex St. B. 627, 10 s. Τλῶc, ubi a Τρεμίλης flectitur Τρεμίλητοc et p. 633, 8 s. Τρεμίλη ab eodem declinatur Τρεμίλου.

φρενήρης φρενήρους, πλήρης πλήρους, Διώρης Διώρους (ἔςτι δὲ ὄνομα κύριον), ὑληώρης ὑληώρους.

Choer. 53, 1: τὰ εἰς τ̄η̄ς̄ ἀρςενικὰ μὴ ὄντα cύνθετα παρὰ τὸ κρατῶ ἢ κράτος μὴ ἔχοντα οὐδέτερον εἰς ε̄ς̄ εἰς τὴν ο̄ῡ δίφθογγον ἔχει τὴν γενικήν, χωρὶς τοῦ Κράτης Κράτητος. ἔςτω δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· θύτης θύτου, πλύτης πλύτου, δότης δότου, χάρτης χάρτου, ψάλτης ψάλτου, κτίςτης κτίςτου, ἐπιθέτης ἐπιθέτου, Εὐφράτης Εὐφράτου, εὐεργέτης εὐεργέτου, Μεμφίτης Μεμφίτου, πολίτης πολίτου, Ἀςκαλωνίτης Ἀςκαλωνίτου, ςτυλίτης ςτυλίτου, τραπεζίτης τραπεζίτου, οἰκέτης οἰκέτου, ποιητής ποιητοῦ, ἱκέτης ἱκέτου, δανειςτής δανειςτοῦ, φαιδρύντης φαιδρύντου, χρυςωτής χρυςωτοῦ. πρόςκειται ἐν τῷ κανόνι «ἀρςενικά» διὰ τὰ θηλυκὰ οἷον φιλότης φιλότητος, ποιότης ποιότητος καὶ τὰ ὅμοια. πρόςκειται «μὴ cύνθετα παρὰ τὸ κρατῶ ἢ κράτος» διὰ τὸ Cωκράτης Cωκράτους καὶ Ἀριςτοκράτης Ἀριςτοκράτους καὶ Ἱπποκράτης Ἱπποκράτους καὶ ἀκρατής ἀκρατοῦς. — πρόςκειται «μὴ ἔχοντα οὐδέτερον εἰς εc» διὰ τὸ προπετής προπετοῦς προπετές.

Choer. 54, 10: τὰ εἰς ης ἀπὸ ῥημάτων cύνθετα βαρύτονα μὴ ὄντα κύρια μὴ ἔχοντα οὐδέτερον εἰς ε̄ς̄ εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον πωλῶ παντοπώλης παντοπώλου, μετρῶ γεωμέτρης γεωμέτρου, τρίβω παιδοτρίβης παιδοτρίβου, ὀφείλω χρεωφείλης χρεωφείλου, βαίνω ναυβάτης ναυβάτου, μιςῶ ἐργομίςης ἐργομίςου, τύπτω πατροτύπτης πατροτύπτου. πρόςκειται «μὴ ὄντα κύρια» διὰ τὸ κρατῶ Cωκράτης Cωκράτους· τοῦτο γὰρ εἰς ο̄ῡς̄ ἔχει τὴν γενικὴν καὶ οὐκ εἰς τὴν ο̄ῡ δίφθογγον, ἀλλὰ κύριά ἐςτι, τὰ γὰρ εἰς η̄ς̄ ἀπὸ ῥημάτων κύρια εἰς ο̄ῡς̄ ἔχει τὴν γενικὴν χωρὶς εἰ μὴ χαρακτὴρ κωλύῃ οἷον δεύκω Πολυδεύκης Πολυδεύκους, μέδω Διομήδης Διομήδους, πείθω Διοπείθης Διοπείθους, φαίνω Ἀριςτοφάνης Ἀριςτοφάνους. πρόςκειται «εἰ μὴ χαρακτὴρ κωλύῃ» διὰ τὸ κρίνω Θεοκρίνης Θεοκρίνου· τοῦτο γὰρ κύριόν ἐςτι καὶ ὅμως εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν τῷ χαρακτῆρι τῶν διὰ τοῦ ῑν̄η̄ς̄. ἔτι πρόςκειται «μὴ ἔχοντα οὐδέτερον εἰς εc», ἐπεὶ ταῦτα εἰς ους ἔχει τὴν γενικὴν οἷον ὄλω ἐξώλης ἐξώλους ὅτι ἐξῶλες, πανώλης πανώλους ὅτι πανῶλες, ἀντῶ προςάντης προςάντους ὅτι πρόςαντες, ἀρκῶ αὐτάρκης αὐτάρκους ὅτι αὔταρκες, ἀδεῖν (cημαίνει δὲ τὸ ἀρέςκειν) αὐθάδης αὐθάδους ὅτι αὔθαδες.

Choer. 55, 16: τὰ εἰς η̄ς̄ ὀξύτονα παρὰ ῥῆμα cύνθετα, μὴ ἀπὸ παθητικοῦ παρακειμένου, εἰς ο̄ῡς̄ ἔχει τὴν γενικὴν οἷον ςπείρω πολυςπειρής πολυςπειροῦς, ἄρδω νεοαρδής νεοαρδοῦς, πήςςω ἐπάγη πρω-

---

l. 3 cf. An. Ox. II 4:6, 27: τὰ εἰς τ̄η̄ς̄ ῥηματικά, εἰ μὲν ἔχοι ἀπὸ κλίςεως τὸ τ̄, εἰς οὗ ἔχει τὴν γενικὴν ὡς τοξότης τοξότου, ὀρχηςτής ὀρχηςτοῦ· εἰ δὲ ἀπὸ θέματος, εἰς ο̄ῡς̄ ἔχει τὴν γενικὴν οἷον τὸ Cωκράτης Ἱπποκράτης, Cωκράτους Ἱπποκράτους. l. 15—16 manca Choerobosci verba quantum potuit expleta sunt. l. 24 verba τὰ γὰρ εἰς ης ῥημάτων κύρια — διὰ τοῦ ινῆς adieci ex Choer. 48, 26 cf. Ep. Cr. I 115, 9 et 118, 4 et 358, 28, E. M. 277, 30.

τοπαγής πρωτοπαγοῦϲ. πρόϲκειται «μὴ ϲύνθετα ἀπὸ παθητικοῦ παρακειμένου», ἐπειδὴ καθόλου τὰ εἰϲ ηϲ ὀξύτονα ϲύνθετα ἀπὸ ῥημάτων μίαν ϲυλλαβὴν φυλάττει τοῦ παθητικοῦ παρακειμένου καὶ διὰ καθαροῦ τοῦ τοϲ κλίνεται οἷον βέβληται ἀβλής ἀβλῆτοϲ (ϲημαίνει δὲ τὸν ἄτρωτον), δέδμηται ἀδμής ἀδμῆτοϲ ὁ ἀδάμαϲτοϲ, τέτρηται ἡμιτρής ἡμιτρῆτοϲ ὁ κατὰ τὸ ἥμιϲυ τετρημένοϲ, τέθνηκα ἡμιθνής ἡμιθνῆτοϲ. τοῦτο δέ, φημὶ δὴ τὸ τέθνηκα, τῇ μὲν φωνῇ ἐϲτιν ἐνεργητικόν, τῷ δὲ ϲημαινομένῳ παθητικόν. καὶ καθόλου πάντα τὰ εἰϲ ϲ λήγοντα ὀξύτονα ϲύνθετα ἀπὸ ῥημάτων μίαν ϲυλλαβὴν φυλάττοντα τοῦ παθητικοῦ παρακειμένου διὰ καθαροῦ τοῦ τοϲ κλίνεται οἷον κέκραται χαλκοκράϲ χαλκοκρᾶτοϲ, νεοκράϲ νεοκρᾶτοϲ, τέτρωμαι ἀτρώϲ ἀτρῶτοϲ, πέπτωκα ἀπτώϲ ἀπτῶτοϲ.

Choer. 148, 27: τὰ εἰϲ ηϲ παρ' οὐδετέρων ϲυντεθειμένα εἰϲ οῦϲ ἔχει τὴν γενικὴν οἷον ϲθένοϲ Δημοϲθένηϲ Δημοϲθένουϲ, γένοϲ Διογένηϲ Διογένουϲ, νεῖκοϲ Πολυνείκηϲ Πολυνείκουϲ, ἦθοϲ κακοήθηϲ κακοήθουϲ, κῆτοϲ μεγακήτηϲ μεγακήτουϲ, μῆκοϲ ἐπιμήκηϲ ἐπιμήκουϲ. δεῖ δὲ γινώϲκειν, ὅτι παρ' οὐδετέρων ϲυντεθειμένα δεῖ νοεῖν, ἵνα κατὰ τὸ τέλοϲ ἔχῃ τὸ οὐδέτερον. τοῦτο δὲ εἴρηται διὰ τὸ Κλεοφόντηϲ Κλεοφόντου. τοῦτο γὰρ εἰϲ ηϲ ἐϲτὶ καὶ παρ' οὐδετέρου ϲυντεθειμένον, φημὶ δὴ παρὰ τὸ κλέοϲ, καὶ ὅμωϲ εἰϲ ουϲ οὐκ ἔχει τὴν γενικήν, ἀλλ' εἰϲ τὴν ου δίφθογγον· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔϲτι κατὰ τὸ τέλοϲ τὸ οὐδέτερον, ἀλλὰ κατὰ τὴν ἄρχουϲαν.

Δεῖ προϲθεῖναι ἐν τῷ κανόνι «χωρὶϲ εἰ μὴ χαρακτὴρ κωλύϲῃ» διὰ τὸ Ἀμέληϲ Ἀμέλητοϲ καὶ ἀμένηϲ ἀμένητοϲ. ταῦτα γὰρ παρ' οὐδετέρων ἐϲτὶ ϲυντεθειμένα, φημὶ δὴ παρὰ τὸ μέλοϲ καὶ τὸ μένοϲ, καὶ κατὰ τὸ τέλοϲ ἔχει τὸ οὐδέτερον, καὶ ὅμωϲ οὐκ ἔχει εἰϲ οῦϲ τὴν γενικήν, ἀλλὰ διὰ τοῦ τοϲ κλίνεται· ἀλλ' ὑπέπεϲε ταῦτα χαρακτῆρι τοιούτῳ· ἔϲτι τινὰ εἰϲ ηϲ λήγοντα ὑπὲρ δύο ϲυλλαβὰϲ ἔχοντα πρὸ τοῦ η ἀμετάβολον καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν, μὴ τὸ ι, μὴ τὸ ο, μὴ τὸ υ, μὴ τὸ ω, ἅτινα διὰ τοῦ τοϲ κλίνεται. — τὸ δὲ ἀγκυλοχείληϲ ἀγκυλοχείλου οὐ παρὰ τὸ χεῖλοϲ ϲυντεθεμένον ἐϲτί, ἀλλὰ παραϲύνθετον· ὥϲπερ γὰρ παρὰ τὸ ῥῖγοϲ γίνεται δύϲριγοϲ ϲύνθετον καὶ παρὰ τὸ ξίφοϲ ἄξιφοϲ καὶ παρὰ τὸ θάρϲοϲ, ὅπερ ἐϲτὶν Αἰολικῶϲ θέρϲοϲ, ἐξ οὗ καὶ Θερϲίτηϲ, Ἁλίθερϲοϲ ϲύνθετον γίνεται, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ χεῖλοϲ ἀγκυλόχειλοϲ ϲύνθετον γίνεται· καὶ λοιπὸν ἀπὸ τοῦ ἀγκυλόχειλοϲ ϲυνθέτου γίνεται παραϲύνθετον ἀγκυλοχείληϲ ἀγκυλοχείλου καὶ ἔτρεψε τὸ ο εἰϲ η φυλάξαν τὴν αὐτὴν κλίϲιν. τούτου χάριν οὐκ ὀξύνομεν αὐτό, ἀλλὰ βαρύνομεν. ὅτι δὲ εἰ ἦν ϲύνθετον ὤφειλεν ὀξύνεϲθαι, δῆλον ἐντεῦθεν· τὰ ἀπὸ τῶν εἰϲ οϲ οὐδετέρων εἰϲ ηϲ γινόμενα ϲύνθετα τότε βαρύνεται, ὅταν ἡ κύρια οἷον ϲθένοϲ Δημοϲθένηϲ, γένοϲ

l. 6 verba inde a τέθνηκα ἡμιθνής apposui ex Choer. 49, 10 cf. Ep. Cr. I 334, 17.

Διογένης, νεῖκος Πολυνείκης, κλέος Ἡρακλέης καὶ κατὰ κρᾶσιν Ἡρακλῆς περισπωμένως, καὶ ὅταν ᾗ ἀπὸ τρισυλλάβου οὐδετέρου σύνθετα οἷον στέλεχος εὐστελέχης, μέγεθος παμμεγέθης, καὶ ὅταν ἀπὸ δισυλλάβου οὐδετέρου ᾗ σύνθετα, ἔχοντος ἐν τῇ παραληγούσῃ τὸ η̄, ἐπιφερομένου ἀφώνου οἷον κῆτος μεγακήτης, ἦθος κακοήθης, μῆκος ἐπιμήκης· ἐὰν δὲ μηδὲν ἐκ τούτων τῶν τριῶν ἔχῃ, ὀξύνεσθαι θέλει οἷον μένος εὐμενής, γένος εὐγενής, εἶδος δυσειδής, κλέος δυσκλεής, τεῖχος εὐτειχής (ἔχει μὲν γὰρ τοῦτο ἄφωνον ἐπιφερόμενον, φημὶ δὴ τὸ χ̄, ἀλλ' οὐ παραλήγεται τῷ η̄), δῆνος δυσδηνής (δήνεα δέ ἐστι τὰ βουλεύματα, τοῦτο παραλήγεται μὲν τῷ η̄, ἀλλ' οὐκ ἔχει ἐπιφερόμενον ἄφωνον, τὸ γὰρ ν̄ ἡμίφωνόν ἐστιν), ἔτος διετής τριετής ἑξαετής· ταῦτα δέ φημι τὰ παρὰ τὸ ἔτος παρ' ἡμῖν μὲν ὀξύνεται κατὰ τὸν προειρημένον κανόνα, παρὰ δὲ τοῖς Ἀθηναίοις βαρύνεται· οἱ γὰρ Ἀθηναῖοι διέτης τριέτης ἑξαέτης λέγουσι βαρυτόνως, ὁμοίως τῷ εὐνέτης, οἰκέτης (ὃ σημαίνει τὸν δοῦλον) καὶ ἱκέτης (ὃ σημαίνει τὸν παρακλήτορα), εἰ καὶ ταῦτα εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικήν, τῶν παρὰ τὸ ἔτος εἰς ους αὐτὴν ἐχόντων. οὐ μόνον δὲ περὶ τὸν τόνον πταίουσιν οἱ Ἀττικοὶ τοῖς παρὰ τὸ ἔτος βαρυτόνως αὐτὰ προφέροντες, ἀλλὰ καὶ περὶ τὴν κλίσιν, οἱ δωδεκαέται γὰρ λέγουσι τὴν εὐθεῖαν τῶν πληθυντικῶν, ἀπὸ ἰσοσυλλάβου κλίσεως ποιούμενοι αὐτήν, ὥσπερ ὁ οἰκέτης τοῦ οἰκέτου οἱ οἰκέται, ὀφείλοντες εἰπεῖν οἱ δωδεκαέτεις ὥσπερ οἱ Δημοσθένεις, οὕτως γὰρ ἀπαιτεῖ ὁ κανών. ὡσαύτως δὲ καὶ τὰ θηλυκὰ τούτων ὡς ἀπὸ ἰσοσυλλάβου κλίσεως ποιεῖται. ὥσπερ γὰρ ὁ πολίτης τοῦ πολίτου καὶ ἡ πολῖτις τῆς πολίτιδος, καὶ ὁ κυνηγέτης τοῦ κυνηγέτου καὶ ἡ κυνηγέτις τῆς κυνηγέτιδος, οὕτως καὶ ἀπὸ τοῦ τριακονταέτης τριακονταέτου ποιοῦσι τὸ θηλυκὸν ἡ τριακονταέτις τῆς τριακονταέτιδος, ὡς παρὰ τῷ συγγραφεῖ (Thuc. I 87) «τῶν τριακοντουτίδων σπονδῶν», ὀφείλοντες εἰπεῖν ἡ τριακονταετὴς τῆς τριακονταετοῦς. ὥσπερ γὰρ ὁ συνήθης τοῦ συνήθους καὶ ἡ συνήθης τῆς συνήθους, ὁ κακοήθης τοῦ κακοήθους καὶ ἡ κακοήθης τῆς κακοήθους, οὕτως καὶ ὁ τριακονταέτης τοῦ τριακονταέτους καὶ ἡ τριακονταέτης τῆς τριακονταέτους. ὅτι γὰρ τὰ παρὰ τὸ ἔτος καὶ παρὰ τοῖς Ἀττικοῖς περιττοσυλλάβως κλίνεται καὶ τουτέστιν εἰς ους ἔχει τὴν γενικήν, ἐδήλωσεν ὁ ποιητὴς εἰπὼν (γ 305)

ἑπτάετες δ' ἤνασσεν,

ἀπὸ γὰρ τοῦ ὁ ἑπταέτης τοῦ ἑπταέτους γέγονε τὸ ἑπτάετες οὐδετέρως, ὥσπερ ἀπὸ τοῦ ὁ κακοήθης τοῦ κακοήθους τὸ κακόηθες οὐδετέρως· εὕρηται παρὰ τῷ συγγραφεῖ (I 23) «καὶ τριακοντούτεις σπονδάς» ὥσπερ τὰς κακοήθεις. εἰ ἄρα οὖν τὸ ἀγκυλοχείλης σύνθετόν ἐστιν ἀπὸ τοῦ χεῖλος τοῦ οὐδετέρου ὀνόματος καὶ οὔτε κύριόν ἐστιν οὔτε ἀπὸ τρισυλλάβου

l. 23 ἰσοσυλλάβου, l. 27 τριακοντουτίδων corr. ex cod. Marc. Gaisf. E. M. p. 8. Cf. Cathol. p. 81. l. 30 pro οὕτως καὶ Choerob. fortasse scripsit οὕτως ἔδει καί. In verbis l. 32—38 aliquod vitium latere videtur.

οὐδετέρου σύνθετον οὔτε ἀπὸ δισυλλάβου οὐδετέρου παραληγομένου τῷ η, ἐπιφερομένου ἀφώνου, δηλονότι ὤφειλεν ὀξύνεσθαι· οὐκ ὀξύνεται δέ, ἀλλὰ βαρύνεται· οὐκ ἄρα ἐστὶ σύνθετον ἀλλὰ παρασύνθετον, ὡς ἤδη προείρηται ἡμῖν. εἰδέναι δὲ δεῖ, ὅτι τινὲς θέλουσι λέγειν αὐτὸ εἶναι σύνθετον ἀπὸ τοῦ χηλή τοῦ θηλυκοῦ ὀνόματος, ὅπερ σημαίνει τὸν ὄνυχα, ἵνα ᾖ ἀγκυλοχήλης διὰ τοῦ η̄ καὶ κατὰ τροπὴν Βοιωτικὴν τοῦ η̄ εἰς τὴν ει̅ δίφθογγον γίνεται ἀγκυλοχείλης διὰ τῆς ει̅ διφθόγγου. εἰ δὲ ἀπὸ τοῦ χηλή, θηλυκοῦ δηλονότι ὀνόματος, ἐστι σύνθετον, εὐλόγως εἰς τὴν ου̅ δίφθογγον ἔχει τὴν γενικήν. τὰ γὰρ ἀπὸ τῶν εἰς η̄ θηλυκῶν εἰς η̅ς̅ γινόμενα βαρύτονα, μὴ ἔχοντα οὐδέτερον εἰς ε̅ς̅, εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον ἀράχνη ἀράχνης ἀράχνου, λέσχη ἀδολέσχης ἀδολέσχου, δίκη ἑλλανοδίκης ἑλλανοδίκου, κόμη ἀκερσοκόμης ἀκερσοκόμου, οὕτως οὖν καὶ ἀπὸ τοῦ χηλή γέγονεν ἀγκυλοχείλης ἀγκυλοχείλου, τοῦ η̄ ὡς εἴρηται Βοιωτικῶς τραπέντος εἰς τὴν ου̅ δίφθογγον. δεῖ δὲ γινώσκειν ὅτι ἀναλύεται καὶ αὕτη ἡ δόξα, φημὶ δὴ ἡ λέγουσα ὅτι παρὰ τὸ χηλή ἐγένετο τὸ ἀγκυλοχείλης, οὐχ ὡς ἐπιχειρήσαντες τινὲς λέγειν (leg. ἔλεγον)· τινὲς γὰρ λέγουσιν, ὅτι ἐὰν εἴπωμεν τὸ ἀγκυλοχείλης ἀπὸ τοῦ χηλή εἶναι, ὅπερ σημαίνει τὸν ὄνυχα, εὑρεθήσεται ἐν τῷ στίχῳ τῷ λέγοντι

καμψώνυχες ἀγκυλοχεῖλαι

ἐκ παραλλήλου τὸ αὐτὸ σημαινόμενον, ὅπερ ἐστὶν ἄτοπον· καὶ γὰρ τὸ καμψώνυχες τοὺς ἔχοντας ἐπικεκαμμένους τοὺς ὄνυχας δηλοῖ. καὶ τὸ ἀγκυλοχείλης δέ, ἐὰν ἀπὸ τοῦ χηλή εἴπωμεν, ὅπερ σημαίνει τὸν ὄνυχα, τοὺς ἔχοντας ἐπικεκαμμένους τοὺς ὄνυχας δηλοῖ, τουτέστι τὸ αὐτὸ σημαίνει. πρὸς τούτους δ' ἐστὶν εἰπεῖν, τί γὰρ ἄτοπον ἐκ παραλλήλου εἶναι τὸ αὐτὸ σημαινόμενον, εἰ καὶ ἐπὶ ἄλλου εὑρίσκομεν τὸ τοιοῦτον σχῆμα παρὰ τῷ ποιητῇ οἷον (B 8)

βάσκ' ἴθι οὖλε ὄνειρε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·

καὶ γὰρ τὸ «βάσκε» καὶ τὸ «ἴθι» τὸ αὐτὸ σημαίνει. καὶ πάλιν (Π 792)

στρεφεδίνηθεν δέ οἱ ὄσσε·

καὶ γὰρ τὸ «στρεφε» καὶ τὸ «δίνηθεν» τὸ αὐτό ἐστιν. οὐκ ἄτοπον καὶ ἐπὶ τοῦ «καμψώνυχες ἀγκυλοχεῖλαι» τὸ αὐτὸ σημαινόμενον ἐκ παραλλήλου εἶναι. κρεῖττον οὖν ἐστιν εἰπεῖν καὶ ἀντιθεῖναι τοῖς λέγουσι τὸ ἀγκυλοχείλης παρὰ τὸ χηλή οὕτως· οἱ Βοιωτοὶ τότε τρέπουσι τὸ η̄ εἰς τὴν ει̅ δίφθογγον, ἡνίκα μὴ τρέπεται τὸ η̄ εἰς ᾱ παρὰ τοῖς Δωριεῦσιν οἷον τὸ λέβης καὶ πένης οἱ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου γράφουσι, λέβεις καὶ πένεις λέγοντες, ἐπειδὴ ἐπὶ τούτων οὐ τρέπουσι τὸ η̄ εἰς ᾱ οἱ Δωριεῖς. τὸ δὲ Ἀτρείδης καὶ Ὀρέστης ἐπειδὴ τρέπουσιν οἱ Δωριεῖς τὸ η̄ εἰς ᾱ καὶ λέγουσιν Ἀτρείδας Ὀρέστας, οὐ τρέπουσιν οἱ Βοιωτοὶ εἰς τὴν ει δίφθογγον τὸ η̄. εἰ ἄρα οὖν τὸ χηλή λέγεται παρὰ τοῖς Δωριεῦσι χαλά, κατὰ τροπὴν Δωρικὴν τοῦ η̄ εἰς ᾱ, ὡς παρ' Εὐριπίδῃ ἐν Φοινίσσαις (1032)

χαλαῖσί τε ὠμοσίτοις,

δηλονότι οὐ δύνανται αὐτὸ ποιῆςαι οἱ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου κατὰ τροπὴν τοῦ η εἰς τὴν ει δίφθογγον. οὐκ ἄρα οὖν τὸ ἀγκυλοχείλης cύνθετόν ἐςτιν ἀπὸ τοῦ χηλή, ἀλλ' ἔςτι παραςύνθετον, ὡς ἀνωτέρω εἰρήκαμεν. ἵνα δὲ μήτε τοῦτο παραλείψωμεν, δεῖ γινώςκειν ὅτι τινὲς ἠθέληςαν λέγειν αὐτὸ παραςύνθετον τοῦτον τὸν τρόπον· φαςὶν ὅτι ἀπὸ τοῦ χεῖλος ἐγένετο ἀγκυλοχειλής cύνθετον ὀξείᾳ τάςει, καὶ ἐν βαρείᾳ τάςει παραςύνθετον ἀγκυλοχείλης· καὶ γὰρ πολλάκις καὶ ὁ τόνος τὸ cχῆμα ἐναλλάττει. ἰδοὺ γὰρ τὸ μὲν τηλαυγής καὶ παγκρατής cύνθετά ἐςτι, τὸ δὲ τηλαύγης καὶ παγκράτης παραςύνθετα. οὕτως οὖν ἐςτι καὶ τὸ ἀγκυλοχειλής cύνθετον ὀξυτόνως καὶ ἀγκυλοχείλης παραςύνθετον βαρυτόνως· ἐναντιοῦται δὲ αὐτοῖς ἡ κλίςις· εἰ γὰρ οὕτως γέγονεν, ὤφειλεν εἰς ους ἔχειν τὴν γενικήν. τὰ γὰρ τοιαῦτα εἰς ους ἔχει τὴν γενικὴν οἷον τηλαυγής τηλαυγοῦς, παγκρατής παγκρατοῦς καὶ τηλαύγης τηλαύγους καὶ παγκράτης παγκράτους, οὕτως οὖν ἀγκυλοχειλής ἀγκυλοχειλοῦς ἀγκυλοχείλης ἀγκυλοχείλους ὤφειλεν εἶναι, ἀλλὰ ἀγκυλοχείλης ἀγκυλοχείλου φαμέν, ὥςτε ἄρα οὐκ ἐγένετο οὕτως, ἀλλ' ὡς ἀνωτέρω εἰρήκαμεν, τουτέςτιν ἀπὸ τοῦ χεῖλος ἀγκυλόχειλος ἀγκυλοχείλης ἀγκυλοχείλου.

Choer. 55, 29: τὰ ἀπὸ τῶν εἰς υς εἰς ης γινόμενα εἰς ους ἔχει τὴν γενικὴν οἷον βαρύς ἀβαρής ἀβαροῦς· βριθύς (ὁ ἰςχυρός) ἐμβριθής ἐμβριθοῦς· πῆχυς διπήχης διπήχους, τριπήχης τριπήχους, ὠκύς (ὁ ταχύς) ποδώκης ποδώκους, ἡδύς πολυηδής πολυηδοῦς.

Choer. 146, 1: περὶ τῆς κλητικῆς τῶν εἰς ης ἔςτι καθολικώτερον εἰπεῖν οὕτως· τὰ εἰς ης, ἐὰν μὲν περιττοςυλλάβως κλίνηται, εἰς cύμφωνον ἔχει τὴν κλητικήν, τουτέςτιν εἰς ς ἢ εἰς ν, ἐὰν δὲ ἰςοςυλλάβως κλίνηται, εἰς φωνῆεν ἔχει τὴν κλητικήν, τουτέςτιν ἢ εἰς η ἢ εἰς α. καὶ λοιπὸν cυνάγονται πέντε κλητικαὶ ἐκ τῶν τεςςάρων τούτων cτοιχείων. τὰ γὰρ εἰς ης λήγοντα, ἐὰν μὲν διὰ καθαροῦ τοῦ τος κλίνηται, τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον Λάχης Λάχητος ὦ Λάχης, λέβης λέβητος ὦ λέβης, πένης πένητος ὦ πένης. ἐὰν δὲ εἰς ους ἔχῃ τὴν γενικήν, εἰς ες ποιεῖ τὴν κλητικὴν οἷον Δημοςθένης Δημοςθένους ὦ Δημόςθενες, Ἀριςτοφάνης Ἀριςτοφάνους ὦ Ἀριςτόφανες. καὶ ἰδοὺ εὑρίςκονται κλητικαὶ διάφοροι εἰς ς καταλήγουςαι. ἐὰν δὲ διὰ τοῦ ντ κλίνηται, εἰς ν ἔχει τὴν κλητικὴν οἷον φθογγῆς φθογγῆντος ὦ φθογγῆν, τιμῆς τιμῆντος ὦ τιμῆν, δαφνῆς δαφνῆντος ὦ δαφνῆν. τὰ δὲ εἰς ης ἰςοςυλλάβως κλινόμενα ἔχοντα τὸ τ ἢ ἐθνικὰ ὄντα ἢ cύνθετα ἀπὸ ῥήματος, ἢ εἰς πης, ἅτινα καὶ ποιητικὰ δοκεῖ εἶναι, εἰς α ἔχει τὴν κλητικήν. ἐὰν δὲ μὴ οὕτως ἔχῃ, εἰς η ἔχει τὴν κλητικήν, τουτέςτιν ἀποβολῇ τοῦ ς τοῦ κατὰ τὴν εὐθεῖαν ποιεῖ τὴν κλητικήν. ἔςτω δὲ παραδείγματα τοῦ μὲν προτέρου κανόνος ταῦτα· θύτης θύτου ὦ θύτα,

l. 18 cf. Choer. p. 49, 17 seqq. et 50, 28 seqq. l. 22 omissa sunt ap. Choer., ut nunc est, nomina Siciliensia vel Italica in ης εντος, de quibus Theogn. 47 supra περὶ ὀνομάτων 8; ap. Lascar. exstant.

δότης δότου ὦ δότα, τοξότης τοξότου ὦ τοξότα, ποιητής ποιητοῦ ὦ ποιητά· ἰδοὺ ταῦτα ἔχει τὸ τ̄ καὶ εἰς ᾱ ποιεῖ τὴν κλητικήν. καὶ πάλιν Cκύθης Cκύθου ὦ Cκύθα, Καππαδόκης Καππαδόκου ὦ Καππαδόκα, Πέρςης Πέρςου ὦ Πέρςα. ἰδοὺ ταῦτα ἐθνικά ἐςτι καὶ εἰς ᾱ ἔχει τὴν κλητικήν. τὸ γὰρ κύριον ὄνομα τὸ Πέρςης εἰς η̄ ἔχει τὴν κλητικὴν οἷον ὦ Πέρςη, ὡς παρ' Ἡσιόδῳ (Opp. 27)

ὦ Πέρςη, cὺ δὲ ταῦτα τεῷ ἐνὶ κάτθεο θυμῷ.

cημειούμεθα παρ' Ἡρακλείδῃ ἐν τοῖς Περὶ χρηςμῶν, ὅτιπερ καὶ λέγουςί τινες πεπλαςμένον εἶναι, τὸ «ὦ Πέρςη ποικιλόδιφρε ἵν' ἀπὸ χεῖρας ἔχεςθαι». ἔςτι γὰρ ἐνταῦθα ἐθνικὸν καὶ εἰς η̄ καταλήγει ἡ κλητική. cύνθετα δὲ ἀπὸ ῥήματος οἷον μετρῶ γεωμέτρης γεωμέτρου ὦ γεωμέτρα, πωλῶ παντοπώλης παντοπώλου ὦ παντοπώλα, τρίβω παιδοτρίβης παιδοτρίβου ὦ παιδοτρίβα. ἰδοὺ γὰρ ταῦτα ἀπὸ ῥήματός ἐςτι cύνθετα καὶ εἰς ᾱ ἔχει τὴν κλητικήν. εἰς πης δὲ οἷον κυνώπης κυνώπου καὶ ὦ κυνῶπα

τιμὴν ἀρνύμενοι Μενελάῳ ςοί τε κυνῶπα (Α 159).

τινὲς δὲ θέλουςι ταῦτα τὰ ἔχοντα τὸ π καὶ γινόμενα εἰς ᾱ ἐν τῇ κλητικῇ ποιητικὰ καλεῖν, ὡς κατὰ ποιητικὴν ἐξουςίαν γινόμενα. τοῦ δὲ δευτέρου κανόνος, τουτέςτι τῶν ἀποβολῇ τοῦ ς̄ ποιούντων τὴν κλητικήν, παραδείγματα ταῦτα· Εὐριπίδης Εὐριπίδου ὦ Εὐριπίδη, μιςογύνης μιςογύνου ὦ μιςογύνη, Ἀτρείδης Ἀτρείδου ὦ Ἀτρείδη, Μηριόνης Μηριόνου ὦ Μηριόνη

Μηριόνη Μόλου υἱέ (Ν 249),

Χρύςης Χρύςου ὦ Χρύςη

ὦ Χρύςη, πρό μ' ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων (Α 442),

Ξέρξης Ξέρξου ὦ Ξέρξη, Τέννης Τέννου ὦ Τέννη. cημειούμεθα ἐν τούτῳ τῷ κανόνι τὸ λάγνης λάγνου ὦ λάγνα, παρ' Εὐβούλῳ ἐν Κορυδαλῷ, ἔχει δὲ οὕτως·

ἴθι δεῦρ' ἀφελοῦ τ' ὦ λάγνα ταχὺ τὰ ποικίλα,

καὶ τὸ πυραίχμης πυραίχμου ὦ πυραῖχμα καὶ τὸ μεναίχμης μεναίχμου ὦ μεναῖχμα, ταῦτα γὰρ εἰς ᾱ ἔχει τὴν κλητικήν, ὀφείλοντα εἰς η̄ αὐτὴν ἔχειν. τὸ γὰρ Cτρεψιάδης Cτρεψιάδου ὦ Cτρεψιάδη καὶ Ἡρακλείδης Ἡρακλείδου ὦ Ἡρακλείδη γενόμενα Cτρεψίαδες καὶ Ἡράκλειδες παρὰ τοῖς κωμικοῖς παιγνίου χάριν ἐλέχθη οἷον παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις (1208)

μάκαρ ὦ Cτρεψίαδες.

ἐν δὲ τοῖς ἔχουςι τὸ τ̄ cημειούμεθα τὸ Αἰήτης Αἰήτου ὦ Αἰήτη, ὡς παρὰ Ἀπολλωνίῳ (III 386)

l. 7 ἐνὶ κάτθεο M (Gaisf. E. M. p. 8); idem l. 9 πεπλαςμένον (i. e. quidam oraculum ipsum ficticium existimarunt); tum Πέρςη π. ἰδὼν ἀπὸ χεῖρας ἔχεςκεν: si τὸ «ὦ» tenemus (cf. p. 148, 12) fortasse leg. ὦ Πέρςη ποικιλόδιφρε, Τῶνδ' ἀπὸ χεῖρας ἔχεςθαι; si τὸ «ὦ» eicimus (cf. oraculum a Polluce servatum Θετταλὲ ποικιλόδιφρε) fort. leg. Πέρςη ποικιλόδιφρε θεῶν δ' ἀπὸ χ. ἔχεςθαι. l. 17 καὶ γινόμενα M.

Αἰήτη, cχέο μοι τῷδε cτόλῳ,

καὶ τὸ καλλιλαμπέτης καλλιλαμπέτου ὦ καλλιλαμπέτη καὶ τὸ αἰναρέτης αἰναρέτου ὦ αἰναρέτη, ὡς παρὰ τῷ ποιητῇ

αἰναρέτη τί cευ ἄλλος ὀνήcεται ὀψίγονός περ (Π 31),

αἰναρέτης δέ ἐςτιν ὁ ἐπὶ κακῷ κεκτημένος τὴν ἀρετήν· καὶ παρὰ τῷ ποιητῇ

ὦ φιλοθερςίτη (sic) φιλοκέρτομε (χ 287),

καίτοι γε τοῦ ἁπλοῦ διὰ τοῦ ᾱ ἐξενεχθέντος παρ' αὐτῷ οἷον

Θερςῖτ' ἀκριτόμυθε (Β 246).

Choer. 155, 4: τὸ μὲν Δημοςθένεος καὶ εὐγενέος ἐςτὶν ἐντελῆ, τὸ δὲ Δημοςθένους καὶ εὐγενοῦς κατὰ ςυναίρεςίν ἐςτιν. ἴςως δέ τις λέγοι, διατί μὴ τὸ ἐναντίον ἢ μὲν εἰς ους γενική ἐςτιν ἐντελής, ἡ δὲ εος κατὰ πάθος, τουτέςτι κατὰ διάλυςιν; ἔςτιν οὖν εἰπεῖν, ὅτι ἔχομεν τελικὰ τῆς γενικῆς, τῆς μὲν περιττοςυλλάβου τὸ ς ἐπὶ ἀρςενικῶν καὶ οὐδετέρων οἷον Αἴας Αἴαντος, Θόας Θόαντος, λέβης λέβητος, Πάρις Πάριδος, βῆμα βήματος, ποίημα ποιήματος, μέλι μέλιτος, κρέας κρέατος. πρόςκειται «ἐπὶ ἀρςενικῶν καὶ οὐδετέρων» διὰ τὰ εἰς ᾱ καὶ εἰς η λήγοντα θηλυκά. ἐπὶ τούτων γὰρ τὸ ς τελικόν ἐςτιν ἰςοςυλλάβου γενικῆς οἷον μοῦςα μούςης, τιμή τιμῆς. τῆς δὲ ἰςοςυλλάβου τῶν ἀρςενικῶν τὸ ῡ καὶ τὸ ᾱ οἷον καλός καλοῦ, κοχλίας κοχλίου, Μηνᾶς Μηνᾶ, Μητρᾶς Μητρᾶ. εἰ οὖν ἐνταῦθα φημὶ δὴ ἐν τῇ Δημοςθένους γενικῇ καὶ εὐγενοῦς ἐςτι τελικὸν τὸ ς, ὤφειλε περιττοςυλλαβεῖν ἡ γενικὴ τῆς εὐθείας, ἰςοςυλλαβεῖ δὲ καὶ οὐ περιττοςυλλαβεῖ, δηλονότι πέπονθεν· ἄρ' οὖν τὸ Δημοςθένεος καὶ τὰ ὅμοια ἐντελέςτερά ἐςτι καὶ ὁλόκληρα καὶ περιττοςυλλαβοῦντα τῆς ἰδίας εὐθείας. ἄλλως τε δὲ τὰ τελικὰ τῆς περιττοςυλλάβου γενικῆς καὶ τῆς ἰςοςυλλάβου ὁμοῦ εὑρεθῆναι ἄτοπόν ἐςτι· πῶς γὰρ τὰ ἐναντία δύναται ὁμοῦ εὑρίςκεςθαι; εἰ ἄρα ἐν τῇ Δημοςθένους γενικῇ καὶ τοῖς ὁμοίοις ἐςτὶ τὸ ς τελικὸν τῆς περιττοςυλλάβου γενικῆς καὶ τὸ ς τελικὸν τῆς ἰςοςυλλάβου, δηλονότι πέπονθεν. ἔτι πᾶςα δοτικὴ πληθυντικῶν ἰςοςυλλαβεῖν θέλει τῇ γενικῇ τῶν ἑνικῶν, ὁ δὲ λόγος ἐπὶ τῶν ἀπαθῶν, οἷον Αἴαςιν Αἴαντος, λέβηςι λέβητος, Τρωςί Τρωός, χηςί χηνός, πᾶςι παντός, μηςί μηνός, καλοῖς καλοῦ, ςοφοῖς ςοφοῦ, Ὁμήροις Ὁμήρου, ἀνθρώποις ἀνθρώπου. πρόςκειται δὲ «ὁ λόγος ἐπὶ τῶν ἀπαθῶν» διὰ τὸ καλοῖςι καλοῦ καὶ αἴγεςιν αἰγός, ἐπὶ τούτων γὰρ οὐκ ἰςοςυλλαβεῖ ἡ δοτικὴ τῶν πληθυντι-

1. 8 quamquam haec de vocativo accurate exposita sunt, tamen Herodianum ipsum etiam pleniora praebuisse apparet ex St. B. qui quum de Πέρςης idem quod Choerob. tradat p. 518, 15: Πέρςαι τὸ ἔθνος — λέγεται καὶ Πέρςης ὄνομα. καὶ τοῦ μὲν κυρίου ἡ κλητικὴ κατὰ ὕφεςιν τοῦ ς ὡς τὸ «ὦ Πέρςη» (Hesiod. opp. 27). τοῦ δὲ ἐθνικοῦ κατὰ τροπὴν τοῦ η̄ εἰς ᾱ «ὦ Πέρςα», ὦ Cκύθα. p. 579, 17: Cκύθαι: ἡ κλητικὴ Cκύθα ἔςτιν ὡς Πέρςα, ἔςτι δὲ καὶ Cκύθη a gentili Cκύθης item atque ab ethnico Πέρςης vocativum in η̄ flexum esse refert, et ex Priscian. VII 7 Anacreon Ἥλιε καλλιλαμπέτη (quod Choerobosco ex E. M. 670, 19 restitui pro καλλιπέτη), posuit pro καλλιλαμπέτα, Hipponax «εὔηθες κριτή» pro κριτά et Apollonius Argonauticorum in III «Αἰήτη, κείνην μὲν ἄφαρ διέχευαν ἄελλαι» (v. 320) pro Αἰῆτα, in eodem Αἰήτη, cχέο μοι τῷδε cτόλῳ, οὔτι γὰρ αὔτως. Alcaeus Νήρη pro Νήρης posuit et Theopompus Χάρη pro Χάρης.

κῶν τῇ γενικῇ τῶν ἑνικῶν· [ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ πέπονθεν ἡ δοτικὴ τῶν πληθυντικῶν. πάλιν πατράσι πατρός, μητράσι μητρός· ἰδοὺ οὔτε ἐπὶ τούτων ἰσοσυλλαβεῖ ἡ δοτικὴ τῶν πληθυντικῶν τῇ γενικῇ τῶν ἑνικῶν, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ πέπονθεν ἡ γενικὴ τῶν ἑνικῶν. εἰ ἄρα οὖν τὸ μὲν Δημοσθένεσι πενταϲυλλαβεῖ, τὸ δὲ Δημοσθένους τετρασυλλαβεῖ, δηλονότι πέπονθεν· ἄρα οὖν ἡ Δημοσθένεος γενικὴ ἡ πεντασυλλαβοῦσα ὁμοίως τῇ δοτικῇ τῶν πληθυντικῶν ἐντελεστέρα ἐστίν. ἔτι πᾶν οὐδέτερον ἀρσενικῷ παρεσχηματισμένον, εἰ μὲν ἰσοσυλλάβως κλίνοιτο, τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ οἷον ὁ καλός τοῦ καλοῦ τῷ καλῷ τὸν καλόν καὶ τὸ καλόν, ὁ σοφός τοῦ σοφοῦ τῷ σοφῷ τὸν σοφόν καὶ τὸ σοφόν, ὁ ἀλλότριος τοῦ ἀλλοτρίου τῷ ἀλλοτρίῳ τὸν ἀλλότριον καὶ τὸ ἀλλότριον, ὁ γνήσιος τοῦ γνησίου τῷ γνησίῳ τὸν γνήσιον καὶ τὸ γνήσιον· εἰ δὲ περιττοσυλλάβως κλίνοιτο, τῇ κλητικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ οἷον ὁ χαρίεις τοῦ χαρίεντος τῷ χαρίεντι τὸν χαρίεντα ὦ χαρίεν καὶ τὸ χαρίεν, ὁ σώφρων τοῦ σώφρονος τῷ σώφρονι τὸν σώφρονα ὦ σῶφρον καὶ τὸ σῶφρον, ὁ ταχύς τοῦ ταχέος τῷ ταχεῖ τὸν ταχέα ὦ ταχύ καὶ τὸ ταχύ, ὁ ἄρσην τοῦ ἄρσενος τῷ ἄρσενι τὸν ἄρσενα ὦ ἄρσεν καὶ τὸ ἄρσεν, ὁ λιπόπατρις τοῦ λιποπάτριδος τῷ λιποπάτριδι τὸν λιποπάτριδα ὦ λιπόπατρι καὶ τὸ λιπόπατρι. εἰ οὖν τὰ οὐδέτερα φημὶ δὴ τὸ εὐγενές καὶ τὸ εὐσεβές ὁμοφωνεῖ τῇ κλητικῇ τοῦ ἀρσενικοῦ, ὦ εὐγενές γὰρ καὶ τὸ εὐγενές, ὦ εὐσεβές γὰρ καὶ τὸ εὐσεβές, καὶ ὡς δέδεικται ὁμοφωνεῖ τῇ κλητικῇ τοῦ ἀρσενικοῦ καὶ οὐχὶ τῇ αἰτιατικῇ, τὸν εὐσεβῆ γὰρ καὶ τὸν εὐγενῆ ἡ αἰτιατική, δηλονότι περιττοσυλλάβως κλίνεται οἷον τοῦ εὐσεβέος καὶ τοῦ εὐγενέος· ἄρα οὖν τοῦ εὐσεβοῦς καὶ τοῦ εὐγενοῦς πεπονθότα ἐστίν· οὐ κλίνεται γὰρ περιττοσυλλάβως. δεῖ δὲ γινώσκειν ὅτι τῇ μὲν ἐντελεῖ γενικῇ κέχρηνται οἱ Ἴωνες οἷον Δημοσθένεος καὶ Διομήδεος· οἱ δὲ Ἀττικοὶ καὶ ἡ κοινὴ διάλεκτος τῇ συνῃρημένῃ οἷον Δημοσθένους καὶ Διομήδους.

Choer. 157, 21: ἰστέον δὲ ὅτι τὸ ε̄ καὶ τὸ ο̄ τριχῶς συναιρεῖται, καὶ γὰρ εἰς τὴν ου̅ δίφθογγον καὶ παρὰ τοῖς Ἀθηναίοις οἷον Δημοσθένεος Δημοσθένους, εὐσεβέος εὐσεβοῦς· παρὰ δὲ τοῖς Δωριεῦσι καὶ τοῖς Ἴωσιν εἰς τὴν ευ̅ δίφθογγον οἷον [Ἰδομενέος Ἰδομενεῦς

Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα (Ν 424)·

καὶ πάλιν] Ὀδυσσέος Ὀδυσσεῦς

Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ (ω 397)·

καὶ πάλιν Ἐρεβέος Ἐρεβεῦς

ἐξ Ἐρεβεῦς ἄξοντα κύνα στυγεροῦ ἀΐδαο (Θ 368),

σπανίως δὲ παρὰ τοῖς Ἀθηναίοις εὑρίσκεται τὸ ε̄ καὶ τὸ ο̄ εἰς τὴν ει̅ δίφθογγον συναιρούμενα οἷον πλέον πλεῖν, δέον δεῖν, ὡς παρ' Ἀριστοφάνει ἐν Βατράχοις (91)

l. 32—34 verba uncinis inclusa non Herodianea esse possunt: cf. Il. Pr. N 424.

Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα.
καὶ πάλιν δέον δεῖν, «δεῖν τόδ' ἐγένετο», ἀντὶ τοῦ δέον τόδε ἐγένετο.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν τὰ εἰς ης ἔχοντα τὴν γενικὴν εἰς ους οὐ γίνεται διὰ τοῦ ε καὶ ω Ἀττικῶς οἷον Δημοσθένης Δημοσθένεως Δημοσθένους καὶ Διομήδης Διομήδεως Διομήδους, ὥσπερ Πηλεύς Πηλέος καὶ Πηλέως Ἀττικῶς καὶ βασιλεύς βασιλέος καὶ βασιλέως Ἀττικῶς. καὶ λέγουσί τινες τὴν αἰτίαν ταύτην, ὅτι ἐπειδὴ ἐπὶ τούτων ἐποίησαν κρᾶσιν οἱ Ἀττικοὶ κατὰ τὴν γενικήν, τούτου χάριν οὐκ ἐποίησαν ἔκτασιν τοῦ ο εἰς ω· οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσι, πολλάκις δὲ οἱ Ἀττικοὶ ἔκτασιν καὶ κρᾶσιν ποιοῦνται οἷον Ἐρετριέως Ἐρετριῶς, Πειραιέως Πειραιῶς, Στειριέως Στειριῶς. τί οὖν ἄτοπον ἐπὶ τούτων ἔκτασιν γενέσθαι καὶ κρᾶσιν; κρεῖττον οὖν ἐστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· οἱ Ἀττικοὶ ποιοῦντες διὰ τοῦ ε καὶ ω τὴν γενικήν, ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦσι καὶ οὐκ ἐπί τινων μὲν ποιοῦσιν ἐπί τινων δὲ οὐ ποιοῦσιν, οἷον ἐπὶ τῶν εἰς ευς ποιοῦντες διὰ τοῦ ε καὶ ω τὴν γενικὴν καὶ ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦσι καὶ οὐκ ἐπὶ μὲν τῶν ὄντων κυρίων τοῦτο ποιοῦσιν ἐπὶ δὲ τῶν μὴ ὄντων κυρίων τοῦτο οὐ ποιοῦσιν, ἀλλ' ἐπὶ ὅλων ποιοῦσιν οἷον Πηλεύς Πηλέως, Ἀτρεύς Ἀτρέως, βασιλεύς βασιλέως, ἱερεύς ἱερέως. εἰ ἐποίησαν οὖν ἐπὶ τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικὴν κυρίων διὰ τοῦ ε καὶ ω, ἠναγκάζοντο καὶ ἐπὶ τῶν ἐπιθέτων τοῦτο ποιῆσαι· εἰ δὲ ἐποίησαν διὰ τοῦ ε καὶ ω καὶ ἐπὶ τῶν ἐπιθέτων τὴν γενικήν, εἶχον ταῦτα συνεμπίπτειν τοῖς ἐπιρρήμασιν οἷον ὁ εὐσεβής τοῦ εὐσεβέως καὶ εὐσεβέως δὴ ἐγένετο, ὁ ἀτρεκής τοῦ ἀτρεκέως καὶ ἀτρεκέως ἐλάλησεν, ὁ εὐγενής τοῦ εὐγενέως καὶ εὐγενέως συνέτυχεν. τῶν οὖν ἐπιθέτων κωλυομένων γενέσθαι διὰ τοῦ ε καὶ ω κατὰ τὴν γενικὴν Ἀττικῶς διὰ τὴν συνέμπτωσιν τῶν ἐπιρρημάτων, κωλύεται καὶ τὰ κύρια τὰ εἰς ης εἰς ους ἔχοντα τὴν γενικὴν γενέσθαι διὰ τοῦ ε καὶ ω Ἀττικῶς κατὰ τὴν γενικήν· ὡς γὰρ εἴρηται, οἱ Ἀττικοὶ ποιοῦντες διὰ τοῦ ε καὶ ω τὴν γενικὴν ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦσιν καὶ οὐκ ἐπί τινων μὲν ποιοῦσιν ἐπί τινων δὲ οὐ ποιοῦσιν.

Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ ποίαν αὐτίαν τὰ εἰς ης εἰς ους ἔχοντα τὴν γενικὴν οὐ γίνεται διὰ τοῦ η καὶ ο Ἰωνικῶς οἷον Δημοσθένης Δημοσθένηος, Διομήδης Διομήδηος, ὥσπερ Πηλεύς Πηλῆος καὶ Ἀχιλλεύς Ἀχιλλῆος. καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· οἱ Ἴωνες ποιοῦντες διὰ τοῦ η καὶ ο τὴν γενικὴν ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦσι καὶ οὐκ ἐπί τινων μὲν ποιοῦσιν ἐπί τινων δὲ οὐ ποιοῦσιν οἷον τῶν εἰς ευς ποιοῦντες διὰ τοῦ η καὶ ο τὴν γενικὴν ἐπὶ ὅλης τῆς καταλήξεως τοῦτο ποιοῦσιν. οὐδὲ γὰρ ἐπὶ τῶν κυρίων τοῦτο ποιοῦσιν ἐπὶ δὲ τῶν μὴ ὄντων κυρίων τοῦτο οὐ ποιοῦσιν, ἀλλ' ἐπὶ ὅλων ποιοῦσιν οἷον Ἀχιλλεύς Ἀχιλλῆος, Πηλεύς Πηλῆος, βασιλεύς βασιλῆος, ἱερεύς ἱερῆος.

l. 2 v. δεῖν maxime Byzantinis in usu fuisse (velut δεῖν εἶναι et similia) monuit Boissonade Anecd. II 78. III 47.

εἰ ἐποίηcαν οὖν ἐπὶ τῶν εἰc ηc εἰc ουc ἐχόντων τὴν γενικὴν κυρίων διὰ τοῦ η καὶ ο τὴν γενικὴν οἱ Ἴωνεc, ἠναγκάζοντο καὶ ἐπὶ τῶν ἐπιθέτων τοῦτο ποιῆcαι, εἰ δὲ ἐποίηcαν ἐπὶ τῶν ἐπιθέτων, ἠναγκάζοντο καὶ ἐπὶ τῶν οὐδετέρων τοῦτο ποιῆcαι. καθόλου γὰρ πᾶν οὐδέτερον ἀπὸ ἀρcενικοῦ γεγενημένον κατὰ παραcχηματιcμὸν τὴν τῶν ἀρcενικῶν κλίcιν ἐπιδέχεται καὶ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ οἷον ὁ καλόc τοῦ καλοῦ τῷ καλῷ τὸ καλόν τοῦ καλοῦ τῷ καλῷ, ὁ cοφόc τοῦ cοφοῦ τῷ cοφῷ καὶ τὸ cοφόν τοῦ cοφοῦ τῷ cοφῷ, ὁ χαρίειc τοῦ χαρίεντοc τῷ χαρίεντι καὶ τὸ χαρίεν τοῦ χαρίεντοc τῷ χαρίεντι, ὁ ἄρcην τοῦ ἄρcενοc τῷ ἄρcενι καὶ τὸ ἄρcεν τοῦ ἄρcενοc τῷ ἄρcενι. εἰ δὲ ἐποίηcαν ἐπὶ τῶν οὐδετέρων διὰ τοῦ η καὶ ο τὴν γενικὴν οἷον εὐcεβέc τοῦ εὐcεβῆοc τὸ εὐγενέc τοῦ εὐγενῆοc, εὑρίcκετο ἡ παραλήγουcα τῆc γενικῆc μείζονα χρόνον ἔχουcα τῆc ληγούcηc τῆc ἰδίαc εὐθείαc, ὅπερ ἐcτὶν ἄτοπον. οὐδέποτε γὰρ ἡ παραλήγουcα τῆc περιττοcυλλάβου γενικῆc μείζονα χρόνον ἔχει τῆc ληγούcηc τῆc ἰδίαc εὐθείαc, ἀλλ' ἴcον ἢ ἐλάττονα· ἴcον μὲν οἷον Λάχηc Λάχητοc, ἔρωc ἔρωτοc, Πάριc Πάριδοc, ἔλαccον δὲ οἷον Ἕκτωρ Ἕκτοροc, Μέμνων Μέμνονοc, Πηλεύc Πηλέωc, Ἀχιλλεύc Ἀχιλλέωc· οὐδέποτε δὲ μείζονα, ὡc εἴρηται, χωρὶc εἰ μὴ χαρακτὴρ κωλύcῃ διὰ τὸ φοῖνιξ φοίνικοc καὶ κῆρυξ κήρυκοc. τῶν οὖν οὐδετέρων κωλυομένων γενέcθαι διὰ τοῦ η καὶ ο Ἰωνικῶc κατὰ τὴν γενικὴν κωλύεται καὶ τὰ ἀρcενικὰ ἐπίθετα γενέcθαι διὰ τοῦ η καὶ ο Ἰωνικῶc κατὰ τὴν γενικήν· τῶν δὲ ἐπιθέτων κωλυομένων γενέcθαι διὰ τοῦ η καὶ ο Ἰωνικῶc κατὰ τὴν γενικὴν κωλύεται καὶ τὰ κύρια τὰ εἰc ηc εἰc ουc ἔχοντα τὴν γενικὴν γενέcθαι διὰ τοῦ η καὶ ο Ἰωνικῶc. ὡc γὰρ εἴρηται, οἱ Ἴωνεc ποιοῦντεc διὰ τοῦ η καὶ ο τὴν γενικὴν ἐπὶ ὅληc τῆc καταλήξεωc τοῦτο ποιοῦcι καὶ οὐκ ἐπί τινων μὲν ποιοῦcιν ἐπί τινων δὲ οὐ ποιοῦcιν.

Ἰcτέον ὅτι ἀπὸ τῆc Δημοcθένεοc γενικῆc ἐγένετο ἡ Δημοcθένεϊ δοτικὴ τροπῇ τοῦ οc εἰc ι, ὥcπερ Αἴαντοc Αἴαντι, Λάχητοc Λάχητι, καὶ λοιπὸν κατὰ cυναίρεcιν τοῦ ε καὶ ι εἰc τὴν ει δίφθογγον γίνεται Δημοcθένει.

Ἰcτέον ὅτι ἀπὸ τοῦ Δημοcθένεϊ γέγονε Δημοcθένεα τροπῇ τοῦ ι εἰc α ὥcπερ Αἴαντι Αἴαντα, Λάχητι Λάχητα, καὶ κατὰ κρᾶcιν τοῦ ε καὶ α εἰc η Δημοcθένη ὥcπερ τείχεα τείχη, βέλεα βέλη. δεῖ γινώcκειν, ὅτι ἐὰν εὑρεθῇ τὸ ε ἔχον προηγούμενον φωνῆεν, τότε τὸ ε καὶ τὸ α εἰc η κιρνᾶται καὶ εἰc α μακρὸν οἷον εὐφυέα εὐφυᾶ, ὑγιέα ὑγιῆ καὶ ὑγιᾶ. ἐὰν δὲ εὑρεθῇ ἔχον προηγούμενον cύμφωνον, τότε τὸ ε καὶ α εἰc η μόνωc κίρναται οἷον Δημοcθένεα Δημοcθένη, εὐγενέα εὐγενῆ.

Ἰcτέον δὲ ὅτι οἱ Ἀθηναῖοι ἐπὶ τῶν κυρίων τῶν εἰc ηc εἰc ουc ἐχόντων τὴν γενικὴν εἰc ν ποιοῦcι τὴν αἰτιατικὴν καὶ εἰc η τὴν κλητικὴν οἷον ὁ Δημοcθένηc τοῦ Δημοcθένουc τῷ Δημοcθένει τὸν Δημοcθένην ὦ Δημοcθένη, ὁ Διομήδηc τοῦ Διομήδουc τῷ Διομήδει τὸν Διομήδην ὦ Διομήδη, ὁ Ἀριcτοφάνηc τοῦ Ἀριcτοφάνουc τῷ Ἀριcτο-

φάνει τὸν Ἀριστοφάνην ὦ Ἀριστοφάνη· ἐπὶ δὲ τῶν ἐπιθέτων οὔτε εἰς ν̄ ποιοῦσι τὴν αἰτιατικὴν οὔτε εἰς η τὴν κλητικήν, οὐδὲ γὰρ λέγουσιν τὸν κακοήθην καὶ τὸν συνήθην καὶ ὦ κακοήθη καὶ ὦ συνήθη. καὶ ἡ αἰτία ἐστὶν αὕτη· ποιοῦντες γὰρ οἱ Ἀττικοὶ τὴν αἰτιατικὴν εἰς ν καὶ τὴν κλητικὴν εἰς η ποιοῦσιν οἷον τὸν Δημοσθένην ὦ Δημοσθένη τὸν Διομήδην ὦ Διομήδη. εἰ ἐποίησαν οὖν ἐπὶ τῶν ἐπιθέτων τὴν αἰτιατικὴν εἰς ν, ἠναγκάζοντο καὶ τὴν κλητικὴν εἰς η ποιῆσαι. τῆς δὲ κλητικῆς εἰς η ληγούσης ἐπὶ τῶν ἐπιθέτων ἠναγκάζοντο καὶ τὰ οὐδέτερα εἰς η καταλήγειν, ὅπερ ἄτοπον. πᾶν γὰρ οὐδέτερον ὄνομα, ἀρσενικῷ παρεσχηματισμένον καὶ περιττοσυλλάβως κλινόμενον τῇ κλητικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ οἷον ὁ ἄρσην τοῦ ἄρσενος τῷ ἄρσενι ὦ ἄρσεν καὶ τὸ ἄρσεν, ὁ σώφρων τοῦ σώφρονος ὦ σῶφρον καὶ τὸ σῶφρον. ἀλλὰ μὴν τὰ οὐδέτερα οὐ δύναται καταλήγειν εἰς η̄, τὸ γὰρ η οὐκ ἔστι τελικὸν τῶν οὐδετέρων κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν. τὸ γὰρ κάρη ἀπὸ τοῦ κάρηνον γέγονε κατὰ ἀποκοπὴν τοῦ ο̄ν̄ καὶ οὐ καταλήγει εἰς η φύσει. λοιπὸν τῶν οὐδετέρων κωλυομένων εἰς η̄ καταλήγειν κωλύεται καὶ ἡ κλητικὴ εἰς η̄ καταλήγειν, κωλύεται καὶ ἡ αἰτιατικὴ εἰς ν̄ καταλήγειν. ἔχομεν γὰρ ὅτι οἱ Ἀθηναῖοι ποιοῦντες τὴν αἰτιατικὴν εἰς ν καὶ τὴν κλητικὴν εἰς η ποιοῦσι. τούτων οὖν χάριν ἐπὶ τῶν εἰς η̄ς̄ εἰς ους ἐχόντων τὴν γενικὴν ἐπιθέτων οὐ ποιοῦσιν οἱ Ἀττικοὶ εἰς η̄ τὴν κλητικὴν καὶ τὴν αἰτιατικὴν εἰς ν.

Choer. 162, 34: δεῖ παραφυλάξασθαι τοῦτο, ὅτι οἱ ἔχοντες ἔθος Ἀττικοὶ ποιεῖν τὰς αὐτὰς ὀρθὰς καὶ κλητικὰς οἷον ὁ Αἴας ὦ Αἴας, ὁ Θόας ὦ Θόας, ὁ κοχλίας ὦ κοχλίας, ἐπὶ τῶν εἰς ης εἰς ο̄ῡς̄ ἐχόντων τὴν γενικὴν κυρίων οὐχ εὑρίσκονται ποιοῦντες ὁμόφωνον τὴν κλητικὴν τῇ εὐθείᾳ. οὐδὲ γὰρ λέγουσιν ὦ Ἀριστοφάνης καὶ ὦ Δημοσθένης, ἀλλ' ὦ Ἀριστοφάνη καὶ ὦ Διομήδη καὶ ὦ Δημοσθένη. δεῖ δὲ προσθεῖναι ὅτι ἐν τοῖς εἰς ης εἰς ους ἔχουσι τὴν γενικήν οὖσι παρὰ τὸ κλέος ποιοῦσιν οἱ Ἀθηναῖοι τὴν αὐτὴν ὀρθὴν καὶ κλτικὴν οἷον ὁ Νικοκλῆς ὦ Νικοκλῆς, ὁ Περικλῆς ὦ Περικλῆς, ὁ Σοφοκλῆς ὦ Σοφοκλῆς, ὁ Ἡρακλῆς ὦ Ἡρακλῆς. πρόσκειται «ἐπὶ τῶν κυρίων», ἐπειδὴ ἐπὶ τῶν ἐπιθέτων παρ' αὐτοῖς ὁμόφωνός ἐστιν ἡ κλητικὴ τῇ εὐθείᾳ οἷον ὁ δυστυχής ὦ δυστυχής, ὡς παρὰ Μενάνδρῳ ἐν τῷ Ἥρωϊ

ὦ δυστυχής, εἰ μὴ βαδιῆς (sic)

καὶ παρὰ τῷ αὐτῷ ἐν Δυσκόλῳ

ὦ δυστυχής, τί οὐ καθεύδεις,

καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως ἐπιθέτων.

Ἀπὸ τῆς Δημοσθένεϊ δοτικῆς γέγονε Δημοσθένεε τροπῇ τοῦ ῑ εἰς ε ὥσπερ Αἴαντι Αἴαντε, καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς η̄ γίνεται Δημοσθένη.

---

l. 21 de ζαῆ accusativo, quem alii ζαῆν Aeolice, quod ζάην scribendum fuit, alii ζαῆν' pronuntiaverunt, cf. Schol. ad Od. μ 313. l. 33 seqq. — Δυσκόλῳ ex cod. Marc. addidi; si fides ei habenda est, Meinek. qui posteriorem versum Misumeno dedit (frg. 10. 11), erravit.

Ὥcπερ ἀπὸ τοῦ Αἴαντε γίνεται Αἰάντοιν, οὕτω καὶ ἀπὸ τοῦ Δημοcθένεε γίνεται Δημοcθενέοιν, καὶ κατὰ κρᾶcιν τοῦ ε̄ καὶ τῆc οι διφθόγγου Δημοcθενοῖν.

Choer. 164, 8: ὥcπερ ἀπὸ τοῦ Αἴαντε γίνεται Αἴαντεc προcθέcει τοῦ c̄, οὕτω καὶ ἀπὸ τοῦ Δημοcθένεε γίνεται Δημοcθένεεc προcθέcει τοῦ c̄ καὶ κατὰ κρᾶcιν τῶν δύο ε̄ε̄ εἰc τὴν ε̄ῑ δίφθογγον Δημοcθένειc.

Δεῖ δὲ γινώcκειν ὅτι ἐν μὲν τοῖc δυϊκοῖc τὰ δύο ε̄ε̄ εἰc η̄ κίρναται οἷον Δημοcθένεε Δημοcθένη, Διομήδεε Διομήδη· ἐν δὲ τοῖc πληθυντικοῖc εἰc τὴν ε̄ῑ δίφθογγον οἷον Δημοcθένεεc Δημοcθένειc, Διομήδεεc Διομήδειc, cπανίωc δὲ καὶ ἐν τοῖc δυϊκοῖc, ἀλλ' εὑρίcκεται τὰ δύο ε̄ε̄ εἰc τὴν ε̄ῑ δίφθογγον κιρνάμενα οἷον ταρίχεε ταρίχει, πόλεε πόλει, ὡc παρ' Αἰcχίνῃ τῷ Cωκρατικῷ «τούτω τὼ πόλει» (λέγει δὲ περὶ Ἀθηνῶν καὶ Λακεδαιμονίων), καὶ ἐν τοῖc πληθυντικοῖc εἰc η οἷον ἱππέεc ἱππῆc καὶ βαcιλέεc βαcιλῆc. ταῦτα δὲ Ἀττικά ἐcτι καὶ ἐπὶ μόνων τῶν εἰc ε̄ῡc̄ τοῦτο ποιοῦcιν οἱ Ἀττικοί, φημὶ δὴ τὸ κιρνᾶν τὰ δύο εε εἰc η̄ ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν. καὶ ἄξιόν ἐcτι ζητῆcαι διὰ ποίαν αἰτίαν ἐν μὲν τοῖc δυϊκοῖc τὰ δύο ε̄ε̄ εἰc η̄ κιρνᾶται, ἐν δὲ τοῖc πληθυντικοῖc εἰc τὴν ει δίφθογγον. καὶ ἔcτιν ἀπολογήcαcθαι περὶ τούτων οὕτωc· τὸ ῑ χαρακτηριcτικόν ἐcτι τῆc εὐθείαc τῶν πληθυντικῶν, οὐ μὴν τῆc εὐθείαc τῶν δυϊκῶν οἷον φίλοι, ὅμηροι, κοχλίαι, Αἰνεῖαι. ἐπειδὴ οὖν τὸ ῑ χαρακτηριcτικόν ἐcτι τῆc εὐθείαc τῶν πληθυντικῶν, εὐλόγωc οὖν ἐν τοῖc πληθυντικοῖc τὰ δύο ε̄ε̄ εἰc τὴν ε̄ῑ δίφθογγον κίρναται, ἐν δὲ τοῖc δυϊκοῖc εἰc τὸ η, ἐπειδὴ εἰ ἐγένετο τῶν δύο ε̄ε̄ κρᾶcιc εἰc τὴν ει δίφθογγον ἐν τοῖc δυϊκοῖc, εὑρίcκεται τὸ ῑ ἐν τῇ τελευταίᾳ cυλλαβῇ, ὅπερ ἐcτὶ γνήcιον, ὡc εἴρηται, τῆc εὐθείαc τῶν πληθυντικῶν. τούτου χάριν, ἵνα μὴ εὑρεθῇ τὸ ῑ τελικὸν ἐπὶ τῆc εὐθείαc τῶν δυϊκῶν, οὐκ ἐγένετο ἡ κρᾶcιc τῶν δύο εε εἰc τὴν ε̄ῑ δίφθογγον ἀλλ' εἰc τὸ η̄. ἔcτιν οὖν εἰπεῖν καὶ ἑτέραν τοιαύτην ἀπολογίαν· οὐδέποτε εὑρίcκεται ἐν ἀρcενικοῖc ὀνόμαcιν εὐθεῖα δυϊκῶν εἰc οἱανδήποτε δίφθογγον λήγουcα οἷον τὼ Αἴαντε, τὼ λέβητε, τὼ Ἀτρείδα, τὼ Ὀρέcτα. ὅθεν καὶ ἐπὶ τῆc εἰc ᾱ καὶ εἰc ω̄ ληγούcηc δοτικῆc τῶν ἑνικῶν, δηλονότι μετὰ τοῦ ῑ οὔcηc, ἡ εὐθεῖα τῶν δυϊκῶν οὐκ ἔχει τὸ ῑ προcγεγραμμένον οἷον τῷ κοχλίᾳ τὼ κοχλία, τῷ ὁμήρῳ τὼ ὁμήρω. τούτων οὖν χάριν ἐν τοῖc δυϊκοῖc οὐ κίρναται τὰ δύο ε̄ε̄ εἰc τὴν ει δίφθογγον. πρόcκειται «ἐν ἀρcενικοῖc ὀνόμαcιν» διὰ τὸ ταρίχεε ταρίχει, πόλεε πόλει· ταῦτα γὰρ διὰ τῆc ε̄ῑ διφθόγγου γράφεται. ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔcτιν ἀρcενικὰ ἀλλὰ τὸ μὲν οὐδέτερον τὸ δὲ θηλυκόν, ἄλλωc τε δὲ καὶ cπάνιά ἐcτιν ἅτινα οὐκ ἔρρηται εἰc κανόνα. ἔcτι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην· ἡ εὐθεῖα τῶν πληθυντικῶν πλείοcι φωνήεcι κέχρηται πολλάκιc ὡc πρὸc τὴν εὐθεῖαν τῶν δυϊκῶν οἷον τὼ ὁμήρω οἱ ὅμηροι, τὼ κοχλία οἱ κοχλίαι. ἰδοὺ ἡ εὐθεῖα τῶν πληθυντικῶν δύο ἔχει φωνήεντα, τῆc εὐθείαc τῶν

l. 38 ἔρρηται scripsi pro ἔρρονται; an εἴρονται, inseruntur?

δυϊκῶν ἓν φωνῆεν ἐχούϲηϲ. εἰκότωϲ οὖν ἐν μὲν τοῖϲ πληθυντικοῖϲ τὰ δύο ε̄ε̄ εἰϲ τὴν ε̄ῑ δίφθογγον κίρναται, ἐν δὲ τοῖϲ δυϊκοῖϲ εἰϲ τὸ η, ἵνα πλείονα ϲχῇ φωνήεντα ἡ εὐθεῖα τῶν πληθυντικῶν τῆϲ εὐθείαϲ τῶν δυϊκῶν. ἔϲτι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην· ἡ εὐθεῖα τῶν δυϊκῶν μείζονι χρόνῳ κέχρηται πολλάκιϲ ὡϲ πρὸϲ τὴν εὐθεῖαν τῶν πληθυντικῶν οἷον τὼ ὁμήρω οἱ ὅμηροι· τὸ ω̄ μεῖζόν ἐϲτι τῆϲ ο̄ δ̄ιφθόγγου. τὰ Μηδεία αἱ Μήδειαι. τὸ ᾱ τὸ φύϲει μακρὸν μεῖζόν ἐϲτι τῆϲ ᾱῑ διφθόγγου. ἐπεὶ οὖν καὶ τὸ η̄ μεῖζόν ἐϲτι τῆϲ ε̄ῑ διφθόγγου, εἰκότωϲ ἐν μὲν τοῖϲ δυϊκοῖϲ τὰ δύο εε εἰϲ η̄ κίρναται, ἐν δὲ τοῖϲ πληθυντικοῖϲ εἰϲ τὴν ει δίφθογγον, ἵνα εὑρεθῇ μείζονα χρόνον ἔχουϲα ἡ εὐθεῖα τῶν δυϊκῶν, ὡϲ πρὸϲ τὴν εὐθεῖαν τῶν πληθυντικῶν.

Choer. 169, 2: πᾶϲα αἰτιατικὴ ἑνικῶν εἰϲ ᾱ λήγουϲα προϲθέϲει τοῦ ϲ̄ ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν οἷον Αἴαντα Αἴαντας, λέβητα λέβηταϲ, Λάχητα Λάχηταϲ, ἔρωτα ἔρωταϲ. οὕτωϲ οὖν καὶ Δημοϲθένεα Δημοϲθένεαϲ καὶ κατὰ κρᾶϲιν τοῦ ε̄ καὶ α εἰϲ τὴν ε̄ῑ δίφθογγον Δημοϲθένειϲ.

Choer. 170, 10: δεῖ καὶ τοῦτο γινώϲκειν, ὅτι οἱ Ἀθηναῖοι ἐπὶ τῶν εἰϲ η̄ϲ̄ εἰϲ ο̄ῡϲ̄ ἐχόντων τὴν γενικὴν κυρίων καὶ ἐπὶ τῶν παρὰ τὸ ἔτοϲ διὰ τοῦ ᾱ ποιοῦϲι τὴν αἰτιατικὴν τῶν πληθυντικῶν οἷον ὁ Δημοϲθένηϲ τοῦ Δημοϲθένουϲ τοὺϲ Δημοϲθέναϲ, ὁ Ἀριϲτοφάνηϲ τοῦ Ἀριϲτοφάνουϲ τοὺϲ Ἀριϲτοφάναϲ, ὁ δωδεκαέτηϲ τοῦ δωδεκαέτουϲ τοὺϲ δωδεκαέταϲ, ὁ ἑπταέτηϲ τοῦ ἑπταέτουϲ τοὺϲ ἑπταέταϲ. τὴν δὲ εὐθεῖαν τῶν πληθυντικῶν διὰ τῆϲ ᾱῑ διφθόγγου ποιοῦϲιν ἐπὶ τούτων οἷον οἱ Δημοϲθέναι, οἱ Ἀριϲτοφάναι, οἱ ἑπταέται.

Περὶ τῶν εἰϲ ιϲ.

Choer. 181, 15: τὰ εἰϲ ῑϲ̄ μονοϲύλλαβα φύϲει εἰϲ ϲ̄ λήγοντα μακρὸν ἔχει τὸ ῑ καὶ προϲθέϲει τοῦ οϲ κλίνεται οἷον κίϲ κιόϲ

ἀκιώτατοι ἱϲτοβοῆεϲ (Hesiod. Opp. 433),

λίϲ λιόϲ

ὥϲτε λὶϲ ἠϋγένειοϲ (P 109).

---

l. 15 extrema verba καὶ κατὰ κρᾶϲιν — Δημοϲθένειϲ ex Herodiani sententia, quam ex ipso Choer. p. 861, 18 cognovimus, transformavi, nam Choeroboscus haec habet: μηδεὶϲ οἰέϲθω, ὅτι τό Δημοϲθένειϲ ἀπὸ τοῦ Δημοϲθένεαϲ γέγονε κατὰ κρᾶϲιν τοῦ ε̄ καὶ ᾱ εἰϲ ε̄ῑ· τὸ γὰρ ε̄ καὶ ᾱ εἰϲ η̄ κίρναται. ἀλλὰ δεῖ λέγειν ὅτι ὁμοφωνία ἐϲτὶ τῆϲ αἰτιατικῆϲ τῶν πληθυντικῶν πρὸϲ τὴν εὐθεῖαν τῶν πληθυντικῶν. πᾶϲα εὐθεῖα πληθυντικῶν εἰϲ ϲ̄ λήγουϲα καὶ ϲυναιρουμένη κατὰ τὴν τελευταίαν ϲυλλαβὴν τὴν αἰτιατικὴν ἔχει ὁμόφωνον αὐτῇ καὶ τὴν κλητικήν, οἷον οἱ βότρυϲ τοὺϲ βότρυϲ ὦ βότρυϲ, οἱ βοῦϲ τοὺϲ βοῦϲ ὦ βοῦϲ, οἱ ἰχθῦϲ τοὺϲ ἰχθῦϲ ὦ ἰχθῦϲ, οἱ ἡδεῖϲ τοὺϲ ἡδεῖϲ ὦ ἡδεῖϲ, οἱ εὐγενεῖϲ τοὺϲ εὐγενεῖϲ ὦ εὐγενεῖϲ, οἱ εὐφυεῖϲ τοὺϲ εὐφυεῖϲ ὦ εὐφυεῖϲ. οὕτωϲ οὖν καὶ οἱ Δημοϲθένειϲ τοὺϲ Δημοϲθένειϲ ὦ Δημοϲθένειϲ. Atque fortasse ipse Herodianus abnormem crasin per homophoniam casuum excusavit hoc fere modo: ἐγένετο δέ ϲυναίρεϲιϲ τοῦ ε̄ καὶ ᾱ εἰϲ ε̄ῑ καὶ οὐκ εἰϲ η̄ ὡϲ ἔθοϲ, ἵν' ἡ ὁμοφωνία τῆϲ αἰτιατικῆϲ τῶν πληθυντικῶν πρὸϲ τὴν εὐθεῖαν τῶν πληθυντικῶν. πᾶϲα γὰρ εὐθεῖα κτλ. Tum secutura essent Choer. 170, 4 οἱ δὲ Ἀττικοὶ τούτῳ τῷ λόγῳ οὐκ ἀκολουθοῦϲιν· ἐκεῖνοι γὰρ ἐπὶ τῶν εἰϲ ευϲ ϲυναιροῦντεϲ τὰ δύο ε̄ε̄ εἰϲ τὸ η̄ ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν οἷον ἱππέεϲ ἱππῆϲ, βαϲιλέεϲ βαϲιλῆϲ, οὐ ποιοῦϲι τὴν αἰτιατικὴν ὁμόφωνον τῇ εὐθείᾳ· οὐδὲ γὰρ ποιοῦϲι τὴν αἰτιατικὴν τῶν πληθυντικῶν διὰ τοῦ η̄.

λῖες μέντοι λίεσσι παρὰ Ἀντιμάχῳ ἐπὶ τοῦ λέοντος· τὸ γὰρ λίς ὅτε ἐπὶ τῆς πέτρας οἷον

πέτρη γὰρ λίς ἐστιν (μ 79)

ἀντὶ τοῦ ὁμαλή ἐστι πάντῃ ἄκλιτον. ταῦτα δὲ μακρὸν ἔχει τὸ ῑ. τινὲς δὲ καὶ τὴν Διός γενικὴν ἀπὸ τῆς Δίς εὐθείας θέλουσι λέγειν τῆς εἰρημένης παρὰ τῷ Ῥίνθωνι· αὕτη δὲ ἑτερόκλιτός ἐστιν. ἀπὸ γὰρ τῆς Ζεύς εὐθείας ἐστίν. οὐ γὰρ δύναται ἀπὸ τῆς Δίς εὐθείας εἶναι ἡ Διός γενική, ἐπειδὴ βραχὺ δεῖ ἔχειν τὸ ῐ οἷον

εὕδον παννύχιοι, Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος (Β 2).

εἰ δ' ἦν ἀπὸ τῆς Δίς εὐθείας ὤφειλε μακρὸν ἔχειν τὸ ῑ, ὥσπερ κίς κιός, λίς λιός (εἰ γὰρ καὶ εὕρηται τὸ λίς συνεσταλμένον ἔχον τὸ ῐ, ὡς ἐπὶ τοῦ

ὥστε λὶς ἠϋγένειος

ποιητικῶς)· ὡς παρ' Εὐφορίωνι ἐν Μοψοπίᾳ, ὡς ἐπὶ τοῦ

οἱ ἐπιθύουσιν βουσὶ λίες,

καὶ πάλιν

κάπροι τε λίες τε,

ἀλλ' οὖν καὶ ἐκτεταμένον ἔχει αὐτό, ὡς ἐπὶ τοῦ

λῖες μέν τοι λίεσσιν.

ἡ δὲ Διός γενικὴ οὐδέποτε ἔχει αὐτὸ ἐκτεταμένον. τούτων οὕτως ἐχόντων, μόνον τὸ τίς τινός διὰ τοῦ ν κλίνεται καὶ οὐ διὰ καθαροῦ τοῦ ος· καὶ ἔστιν εἰπεῖν, ὅτι τοῦτο ἐπειδὴ συστέλλει τὸ ῐ, τῶν εἰς ις μονοσυλλάβων ἐκτεινόντων αὐτὸ οἷον κίς λίς, εἰκότως ὡς διαλλάξαν περὶ τὸν χρόνον, διήλλαξε καὶ περὶ τὴν κλίσιν, τὸ γὰρ ῥίς ῥινός καὶ θίς θινός διὰ τοῦ νος κλινόμενα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι φύσει εἰς ς· ταῦτα γὰρ δικατάληκτά ἐστιν οἷον ῥίς καὶ ῥίν, θίς καὶ θίν· [σημαίνει δὲ τὸν αἰγιαλὸν καὶ τὸν σωρὸν εἴτε χρημάτων εἴτε λίθων εἴτε ἑτέρων τινῶν τοιούτων· ἀλλ' ἡνίκα μὲν τὸν αἰγιαλὸν σημαίνει, θηλυκῶς λέγεται, ἡνίκα δὲ τὸν σωρόν, ἀρσενικῶς οἷον ἐπὶ τοῦ αἰγιαλοῦ

θῖν' ἐφ' ἁλὸς πολιῆς (Α 350).

ἐπὶ δὲ τοῦ σωροῦ

πολὺς δ' ἀμφ' ὀστεόφιν θίς (μ 45).]

οὐδέποτε δὲ ἐμελέτησε τὰ εἰς ῑς μονοσύλλαβα διὰ τοῦ τ κλίνεσθαι. παραιτητέον ἄρα τὸν Ἀσκαλωνίτην οἰόμενον ἀπὸ τῆς λίς εὐθείας κεκλίσθαι τὴν λιτί δοτικὴν καὶ τὴν λῖτα αἰτιατικήν. μεταπλασμός γάρ ἐστι τῆς λιτῷ δοτικῆς ὡς ἡ κλαδί τῆς κλάδῳ. καὶ ἡ αἰτιατικὴ λῖτα μεταπέπλασται ἐκ τῆς λιτόν ὡς κρόκα ἐκ τῆς κρόκην.

Choer. 56, 10 coll. 186, 15: τὰ εἰς ις κύρια μετὰ οἱουδήποτε συμφώνου διὰ τοῦ δος κλίνεται, εἴτε ἀρσενικὰ ᾗ εἴτε θηλυκὰ οἷον Ἧλις Ἥλιδος, Πάρις Πάριδος, Ἄδωνις Ἀδώνιδος, Θέογνις Θεόγνιδος, Ἀθη-

l. 26—31 verba uncinis inclusa epitomatoris esse puto; nam apud Homerum θίς semper masculinum est: cf. Thesaurum s. v. Ceterum Α 350 Choeroboscus legisse videtur θῖν' ἐφ' ἁλὸς πολιήν: cf. schol. ad h. l. l. 32 verba inde ab οὐδέποτε δὲ ἐμελέτησε usque ad finem recepi ex Il. Pr. C 352 (Ψ 254, Ξ 387). Caeterum cf. Arc. 125, 1, Mon. 19, 1, Dichr. 283, 1, Theogn. 133 et 135.

νιϲ Ἀθήνιδοϲ, Κρίνιϲ Κρίνιδοϲ, Ἶϲιϲ Ἴϲιδοϲ, Θέτιϲ Θέτιδοϲ, Κύπριϲ Κύπριδοϲ, Μέμφιϲ Μέμφιδοϲ (ἔϲτι δὲ ὄνομα πόλεωϲ Αἰγύπτου).

Choer. 56, 25 coll. 187, 1: ἰϲτέον δὲ ὅτι ἐϲτί τινα κύρια εἰϲ ιϲ θηλυκὰ μὴ κλιθέντα διὰ τοῦ δοϲ· ἔϲτι δὲ ταῦτα, Χάρυβδιϲ Χαρύβδεωϲ, Cάρδιϲ Cάρδεωϲ. ταῦτα γὰρ οὐκ ἐκλίθη διὰ τοῦ δοϲ διὰ τὴν κακοφωνίαν, εὑρίϲκετο γὰρ ἀλλεπαλληλία τοῦ δ, ὅπερ ἐϲτὶ κακόφωνον. τούτοιϲ ἠκολούθηϲε κατὰ τὴν κλίϲιν καὶ τὸ Τράλλιϲ Τράλλιοϲ, ἔϲτι δὲ ὄνομα πόλεωϲ Ἰωνικῆϲ. ἔτι ϲεϲημείωται καὶ τὸ Cκῆψιϲ Cκήψιοϲ καὶ Ἐπίϲκηψιϲ Ἐπιϲκήψιοϲ (ὀνόματα δέ ἐϲτι ταῦτα πόλεων Τρωϊκῶν), καὶ τὸ Λάχεϲιϲ Λαχέϲιοϲ καὶ Νέμεϲιϲ Νεμέϲιοϲ καὶ τὸ Ἐπίκτηϲιϲ Ἐπικτήϲιοϲ (ἔϲτι δὲ ταῦτα ὀνόματα κύρια). ταῦτα δὲ διὰ καθαροῦ τοῦ οϲ κλίνεται καὶ οὐ διὰ τοῦ δοϲ, ἐπειδὴ ταῦτα κύρια ὄντα ὡμοφώνηϲε τοῖϲ προϲηγορικοῖϲ καὶ τὴν τῶν προϲηγορικῶν κλίϲιν ἀνεδέξατο. τὸ δὲ Ζεῦξιϲ Ζεύξιδοϲ τὴν τοῦ προϲηγορικοῦ ζεῦξιϲ ζεύξιοϲ κλίϲιν οὐκ ἀνεδέξατο, ἐπειδὴ οὐκ ἔϲτι τοῦ αὐτοῦ γένουϲ οὕπερ καὶ τὸ προϲηγορικόν ἐϲτιν. ἐπειδὴ οὖν διήλλαξε περὶ τὸ γένοϲ, εἰκότωϲ καὶ περὶ τὴν κλίϲιν διήλλαξεν.

Choer. 56, 33 coll. 188, 4: τὰ εἰϲ ῐϲ ὀνόματα Αἰγύπτια ὡϲ ἐπὶ τὸ πλεῖϲτον διὰ καθαροῦ τοῦ ο̆ϲ κλίνεται οἷον Ξόϊϲ Ξόϊοϲ, Ἄθλιβιϲ Ἀθλίβιοϲ, Cύϊϲ Cύϊοϲ, Θμοῦϊϲ Θμούϊοϲ, Ταμίαθιϲ Ταμιάθιοϲ, ὡϲαύτωϲ καὶ Cάϊϲ, Χέμμιϲ, Ψένυριϲ, Ψινέκταβιϲ καὶ Μώμεμφιϲ Μωμέμφεωϲ ὡϲ Ἀρίϲταρχοϲ. πρόϲκειται «ὡϲ ἐπὶ τὸ πλεῖϲτον» διὰ τὸ Μέμφιϲ Μέμφιδοϲ, ὅπερ παρά τιϲι καὶ Μέμφιοϲ εἴρηται οὐκ ἀκριβῶϲ, καὶ Βούϲιριϲ Βουϲίριδοϲ καὶ Ὄϲιριϲ Ὀϲίριδοϲ. καὶ ταῦτα γὰρ Αἰγυπτίων ἐϲτὶν ὀνόματα καὶ ὅμωϲ διὰ τοῦ δοϲ κλίνεται.

Choer. 57, 7: τὰ παρὰ τὸ πόλιϲ ϲύνθετα, ἂν μὲν θηλυκοῦ μόνου γένουϲ γένηται, τὴν τοῦ ἁπλοῦ φυλάττει κλίϲιν, τουτέϲτι διὰ καθαροῦ τοῦ ω̆ϲ κλίνεται οἷον πόλιϲ πόλεωϲ, ἀκρόπολιϲ ἀκροπόλεωϲ, Καλλίπολιϲ |Καλλιπόλεωϲ, Ἀμφίπολιϲ Ἀμφιπόλεωϲ (ἔϲτι δὲ ὄνομα πόλεωϲ), Χρυϲόπολιϲ, Νικόπολιϲ, μητρόπολιϲ· ἐὰν δὲ ἀρϲενικοῦ μόνου γένουϲ γένηται, ἢ ἀρϲενικοῦ καὶ θηλυκοῦ, διὰ τοῦ δοϲ κλίνεται. ἀρϲενικοῦ μὲν μόνου γένουϲ οἷον ὁ Cώπολιϲ τοῦ Cωπόλιδοϲ (ἔϲτι δὲ ὄνομα κύριον κωμικοῦ), ὁ Ἀγηϲίπολιϲ τοῦ Ἀγηϲιπόλιδοϲ (ἔϲτι δὲ ὄνομα ϲτρατηγοῦ τῶν Ἀθηναίων), ἀρϲενικοῦ δὲ καὶ θηλυκοῦ οἷον ὁ φιλόπολιϲ καὶ ἡ φιλόπολιϲ τοῦ φιλοπόλιδοϲ τῆϲ φιλοπόλιδοϲ, ὁ ἄπολιϲ καὶ ἡ ἄπολιϲ τοῦ

l. 1 Κρίνιϲ scripsi pro Κόρνιϲ ex Schol. ad Il. A 39, unde etiam Arcadio hoc nomen restituit Thes. pro κρίνιϲ vel κέρνιϲ librorum. l. 3 de cacophonia consonae δ iteratae cf. fr. 41. l. 20 Cύϊϲ ex St. B. scripsi pro Cόϊϲ et Θμοῦϊϲ pro Θμόιϲ ex eodem, addidi ex St. B. nomina inde a Cάϊϲ usque ad Μώμεμφιϲ, quia St. B. diserte de eorum declinatione praescribit: Cάϊϲ κλίνεται Cάεωϲ ὡϲ Μέμφεωϲ, Χέμμιϲ — κλίνεται δὲ διὰ τοῦ ε̄ω̆ϲ Χέμμεωϲ, Ψένυριϲ — κλίνεται Ψενύρεωϲ. Ψινέκταβιϲ — κλίνεται Ψινεκτάβεωϲ. Μώμεμφιϲ — κλίνεται Μωμέμφεωϲ, ὡϲ Ἀρίϲταρχοϲ, quae omnia ex Herodiani libro περὶ κλίϲεωϲ petita esse hic Choerobosci locus comprobat. Concinit St. B. cum Choerob. de Μέμφιϲ, dicit enim s. v. κλίνεται καὶ Μέμφιδοϲ καὶ Μέμφιοϲ. l. 30 ex p. 188, 12 addidi Χρυϲόπολιϲ — μητρόπολιϲ,

ἀπόλιδοϲ καὶ τῆϲ ἀπόλιδοϲ. Ἀνδροτίων δὲ καὶ τὸ μόνωϲ θηλυκὸν Τετράπολιϲ Τετραπόλιδοϲ φηϲὶ διὰ τοῦ δ.

Choer. 189, 4: τὸ Πάριοϲ καὶ Θέτιοϲ Ἰωνικά ἐϲτιν· ἐπειδὴ οἱ Ἴωνεϲ εὑρίϲκουϲί τινα εἰϲ ῑϲ διὰ καθαροῦ τοῦ ōϲ κλινόμενα, ὡϲ ἐπὶ τοῦ μάντιϲ μάντιοϲ καὶ ὄφιϲ ὄφιοϲ, τούτου χάριν καὶ ἐπὶ τῶν κλινομένων διὰ ϲυμφώνου ποιοῦνται τὴν γενικὴν διὰ καθαροῦ τοῦ ōϲ, ἐπαίροντεϲ τὸ ϲύμφωνον, ἵνα μιμήϲωνται τὰ ἄλλα, φημὶ δὲ τὰ κλινόμενα διὰ καθαροῦ τοῦ ōϲ οἷον Πάριδοϲ Πάριοϲ, Θέτιδοϲ Θέτιοϲ

Θέτιοϲ δ' ἐξαίϲιον ἀρήν (Ο 598),

ἐξ οὗ τὸ Θέτιϊ, καὶ κατὰ κρᾶϲιν τῶν δύο ῑ εἰϲ ἓν δηλονότι μακρὸν Θέτι

πάντα Θέτι καλλιπλοκάμῳ (C 407),

Ἀδώνιδοϲ Ἀδώνιοϲ. οὐκ ἐπὶ πάντων δὲ τοῦτο ποιοῦϲι· ἐπὶ γὰρ τῶν εἰϲ ῑϲ ὀξυτόνων οὐκ ἀποβάλλουϲι τὸ δ̄ οἷον μημίϲ μημίδοϲ, ἀψίϲ ἀψῖδοϲ, Χρυϲηῖϲ Χρυϲηῖδοϲ. ἀλλ' οὔτε ἐπὶ τῶν τρεπόντων τὸ δ̄ εἰϲ τὸ τ̄ παρὰ τοῖϲ Δωριεῦϲιν ἀποβάλλουϲι τὸ δ κατὰ τὴν γενικὴν οἱ Ἴωνεϲ οἷον Θέμιϲ Θέμιδοϲ καὶ Θέμιτοϲ Δωρικῶϲ καὶ ἐν πλεοναϲμῷ τοῦ ϲ̄ ποιητικῶϲ Θέμιϲτοϲ οἷον

Θέμιϲτι δὲ καλλιπαρήῳ (Ο 87),

Ζεὺϲ δὲ Θέμιϲτα κέλευϲεν (Υ 4),

καὶ πάλιν χάριϲ χάριδοϲ χάριτοϲ καὶ πλεοναϲμῷ τοῦ ϲ̄ χάριϲτοϲ. τοῦτο δὲ τὸ χάριϲ χάριτοϲ καὶ παρ' ἡμῖν οὕτωϲ ἐπεκράτηϲε λέγεϲθαι. ἀλλ' οὔτε δὲ τὰ εἰϲ ῑϲ θηλυκὰ τὰ γενόμενα ἀπὸ τῶν εἰϲ ηϲ ἀρϲενικῶν ἀποβάλλει τὸ δ̄ παρὰ τοῖϲ Ἴωϲι κατὰ τὴν γενικὴν οἷον ὁ τοξότηϲ τοῦ τοξότου καὶ ἡ τοξότιϲ τῆϲ τοξότιδοϲ, ὁ πολίτηϲ τοῦ πολίτου καὶ ἡ πολῖτιϲ τῆϲ πολίτιδοϲ, ὁ δραπέτηϲ τοῦ δραπέτου καὶ ἡ δραπέτιϲ τῆϲ δραπέτιδοϲ. ἀλλ' οὔτε δὲ τὰ νομιζόμενα ἀπὸ τῶν εἰϲ ηϲ ἀρϲενικῶν γεγενῆϲθαι γίνεται χωρὶϲ τοῦ δ παρὰ τοῖϲ Ἴωϲι κατὰ τὴν γενικὴν οἷον ἡ πλευρῖτιϲ τῆϲ πλευρίτιδοϲ τῇ πλευρίτιδι, ἡ φρενῖτιϲ τῆϲ φρενίτιδοϲ, ἡ νεφρῖτιϲ τῆϲ νεφρίτιδοϲ· ταῦτα ὡϲ ἀπὸ τῶν εἰϲ ηϲ ἀρϲενικῶν δοκεῖ εἶναι, ὡϲ ἀπὸ τοῦ ὁ πλευρίτηϲ καὶ ὁ φρενίτηϲ καὶ ὁ νεφρίτηϲ, ἔϲτι δὲ ὀνόματα νοϲημάτων.

Choer. 57, 20 coll. 191, 22: τὰ εἰϲ ιϲ προϲηγορικὰ ἀρϲενικὰ ὑπὲρ μίαν ϲυλλαβὴν ἁπλᾶ μὴ ὄντα δικατάληκτα μὴ ὄντα παρώνυμα μακροπαράληκτα διὰ καθαροῦ τοῦ οϲ κλίνεται οἷον ὄφιϲ ὄφιοϲ καὶ ὄφεωϲ, ἔχιϲ ἔχιοϲ καὶ ἔχεωϲ, μάντιϲ μάντιοϲ καὶ μάντεωϲ, πόϲιϲ πόϲιοϲ καὶ πόϲεωϲ, κόριϲ κόριοϲ ὅπου

κόρειϲ ὀλιγιϲτοί (Arist. Ran. 114).

πρόϲκειται «ὑπὲρ μίαν ϲυλλαβὴν» διὰ τὸ τίϲ τινόϲ. «μὴ ὄντα δικατάληκτα» διὰ τὸ δελφίϲ δελφῖνοϲ. «ἀρϲενικὰ» διὰ τὸ ἀϲπίϲ ἀϲπίδοϲ, μῆνιϲ μήνιδοϲ. «ἁπλᾶ» διὰ τὸ λεύκαϲπιϲ λευκάϲπιδοϲ. «μὴ ὄντα παρώ-

l. 1 adnotationem de Τετράπολιϲ ex St. B. s. v. l. 17 de Θέμιϲ cf. Ep. Cr. I 200, 7, de Ionica declinatione in universum Ep. Cr. I 358, 15.

νυμα μακροπαράληκτα» διὰ τὸ γύννις γύννιδος παρὰ τὸ γυνή καὶ λάτρις λάτριδος παρὰ τὸ λάτρον καὶ εὖνις εὔνιδος παρὰ τὸ εὐνή ἡ κοίτη. cημαίνει δὲ τὸ εὖνις τὸν ἄνδρα καὶ τὴν γυναῖκα, ὁ εὖνις γὰρ καὶ ἡ εὖνις. λέγεται δὲ εὖνις καὶ ὁ ἐcτερημένος τῆς γυναικὸς τουτέστιν ὁ μεμονωμένος· παρὰ γὰρ τὸ εἷς ἑνός γέγονεν ἕνις καὶ πλεοναcμῷ τοῦ ῡ εὖνις. οἷς ἐξηκολούθηcε καὶ τὸ Οὖτις Οὔτιδος ἐπὶ τοῦ Ὀδυccέως ἀντὶ κυρίου ὀνόματος λαμβανόμενον. ὁμοίως καὶ τὸ ἄναλκις ἀνάλκιδος. τὸ δὲ ἴδρις ὡς μὴ ὂν παρώνυμον μακρᾷ παραληγόμενον ὀφείλει κλίνεcθαι ὡς τὸ ἔχις, πόcις, ὄφις· ὥcτε ἐκ τοῦ ἐναντίου ἁμάρτημα τὸ παρὰ τῇ Cαπφοῖ τὸ πολυίδριδι, εἰ μὴ ἄρα ὁμοίως τοῖς Ἀττικοῖς ἐκλίθη. ὁ γὰρ Cοφοκλῆς ἴδριδα ἔφη τὴν αἰτιατικὴν ὅ τε Φρύνιχος τὴν εὐθεῖαν ἴδριδες. τὸ δὲ νῆϊς cύνθετον ἀπὸ τοῦ νη τοῦ cτερητικοῦ ἐπιρρήματος καὶ τοῦ εἴδω cημαίνοντος τὸ ἐπίcταμαι οἷον ὁ ἐcτερημένος τοῦ ἐπίcταcθαι τοῦ εἴδω τὸ cύμφωνον ἐφύλαξε κατὰ τὴν κλίcιν, φημὶ δὴ τὸ δ.

Choer. 58, 19 coll. 193, 2: τὰ παρὰ τὸ μάντις cύνθετα διὰ τοῦ δος κλίνεται οἷον κοcκινόμαντις κοcκινομάντιδος, ἀλευρόμαντις ἀλευρομάντιδος, πρόμαντις προμάντιδος.

Choer. 194, 16: ἰcτέον ὅτι οἱ Ἀττικοὶ ἐπὶ τῶν τοιούτων, τουτέcτι τῶν εἰς ῑc τῶν διὰ καθαροῦ τοῦ ōc κλινομένων, τρέπουcι τὸ ō εἰς ω ἐν τῇ γενικῇ καὶ τὸ παραλῆγον φωνῆεν εἰς ε̄ μεταβάλλουcιν οἷον μάντις μάντιος μάντεως, ὄφις ὄφιος ὄφεως, πόλις πόλιος πόλεως, καὶ φυλάττουcι τὸν αὐτὸν τόνον, τουτέcτιν ὃν εἶχον πρὸ τῆς τροπῆς οἷον μάντιος μάντεως, πόλιος πόλεως, ὄφιος ὄφεως. εὑρίcκεται δὲ καὶ διὰ τοῦ ε̄ καὶ ō ἡ γενικὴ κατὰ cυcτολὴν τοῦ ω εἰς ō οἷον μάντεος, ὄφεος, πόλεος, ὡς παρὰ τῷ Εὐριπίδῃ ἐν Ὀρέcτῃ (895)

ὃc ἂν δύνηται πόλεος ἔν τ' ἀρχαῖcιν ᾖ

καὶ ἐν ταῖς Βάκχαις (1025)

δράκοντος ἔcπειρ' ὄφεος ἐν γαίᾳ θέρος.

οὐδέποτε δὲ τὰ εἰς ιc διὰ τοῦ εoc κλινόμενα cυναιρεῖται κατὰ τὴν γενικὴν καὶ γίνεται εἰς ōυc οἷον ὄφις ὄφεος, μάντις μάντεος, οὐδὲ γὰρ

l. 6 verba οἷς ἐξηκολούθηcε Οὖτις Οὔτιδος apposui secutus Ep. Cr. I 305, 17, ubi hoc nomen compositum est cum εὖνις et λάτρις, et Herod. in E. M. 643, 13, ἄναλκις ex Ep. I 9, 3. τὸ δὲ ἴδρις κτλ. adieci ex Il. Pr. Γ 219, adnotamentum de νῆϊς ex Choer. 193, 9. l. 28 in textum recipere dubitavi, quae ap. Choer. 195, 4 leguntur: ἀποροῦcί τινες λέγοντες διατί μὴ λέγομεν ὄφις ὄφηος καὶ μάντις μάντηος διὰ τοῦ η̄ καὶ ō Ἰωνικῶς ὥcπερ Πηλεύς Πηλῆος καὶ Ἀχιλλεύς Ἀχιλλῆος. καὶ ἔcτιν εἰπεῖν, ὅτι ὅταν γένηται οὕτως, εὑρίcκεται η παραλήγουcα τῆς περιττοcυλλάβου γενικῆς μείζων τῆς ληγούcης τῆς ἰδίας εὐθείας, ὅπερ ἐcτὶν ἄτοπον. τὸ γὰρ πόληος διὰ τοῦ η̄ καὶ ō οἷον «ἀγροῦ νόcφι πόληος» (α 185) οὐκ ἔcτιν Ἰωνικόν, ἀλλ' ἀπὸ τοῦ πόλιος διὰ τοῦ ῑ γέγονε κατὰ Αἰολικὴν τροπὴν τοῦ ῑ εἰς η̄ ὡς ἐπὶ τοῦ ψιμμύθιον ψημμύθιον καὶ ἀκτῖνος ἀκτῆνος. Magis Herodianeam sententiam repraesentare videntur Ep. Cr. I 341, 30, ubi πόληος non per Aeolicam vocalis tropen explicatur, sed at a norma exemptum proponitur: πόλις καὶ ἡ γενικὴ πόλιος καὶ πόληος καὶ πόλεως Ἀττικῶς. οὔτε δὲ ἀπὸ τῶν εἰς ῠc οὔτε ἀπὸ τῶν εἰς ιc οὔτε ἀπὸ τῶν εἰς οc ὀνομάτων γενική ἐcτι διὰ τοῦ η̄. cημειούμεθα ἀπὸ τῶν εἰς ῡc τὴν ταχῆος, ἀπὸ τῶν εἰς ῑc τὴν πόληος, ἀπὸ τῶν εἰς ōc τεμένηος παρὰ Ἀλκαίῳ ἅπαξ χρηcαμένῳ. διατί δὲ οὐ γίνεται ἡ γενικὴ διὰ τοῦ η̄; οὐδέποτε ἡ παραλήγουcα τῆς γενικῆς μείζων ἐcτὶ τῆς ληγούcης εὐθείας.

γίνεται ὄφους καὶ μάντους ὥςπερ Δημοςθένεος Δημοςθένους. καὶ ἔςτιν εἰπεῖν, ὅτι οὐδέποτε γενικὴ εἰς ους λήγουςα γίνεται διὰ τοῦ ε καὶ ω Ἀττικῶς οἷον Δημοςθένης Δημοςθένεος Δημοςθένους, Διομήδης Διομήδεος Διομήδους, τεῖχος τείχεος τείχους, βέλος βέλεος βέλους. ἐπειδὴ οὖν τὰ εἰς ις διὰ τοῦ εος κλινόμενα κλίνεται διὰ τοῦ ε καὶ ω Ἀττικῶς οἷον ὄφεως, μάντεως, τούτου χάριν οὐ δύναται κρᾶςιν ἀναδέξαςθαι κατὰ τὴν γενικὴν καὶ γενέςθαι εἰς ους. ἄλλως τε δὲ οὔτε ἐςτὶ γνήςιον ἐπὶ τούτων τὸ ε τῆς κλίςεως· ὄφιος γὰρ ἦν καὶ μάντιος καὶ Ἀττικῶς γέγονεν ὄφεως μάντεως καὶ κατὰ ςυςτολὴν ὄφεος καὶ μάντεος διὰ τοῦ ο.

Il. Pr. Γ 219: ἐπὶ τῶν εἰς ις διὰ τοῦ ος καθαροῦ κλινομένων τῶν γενικῶν τὴν παραλήγουςαν διὰ τοῦ ι πολλάκις προφέρονται οἱ Ἴωνες, τὴν δὲ δοτικὴν διὰ τοῦ ε, οὐχὶ δὲ διὰ τοῦ ι· τάχα γὰρ διὰ τὸ κακόφωνον. ὁ γοῦν ποιητής φηςιν «εὐνήν τ' αἰδομένη πόςιος» (π 75), τῇ δὲ δοτικῇ «χαριζομένη πόςεϊ ᾧ» (Ε 71).

Choer. 195, 32 coll. 240, 15: ἀπὸ τοῦ ὄφιι γίνεται ὄφι κατὰ κρᾶςιν τῶν δύο ι εἰς ἓν δηλονότι ι μακρόν, ἡ δὲ Διΐ δοτικὴ οὐ δύναται γενέςθαι κατὰ κρᾶςιν τῶν δύο ι Δί, ἐπειδὴ οὐδέποτε ἡ δοτικὴ τῶν ἑνικῶν ἐπὶ ὀνομάτων μονοςυλλάβων ἐκφωνεῖ τὸ ι οἷον τῷ Γρᾷ, τῇ γῇ, τῇ μνᾷ, τῷ νῷ.

Choer. 196, 5 coll. Lascar.: ἰςτέον ὅτι ἔνιοί φαςιν, ὡς τὰ εἰς ις κύρια ποιοῦντα τὴν γενικὴν εἰς δος καὶ ος οὐ ποιεῖ δύο αἰτιατικάς· εἰς δα τῆς εἰς δος γενικῆς οἷον Πάριδος Πάριδα, εἰς ιν τῆς εἰς ος Πάριος Πάριν, τὰ δὲ προςηγορικὰ διὰ καθαροῦ τοῦ ος μόνον ποιοῦντα τὴν γενικὴν εἰς ιν ποιεῖ τὴν αἰτιατικὴν οἷον ὁ ὄφις τοῦ ὄφιος τὸν ὄφιν, ὁ μάντις τοῦ μάντιος τὸν μάντιν. δεῖ δὲ παραφυλάξαςθαι, ὅτι τὸ χάριτος καὶ τοξότιδος μὴ ἔχοντα διχῶς τὴν γενικὴν ἐκφερομένην τὴν αἰτιατικὴν ἔχει εἰς α καὶ εἰς ν οἷον χάριτα καὶ χάριν, τοξότιδα καὶ τοξότιν.

Choer. 196, 25: ἰςτέον δὲ ὅτι τὼ ὄφιε κατὰ τὴν ἀκρίβειαν οὐ δύναται κρᾶςιν ἀναδέξαςθαι τοῦ ι καὶ ε εἰς τὸ ι, ἐπειδὴ τὸ ι οὐκ ἔςτι τελικὸν τῆς ἰδίας εὐθείας τῶν δυϊκῶν. τελικὰ γὰρ τῆς εὐθείας τῶν δυϊκῶν τρία ἐςτὶν οἷον α ε ω, Ἀτρείδα, Ἕκτορε, φίλω.

Ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ ὄφιες καὶ κατὰ κρᾶςιν ὄφεις, οἱ ὄφεες καὶ κατὰ κρᾶςιν ὄφεις.

Περὶ τῶν εἰς ος.

Choer. 64, 11 coll. 248, 12: τὰ εἰς ος ἀρςενικὰ ἢ θηλυκὰ εἰς ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον ἄνθρωπος ἀνθρώπου, Ἡρόδοτος Ἡροδότου, Ἐπίκουρος Ἐπικούρου. θηλυκὰ δὲ οἷον Λέςβος Λέςβου, Χίος Χίου, Ῥόδος Ῥόδου, Cάμος Cάμου, Ἔφεςος Ἐφέςου, Κάρπαθος Καρπάθου, νῆςος νήςου, ἔρημος ἐρήμου. τὸ γὰρ καλοῖο καὶ ςοφοῖο μὴ ἔχοντα εἰς τὴν ου δίφθογγον τὴν γενικὴν οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ

κατὰ διάλεκτόν ἐcτι, Θεccαλικὰ γάρ ἐcτιν. ἀλλ' οὔτε δὲ τὸ ἀελλόποc διὰ τοῦ δοc κλινόμενον ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔcτι φύcει εἰc οc, ἀελλόπουc γὰρ ἦν καὶ κατ' ἀποβολὴν τοῦ υ ἀελλόποc γέγονε καὶ λοιπὸν τὴν τοῦ ἁπλοῦ κλίcιν ἐφύλαξεν.

Choer. 249, 29: τὰ εἰc οc ἀρcενικὰ ἢ θηλυκὰ εἰc ε ἔχει τὴν κλητικὴν οἷον Ὅμηροc Ὅμηρε, ἄνθρωποc ἄνθρωπε, Ἀρίcταρχοc Ἀρίcταρχε, Λέcβοc Λέcβε, Ῥόδοc Ῥόδε, ἔρημοc ἔρημε· τὸ γὰρ ὁμόφωνον Ἀττικόν ἐcτιν. οἱ γὰρ Ἀττικοὶ τὰc αὐτὰc εἰώθαcιν ὀρθὰc ποιεῖν καὶ κλητικάc οἷον ὁ φίλοc ὦ φίλοc

ἀλλὰ φίλοc, θάνε καὶ cύ (Φ 106).

ὁ ἥλιοc ὦ ἥλιοc

Ἠέλιοc, ὃc πάντ' ἐφορᾷc καὶ πάντ' ἐπακούειc (Γ 277).

Choer. 251, 29: πᾶcα εὐθεῖα πληθυντικῶν εἰc τὴν οι δίφθογγον λήγουcα εἰc ουc ποιεῖ τὴν αἰτιατικὴν οἷον ἄνθρωποι ἀνθρώπουc, Ὅμηροι Ὁμήρουc, Ἀρίcταρχοι Ἀριcτάρχουc, Λέcβοι Λέcβουc, Ῥόδιοι Ῥοδίουc, ἔρημοι ἐρήμουc. ἄξιον δέ ἐcτι ζητῆcαι, διατί ἡνίκα εἰc τὴν αι δίφθογγον λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν, τροπῇ τοῦ ι εἰc τὸ c ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, κοχλίαι κοχλίαc, Χρῦcαι Χρύcαc, μοῦcαι μούcαc, ἡνίκα δὲ εἰc τὴν οι δίφθογγον λήγει, οὐ ποιεῖ τροπῇ τοῦ ι εἰc τὸ c τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, ἀλλ' εἰc ουc ποιεῖ αὐτὴν οἷον Ὅμηροι Ὁμήρουc, καλοί καλούc, cοφοί cοφούc. καὶ ἔcτιν εἰπεῖν, ὅτι ἐπειδὴ πᾶcα αἰτιατικὴ πληθυντικῶν ἰcοχρονεῖν θέλει τῇ ἰδίᾳ εὐθείᾳ οἷον Αἴαντεc Αἴανταc, Λάχητεc Λάχηταc, Αἰνεῖαι Αἰνείαc, κοχλίαι κοχλίαc. τούτων οὕτωc ἐχόντων, οἱ Ὅμηροι καὶ οἱ ἄνθρωποι ἡ εὐθεῖα τῶν πληθυντικῶν· ἐὰν τραπῇ οὖν τὸ ι εἰc c καὶ γένηται ἡ αἰτιατικὴ τῶν πληθυντικῶν Ὅμηροc καὶ ἄνθρωποc, οὐκέτι ἰcοχρονεῖ τῇ ἰδίᾳ εὐθείᾳ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, ὅπερ ἐcτὶν ἀδύνατον.

Περὶ τῶν εἰc ουc.

Choer. 243, 2: τὰ εἰc ουc cυνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττει κλίcιν οἷον χρύcεοc χρυcέου χρυcοῦc χρυcοῦ, ἀργύρεοc ἀργυρέου ἀργυροῦc ἀργυροῦ, νόοc νόου νοῦc νοῦ, οὕτωc οὖν καὶ πλόοc πλόου καὶ πλοῦc πλοῦ. καὶ καθόλου δὲ τὰ cυνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττει κλίcιν οἷον τιμήειc τιμήεντοc τιμῆc τιμῆντοc

καὶ χρυcὸν τιμῆντα καὶ ἄργυρον (C 475),

δαφνήειc δαφνήεντοc δαφνῆc δαφνῆντοc, Cιμόειc Cιμόεντοc Cιμοῦc Cιμοῦντοc, πλακόειc πλακόεντοc πλακοῦc πλακοῦντοc, Ἑρμέαc Ἑρμέου Ἑρμῆc Ἑρμοῦ, Ἡρακλέηc Ἡρακλέουc Ἡρακλῆc Ἡρακλοῦc, Cωcέαc Cωcέου Cωcῆc Cωcοῦ, ὁ ζωόc τοῦ ζωοῦ ὁ ζώc τοῦ ζῶ, ὁ cάοc τοῦ cάου ὁ cῶc τοῦ cῶ.

Choer. 63, 33: τὰ εἰc πλουc λήγοντα εἰc τὴν ου δίφθογγον ἔχει

l. 1 de genetivo Thessalico cf. Il. Pr. A 35.

τὴν γενικὴν οἷον διπλοῦς διπλοῦ, τριπλοῦς τριπλοῦ, τετραπλοῦς τετραπλοῦ.

Choer. 64, 1: τὰ εἰς δους λήγοντα εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον ὁ ἀδελφιδοῦς τοῦ ἀδελφιδοῦ, ὁ θυγατριδοῦς τοῦ θυγατριδοῦ καὶ τὰ ὅμοια.

Choer. 247, 30: τὰ παρὰ τοῦ πούς σύνθετα τὴν τοῦ ἁπλοῦ φυλάττει κλίσιν καὶ διὰ τοῦ δος κλίνεται ὁμοίως τῷ ἁπλῷ οἷον πούς ποδός, Οἰδίπους Οἰδίποδος, τρίπους τρίποδος, τετράπους τετράποδος, ἑπτάπους ἑπτάποδος. τὰ γὰρ ἀποβολῇ τοῦ δ ποιοῦντα τὴν γενικὴν εἰς τὴν ου δίφθογγον ἔχοντα αὐτὴν Ἀττικά ἐστιν οἷον ὁ τρίπους τοῦ τρίπου, ὁ Οἰδίπους τοῦ Οἰδίπου. ἰστέον δὲ ὅτι πολλάκις τὰ παρὰ τὸ πούς ἀποβάλλει τό υ κατὰ τὴν εὐθεῖαν οἷον ἀελλόπος ἀελλόποδος· ὡς παρὰ τῷ ποιητῇ (Θ 409)

ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα.

καὶ ἴσως, φασί τινες, ἐξ ἀφορμῆς τούτου ἐποίησαν οἱ Ἀττικοὶ εἰς τὴν ου δίφθογγον τὴν γενικήν· ἀλλ' εἰ διὰ τοῦτο ἐποίησαν οἱ Ἀττικοὶ εἰς τὴν ου δίφθογγον τὴν γενικήν, ἐπὶ τούτων ὤφειλον καὶ τὴν αἰτιατικὴν χωρὶς τοῦ υ ποιῆσαι ὁμοίως τῇ εὐθείᾳ οἷον τὸν Οἰδίπον, τὸν τρίπον, καὶ οὐχὶ μετὰ τοῦ υ τὸν Οἰδίπουν. κρεῖττον οὖν αὐτὰ μόνα λέγειν Ἀττικά.

Choer. 247, 22: ἰστέον δὲ ὅτι ὁ νοῦς τοῦ νοῦ κλίνεται κατὰ τὸν λόγον συναιρέσεως οἷον ὁ νόος τοῦ νόου, ὁ νοῦς τοῦ νοῦ. εὑρίσκεται δὲ ἐν τοῖς χρησμοῖς τῷ νοΐ ἡ δοτική, ὡς ἀπὸ τῆς νοός γενικῆς. καὶ τὸ εὔνους τό σύνθετον ἰσοσυλλάβως κλίνεται ὁμοίως οἷον ὁ εὔνους τοῦ εὔνου. ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ εὖνοί ἐστιν· οἱ γὰρ χρησάμενοι καὶ εἰπόντες οἱ εὔνους κακῶς ἐχρήσαντο. ἔστι δὲ πᾶσα κλίσις ἀπό συναιρέσεως.

Choer. 239, 18: τὰ εἰς ους ἀπαθῆ διὰ καθαροῦ τοῦ ος κλίνεται οἷον βοῦς βοός, νοῦς νοός, χροῦς χροός, πλὴν τοῦ πούς ποδός καὶ ὀδούς ὀδόντος. ἰστέον δὲ ὅτι τὰ εἰς ους λήγοντα ὀνόματα οὐδέποτε ὀξύνεται, χωρὶς τοῦ πούς καὶ ὀδούς, ταῦτα γὰρ ὀξύνεται. ἐπειδὴ οὖν διήλλαξε περὶ τόν τόνον, τούτου χάριν καὶ περὶ τὴν κλίσιν διήλλαξε καὶ οὐ κλίνεται διὰ καθαροῦ τοῦ ος. τὸ δὲ ὀδούς ὀδόντος διὰ τοῦ ντ κλίνεται, ἐπειδὴ μετοχικόν ἐστιν. αἱ δὲ εἰς ους μετοχαὶ διὰ τοῦ ντ κλίνεται οἷον βιούς βιόντος, διδούς διδόντος, ἁλούς ἁλόντος· οὕτως οὖν καὶ ὀδούς ὀδόντος. τὸ δὲ πούς ποδός καὶ τοῦτο παρὰ λόγον ἐστίν, ὅτι ὀξυνθὲν ὁμοίως ταῖς εἰς ους μετοχαῖς οὐκ ἐκλίθη διὰ τοῦ ντ ὁμοίως αὐταῖς.

Choer. 237, 7: ἰστέον ὅτι εὑρέθη τοῦ βοῦς ἡ γενικὴ οὐ μόνον βοός, ἀλλὰ καὶ τοῦ βοῦ παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ καὶ παρὰ τῷ Αἰσχύλῳ.

Choer. 237, 13: ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὸ βοῦς βοός οὐ γίνεται κατ' ἔκτασιν Ἀττικὴν τοῦ ο εἰς τὸ ω. ἔστιν οὖν εἰπεῖν ὅτι τὰ ἐκτείνοντα τὸ ο εἰς τὸ ω ἐπὶ τῶν καθαρευόντων καὶ τὸ παραλῆγον

φωνῆεν εἰς ε̄ μεταβάλλει οἷον ὄφις ὄφιος ὄφεως, πόλις πόλιος πόλεως, ναός νεώς, λαός λεώς. εἰ ἐξέτεινεν οὖν τὸ βοῦς βοός τὸ ο εἰς τὸ ω Ἀττικῶς, ἠναγκάζετο καὶ τὸ παραλῆγον φωνῆεν εἰς ε̄ μεταβαλεῖν· ἀλλὰ μὴν καὶ τὸ παραλῆγον φωνῆεν οὐκ ἠδύνατο εἰς ε̄ μεταβαλεῖν· τὰ γὰρ μεταβαλλόμενα κατὰ τὴν παραλήγουσαν εἰς τὸ ε̄ δίχρονα εὑρίσκεται οἷον ὄφιος ὄφεως, πόλιος πόλεως, ναός νεώς, λαός λεώς· τοῦτο δὲ οὐκ ἔστι δίχρονον. ἀλλὰ τοῦ ο̄ δηλονότι τῆς παραληγούσης μὴ δυναμένου μεταβληθῆναι εἰς τὸ ε̄, εἰκότως οὐδὲ ἡ λήγουσα ἐξετάθη εἰς ω.

Choer. 237, 26: πάλιν ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὸ βοῦς βοός οὐ κιρνᾶται κατὰ τὴν γενικήν. ἔστιν οὖν εἰπεῖν ὅτι εἰ ἐκίρνατο τὸ βοῦς βοός κατὰ τὴν γενικήν, εἰς ους ἔμελλεν εἶναι οἷον πλόος πλοῦς, νόος νοῦς, ῥόος ῥοῦς· τὰ γὰρ δύο ο̄ο̄ εἰς τὴν ου δίφθογγον κιρνᾶται· καὶ λοιπὸν πρῶτον μὲν ἤμελλεν συνεμπίπτειν τῇ εὐθείᾳ ἡ γενική, δεύτερον δὲ πᾶσα γενικὴ ἀρσενικὴ εἰς ο̄ῡς̄ λήγουσα θέλει ἔχειν τὴν αἰτιατικὴν εἰς η̄ καταλήγουσαν οἷον τοῦ Δημοσθένους τὸν Δημοσθένη, τοῦ εὐσεβοῦς τὸν εὐσεβῆ, τοῦ εὐγενοῦς τὸν εὐγενῆ. ἀλλὰ μὴν ἡ αἰτιατικὴ οὐ καταλήγει εἰς η, τὸν βόα καὶ τὸν βοῦν· δηλονότι τῆς αἰτιατικῆς μὴ καταληγούσης εἰς η, οὐδὲ ἡ γενικὴ δύναται εἶναι εἰς ο̄ῡς̄. διὰ τοῦτο οὖν οὐ συναιρεῖται.

Choer. 240, 13: ἰστέον ὅτι ἡ δοτικὴ βοΐ οὐ δύναται συναίρεσιν ἐπιδέξασθαι τοῦ ο̄ καὶ ῑ εἰς τὴν οι δίφθογγον ὥσπερ ἐπὶ τοῦ Λητοΐ Λητοῖ, ἐπειδὴ οὐδέποτε ἡ δοτικὴ τῶν ἑνικῶν ἐπ' ὀνομάτων μονοσυλλάβων ἐκφωνεῖ τὸ ῑ οἷον τῷ Γρᾷ, τῇ γῇ, τῇ μνᾷ, τῷ νῷ· εἰ οὖν ἐγένετο κατὰ συναίρεσιν βοΐ βοῖ, ἤμελλεν ἐκφωνεῖσθαι τὸ ῑ ἐν τῇ δοτικῇ τῶν ἑνικῶν ἐπὶ μονοσυλλάβων ὀνομάτων, ὅπερ ἐστὶν ἄτοπον. πρόσκειται «ἐπ' ὀνομάτων» διὰ τὴν σοί ἀντωνυμίαν· αὕτη γὰρ μονοσύλλαβος οὖσα ἐκφωνεῖ τὸ ῑ, ἀλλ' οὐκ ἔστιν ὄνομα.

Choer. 240, 33: ἰστέον ὅτι διφοροῦνται τούτων αἱ αἰτιατικαί, καὶ ἡ μὲν εἰς ᾱ λήγουσα ἀπὸ τῆς δοτικῆς κανονίζεται, ἡ δὲ εἰς ν̄ ἀπὸ τῆς εὐθείας· καὶ δεῖ παραφυλάξασθαι, ὅτι ἐπὶ τῆς βοῦς ἡ αἰτιατικὴ μᾶλλον εἰς ν̄ λήγει οἷον τὸν βοῦν, σπανιωτέρα δέ ἐστιν ἡ εἰς ᾱ οἷον τὸν βόα. εὑρέθη δὲ σπανίως παρὰ Φερεκύδῃ τῷ Ἀθηναίῳ. ἐπὶ δὲ τοῦ χροῦς καὶ χοῦς τὸ ἐναντίον ἡ μὲν εἰς ᾱ ἐστὶν ἐν πλάτει οἷον χρόα καὶ χόα

μή τις χρόα χαλκῷ ἐπαύρῃ (Ν 649),

l. 28 de accusativo vocabuli βοῦς cf. Schol. A ad Il. Η 238: βῶν· οὕτως αἱ Ἀριστάρχου βῶν σὺν τῷ ν̄· ἡ Ἀριστοφάνους βοῦν. τινὲς δὲ ἔξω τοῦ ν̄ βῶ καὶ μήποτε πιθανῶς ἀντὶ τοῦ βόα. V: αἱ Ἀριστάρχου βῶν, ἡ Ἀριστοφάνους βοῦν, ἡ Ἡρωδιανοῦ βῶ ὡς Βορέαο «Βορέω ὑπ' ἰωγῇ» (Ξ 533). Sane quam incertum est, num Herodianus βῶ probaverit. Eum hoc loco scripturae βῶ a Didymo commemoratae mentionem fecisse et comparasse cum Βορέαο Βορέω credibile est, sed vix dubitari potest, quin eam pro inconsueta et abnormi habuerit, βῶν vero repetivisse putandus est ex βῶς nominativo cf. Choer. 254, 27, Lob. El. II 108 et 115. De declinatione vocis χροῦς cf. Il. Pr. Ν 191: ἀλλ' οὔ πῃ χροὸς εἴσατο, ubi Alexion et Aristarchus oxytonos, Tyrannio autem barytonos vocabulum protulerunt: ἐπικρίνομεν δὲ ἡμεῖς περὶ τῆς ἀναγνώσεως ἐκεῖνο, ὡς ὅτι πιθανόν ἐστι

ἡ δὲ εἰϲ ῡ ϲπανιωτέρα οἷον χροῦν καὶ χοῦν. ἰϲτέον ὅτι τὸ χόα, ἀπὸ τοῦ χοῦϲ χοόϲ ὂν καὶ βαρύνεται καὶ ϲυνεϲταλμένον ἔχει τὸ α· τὸ δὲ παρὰ τῷ Μενάνδρῳ χοᾶ οἷον τὸν χοᾶ

ἐκκέχυκαϲ,

ᾧ τινι καὶ χρῶνται οἱ Ἀττικοὶ περιϲπωμένωϲ, καὶ ἐκτεταμένον ἔχον τὸ ᾱ, ἀπὸ τῶν εἰϲ ευϲ ἐϲτίν οἷον ἀπὸ τοῦ χοεύϲ χοέοϲ χοέϊ χοέα γέγονε χοᾶ κατὰ κρᾶϲιν τοῦ ε̄ καὶ ᾱ εἰϲ ᾱ μακρὸν ὥϲπερ Ἐρετριέα Ἐρετριᾶ. ἄξιον δέ ἐϲτι ζητῆϲαι, διατί, ὥϲπερ ἀπὸ τοῦ Ϲαπφόα καὶ Λητόα γέγονε Ϲαπφώ καὶ Λητώ κατὰ κρᾶϲιν τοῦ ο̄ καὶ ᾱ εἰϲ ω̄, μὴ τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ βόα καὶ χρόα καὶ χόα γίνεται βῶ καὶ χρῶ καὶ χῶ κατὰ κρᾶϲιν τοῦ ο̄ εἰϲ ω̄. ἔϲτιν οὖν εἰπεῖν, ὅτι ἐπὶ τοῦ Λητόα καὶ Ϲαπφόα πρῶτον ἡ γενικὴ ϲυνῃρέθη, καὶ οὕτωϲ ἡ αἰτιατικὴ οἷον Λητόοϲ Λητοῦϲ, Ϲαπφόοϲ Ϲαπφοῦϲ· ἐπὶ δὲ τούτων ἐπειδὴ οὐ ϲυνῃρέθη ἡ γενική, τούτου χάριν οὐδὲ ἡ αἰτιατικὴ ϲυνῃρέθη.

Choer. 241, 33: ἄξιόν ἐϲτι ζητῆϲαι, διατί, ὥϲπερ ἡ εὐθεῖα τῶν πληθυντικῶν γίνεται κατὰ κρᾶϲιν τοῦ ο̄ καὶ ε̄ εἰϲ τὴν ου̅ δίφθογγον οἷον βόεϲ βοῦϲ, μὴ τὸν αὐτὸν τρόπον καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν γίνεται κατὰ κρᾶϲιν τοῦ ο̄ καὶ ε̄ εἰϲ τὴν ου δίφθογγον οἷον βόε βοῦ. καὶ ἔϲτιν εἰπεῖν, ὅτι οὐ δύναται ἡ εὐθεῖα τῶν δυϊκῶν γενέϲθαι κατὰ κρᾶϲιν τοῦ ο̄ καὶ ε̄ εἰϲ τὴν ου̅ δίφθογγον, ἐπειδή, εἰ ἐγένετο τοῦτο, ἤμελλεν εἰϲ υ̅ καταλήγειν, ὅπερ ἐϲτὶν ἀδύνατον· τὸ γὰρ ῡ οὐκ ἔϲτι τελικὸν τῆϲ εὐθείαϲ τῶν δυϊκῶν.

Ἰϲτέον ὅτι κατὰ κρᾶϲιν τοῦ ο̄ καὶ ε̄ εἰϲ τὴν ου̅ δίφθογγον γίνεται βοῦϲ ὥϲπερ οἱ κρείττονεϲ καὶ οἱ ἀρείονεϲ καὶ οἱ βελτίονεϲ οἷον κρείττονεϲ καὶ κρείττοεϲ καὶ κρείττουϲ, ἀρείονεϲ ἀρείοεϲ ἀρείουϲ, βελτίονεϲ βελτίοεϲ βελτίουϲ. ἰϲτέον δὲ ὅτι ϲπανία ἐϲτὶν ἡ χρῆϲιϲ τῆϲ βοῦϲ εὐθείαϲ τῶν πληθυντικῶν, μᾶλλον δὲ οἱ βόεϲ εὕρηται. ἐπὶ δὲ τῆϲ ὁμοφωνούϲηϲ αὐτῇ αἰτιατικῆϲ, λέγω δὴ τῆϲ τοὺϲ βοῦϲ, πλατεῖά ἐϲτιν ἡ χρῆϲιϲ, ὡϲ ἐν Κόλαξιν Εὐπόλιδοϲ

θὲϲ νῦν ἀγροὺϲ καὶ πρόβατα καὶ βοῦϲ,

καὶ παρὰ τῷ Ἡρακλείδῃ ἐν τῇ α΄ τῆϲ Λέϲχηϲ.

Περὶ τῶν εἰϲ υ̅ϲ.

Choer. 62, 24 coll. 232, 11: τὰ εἰϲ υϲ μονοϲύλλαβα περιϲπᾶται καὶ διὰ καθαροῦ τοῦ ο̅ϲ κλίνεται καὶ ϲυϲτέλλει τὸ ῡ ἐν τῇ γενικῇ καὶ ἐν ταῖϲ ἑξῆϲ πτώϲεϲιν οἷον μῦϲ μυόϲ, ϲῦϲ ϲυόϲ, δρῦϲ δρυόϲ.

μᾶλλον τὴν γενικὴν ἐκδέχεϲθαι ἤπερ τὴν εὐθεῖαν. ἦν γὰρ αὐτῷ ἔθοϲ εὐθεῖαν μὲν ἐπίϲταϲθαι εἰϲ ωϲ περατουμένην «ἐπεὶ οὔ ϲφι λίθοϲ χρὼϲ οὐδὲ ϲίδηροϲ» (Δ 510) καὶ ἀκολούθωϲ αἰτιατικὴ «χρῶτ' ἀπονιψαμένη» (ϲ 172), τὰϲ δὲ ἄλλαϲ πλαγίαϲ οἶδεν ἀπὸ τῆϲ ουϲ εὐθείαϲ· «χροῒ δ' ἔντε' ἐδύϲατο παμφανόωντα» (Ι 596) καὶ τὴν αἰτιατικὴν «μηκέτι νῦν χρόα καλόν» (τ 263). ὥϲτε εἰ οὐ κεκώλυται τῆϲ γενικῆϲ ἡ ϲύνταξιϲ, τί ἐϲτι τὸ κατεπεῖγον μὴ τῇ ϲυνήθει κλίϲει τὴν ἀνάγνωϲιν ποιεῖϲθαι;

Choer. 62, 27 coll. 232, 14: τὰ εἰc υc ὑπὲρ μίαν cυλλαβήν, εἰ μὲν ᾖ ὑποκοριcτικά, ἀποβολῇ τοῦ c ποιεῖ τὴν γενικὴν οἷον ὁ Καμῦc τοῦ Καμῦ, ὁ Λαρδῦc τοῦ Λαρδῦ, ὁ Κλαυcῦc τοῦ Κλαυcῦ, ὁ Καρδῦc τοῦ Καρδῦ, ὁ Διονῦc τοῦ Διονῦ, εἰ δὲ μὴ ᾖ ὑποκοριcτικά, διὰ καθαροῦ τοῦ οc κλίνεται καὶ cυcτέλλει τὸ υ καὶ ἐν τῇ γενικῇ καὶ ἐν ταῖc ἑξῆc πτώcεcιν οἷον ὀcφῦc ὀcφύοc, ἰχθῦc ἰχθύοc, ὀφρῦc ὀφρύοc.

Choer. 231, 33—235, 3: τὰ εἰc υc μονογενῆ τὸ υ φυλάccει ἐπὶ γενικῆc δηλονότι καὶ διὰ καθαροῦ τοῦ οc κλίνεται οἷον cτάχυc cτάχυοc, βότρυc βότρυοc, νέκυc νέκυοc, Τῖφυc Τίφυοc, Ῥαδάμανθυc Ῥαδαμάνθυοc, Πάλμυc Πάλμυοc· τὸ γὰρ Πάλμυδοc διὰ τοῦ δοc κλιθὲν παρὰ Αἰcχύλῳ ἡμάρτηται· ἔcτι δὲ ὄνομα κύριον βαcιλέωc· χωρὶc τοῦ πῆχυc πήχεωc καὶ πέλεκυc πελέκεωc. καὶ τούτων ἡ γενικὴ πήχυοc καὶ πελέκυοc κατὰ ἀκολουθίαν ὥcπερ βότρυc βότρυοc, καὶ ἐπειδὴ τὰ μεταβάλλοντα τὸ ο Ἀττικῶc εἰc ω δηλονότι κατὰ τὴν γενικὴν ἠναγκάθη καὶ τὸ παραλῆγον φωνῆεν εἰc ε μεταβάλλειν (ὁ δὲ λόγοc ἐπὶ τῶν καθαρευόντων οἷον μάντιc μάντεωc, ὄφιc ὄφεωc, λαόc λεώc, Μενέλαοc Μενέλεωc), εἰκότωc καὶ τὸ πήχυοc καὶ πελέκυοc ἐκτείναντα τὸ ο εἰc τὸ ω Ἀττικῶc ἠναγκάcθη καὶ τὸ παραλῆγον φωνῆεν τρέψαι εἰc τὸ ε καὶ γενέcθαι πήχεωc καὶ πελέκεωc διὰ τοῦ ε καὶ ω. εἰ δέ που εὑρήcειc πήχεοc καὶ πελέκεοc διὰ τοῦ ο, γνῶθι ὅτι ἀπὸ τοῦ πήχεωc καὶ πελέκεωc διὰ τοῦ ω γέγονε πήχεοc καὶ πελέκεοc διὰ τοῦ ο κατὰ cυcτολὴν τοῦ ω εἰc ο. τῷ δὲ πῆχυc πήχεωc καὶ πέλεκυc πελέκεωc ἠκολούθηcε καὶ τὸ πρέcβυc ὁ γέρων καὶ πρότερον ἐγένετο ἡ ἔκταcιc τοῦ ο εἰc ω ἐν τῇ γενικῇ καὶ οὕτωc ἐγένετο ἡ παραλήγουcα διὰ τοῦ ε πρέcβεωc καὶ τελευταῖον ἔτρεψε τὸ ω εἰc τὸ ο καὶ ἐγένετο πρέcβεοc. ἐπὶ δὲ τῶν ἐκπεμπομένων εἰc πρεcβείαν οὐχ εὑρίcκομεν τὴν εὐθεῖαν εἰc υc, ὥcπερ ἐνόμιcάν τινεc. εἰ γὰρ εὕρηται ἡ αἰτιατικὴ τὸν πρέcβιν ὡc μάντιν καὶ ἡ κλητικὴ ὦ πρέcβιc Ἀττικῶc ὥcπερ ὦ μάντιc, δηλονότι καὶ ἡ εὐθεῖα ὁ πρέcβιc ὥcπερ ὁ μάντιc καὶ ἡ γενικὴ τοῦ πρέcβεωc ἀκολούθωc ὥcπερ τοῦ μάντεωc.

Choer. 219, 2: τὰ εἰc υc λήγοντα τριγενῆ διὰ τοῦ εοc κλίνεται οἷον ταχύc ταχέοc, βραδύc βραδέοc, ὀξύc ὀξέοc, ἡδύc ἡδέοc, ὠκύc ὠκέοc, ἥμιcυc ἡμίcεοc, θῆλυc θήλεοc· τὸ θήλυδοc παρὰ Σοφοκλεῖ κλιθὲν διὰ τοῦ δοc ἡμάρτηται. ἰcτέον δὲ ὅτι ταῦτα τὰ εἰc υc τριγενῆ διὰ τὸ ε καὶ ο μόνωc κλίνεται οἷον ταχέοc, βραδέοc, ὠκέοc· οὐκ ἐκτείνει δὲ τὸ ο εἰc τὸ ω· Ἀττικῶc, ὡc ἐπὶ τοῦ Πηλεύc Πηλέωc καὶ Ἀχιλλεύc Ἀχιλλέωc. οὐδὲ γὰρ γίνεται βραδέωc καὶ ταχέωc καὶ ὠκέωc καὶ ὀξέωc διὰ τοῦ ε καὶ ω κατὰ τὴν γενικήν. καὶ ἄξιόν ἐcτι ζητῆcαι

l. 7 cf. fr. 19. Apud Choer. quaestio instituitur, num πρέcβυc unius generis sit an trium generum et additur: τὸ πρέcβυc οἱ τεχνικοὶ μονογενὲc λέγουcιν εἶναι, inter quos praecipue eum Herodianum numerasse et exscripsisse constat; congruit cum Choer. in hac causa etiam locus in Ep. Cr. I 147, 14, ubi Λίβυc et πρέcβυc diserte μονογενῆ vocantur. l. 10 Πάλμυc pro Πάλαμυc M (Gaisf. E. M. p. 8); iam coni. Dindorf in Thes. s. v. l. 11 M habet Αἰcχίνῃ, falso ut videtur. Etiam Cathol. p. 237, 11 Πάλμυc corrigendum est.

διὰ ποίαν αἰτίαν τὰ εἰς ῡς τριγενῆ διὰ τοῦ ε̄ καὶ ο̄ μόνως κλίνεται καὶ οὐ γίνεται διὰ τοῦ ε̄ καὶ ω̄ Ἀττικῶς κατὰ τὴν γενικήν. καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην, ὅτι διὰ τοῦτο τὰ εἰς ῡς τριγενῆ οὐ γίνεται διὰ τοῦ ε̄ καὶ ω̄ Ἀττικῶς κατὰ τὴν γενικήν, ἐπειδὴ τὰ εἰς ᾱ λήγοντα θηλυκὰ παρασχηματιζόμενα ἀρσενικοῖς ἰσοχρονεῖν θέλει τῇ ληγούσῃ τῆς γενικῆς τοῦ ἀρσενικοῦ οἷον Βυζαντίου Βυζαντία, Ῥοδίου Ῥοδία, ἀλλοτρίου ἀλλοτρία, μετρίου μετρία, οἰκείου οἰκεία, παραπλησίου παραπλησία, Σαμίου Σαμία. ἰδοὺ ἐπὶ τούτων μακρόν ἐστι τὸ ᾱ, ἐπειδὴ καὶ ἡ λήγουσα τῆς γενικῆς μακρά ἐστι. καὶ πάλιν παντός πᾶσα, χαρίεντος χαρίεσσα, Φοίνικος Φοίνισσα, ἄνακτος ἄνασσα, Κίλικος Κίλισσα, τύπτοντος τύπτουσα, γράφοντος γράφουσα, τετυφότος τετυφυῖα. ἰδοὺ ἐπὶ τούτων βραχύ ἐστι τὸ ᾰ, ἐπειδὴ καὶ ἡ λήγουσα τῆς γενικῆς τοῦ ἀρσενικοῦ βραχεῖά ἐστιν. ὅτι γὰρ ἀληθής ἐστιν ὁ κανὼν δῆλον ἐκ τῶν εἰς ε̄ῡς. ἰδοὺ γὰρ ἔστι βασιλεύς βασιλέος βασίλεια, ἱερεύς ἱερέος ἱέρεια· καὶ ἰδοὺ τὰ θηλυκὰ συνεσταλμένον ἔχει τὸ ᾰ, ἐπειδὴ καὶ ἡ λήγουσα τῆς γενικῆς τοῦ ἀρσενικοῦ βραχεῖά ἐστι, διὰ γὰρ τοῦ ο̆ ἐστίν. οἱ μέντοι Ἀθηναῖοι, ἐπειδὴ τὴν γενικὴν διὰ τοῦ ε̄ καὶ ω ποιοῦσιν, ἀποφέρονται τὰ θηλυκὰ ἰσοχρόνως τῇ ἰδίᾳ γενικῇ, ὅθεν καὶ παροξύνουσιν αὐτά, ἱερεία γὰρ λέγουσι διὰ μακροῦ τοῦ ᾱ πρὸς τὴν ἱερέως γενικὴν τὴν διὰ τοῦ ε̄ καὶ ω. σεσημείωται τὸ πέπειρος πεπείρου πέπειρα καὶ τὸ δῖος δίου δῖα οἷον

δῖα γυναικῶν (Β 714),

ἴος ἴου ἴα, σημαίνει δὲ τὴν μίαν οἷον

οὐ γὰρ πάντων ἦεν ὁμῶς θρόος, οὐδ' ἴα γῆρυς (Δ 437),

καὶ τὸ μία ἀπὸ τοῦ ἴα κατὰ πλεονασμὸν τοῦ μ. ταῦτα γὰρ συνεσταλμένον ἔχει τὸ α τῆς ληγούσης τῆς γενικῆς τοῦ ἀρσενικοῦ μακρᾶς οὔσης. τούτων οὖν οὕτως ἐχόντων τὰ εἰς ᾱ λήγοντα θηλυκὰ παρεσχηματισμένα τοῖς εἰς υς πάντα συνεσταλμένον ἔχει τὸ α καὶ οὐδέποτε ἔχει αὐτὸ ἐκτεταμένον οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις οἷον ταχύς ταχεῖα, βραδύς βραδεῖα, ὀξύς ὀξεῖα, ἡδύς ἡδεῖα. ἐὰν οὖν γένωνται ἐπὶ τούτων αἱ γενικαὶ διὰ τοῦ ε̄ καὶ ω̄ Ἀττικῶς, εὑρεθήσονται τὰ εἰς ους (leg. εια) λήγοντα θηλυκὰ συνεσταλμένον ἔχοντα τὸ ᾰ τῆς ληγούσης τῆς γενικῆς τοῦ ἀρσενικοῦ μακρᾶς οὔσης, ὅπερ ἐστὶν ἀδύνατον.

Choer. 221, 3 (coll. 62, 1): ἔστι δὲ εἰπεῖν καὶ ἄλλην λύσιν ἔχουσαν οὕτως· διὰ τοῦτο τὰ εἰς υς τριγενῆ οὐ γίνεται διὰ τοῦ ε̄ καὶ ω Ἀττικῶς κατὰ τὴν γενικήν, ἵνα μὴ συμπέσωσιν αἱ γενικαὶ τούτων τοῖς ἐπιρρήμασι. τὰ γὰρ ἐπιρρήματα αὐτῶν διὰ τοῦ ε̄ καὶ ω̄ ἐστί, ταχέως ἔδραμον, ὀξέως ἤκουσε, βραδέως ἦλθε, ταχέως διελέχθη, ἡδέως ἠκροάσατο.

Choer. 221, 13: ἄξιον δέ ἐστι ζητῆσαι διατί μὴ γενόμενα τὰ εἰς

l. 40 cf. Ep. Cr. I 341, ubi ταχῆος ut a norma exemplum componitur cum πόληος et τεμένηος atque Herodianus videtur huius formae ut a regula aberrantis mentionem fecisse.

ῡϲ τριγενῆ διὰ τοῦ ε̄ καὶ ω̄ Ἀττικῶϲ κατὰ τὴν γενικὴν οὐ γίνεται Ἰωνικῶϲ διὰ τοῦ η καὶ ο̄ οἷον ταχῆοϲ καὶ βραδῆοϲ ὥϲπερ Πηλῆοϲ καὶ Ἀχιλλῆοϲ. καὶ ἔϲτιν ἀπολογήϲαϲθαι οὕτωϲ· ἡ παραλήγουϲα τῆϲ περιττοϲυλλάβου γενικῆϲ οὐδέποτε εὑρίϲκεται μείζων τῆϲ ληγούϲηϲ τῆϲ ἰδίαϲ εὐθείαϲ, ἀλλ' ἢ ἴϲη πρὸϲ αὐτὴν ἢ ἐλάττων χωρὶϲ εἰ μὴ χαρακτὴρ κωλύϲῃ. ἴϲη μὲν οἷον λέβηϲ λέβητοϲ, ἔρωϲ ἔρωτοϲ, Τρὼϲ Τρωόϲ, Πάριϲ Πάριδοϲ, ὄφιϲ ὄφεοϲ· ἐλάττων δὲ οἷον Μέμνων Μέμνονοϲ, Ἕκτωρ Ἕκτοροϲ, γείτων γείτονοϲ, Πηλεύϲ Πηλέοϲ, Ἀχιλλεύϲ Ἀχιλλέοϲ. ἐὰν οὖν τὰ εἰϲ ῡϲ γένηται διὰ τοῦ η καὶ ο̄ κατὰ τὴν γενικὴν Ἰωνικῶϲ οἷον ταχύϲ ταχῆοϲ, βραδύϲ βραδῆοϲ, ὀξύϲ ὀξῆοϲ, εὑρίϲκεται ἔχοντα τὴν παραλήγουϲαν τῆϲ γενικῆϲ μείζονα τῆϲ ληγούϲηϲ τῆϲ ἰδίαϲ εὐθείαϲ, ἡ γὰρ εὐθεῖα ϲυνεϲταλμένον ἔχει τὸ ῡ, ὅπερ ἐϲτὶν ἀδύνατον. πρόϲκειται ἐν τῷ κανόνι «χωρὶϲ εἰ μὴ χαρακτὴρ κωλύϲῃ» διὰ τὰ εἰϲ ιξ καὶ τὰ εἰϲ υξ, διὰ τὸ φοῖνιξ φοίνικοϲ καὶ κῆρυξ κήρυκοϲ. ταῦτα γὰρ ἐν μὲν τῇ εὐθείᾳ ϲυϲτέλλει τὸ δίχρονον, τουτέϲτι θέϲει μακρὸν αὐτὸ ἔχει, ἐν δὲ τῇ γενικῇ ἐκτεταμένον αὐτὸ ἔχει, τουτέϲτι φύϲει μακρόν, καὶ ἰδοὺ εὑρίϲκεται ἐπὶ τούτων ἡ παραλήγουϲα τῆϲ περιττοϲυλλάβου γενικῆϲ μείζων τῆϲ ληγούϲηϲ τῆϲ ἰδίαϲ εὐθείαϲ· τὸ γὰρ φύϲει μακρὸν μεῖζόν ἐϲτι τοῦ θέϲει μακροῦ. καὶ ἔϲτιν εἰπεῖν ὅτι ὤφειλε καὶ ἡ εὐθεῖα ἐπὶ τούτων ἐκτεῖναι τὸ ῑ καὶ τὸ υ, λέγω δὴ ἐν τῷ φοῖνιξ καὶ κῆρυξ καὶ τοῖϲ ὁμοίοιϲ· ἀλλ' ἐπειδὴ τὸ ῑ καὶ τὸ υ πρὸ τοῦ ξ οὐδέποτε εὑρίϲκεται φύϲει μακρὰ χωρὶϲ εἰ μὴ λόγῳ ἀρχούϲηϲ παρῳχημένου οἷον πέρδιξ, τέττιξ, Βέβρυξ, ὄνυξ, πνίξω, ψύχω ψύξω· τούτου οὖν χάριν ϲυνεϲτάλη ἐν τῇ εὐθείᾳ τὸ ῑ καὶ τὸ υ διὰ τὴν ἐπιφορὰν τοῦ ξ̄, ἐν δὲ τῇ γενικῇ τῇ φοίνικοϲ καὶ κήρυκοϲ ἀποϲτάντοϲ τοῦ διπλοῦ ἐγένετο τὰ δίχρονα φύϲει μακρά. πρόϲκειται «χωρὶϲ εἰ μὴ λόγῳ ἀρχούϲηϲ παρῳχημένου» διὰ τὸ ἰξεύω ἴξευον. τὸ μὲν ἰξεύω θέϲει μακρὸν ἔχει τὸ ῑ, τὸ δὲ ἴξευον φύϲει μακρὸν τῷ λόγῳ τῆϲ ἀρχούϲηϲ τῶν παρῳχημένων. πρόϲκειται δὲ «χωρὶϲ εἰ μὴ χαρακτὴρ κωλύϲῃ» διὰ τὰ διὰ τοῦ θοϲ κλινόμενα, ἐπειδὴ τὸ ὄρνιϲ καὶ τὸ μέρμιϲ (ϲημαίνει τὸ ϲχοινίον τὸ λεπτὸν) ἐν μὲν τῇ εὐθείᾳ ϲυϲτέλλει τὸ ῑ, ἐν δὲ τῇ γενικῇ τῇ ὄρνιθοϲ καὶ μέρμιθοϲ ἐκτείνει αὐτό. πᾶϲα γὰρ γενικὴ διὰ τοῦ θοϲ κλινομένη μακρὰν ἔχει τὴν παραλήγουϲαν οἷον κῶμυϲ κώμυθοϲ (ϲημαίνει δὲ τὴν δέϲμην τοῦ χόρτου) ὡϲ παρὰ Θεοκρίτῳ (4, 18)

καὶ μαλακὸν χόρτοιο καλὴν κώμυθα δίδωμι,

δέλλιϲ δέλλιδοϲ (ἔϲτι δὲ ζῷον ὅμοιον μελίϲϲῃ), χωρὶϲ τοῦ κόρυϲ κόρυθοϲ, τοῦτο γὰρ φυλάττει τὸ ῠ ϲυνεϲταλμένον κατὰ τὴν γενικὴν οἷον

δαῖέ οἱ ἐκ κόρυθόϲ τε καὶ ἀϲπίδοϲ ἀκάματον πῦρ (Ε 4)

καὶ

l. 33 de nominativi κωμυϲ accentu non constat. l. 35 Theocriti versum hic M sic habet: κ. μαλακοῦ χ. καλὰν κτλ.; Choer. 358, 11: κ. μαλακοῦ χ. καλὸν κτλ.

κόρυθα βριαρήν (Λ 375).

δεῖ προσθεῖναι «καὶ χωρὶς τῶν εἰς ῡν», ταῦτα γὰρ ἐν μὲν τῇ εὐθείᾳ συστέλλει τὸ ῠ, ἐν δὲ τῇ γενικῇ ἐκτείνει αὐτὸ οἷον Φόρκυν Φόρκυνος, Γόρτυν Γόρτυνος (ἔστι δὲ ὄνομα πόλεως Κρήτης)· δοξάζουσιν δέ τινες ὅτι καὶ ἐν τῇ εὐθείᾳ ἐκτείνει τὸ ῡ καὶ ἐν τῇ γενικῇ. ἐμάθομεν οὖν διατί τὰ εἰς υς οὐ γίνεται παρὰ τοῖς Ἴωσι διὰ τοῦ η̄ καὶ ο̄ κατὰ τὴν γενικήν, ἐμάθομεν γὰρ ὅτι ἵνα μὴ γένηται ἡ παραλήγουσα τῆς περιττοσυλλάβου γενικῆς μείζων τῆς ληγούσης τῆς ἰδίας εὐθείας.

Choer. 223, 15: ἄξιον δέ ἐστι ζητῆσαι διατί μὴ γενόμενα τὰ εἰς ῡς διὰ τοῦ η̄ καὶ ο̄ κατὰ τὴν γενικὴν Ἰωνικῶς μὴ ἐγένετο διὰ τοῦ ῑ καὶ ο̄ Βοιωτικῶς οἷον ταχύς ταχίος, βραδύς βραδίος, ὥσπερ Πηλεύς Πηλίος καὶ Ἀχιλλεύς Ἀχιλλίος. οὕτως γὰρ εἰ ἐγένετο, οὐκέτι ηὑρίσκετο ἡ παραλήγουσα τῆς περιττοσυλλάβου γενικῆς μείζων ληγούσης τῆς ἰδίας εὐθείας, ἀλλ' ἴση πρὸς αὐτήν. ἔστιν οὖν εἰπεῖν, ὅτι τότε ποιοῦσιν οἱ Βοιωτοὶ τὴν γενικὴν διὰ τοῦ ῑ καὶ ο̄, ἡνίκα καὶ οἱ Ἀττικοὶ ποιοῦσι διὰ τοῦ ε̄ καὶ ω̄ τὴν γενικὴν καὶ οἱ Ἴωνες διὰ τοῦ η̄ καὶ ο̄ οἷον Πηλεύς Πηλέως καὶ Πηλίος, Ἀχιλλεύς Ἀχιλλέως Ἀχιλλῆος καὶ Ἀχιλλίος. ἐπειδὴ οὖν ἐπὶ τούτων τῶν εἰς ῡς οὐκ ἐποίησαν οἱ Ἀττικοὶ τὴν γενικὴν διὰ τοῦ ε̄ καὶ ω̄, οὔτε οἱ Ἴωνες διὰ τοῦ η̄ καὶ ο̄, τούτου χάριν οὔτε οἱ Βοιωτοὶ ἐποίησαν διὰ τοῦ ῑ καὶ ο̄.

Choer. 233, 8: ἰστέον δὲ ὅτι τὰ εἰς ῡς σύνθεται, εἰ μὲν ἀπὸ ἁπλῶν εἰς ῠς ληγόντων ἐστὶ συντεθειμένα, τὴν τῶν ἁπλῶν φυλάττει κλίσιν οἷον βραχύς βραχέος τρίβραχυς τριβράχεος, πῆχυς πήχεος δεκάπηχυς δεκαπήχεος, θῆλυς θήλεος ἀρσενόθηλυς ἀρσενοθήλεος, ἰχθῦς ἰχθύος κάλλιχθυς καλλίχθυος, ὀφρῦς ὀφρύος λεύκοφρυς λευκόφρυος· εἰ δὲ ἀπὸ ῥήματός ἐστι συντεθειμένα, διὰ τοῦ δος κλίνεται οἷον ἔπηλυς ἐπήλυδος, νέηλυς νεήλυδος (σημαίνει δὲ τὸν ξένον). ταῦτα γὰρ οὐκ ἔστιν ἀπὸ ἁπλῶν εἰς υς ληγόντων συντεθειμένα, ἀλλ' ἀπὸ ῥήματος τοῦ ἐλεύθω τοῦ σημαίνοντος τὸ παραγίνομαι.

Περὶ κινήσεως τῶν εἰς υς μονογενῶν.

Choer. 235, 15: ἡ δοτικὴ τῶν ἑνικῶν οἷον τῷ βότρυϊ οὐ συναιρεῖται, ἐπειδὴ εἰ συνῄρητο, ἤμελλεν εἰς τὴν υι δίφθογγον λήγειν, ὅπερ ἐστὶν ἀδύνατον. οὐδέποτε γὰρ ἡ ῡι δίφθογγος ἐν τέλει λέξεως εὑρίσκεται οἷον μυῖα, ἅρπυια, υἱός.

Choer. 235, 20: ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν οὐ λέγονται αἱ αἰτιατικαὶ τῶν εἰς ῡς διχῶς οἷον τὸν βότρυα καὶ βότρυν, ἀλλ' εἰς ν̄ μόνως οἷον τὸν βότρυν. ἔστιν οὖν εἰπεῖν ὅτι πᾶσα γενικὴ εἰς ο̄ς

l. 2 de nominibus in ῡν cf. Dichr. 287, 6 cum Lehrsii aduotatione qui idem p. 285, 5 monet Choerob. in canone de ῑξ et υξ non omnia cavisse, quum ῑξ et φίξ producerentur.

καθαρὸν λήγουϲα διχρόνῳ παραληγομένη εἰϲ ν̄ μόνωϲ ἔχει τὴν αἰτιατικὴν οἷον ὄφιϲ ὄφιοϲ ὄφιν, μάντιϲ μάντιοϲ μάντιν, πόλιϲ πόλιοϲ πόλιν. ἐπειδὴ οὖν καὶ τὰ εἰϲ υϲ μονογενῆ ἔχει τὴν γενικὴν εἰϲ οϲ καθαρὸν διχρόνῳ παραληγόμενα οἷον ϲτάχυοϲ, βότρυοϲ, νέκυοϲ, τούτου χάριν εἰϲ ν̄ μόνωϲ ἔχει τὴν αἰτιατικὴν οἷον βότρυν, ϲτάχυν, νέκυν. ϲεϲημείωται παρ᾽ Εὐφορίωνι ἅπαξ εὑρεθὲν «τὸν βότρυα».

Choer. 235, 34: ἄξιόν ἐϲτι ζητῆϲαι διατί ὥϲπερ τὸ βότρυϲ γίνεται κατὰ κρᾶϲιν τοῦ ῡ καὶ ε̄ εἰϲ ῡ μακρὸν καὶ γίνεται βότρυϲ, μὴ τὸν αὐτὸν τρόπον καὶ ἡ βότρυε εὐθεῖα τῶν δυϊκῶν γίνεται κατὰ κρᾶϲιν τοῦ ῡ καὶ ε̄ εἰϲ τὸ ῡ μακρὸν καὶ γίνεται βότρυ. ἔϲτιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται ἡ εὐθεῖα τῶν δυϊκῶν γενέϲθαι κατὰ κρᾶϲιν τοῦ ῡ καὶ ε̄ εἰϲ τὸ ῡ μακρόν, ἐπειδὴ ἤμελλεν εἰϲ τὸ ῡ καταλήγειν, ὅπερ ἐϲτὶν ἀδύνατον· τὸ γὰρ ῡ οὐκ ἔϲτι τελικὸν τῆϲ εὐθείαϲ τῶν δυϊκῶν.

Περὶ κινήϲεωϲ τῶν εἰϲ υϲ τριγενῶν.

Choer. 230, 8: ἰϲτέον ὅτι αἱ αἰτιατικαὶ διχῶϲ λέγονται οἷον ἡδύϲ ἡδέοϲ ἡδέα καὶ ἡδύν, εὐρύϲ εὐρέοϲ εὐρέα καὶ εὐρύν

ἐπ᾽ εὐρέα πόντον (Z 291),

πολύϲ πολέοϲ πολέα,

πολέα ϲτρατόν,

καὶ πολύν· καὶ ἡ μὲν εἰϲ ᾱ λήγουϲα ἀπὸ τῆϲ δοτικῆϲ κανονίζεται, ἡ δὲ εἰϲ ν̄ ἀπὸ τῆϲ εὐθείαϲ.

Ἰϲτέον ὅτι τὰ εἰϲ υϲ τριγενῆ ἀποβολῇ τοῦ ϲ̄ ποιεῖ τὴν κλητικὴν οἷον ὁ ταχύϲ ὦ ταχύ, ὁ ὀξύϲ ὦ ὀξύ, ὁ θῆλυϲ ὦ θῆλυ.

Ἰϲτέον ὅτι οὐ ϲυναιρεῖται ἐνταῦθα ἡ εὐθεῖα τῶν δυϊκῶν, οὐδὲ γὰρ λέγομεν τὼ ἡδέε τὼ ἡδῆ, ὥϲπερ τὼ Δημοϲθένεε τὼ Δημοϲθένη. καὶ ἄξιόν ἐϲτι ζητῆϲαι διὰ ποίαν αἰτίαν τὰ εἰϲ υϲ οὐ ϲυναιρεῖται κατὰ τὴν εὐθεῖαν τῶν δυϊκῶν οἷον ὁ ὀξύϲ ὀξέοϲ τὼ ὀξέε, ἡδύϲ ἡδέοϲ τὼ ἡδέε, βραδύϲ βραδέοϲ τὼ βραδέε. ἔϲτιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ἡνίκα ϲυναιρεῖται ἡ εὐθεῖα τῶν δυϊκῶν, πάντωϲ ἡ γενικὴ τῶν ἑνικῶν μακροκαταληκτεῖ οἷον Δημοϲθένηϲ Δημοϲθένουϲ Δημοϲθένεε Δημοϲθένη, βαϲιλεύϲ βαϲιλέωϲ βαϲιλέε βαϲιλῆ, πόλιϲ πόλεωϲ πόλεε πόλη. ἐπειδὴ οὖν τὰ εἰϲ υϲ τριγενῆ οὐδέποτε μακροκαταληκτεῖ κατὰ τὴν γενικὴν τῶν ἑνικῶν, οὐδὲ γὰρ γίνεται διὰ τοῦ ε̄ καὶ ω̄ Ἀττικῶϲ, τούτου χάριν οὐ ϲυναιρεῖται κατὰ τὴν εὐθεῖαν τῶν δυϊκῶν. δεῖ δὲ γινώϲκειν ὅτι τὸ τραχύϲ μόνον εὑρίϲκεται ϲυναιρούμενον κατὰ τὴν εὐθεῖαν τῶν δυϊκῶν

l. 6 praeterea a Choerobosco affertur τὸν δρύα: καὶ παρὰ Διονυϲίῳ, οὐκ ἐν τῇ Περιηγήϲει, ἀλλ᾽ ἐν ἑτέρῳ αὐτοῦ ποιήματι, «τὸν δρύα». Cf. Mein. An. Al. p. 157. l. 13 de contracto accusativo νέκυαϲ νέκυϲ cf. Il. Pr. N 274 et κλιτύαϲ κλιτῦϲ, γραπτύαϲ γραπτῦϲ, quae in Il. Pr. Π 390 acute scribi tradit, in Od. Pros. circumflectenda esse praescribit. Choerob. in his diverse ab Herodiano non synaloephen, sed meram cum nominativo homophoniam sumit. l. 35 pro τραχύϲ M ter habet ταχύϲ.

εἰς τὴν ει δίφθογγον παρὰ Ἴωνι τῷ τραγικῷ οἷον τὼ τραχέε τὼ τραχεῖ.

Ἰστέον ὅτι οὐ συναιρεῖται ἐνταῦθα ἡ γενικὴ τῶν δυϊκῶν, ἐπειδὴ οὔτε ἡ γενικὴ τῶν ἑνικῶν συναιρεῖται.

Περὶ τῶν εἰς ως.

Choer. 253, 5: τὰ εἰς ως λήγοντα μονοσύλλαβα, εἰ μὲν περισπᾶται, ἀποβολῇ τοῦ ς ποιεῖ τὴν γενικὴν οἷον ὁ σῶς τοῦ σῶ οἷον

νῦν τοι σῶς αἰπὺς ὄλεθρος (Ν 773),

ὁ Κρῶς τοῦ Κρῶ, ὁ Τλῶς τοῦ Τλῶ, ὁ Κῶς τοῦ Κῶ (ταῦτα δὲ ὀνόματά ἐστιν ἡρώων, ἀρσενικά, κύρια, ὁμοφωνοῦντα ταῖς πόλεσιν· ἔστι γὰρ καὶ ὀνόματα πόλεων ταῦτα, ἀλλὰ τότε θηλυκῶς λέγεται οἷον ἡ Κρῶς, ἡ Τλῶς, ἡ Κῶς· ἐξ ἐκείνων δὲ ὠνομάσθησαν καὶ αἱ πόλεις). εἰ δὲ ὀξύνεται τὰ εἰς ως μονοσύλλαβα, περιττοσυλλάβως κλίνεται, χωρὶς τοῦ ζώς

ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι (Ε 887).

τοῦτο γὰρ ἀποβολῇ τοῦ ς ποιεῖ τὴν γενικὴν οἷον ὁ ζώς τοῦ ζῶ. καὶ ἔχει ἀπολογίαν, ὅτι ἀπὸ συναιρέσεως ἐγένετο· ἀπὸ γὰρ τοῦ ὁ ζωός τοῦ ζωοῦ ἐγένετο κατὰ κρᾶσιν ὁ ζώς τοῦ ζῶ, τῆς βαρείας καὶ ὀξείας εἰς ὀξεῖαν συναιρεθεισῶν, ὥσπερ ἐπὶ τοῦ ἑσταώς ἑστώς, βεβαώς βεβώς, Νηρηΐς Νηρῄς. τὰ γὰρ συνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττει κλίσιν οἷον Ἑρμέας Ἑρμέου Ἑρμῆς Ἑρμοῦ, χρυσέος χρυσέου χρυσοῦς χρυσοῦ, τιμήεις τιμήεντος τιμῆς τιμῆντος

χρυσὸν τιμῆντα καὶ ἄργυρον (Σ 475),

δαφνήεις δαφνήεντος δαφνῆς δαφνῆντος, ὁ σῶος τοῦ σώου ὁ σῶς τοῦ σῶ· οὕτως οὖν καὶ ὁ ζωός τοῦ ζωοῦ ὁ ζώς τοῦ ζῶ. ταῦτα δὲ εἰ καὶ μὴ τὴν αὐτὴν κατάληξιν ἐφύλαξεν, ἀλλ' οὖν τὴν αὐτὴν κλίσιν ἐφύλαξε, φημὶ δὴ τὴν ἰσοσύλλαβον. ὥσπερ γὰρ τὰ ἐντελῆ αὐτῶν ἰσοσυλλάβως κλίνεται, οὕτω καὶ τὰ συνῃρημένα ἰσοσυλλάβως κλίνεται. τὰ εἰς ως ὀξύτονα μονοσύλλαβα ἢ διὰ καθαροῦ τοῦ ος κλίνεται ἢ διὰ τοῦ τος. καὶ τὰ μὲν ἔχοντα σύμφωνον τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, τουτέστι τὸ δ ἢ θ ἢ τ, διὰ καθαροῦ τοῦ ος κλίνεται, τὰ δὲ μὴ οὕτως ἔχοντα διὰ τοῦ τος οἷον θώς θωός

θῶες μέν τε διέτρεσαν (Λ 481),

ἔχει γὰρ τὸ θ (ἔστι δὲ εἶδος θηρίου), δμώς δμωός, ἔχει γὰρ τὸ δ, Τρώς Τρωός, ἔχει γὰρ τὸ τ. (ἰστέον δὲ ὅτι τὸ Τρώς παρὰ τῷ Ὁμήρῳ ἑνικῶς μὲν λεγόμενον ἐπὶ τοῦ κυρίου ὀνόματος παραλαμβάνεται καὶ οὐδέποτε πληθυντικῶς οἷον

---

l. 14 de ζώς diserto Herodianus in Il. Pr. Ε 887 dicit: ἡ μέντοι κλίσις αὐτοῦ ἰσοσύλλαβος εὑρέθη. Quare non fluxit ex Herodiano adnotatio in Ep. Cr. I 399, 19 τὸ ζώς ἐκ τοῦ ζωός κατὰ συναλοιφὴν ἢ συγκοπὴν γέγονε, κλίσιν δὲ τοῦ ζώς οὐχ εὑρίσκομεν.

τῆc γάρ τοι γενεῆc ἧc Τρωΐ περ εὐρύοπα Ζεὺc
δῶχ' υἷοc ποινὴν Γανυμήδεοc (Ε 265).

ἐὰν δὲ τὸ ἔθνοc δηλώcῃ, ἐν πληθυντικῇ φωνῇ παραλαμβάνεται οἷον «Ζεὺc δ' ἐπεὶ οὖν Τρῶαc τε» (Ν 1), «Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν φύλοπιc αἰνή» (Ζ 1), «Τρῶεc καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί» [Θ 173]}. τὰ δὲ μὴ ἔχοντα cύμφωνον τῆc τρίτηc cυζυγίαc τῶν βαρυτόνων διὰ τοῦ τοc κλίνεται οἷον πλώc πλωτόc (πλώc δὲ λέγεται ὁ ἰχθῦc παρὰ τὸ πλέειν), φώc φωτόc (cημαίνει δὲ τὸν ἄνθρωπον) «ἰcόθεοc φώc», χρώc χρωτόc «ἐπεὶ οὔ cφι λίθοc χρὼc οὐδὲ cίδηροc» (Δ 510), «χρῶτ' ἀπονιψαμένη» (c 172), οἱ δὲ Ἀθηναῖοι ἐχρήcαντο καὶ ἰcοcυλλάβωc, τὸν χρῶ γὰρ εἰρήκαcιν· ὁ δὲ λόγοc περὶ τῶν εἰc ωc κοινολεκτουμένων ἐcτί· τὸ γὰρ βοῦc βῶc λέγουcιν αἱ διάλεκτοι, καὶ ἰδοὺ περιcπᾶται καὶ διὰ καθαροῦ τοῦ οc κλίνεται, βοόc γάρ, καὶ ἐπὶ ἄλλων δὲ εἰc ουc τρέπει τὴν ου εἰc τὸ ω, καὶ οὐκ ἐναντιοῦται ταῦτα ἡμῖν, ἐπειδὴ οὐκ ἔcτι φύcει εἰc ωc.

Τὰ εἰc ωc ὀξύτονα ὑπὲρ μίαν cυλλαβὴν διὰ τοῦ τοc κλίνεται οἷον ἱδρώc ἱδρῶτοc, ἀπτώc ἀπτῶτοc, ἀγνώc ἀγνῶτοc, τὸ δὲ λεώc λεώ καὶ νεώc νεώ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ Ἀττικά ἐcτιν.

Choer. 255, 33: τῶν εἰc ωc βαρυτόνων τὰ μὲν βραχείᾳ παραληγόμενα διὰ τοῦ τοc κλίνεται οἷον γέλωc γέλωτοc, ἔρωc ἔρωτοc, Νέπωc Νέπωτοc (ἔcτι δὲ ὄνομα ὄρουc). τὸ δὲ κάλωc βαρύτονον ὂν καὶ βραχείᾳ παραληγόμενον οὐ κλίνεται διὰ τοῦ τοc, ἀλλὰ Ἀττικῶc ἀποβολῇ τοῦ c οἷον κάλωc κάλω καὶ διὰ καθαροῦ τοῦ οc οἷον κάλωc κάλωοc, ὡc παρὰ Ἀπολλωνίῳ (I 1277)

εὐναίαc ἐρύcαντεc ἀνεκρούcαντο κάλωαc

καὶ (II 725)

δερκόμενοι παράμειβον, ὑπὸ πνοιῇ δὲ κάλωεc

ὡcαύτωc καὶ τοῦ Ἄθωc ἡ κλίcιc διττὴ καὶ Ἄθω καὶ Ἄθωοc. τὰ δὲ μακρᾷ παραληγόμενα διὰ καθαροῦ τοῦ οc κλίνεται οἷον Μίνωc Μίνωοc (τὸ γὰρ ι ἐκτείνεται· ἰcτέον δὲ ὅτι εὑρίcκεται cπανίωc καὶ cυcτελλόμενον), ἥρωc ἥρωοc. cεcημείωται τὸ εἵλωc εἵλωτοc, ὅτι μακρᾷ παραληγόμενον διὰ τοῦ τοc ἐκλίθη. εἵλωτεc δὲ λέγονται οἱ τὴν Μεccηνιακὴν οἰκοῦντεc τῆc Πελοποννήcου. ἔcτιν οὖν εἰπεῖν ὅτι ἕλωc ἕλωτοc ἦν καὶ ὡc βραχείᾳ παραληγόμενον διὰ τοῦ τοc κλίνεται ὥcπερ γέλωc γέλωτοc, καὶ λοιπὸν πλεονάcαν τὸ ι ἐφύλαξε τὴν αὐτὴν κλίcιν καὶ ἐγένετο εἵλωc εἵλωτοc. ἰcτέον δὲ ὅτι οἱ Λακεδαιμόνιοι πάνταc τοὺc

l. 9 exempla Homerica ad χρώc apposui ex Il. Pr. Ν 191. cf. An. Ox. II 417, 30. l. 16 cf. Choer. 65, 6. l. 23 pro iis, quae Choer. 256, 16 dicit de κάλωοc: οὐκ ἔcτιν αὕτη ἡ τοῦ κάλωc κάλωοc κλίcιc ἀλλ' ἐπέκταcιc· ἔcτι γὰρ ὁ κάλωc τοῦ κάλω Ἀττικῶc κατ' ἐπέκταcιν τῆc οc cυλλαβῆc κάλωοc ὥcπερ ἡ ἅλωc τῆc ἅλω γέγονε κατ' ἐπέκταcιν τῆc οc cυλλαβῆc ἅλωοc, ἐξ οὗ καὶ ἡ αἰτιατικὴ ἅλωα, quae Lob. El. II 235 imperitiam arguere inveneris iure contendit, posui quae exhibui κάλωc accomodans iis, quae St. B. 36, 10 de Ἄθωc tradit: ἡ κλίcιc διττὴ καὶ Ἄθωοc καὶ Ἄθω. — γάλωc, quod Herod. περὶ παθῶν in E. M. 220, 9 et γάλωτοc et γάλω declinari dicit, ad feminina reservavi pariter atque ἅλωc.

δούλους εἵλωτας καλοῦςι πρὸς ὕβριν τούτων, φημὶ δὴ τῶν τὴν Μεςςηνιακὴν οἰκούντων τῆς Πελοποννήςου. ἰςτέον δὲ ὅτι Ἀθηναῖοι ἐπὶ τούτων πάντων ἰςοςύλλαβον ποιοῦνται κλίςιν· τοῦ γέλω γὰρ καὶ τοῦ Μίνω καὶ τοῦ ἥρω λέγουςιν.

Choer. 259, 8: τὰ εἰς ως ςύνθετα, εἰ μὲν κοινά ἐςτι, τὴν τῶν ἁπλῶν φυλάττει κλίςιν οἷον ἱδρώς λυςίδρως λυςίδρωτος, ἔρως ἔρωτος χρυςέρως χρυςέρωτος, γέλως γέλωτος φιλόγελως φιλογέλωτος· εἰ δὲ Ἀττικά ἐςτιν, ἀποβολῇ τοῦ τ ποιεῖ τὴν γενικὴν οἷον ὁ δύςερως τοῦ δύςερω, ὁ ἀξιόχρεως τοῦ ἀξιόχρεω, ὁ ἀνάπλεως ἀνάπλεω, ὁ εὐγήρως τοῦ εὐγήρω.

Choer. 261, 4: τὰ εἰς ως Ἀττικὰ ἀποβολῇ τοῦ τ ποιεῖ τὴν γενικὴν οἷον ὁ Μενέλεως τοῦ Μενέλεω, ὁ Ἰόλεως τοῦ Ἰόλεω, ὁ λεώς τοῦ λεώ, ὁ νεώς τοῦ νεώ, ὁ κάλως τοῦ κάλω, ὁ Τάλως τοῦ Τάλω, ὁ Τυφῶς καὶ ὁ ταῶς κοινῶς μὲν Τυφών καὶ ταών λέγεται καὶ διὰ τοῦ νος κλίνεται οἷον Τυφῶνος καὶ ταῶνος, Ἀττικῶς δὲ Τυφῶς καὶ ταῶς λέγεται καὶ ἀποβολῇ τοῦ τ ποιεῖ τὴν γενικὴν τῷ Ἀττικῷ ἔθει οἷον ὁ τυφῶς τοῦ τυφῶ καὶ ὁ ταῶς τοῦ ταῶ, ὥςπερ ὁ ὀρφῶς τοῦ ὀρφῶ καὶ ὁ λαγῶς τοῦ λαγῶ (τυφῶς δέ ἐςτιν ὁ ςφοδρὸς ἄνεμος). καὶ ἀποροῦςί τινες λέγοντες, διατί τὸ τυφῶς καὶ ταῶς οὐ κλίνεται κοινῶς διὰ τοῦ τος, ὥςπερ τὸ ἱδρώς ἱδρῶτος καὶ ἀπτώς ἀπτῶτος. ἔςτιν οὖν εἰπεῖν ὅτι πρῶτον μὲν ἐκεῖνα ὀξύτονά ἐςτι, τὸ δὲ τυφῶς καὶ ταῶς περιςπώμενά ἐςτι· δεύτερον δὲ ταῦτα καὶ εἰς ν λήγει, τυφῶν τυφῶν, ταῶς ταῶν (sic), ὅπερ οὐ παρέπεται ἐκείνοις.

Choer. 261, 27: ἔςτι καὶ Περςικὰ ὀνόματα καὶ Αἰγύπτια εἰς ως λήγοντα, ἅτινα τὴν αὐτὴν κλίςιν ἐπιδέχεται τοῖς εἰς ως Ἀττικοῖς· οὐ μέντοι προπαροξύνεται κατὰ τὴν εὐθεῖαν, ὥςπερ οὐδὲ ἐν ταῖς ἄλλαις πτώςεςιν. ἔςτι γὰρ Ἰνάρως ὄνομα βαςιλέως, Παραμίζως ὄνομα εὐνούχου, Cαβάκως. ἀποβολῇ δὲ τοῦ τ ποιεῖ τὴν γενικήν — δεῖ δὲ ἡμᾶς ἀναμνηςθῆναι καὶ τοῦτο, ὅτι ἥρως καὶ τὸ ἔρως καὶ τὸ γέλως, ἅτινα περιττοςυλλάβως παρ' ἡμῖν κλίνεται, οἱ Ἀθηναῖοι ἰςοςυλλάβως κλίνουςιν. τοῦ ἥρω γὰρ καὶ τοῦ ἔρω καὶ τοῦ γέλω λέγουςιν

ἀλλ' οὐχ οἷός τ' εἴμ' ἀποςοβῆςαι τὸν γέλων (Aristoph. Ran. 45).

Choer. 257, 33: καὶ τὴν δοτικὴν εἰς ι ἀνεκφώνητον ποιοῦςιν οἱ Ἀττικοὶ οἷον τῷ ἥρῳ «ἥρῳ Δημοδόκῳ» (θ 483) καὶ «ἥρῳ Λαομέδοντι» (Η 453). τοῦτο δὲ τὸ ἥρῳ οὐ γίνεται κατὰ ςυναίρεςιν τοῦ ω καὶ ι εἰς τὴν ῳ δίφθογγον. πᾶςα γὰρ δοτικὴ ἑνικῶν εἰς ι ἀνεκφώνητον λήγουςα τὴν

l. 25 οὐ μέντοί pro εἰ μέντοι scripsi cum Mehlhorn. gramm. p. 185 not. 6; accentus secundum Arcadium p. 94, 7 τὰ εἰς ως Περςικὰ ἢ Αἰγύπτια παροξύνεται Φάργως Ἰνάρως mutavi; ap. Choerob. haec leguntur: ἔςτι γὰρ Ἰνάρως ὄνομα βαςιλέως, Παραμιζῶς ὄνομα εὐνούχου, Cαβακῶς, Μανεῶς. ταῦτα δὲ ὀνόματά ἐςτι κύρια. καὶ ἰςτέον ὅτι τινὲς μὲν ὀξύνουςιν αὐτά, τινὲς δὲ περιςπῶςι· τὸ δὲ Cαβακῶς Ῥωμανὸς βαρύνει Cαβάκως λέγων, unde apparet Romanum Herodiani sententiam amplexum esse, Μάννεως autem omisi, quia ex St. B. s. v., ubi proparoxytonos scriptum est, concludo Herodianum hoc ut proparoxytonon e reliquis excepisse propter similitudinem cum Μενέλεως; cf. Cathol. 245, 14.

γενικὴν ἔχει ἰcοcύλλαβον τῇ εὐθείᾳ οἷον τῷ κοχλίᾳ ὁ κοχλίαc τοῦ κοχλίου, τῷ Χρύcῃ ὁ Χρύcηc τοῦ Χρύcου, τῷ cοφῷ ὁ cοφόc τοῦ cοφοῦ. εἰ ἐγένετο οὖν τοῦτο κατὰ cυναίρεcιν τοῦ ω̅ καὶ ι̅ εἰc τὴν ῳ δίφθογγον, ἤμελλεν ἔχειν τὸ ι̅ ἀνεκφώνητον, ὅπερ ἐcτὶν ἀδύνατον, οὐδὲ γὰρ ἔχει τὴν γενικὴν ἰcοcύλλαβον τῇ εὐθείᾳ οἷον ἥρωc ἥρωοc· τούτου οὖν χάριν τοῦτο οὐ cυναιρεῖται κατὰ τὴν δοτικήν, ἵνα μὴ εὑρεθῇ ἡ δοτικὴ εἰc ι̅ ἀνεκφώνητον λήγουcα, τῆc γενικῆc περιττοcυλλαβούcηc τῆc εὐθείαc. ἀλλ' ἔcτι τὸ ἥρῳ ἀπὸ ἰcοcυλλάβου κλίcεωc.

Choer. 258, 18: ἄξιόν ἐcτι ζητῆcαι διὰ ποίαν αἰτίαν ἡ ἥρωε εὐθεῖα τῶν δυϊκῶν οὐ γίνεται κατὰ κρᾶcιν τοῦ ω καὶ ε̅ εἰc τὸ ω̅, καὶ γὰρ εὑρίcκομεν τὸ ω καὶ ε̅ εἰc τὸ ω̅ κιρνώμενα, ὡc ἐπὶ τοῦ τῷ ἐμῷ τὠμῷ· οὕτωc δὲ εἰ ἐγένετο ἡ εὐθεῖα τῶν δυϊκῶν, οὐδὲν ἄτοπον cυνέβαινεν, ἐπειδὴ τὸ ω τελικόν ἐcτι τῆc εὐθείαc τῶν δυϊκῶν οἷον τὼ ὁμήρω, τὼ ἀνθρώπω. ἔcτιν οὖν εἰπεῖν, ὅτι ἡνίκα cυναιρεῖται ἡ εὐθεῖα τῶν δυϊκῶν, πάντωc ἡ γενικὴ τῶν ἑνικῶν μακροκαταληκτεῖ οἷον ὁ Δημοcθένηc τοῦ Δημοcθένουc τὼ Δημοcθένεε καὶ Δημοcθένη, ὁ Πηλεύc τοῦ Πηλέωc τὼ Πηλέε καὶ Πηλῆ, ἡ πόλιc τῆc πόλεωc τὰ πόλεε καὶ πόλη. ἐπειδὴ οὖν ἐπὶ τοῦ ἥρωc ἥρωοc οὐ μακροκαταληκτεῖ ἡ γενικὴ τῶν ἑνικῶν, οὐδὲ γὰρ γίνεται διὰ τοῦ ω Ἀττικῶc, εἰκότωc οὐδὲ ἡ εὐθεῖα τῶν δυϊκῶν cυναιρεῖται.

Choer. 260, 30: ἐπὶ πάcηc πτώcεωc τὰ εἰc ω̅c Ἀττικὰ τῆc ἰδίαc εὐθείαc τὸν τόνον φυλάττει. εἴτε γὰρ προπαροξύνεται ἡ εὐθεῖα εἴτε παροξύνεται εἴτε ὀξύνεται, ὁ αὐτὸc τόνοc φυλάττεται καὶ ἐν ταῖc λοιπαῖc πτώcεcιν οἷον ὁ Μενέλεωc τοῦ Μενέλεω τῷ Μενέλεῳ τὸν Μενέλεων ὦ Μενέλεωc, ὁ κάλωc τοῦ κάλω τῷ κάλῳ τὸν κάλων ὦ κάλωc, ὁ λεώc τοῦ λεώ τῷ λεῴ τὸν λεών ὦ λεώc.

Περὶ τῶν εἰc c̅ ληγόντων μετ' ἐπιπλοκῆc cυμφώνου.

Choer. 265, 22: τὰ εἰc τὸ c̅ λήγοντα πρὸ τοῦ c̅ ἔχει ἢ τὸ λ ὡc τὸ ἅλc ἢ τὸ ν ὡc τὸ Τίρυνc ἢ τὸ ρ ὡc τὸ μάκαρc. τὰ εἰc c̅ μετ' ἐπιπλοκῆc cυμφώνου λήγοντα διὰ δύο cυμφώνων κλίνεται, δηλονότι καὶ εἰc οc ἔχει τὴν γενικὴν καὶ τότε μὲν διὰ τοῦ τ̅ κλίνεται, ἡνίκα ἔχει τὸ α̅ οἷον μάκαρc μάκαρτοc, δάμαρc δάμαρτοc, τότε δὲ διὰ τοῦ θ κλίνεται, ἡνίκα οὐκ ἔχει τὸ α̅ οἷον Τίρυνc Τίρυνθοc (ἔcτι δὲ ὄνομα πόλεωc τοῦ Ἄργουc, ἐξ ἧc ἦν ὁ Εὐρυcθεύc), ἕλμινc ἕλμινθοc. εἰ οὖν ἐcτιν ἅλc, ὤφειλεν εἶναι ἡ γενικὴ ἁλτόc, ἵνα εὑρεθῇ διὰ δύο cυμφώνων ἐκφερομένη· ἀλλ' ἐπειδὴ δαcυνομένηc τῆc εὐθείαc ἔμελλε ψιλοῦcθαι ἡ γενικὴ (ἀδύνατον δέ ἐcτι τὸ πνεῦμα τῆc εὐθείαc ἐναλλάξαι κατὰ τὰc ἄλλαc πτώcειc, θέλει γὰρ τὰ πνεύματα τῶν εὐθειῶν φυλάττεcθαι καὶ ἐν ταῖc λοιπαῖc πτώcεcιν οἷον τοῦ ἄλγοc ψιλουμένου

l. 8 E. M. 437, 54 ἥρῳ Δημοδόκῳ δοτικὴ ἐcτὶν ἀντὶ τοῦ ἥρωϊ, κλίcιc καὶ οὐκ ἀποκοπή; cf. Lob. El. II 299.

καὶ αἱ λοιπαὶ πτώσεις ψιλοῦνται ἄλγους ἄλγει ἄλγος, καὶ πάλιν τοῦ ἁγνός δασυνομένου καὶ αἱ λοιπαὶ πτώσεις δασύνονται οἷον τοῦ ἁγνοῦ τῷ ἁγνῷ τὸν ἁγνόν ὦ ἁγνέ), διὰ τοῦτο ἀπέβαλεν ἡ γενικὴ τὸ τ̄ καὶ ἐγένετο ἁλός, ἵνα ὁμοίως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική. καὶ ἡ μὲν εὐθεῖα δασύνεται κανόνι τοιούτῳ· τὸ α τὸ ἀθροιστικόν, ἤγουν τὸ σημαῖνον ἄθροισιν, δασύνεσθαι θέλει οἷον ἅμαξα (εἴρηται δὲ ἅμαξα παρὰ τὸ ἅμα καὶ ἄγειν τὰ συνηθροισμένα), ἁθρόον ἀντὶ τοῦ ὁμοῦ (ἀθρόον δὲ ἀντὶ τοῦ ἐξαίφνης ψιλοῦται), ἅπας, ἅμα· οὕτως οὖν καὶ τὸ ἅλς, ὅτε ἐπὶ τῆς θαλάσσης, ὅπου πάντα τὰ ὕδατα ἁλίζεται, ἤγουν συναθροίζεται, εἴτε ἐπὶ τούτου τοῦ ἁλμυροῦ (ὅ,τι ἡ συνήθεια λέγει τὸ ἅλας οὐδετέρως, σπανίως εἰρημένον παρὰ τοῖς ἀρχαίοις), καὶ αὐτὸ γὰρ ἄθροισιν τινὰ σημαίνει. εἰ δὲ ἐγένετο ἡ γενικὴ ἁλτός, ἔμελλε ψιλοῦσθαι· τὸ γὰρ ᾱ καταλῆγον εἰς λ, ἐπιφερομένου συμφώνου τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, τουτέστι τὸ δ̄ ἢ θ ἢ τ̄, ψιλοῦσθαι θέλει οἷον ἀλθαία (ἔστι δὲ εἶδος βοτάνης), Ἄλτης (ὄνομα δὲ τοῦτο κύριον), ἀλδισκάνειν, ὅ ἐστιν ἄλλεσθαι. εὐλόγως οὖν ἀπέβαλε τὸ τ̄ καὶ ἐγένετο ἁλός, ἵνα ὁμοίως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική.

Choer. 268, 7: τὸ ἅλς ὅτε μὲν θηλυκῶς λέγεται δηλοῖ τὴν θάλασσαν καὶ ἕως τῶν ἑνικῶν κλίνεται μόνον. ὅτε δὲ τὸ ἁλμυρὸν τοῦτο δηλοῖ, ὃ οὐδετέρως ἅλας λέγεται ἐν τῇ συνηθείᾳ, ἀρσενικῶς λέγεται καὶ διόλου κλίνεται, τουτέστι καὶ εἰς τὰ ἑνικὰ καὶ εἰς τὰ δυϊκὰ καὶ εἰς τὰ πληθυντικά.

Τὸ ἅλας τὸ οὐδετέρως λεγόμενον ἐν τῇ συνηθείᾳ σπανίως εὕρηται ἐν χρήσει. εὕρηται δὲ παρὰ Λύκωνι τῷ Τρωαδεῖ οἷον «τὸ ἅλας εὐῶδες ἢ δυσῶδες ὀρύσσεται». καὶ πάλιν «ἁλάτων μέδιμνον». καὶ λέγουσί τινες ὅτι ἀπὸ τούτου τοῦ οὐδετέρου γέγονε τὸ ἅλς τὸ ἀρσενικὸν κατὰ συγκοπὴν τοῦ α, ὥσπερ καὶ ἀπὸ τοῦ κάρηνον οὐδετέρου γέγονε κατὰ συγκοπὴν τῆς νον συλλαβῆς τὸ κάρη θηλυκόν. οὗτοι δὲ οὐ καλῶς λέγουσιν. ἄτοπον γὰρ τὸ πλατέως εὑρισκόμενον ἐν χρήσει λέγειν γεγενῆσθαι ἐκ τοῦ σπανίως εὑρισκομένου ἐν χρήσει. φασὶ δέ τινες ὅτι οὐχ εὕρηται τὸ ἅλς τὸ ἀρσενικὸν αὐτὸ καθ' ἑαυτό, ἀλλὰ πάντως μετὰ τοῦ χονδρός, χονδρὸς ἅλς, χονδροῦ ἁλός, χονδροὶ ἅλες. ψευδὲς δὲ τοῦτο, ὡς μαρτυρεῖ ὁ Ἀριστοφάνης εἰπὼν (Nub. 1237)

ἁλσὶ διαμιχθεὶς ὄναιτ' ἂν οὑτοσί (leg. διασμηχθεὶς).

ἰδοὺ γὰρ οὐκ εἶπε χονδροῖς. καὶ πάλιν ὁ Μένανδρος,

οὐκ ἔχω οὔτε ἅλας οὔτε ὄξος οὔτε ὀρίγανον (an οὐχ ἅλας ἔχων οὔτ' ὄξος οὔτ' ὀρίγανον?)

καὶ οὐκ εἶπε χονδροὺς ἅλας.

---

l. 16 de explicatione ἄλλεσθαι cf. Eustath. 1837, 59. l. 25 cf. Mein. ad St. B. p. 721. ἁλάτων pro ἅλατος M. l. 32 accentum voc. χόνδρος mutavi ex Arc. 73, 23, ubi oxytonesis et adiectivo et substantivo assignatur.

Περὶ τῶν εἰς ἀμετάβολα, τῶν εἰς αν κτλ.

Choer. 271, 13: τὰ εἰς $\overline{αν}$ λήγοντα καὶ μακρὸν ἔχει τὸ α καὶ προσθέσει τοῦ ος ποιεῖ τὴν γενικὴν καὶ φυλάττει τὸ $\bar{α}$ πανταχοῦ μακρὸν οἷον Ἀλκμάν Ἀλκμᾶνος, Τιτάν Τιτᾶνος, παιάν παιᾶνος, Πάν Πανός ὅτε ἀρσενικόν ἐστι. πρόσκειται «ὅτε ἀρσενικόν ἐστιν», ἐπειδή ἐστιν οὐδέτερον τὸ πᾶν ἀπὸ τοῦ πᾶς ἀρσενικοῦ γεγενημένον, ὅπερ καὶ περισπᾶται καὶ διὰ τοῦ ντ κλίνεται πρὸς ὁμοιότητα τοῦ ἀρσενικοῦ· ὁ πᾶς γὰρ τοῦ παντός καὶ τὸ πᾶν τοῦ παντός. δεῖ γινώσκειν ὅτι ταῦτα, φημὶ δὴ τὸ Ἀλκμάν καὶ τὸ παιάν καὶ Τιτάν, προπερισπᾶται κατὰ τὴν γενικήν, ἐπειδὴ φύσει μακρά ἐστι πρὸ μιᾶς βραχείας οἷον Ἀλκμᾶνος, παιᾶνος, Τιτᾶνος· τὸ γὰρ Πάν Πανός ὀξύνεται κατὰ τὴν γενικὴν ὡς δισύλλαβον, ὥσπερ τὸ μηνός, χηνός, Ζηνός.

Choer. 272, 8: Ἰστέον ὅτι καθόλου τὰ εἰς ἀμετάβολα λήγοντα ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον ὁ Ἀλκμάν ὦ Ἀλκμάν, ὁ παιάν ὦ παιάν, ὁ αὐχήν ὦ αὐχήν, ὁ σωλήν ὦ σωλήν, ὁ ποιμήν ὦ ποιμήν, ὁ δελφίν ὦ δελφίν, ἡ ἀκτίν ὦ ἀκτίν, ἡ Σαλαμίν ὦ Σαλαμίν, ἡ Ἐλευσίν ὦ Ἐλευσίν, ὁ ἀστήρ ὦ ἀστήρ, ὁ ξυστήρ ὦ ξυστήρ, ὁ ἐλατήρ ὦ ἐλατήρ, ὁ Σαρπηδών ὦ Σαρπηδών, ὁ ἀλεκτρυών ὦ ἀλεκτρυών, ὁ Μυρμιδών ὦ Μυρμιδών, ἡ Σιδών ὦ Σιδών· χωρὶς τεσσάρων τινῶν, φημὶ δὴ τοῦ ἄνερ, πάτερ, σῶτερ, δᾶερ, ταῦτα γὰρ οὐκ ἔχει τὴν αὐτὴν ὀρθὴν καὶ κλητικήν· αἱ γὰρ εὐθεῖαι τούτων εἰς $\overline{ηρ}$ εἰσὶν οἷον ἀνήρ, πατήρ, σωτήρ, δαήρ. ταῦτα δὲ ἀπολογίαν ἔχει τοιαύτην· τὸ μὲν ἄνερ, πάτερ, δᾶερ ἠκολούθησε τοῖς συγγενικοῖς αὐτῶν, φημὶ δὴ τῷ μῆτερ καὶ θύγατερ· ὥσπερ γὰρ τὸ μήτηρ καὶ θυγάτηρ ὀφείλοντα ἐν τῇ γενικῇ προπαροξυνθῆναι διὰ τὸ φυλάξαι τὸν τόνον τῆς εὐθείας ἐν τῇ αὐτῇ συλλαβῇ οἷον μήτηρ μήτερος καὶ θυγάτηρ θυγάτερος, ὥσπερ Δημήτηρ Δημήτερος καὶ εἰνάτηρ εἰνάτερος (σημαίνει δὲ τὴν σύννυμφον), οὐ προπαροξύνθη ἀλλὰ παροξύνθη οἷον μητέρος, θυγατέρος καὶ ἠκολούθησε τοῖς συγγενικοῖς αὐτῶν, φημὶ δὴ τῷ ἀνέρος πατέρος δαέρος, τὸν αὐτὸν τρόπον καὶ ἐκ τοῦ ἐναντίου τὰ ἀρσενικὰ τοῖς θηλυκοῖς ἠκολούθησε κατὰ τὴν κλητικήν· καὶ ὥσπερ μῆτερ καὶ θύγατερ βαρυτόνως διὰ τοῦ $\bar{ε}$, οὕτω καὶ ἄνερ πάτερ δᾶερ διὰ τοῦ $\bar{ε}$ βαρυτόνως· τὸ δὲ σῶτερ ψευδαιολικόν ἐστι καὶ τούτου χάριν συνέστειλε τὸ η εἰς τὸ $\bar{ε}$ ἐν τῇ κλητικῇ καὶ ἐβαρύνθη. οἱ γὰρ Αἰολεῖς ἔχουσιν πολλάκις συστέλλειν τὸ η εἰς τὸ $\bar{ε}$ ἐν τῇ κλητικῇ καὶ ἀναβιβάζειν τὸν τόνον οἷον ὁ τριβολέτηρ ὦ τριβόλετερ Αἰολικῶς (ἔστι δὲ εἶδος ἀκάνθης). πρόσκειται δὲ «ψευδαιολικὸν» ἐπειδὴ οὐκ ἔστι κυρίως Αἰολικόν. οἱ γὰρ Αἰολεῖς τότε συστέλλουσι τὸ $\bar{ε}$ ἐν τῇ κλητικῇ, ἡνίκα μὴ μακρᾷ παραλήγεται οἷον ὁ τριβολέτηρ ὦ τριβόλετερ. ἡνίκα γὰρ μακρᾷ παραλήγεται οὐ συστέλλουσι τὸ $\bar{η}$ εἰς τὸ $\bar{ε}$ ἐν τῇ κλητικῇ οἷον ὁ χρηστήρ παρὰ τοῖς Αἰολεῦσι (χρηστήρ δέ ἐστιν ὁ παρέχων χρησμούς). τὸ οὖν σῶτερ μακρὰν ἔχον τὴν παραλήγουσαν οὐ δύναται

l. 19 cf. Choer. 431, 6. l. 35 an τριβολετήρ?

συσταλῆναι παρὰ τοῖς Αἰολεῦσι· διὰ τοῦτο οὖν εἰρήκαμεν, ὅτι ψευδαιολικόν ἐστι καὶ οὐ κυρίως Αἰολικόν. ἰστέον δὲ ὅτι τὸ ἄνερ, πάτερ, σῶτερ, δᾶερ, συστείλαντα τὸ η εἰς τὸ ε̄ ἐν τῇ κλητικῇ, εὐλόγως ἐβαρύνθη. τὰ γὰρ εἰς ρ̄ λήγοντα βραχυκατάληκτα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν, χωρὶς τῆς ὑπέρ προθέσεως καὶ τοῦ ἀτάρ συνδέσμου καὶ αὐτάρ οἷον μάκαρ, ἄφαρ, ἦτορ, ἧπαρ, ἔαρ, φρέαρ, δέλεαρ, στέαρ, ὄνειαρ, οὕτως οὖν καὶ ἄνερ, πάτερ, σῶτερ, δᾶερ βαρυτόνως. πρόσκειται «βραχυκατάληκτα» διὰ τὸ πατήρ καὶ ἀνήρ ὀξυνόμενα. πρόσκειται «ὑπὲρ μίαν συλλαβὴν» διὰ τὸν γάρ σύνδεσμον ὀξυνόμενον, οὗτος γὰρ βραχυκαταληκτεῖ καὶ ὀξύνεται, ἀλλ' οὐκ ἔστιν ὑπὲρ μίαν συλλαβήν.

Περὶ τῶν εἰς ην.

Choer. 274, 11: τὰ εἰς ην̄ λήγοντα μονοσύλλαβα μὴ ὄντα μόνως θηλυκά, ἀλλ' ἢ μόνως ἀρσενικὰ ἢ καὶ ἀρσενικὰ καὶ θηλυκά, προσθέσει τοῦ ος ποιεῖ τὴν γενικὴν καὶ τὸ η̄ φυλάττει δηλονότι ἐν τῇ γενικῇ οἷον σπλήν σπληνός, σφήν σφηνός, μήν μηνός, Ζήν Ζηνός, ῥήν ῥηνός (σημαίνει δὲ τὸ πρόβατον οἷον ὡς παρὰ Νικάνδρῳ (Ther. 453)

αὐτὰρ ὅ τοῦ καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωόν),

χήν χηνός· τοῦτο δὲ καὶ ἀρσενικῶς καὶ θηλυκῶς λέγεται, ὁ χήν γὰρ καὶ ἡ χήν· ὅτι δὲ καὶ θηλυκῶς λέγεται, ἐδήλωσεν ὁ ποιητὴς εἰπὼν (ο 161)

αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον,

τὸ δὲ φρήν, ἐπειδὴ μόνον ἐν τοῖς εἰς ην̄ μονοσυλλάβοις μόνου θηλυκοῦ γένους ἐστί, τούτου χάριν ἔτρεψε τὸ η εἰς τὸ ε̄ ἐν τῇ γενικῇ καὶ ἐγένετο φρενός· διαλλάξαν γὰρ κατὰ τὸ γένος πρὸς τὰ ἄλλα, διήλλαξε καὶ κατὰ τὴν κλίσιν.

Τὰ εἰς ην̄ λήγοντα ὀξύτονα ὑπὲρ μίαν συλλαβήν, ἐὰν μὲν ἔχῃ τὸ μ̄, ἐπὶ γενικῇ τὸ η̄ εἰς ε̄ τρέπει, ποιμένος λιμένος πυθμένος· ἀλλὰ μόνον τὸ Δαμήν ἐφύλαξε τὸ η̄· Δαμῆνος γὰρ ἐπιγράφεται Ἀργολικά. ἴσως δὲ ἐπεὶ κύριόν ἐστι, παραλλαγὴν ἐποιήσατο. τὸ δὲ Ἀλλαμήν παραιτοῦμαι. οὐ γὰρ γνήσιον ὄνομα ὑπὸ Διοδώρου παραπεποιημένον. τὰ δὲ μὴ ἔχοντα τὸ μ̄ φυλάττει τὸ η̄ ἐν τῇ γενικῇ οἷον σωλήν σωλῆνος, τριβήν τριβῆνος, λειχήν λειχῆνος, δοθιήν δοθιῆνος πλὴν τοῦ ἀζήν ἀζένος καὶ τοῦ ἀδήν ἀδένος καὶ τοῦ αὐχήν αὐχένος. καὶ ἔστιν εἰπεῖν, ὅτι τὰ εἰς ην̄ ὀξύτονα ἔχοντα ἐν τῇ παραληγούσῃ τὸ α καὶ μέρος σώματος σημαίνοντα ἢ πάθος τρέπει τὸ η̄ εἰς ε̄ οἷον αὐχένος, ἀδένος, ἀζένος, τὸ γὰρ λειχήν καὶ δοθιήν οὐκ ἔχει τὸ ᾱ.

Choer. 276, 16: τὰ εἰς ην̄ λήγοντα βαρύτονα ὄντα μονογενῆ φυλάττει τὸ η καὶ ἐν τῇ γενικῇ οἷον Ἕλλην Ἕλληνος (τοῦτο γὰρ οὐκ ἔχει οὐδέτερον· οὐκ ἀγνοοῦμεν δὲ ὅτι καὶ θηλυκῶς λέγεται ἡ Ἕλλην), Γέρην Γέρηνος (ἔστι δὲ ὄνομα κύριον), Σέβην Σέβηνος (ἔστι δὲ ὄνομα

l. 13 cf. Ep. in Psalm. 4, 19, Ep. Cr. I 425, 24, 432, 3, An. Par. III 324, 5, Mon. 16, 10. l. 26 composui canonem ex Mon. 32, 7, Choer. 274, 29 et 68, 35, Ep. Cr. I 366, 17, E. M. 22, 40.

ἥρωος). εἰ δὲ ἔχει οὐδετέρου παραςχηματιςμόν, τρέπει τὸ η εἰς τὸ ε ἐν τῇ γενικῇ οἷον ἄρςην ἄρςενος, ἔχει γὰρ οὐδέτερον τὸ ἄρςεν, τέρην τέρενος, ἔχει γὰρ οὐδέτερον τὸ τέρεν· τὸ δὲ εἴρην ὁ Καλλίμαχος διὰ τοῦ ε ἔκλινεν εἰπὼν «ἀλλ' ἀντὶ βρεφέων πολιὸν νέον εἴρενα μέςςον» καὶ ταῦτα μὴ ἔχοντα οὐδετέρου παραςχηματιςμὸν καὶ ἴςως διὰ τὸ μέτρον τοῦτο ἐποίηςεν.

Choer. 277, 10: τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐςχάτην τὸ ος ποιεῖ τὴν κλητικήν, Πλάτωνος ὦ Πλάτων, Ἕλληνος ὦ Ἕλλην, τέρην τέρενος ὦ τέρεν, Τρύφωνος ὦ Τρύφων, Μαχάονος ὦ Μαχᾶον, ἄρςενος ὦ ἄρςεν, τέρην τέρενος ὦ τέρεν, Ἕκτορος ὦ Ἕκτορ, Ἀγαμέμνονος ὦ Ἀγάμεμνον. καὶ ἐὰν εὑρεθῇ ἡ γενικὴ ἔχουςα πρὸ τοῦ ος τὸ τ, καὶ τὸ τ ἀποβάλλεται ἐν τῇ κλητικῇ οἷον θεράποντος ὦ θεράπον, λέοντος ὦ λέον, δράκοντος ὦ δράκον, γέροντος ὦ γέρον. ςεςημείωται τὸ Ἄπολλον καὶ Ποςείδαον, ὡς παρὰ τῷ ποιητῇ (Ξ 357)

πρόφρων νῦν Δαναοῖςι Ποςείδαον ἐπάμυνον.

ταῦτα γὰρ φυλάξαντα τὸ ω ἐν τῇ γενικῇ, Ἀπόλλωνος γὰρ καὶ Ποςειδάωνος, οὐκ ἐφύλαξε καὶ ἐν τῇ κλητικῇ αὐτό, ἀλλὰ ςυνέςτειλαν αὐτὸ εἰς τὸ ο. καὶ περὶ μὲν τοῦ Ἄπολλον ἔςτιν εἰπεῖν, ὅτι Αἰολικῶς ςυνέςτειλεν τὸ ω εἰς τὸ ο κατὰ τὴν κλητικήν· περὶ δὲ τοῦ Ποςείδαον ἔςτιν εἰπεῖν, ὅτι ψευδαιολικόν ἐςτιν καὶ οὐ κυρίως Αἰολικόν, ἐπειδὴ οὐκ ἴςαςιν οἱ Αἰολεῖς ἐπὶ ταύτης τῆς λέξεως εἰς ων τὴν εὐθεῖαν, ἀλλ' εἰς αν· Ποςείδαν γὰρ λέγουςι. τῆς οὖν εὐθείας εἰς ων μὴ οὔςης παρ' αὐτοῖς πῶς δύναται ἡ κλητικὴ εἰς ον διὰ τοῦ ο γίνεςθαι Αἰολικῶς; τούτου οὖν χάριν εἴρηται, ὅτι ψευδαιολικόν ἐςτι καὶ οὐ κυρίως Αἰολικόν.

Choer. 278, 1: ἄξιον δέ ἐςτι ζητῆςαι, διατί, ἐὰν εὑρεθῇ ἡ γενικὴ ἔχουςα πρὸ τοῦ ος τὸ τ, καὶ τὸ τ ἀποβάλλεται ἐν τῇ κλητικῇ οἷον θεράπων θεράποντος ὦ θεράπον, γέρων γέροντος ὦ γέρον, λέων λέοντος ὦ λέον. ἔςτιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο ἀποβάλλεται τὸ τ ἐν τῇ κλητικῇ, ἐπειδὴ οὐδέποτε λέξις Ἑλληνικὴ εἰς ἄφωνον καταλήγει. εἰ ἐφυλάχθη οὖν τὸ τ, ἤμελλεν ἡ λέξις εἰς ἄφωνον τὸ τ καταλήγειν, ὅπερ ἐςτὶν ἀδύνατον. τούτου χάριν ἐὰν εὑρεθῇ ἡ γενικὴ ἔχουςα πρὸ τοῦ ος τὸ τ, καὶ τὸ τ ἀποβάλλεται ἐν τῇ κλητικῇ.

Περὶ τῶν εἰς ιν.

Choer. 70, 1 coll. 279, 6: τὰ εἰς ιν πάντα προςθέςει τοῦ ος ποιεῖ τὴν γενικὴν καὶ πανταχοῦ φυλάττει τὸ ι μακρὸν οἷον δελφῖνος, ἀκτῖνος, Σαλαμῖνος, ῥινός, θινός.

---

l. 4 Callimachi locum sic M et Ep. Cr. I 413; Gaisford. hic exhibuit πολλῶν εἴρενα μέςςων. Emendationes tentatae (e. g. Lob. Parall. 194 cf. Add. 544) adhuc incertae videntur. l. 23 Ποςείδαν scripsi pro Ποτειδᾶν cf. Ahrens de dial. Aeol. p. 114 not. 5. An. Ox. III 394, 3.

Choer. 281, 35: τὰ εἰϲ ιν δικατάληκτα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον ὁ δελφίϲ ὦ δελφίϲ, ὁ Τελχίϲ ὦ Τελχίϲ, ὁ δελφίν ὦ δελφίν, ὁ Τελχίν ὦ Τελχίν.

St. B. 7, 18: τὴν Ἀβοριγίνων γενικὴν ὡϲ παρὰ Ἰόβα ἐν Ῥωμαϊκῆϲ ἱϲτορίαϲ πρώτῳ «μέχρι μὲν οὖν τοῦ Τρωϊκοῦ πολέμου τὴν ἀρχαίαν Ἀβοριγίνων ὀνομαϲίαν διέϲωζον, Λατίνου δὲ βαϲιλεύϲαντοϲ οὕτωϲ προϲηγορεύθηϲαν». τινὲϲ οἴονται κλίνεϲθαι ἀπὸ τῆϲ Ἀβοριγῖνοϲ εὐθείαϲ ὡϲ Λεοντῖνοϲ Ἀκραγαντῖνοϲ· ἀλλὰ Διονύϲιοϲ ὁ Ἁλικαρναϲϲεὺϲ Ἀβοριγῖνεϲ καὶ Ἀβοριγῖϲί φηϲιν ὡϲ δελφῖϲιν. ἔϲτι δὲ καὶ ἄλλη κλίϲιϲ ἐν χρηϲμῷ κειμένη, ὃν αὐτὸϲ παρατίθηϲιν· ὡϲ γὰρ ἀπὸ τοῦ ναῦται ναυτέων, οὕτωϲ Ἀβοριγίναι Ἀβοριγινέων· ἔχει δὲ ὁ χρηϲμὸϲ οὕτωϲ

ϲτείχετε μαιόμενοι Ϲικελῶν Ϲατουρνίαν αἶαν,
ἠδ' Ἀβοριγινέων Κοτύλην, οὗ νᾶϲοϲ ὀχεῖται,
οἷϲ ἀναμιχθέντεϲ δεκάτην ἐκπέμψετε Φοίβῳ,
καὶ κεφαλὰϲ Κρονίδῃ καὶ τῷ πατρὶ πέμπετε φῶτα.

ἀλλ' αὐτὸϲ τῷ χρηϲμῷ μὴ πειθόμενοϲ ταῖϲ προειρημέναιϲ ἐχρήϲατο κλίϲεϲιν.

Περὶ τῶν εἰϲ υν.

Choer. 282, 23: τὰ εἰϲ υν λήγοντα προϲθέϲει τοῦ οϲ ποιεῖ τὴν γενικὴν οἷον Γόρτυν Γόρτυνοϲ (ἔϲτι δὲ ὄνομα ἥρωοϲ καὶ πόλεωϲ Κρήτηϲ), μόϲυν μόϲυνοϲ (ϲημαίνει δὲ τὸν ξύλινον πύργον), Φόρκυν Φόρκυνοϲ «Αἴαϲ δ' αὖ Φόρκυνα δαΐφρονα» (Ρ 312) καὶ παρ' Εὐριπίδῃ «γωλειὰ καὶ Φόρκυνοϲ οἰκητήριον», ἡ γὰρ αἰτιατικὴ ἡ «Φόρκυν θ' Ἱππόθοόν τε» (Ρ 318) ἀπὸ ἄλληϲ εὐθείαϲ ἐϲτίν, ὡϲ ἀπὸ τοῦ ὁ Φόρκυϲ τοῦ Φόρκυοϲ, ὥϲπερ βότρυϲ βότρυοϲ βότρυν· ὡϲαύτωϲ καὶ ἡ Γόρτυνα αἰτιατικὴ «Γόρτυνά τε τειχιόεϲϲαν» (Β 646) ἀπὸ τῆϲ Γόρτυν εὐθείαϲ, ἡ δὲ Γόρτυν ἀπὸ τῆϲ Γόρτυϲ· φαϲὶ δὲ καὶ Γόρτυναν ὡϲ ἄμυναν. κίνδυν κίνδυνοϲ κίνδυνα· οὕτωϲ δὲ ἔφη Ϲαπφὼ τὸν κίνδυνον· ὁ γοῦν Ἀλκαῖοϲ τὴν δοτικὴν ἔφη τῷ κίνδυνι· αὕτη δὲ ἡ κίνδυνοϲ γενικὴ μετάγεται εἰϲ εὐθεῖαν καὶ γίνεται ὁ κίνδυνοϲ, ὥϲπερ ὁ ψάρ τοῦ ψαρόϲ καὶ ὁ ψάροϲ (sic), ὁ Τρώϲ τοῦ Τρωόϲ καὶ ὁ Τρωόϲ. ἡ κυνόϲ γενικὴ οὐκ ἔϲτιν ἀπὸ τῆϲ κύν εὐθείαϲ, ἀλλ' ἀπὸ τῆϲ κύων κύονοϲ κατὰ ϲυγκοπήν.

Περὶ τῶν εἰϲ ων.

Choer. 294, 15 (consultis Theogn. 131, 31, Ep. Cr. I 438, 10, An. Par. III 324, 14, Mon. 32, 4): τὰ εἰϲ ων ὀξύτονα μονοϲύλλαβα προϲθέϲει τοῦ οϲ κλίνεται καὶ φυλάττει τὸ ω̅ ἐπὶ τῆϲ γενικῆϲ οἷον κλών κλωνόϲ, πρών πρωνόϲ, ἐξ οὗ «καὶ πρώονεϲ ἄκροι» (Π 299), Χών Χωνόϲ,

l. 23 Euripidis versum servavit M (Gaisf. E. M. p. 8). l. 25 quae de declinatu voc. Γόρτυν dedi, ex St. B. s. v. adieci, de Φόρκυν cf. Il. Pr. Ρ 218: Φόρκυν ὡϲ βότρυν ἀπ' εὐθείαϲ τῆϲ εἰϲ ϲ̄ ληγούϲηϲ, ἡ μέντοι Φόρκυνα αἰτιατικὴ ἀπ' εὐθείαϲ τῆϲ εἰϲ ν̄. τὸ δὲ τοιοῦτον ἴδιον ποιητικῆϲ. οὐχ ὑγιῶϲ δὲ ὁ Τυραννίων ἐκτείνει τὸ ῡ, ἐπεὶ εὑρέθη, φηϲί, καὶ ἡ εὐθεῖα ἐκτεινομένη «Φόρκυϲ αὖ Φρύγοϲ ἦγε» (Β 862)· ἐκεῖ γὰρ τὸ μέτρον κατήπειγεν, ἐνθάδε δὲ οὐδὲν κατεπείγει.

Θώυ Θῶνος. μόνον δὲ τὸ χθών χθονός, ὡς θηλυκοῦ μόνον γένους ὂν ἐν τοῖς εἰς ων μονοσυλλάβοις, τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ· ὥσπερ καὶ τὸ φρήν φρενός, ὡς θηλυκοῦ μόνου γένους εὑρεθὲν ἐν τοῖς εἰς ην μονοσυλλάβοις, ἔτρεψε τὸ η εἰς τὸ ε ἐν τῇ γενικῇ. τὸ δὲ Θών Θῶντος (ἔστι δὲ ὄνομα κύριον) ἐκ πάντων τῶν μονοσυλλάβων προπερισπώμενον ἐμιμήσατο κατὰ κλίσιν τὴν σμῶντος κλῶντος δρῶντος μετοχήν.

Choer. 284, 4: τὰ μὲν εἰς ων βαρύτονα τρεῖς κλίσεις ἐπιδέχεται· ἢ γὰρ προσθέσει τοῦ ος ποιεῖ τὴν γενικὴν καὶ φυλάττει τὸ ω οἷον Θέων Θέωνος, Πλάτων Πλάτωνος, Τρύφων Τρύφωνος, ἢ προσθέσει τοῦ ος ποιεῖ τὴν γενικὴν καὶ τρέπει τὸ ω εἰς τὸ ο οἷον σώφρων σώφρονος, γείτων γείτονος, τέκτων τέκτονος, ἢ διὰ τοῦ ντ κλίνεται καὶ πάλιν τρέπει τὸ ω εἰς τὸ ο οἷον θεράπων θεράποντος, δράκων δράκοντος, λέων λέοντος. τὰ δὲ εἰς ων ὀξύτονα δύο κλίσεις ἐπιδέχεται· ἢ γὰρ προσθέσει τοῦ ος ποιεῖ τὴν γενικὴν καὶ φυλάττει τὸ ω ὡς ἐπὶ τοῦ κοιτών κοιτῶνος, Ἑλικών Ἑλικῶνος, ἢ προσθέσει τοῦ ος ποιεῖ τὴν γενικὴν καὶ τρέπει τὸ ω εἰς τὸ ο οἷον Σαρπηδών Σαρπηδόνος, ἀλεκτρυών ἀλεκτρυόνος, οὐδέποτε δὲ διὰ τοῦ ντ κλίνεται· αὕτη γὰρ ἡ κλίσις μετοχῶν ἐστιν, ὡς ἐπὶ τοῦ λαβών λαβόντος, δραμών δραμόντος, πεσών πεσόντος, ἑκών ἑκόντος· τοῦτο γὰρ μετοχή. ὅτι γὰρ τὰ εἰς ων ὀνόματα ὀξύτονα ἀποστρέφεται τὴν διὰ τοῦ ντ κλίσιν δῆλον, εἴγε τὸ Σαρπηδών ὀξυνόμενον Σαρπηδόνος κλίνεται, ὅταν δὲ ἐκλίθη καὶ διὰ τοῦ ντ, τότε καὶ βαρεῖαν ἐπιδέχεται τάσιν οἷον

Σαρπήδοντος ἑταῖρον (Μ 379)

προπαροξυτόνως, ὡς ἀπὸ τῆς Σαρπήδων εὐθείας βαρυνομένης καὶ

Σαρπήδοντι δ' ἄχος γένετο (Μ 392)

ὁμοίως προπαροξυτόνως καὶ Σαρπήδοντα ἡ αἰτιατικὴ καὶ ἡ κλητικὴ

Σαρπῆδον Λυκίων βουληφόρε (Ε 633)

προπερισπωμένως.

Choer. 284, 30: τὰ δὲ εἰς ων περισπώμενα πάντα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς καὶ οὐδέποτε τρέπει αὐτό, κλίνεται δὲ καὶ διὰ τοῦ ντ οἷον Ξενοφῶν Ξενοφῶντος, Ἀγλαοφῶν Ἀγλαοφῶντος, Δημοφῶν Δημοφῶντος, μόνον τὸ Ποσειδῶν καὶ Τυφῶν καὶ ταῶν φυλάττει μὲν τὸ ω ἐν τῇ γενικῇ καὶ οὐ κλίνεται διὰ τοῦ ντ οἷον Ποσειδῶνος καὶ Τυφῶνος καὶ τὰ ὅμοια.

Choer. 298, 6: καὶ τὸ μὲν Ποσειδῶν ἔχει τοιαύτας ἀπολογίας· τὰ εἰς ων περισπώμενα οὐδέποτέ ἐστι παρασύνθετα οἷον Δημοφῶν, Ξενοφῶν· τὸ δὲ Ποσειδῶν παρασύνθετόν ἐστιν, ἀπὸ γὰρ τοῦ Ποσειδέης συνθέτου γέγονε Ποσειδέων Ποσειδῶν παρασύνθετον. εἰκότως οὖν ὡς διήλλαξε κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα, διήλλαξε καὶ περὶ τὴν κλίσιν· ἄλλως

---

l. 20 cf. Il. Pr. Μ 379, unde adieci ἑκών.

τε δὲ τὰ εἰς ων περισπώμενα τὴν ἐντέλειαν διὰ τοῦ ο καὶ ω̄ ἔχει οἷον ἀμνοκόων, Ἀγλαοφόων, Δημοφόων, ὡς παρὰ Καλλιμάχῳ

νυμφίε Δημοφόων, ἄδικε ξένε.

τὸ δὲ Ποσειδῶν οὐκ ἔχει τὴν ἐντέλειαν διὰ τοῦ ο καὶ ω, ἀλλ' ἢ διὰ τοῦ α καὶ ω οἷον Ποσειδάων, ἢ διὰ τοῦ ε̄ καὶ ω οἷον Ποσειδέων· εἰκότως οὖν ὡς διήλλαξε κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα, διήλλαξε καὶ περὶ τὴν κλίσιν. ἔτι τὰ εἰς ω̄ν περισπώμενα οὐδέποτέ ἐστι παρώνυμα οἷον Ξενοφῶν Ἀγλαοφῶν, τὸ δὲ Ποσειδῶν παρώνυμόν ἐστιν, ἀπὸ γὰρ τοῦ Ποσειδέης γέγονε Ποσειδέων παρωνύμως, ὥσπερ καὶ ἀπὸ τοῦ Ἡρακλέης γέγονεν Ἡρακλέων παρωνύμως. καὶ λοιπὸν ἀπὸ τοῦ Ποσειδέων Ποσειδέωνος γίνεται Ποσειδῶν Ποσειδῶνος· ἐπειδὴ διήλλαξε καὶ κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα, διήλλαξε καὶ κατὰ τὴν κλίσιν. τὸ δὲ Ποσειδέων Ποσειδέωνος τὸ ω φυλάττει ἐπὶ τῆς γενικῆς, ἐπειδή, ὡς εἰρήκαμεν, παρώνυμόν ἐστιν ἀπὸ τοῦ Ποσειδέης. τὰ γὰρ εἰς ων παρώνυμα βαρύτονα τὸ ω φυλάττει ἐπὶ τῆς γενικῆς οἷον θεός Θέων Θέωνος, τρυφή Τρύφων Τρύφωνος, πλατύς Πλάτων Πλάτωνος. ἔτι τὰ εἰς ων περισπώμενα οὐδέποτε φύσει μακρᾷ παραλήγεται, ἀλλ' ἢ βραχείᾳ, ὡς ἐπὶ τοῦ Δημοφῶν, Ἱπποκῶν, Κτησιφῶν, ἢ θέσει μακρᾷ, ὡς ἐπὶ τοῦ Δεξικρῶν· τὸ δὲ Ποσειδῶν φύσει μακρᾷ παραληγόμενον· εἰκότως οὖν ὡς διαλλάξαν κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα, διήλλαξε καὶ περὶ τὴν κλίσιν. ἔτι τὰ εἰς ω̄ν περισπώμενα οὐδέποτε γίνεται παρὰ ταῖς διαλέκτοις εἰς αν· τὸ δὲ Ποσειδῶν γίνεται παρὰ τοῖς Αἰολεῦσι καὶ παρὰ τοῖς Δωριεῦσιν εἰς αν· οἱ μὲν γὰρ Δωριεῖς Ποτιδάν λέγουσιν ὀξυτόνως, οἱ δὲ Αἰολεῖς Πότιδαν καὶ Ποσείδαν λέγουσι βαρυτόνως· εἰκότως οὖν ὡς διήλλαξε κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα, διήλλαξε καὶ περὶ τὴν κλίσιν. ἔτι τὰ εἰς ω̄ν περισπώμενα οὐδέποτε ἀποκοπὴν ἀναδέχεται κατὰ τὴν αἰτιατικὴν οἷον Ξενοφῶντα, Ἀγλαοφῶντα· τὸ δὲ Ποσειδῶν ἀποκοπὴν ἀναδέχεται κατὰ τὴν αἰτιατικὴν καὶ γίνεται Ποσειδῶ

νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν ἵππιον (Aristoph. Nub. 83),

ὥσπερ τὸν Ἀπόλλωνα τὸν Ἀπόλλω· εἰκότως οὖν ὡς διαλλάξαν κατὰ τοῦτο πρὸς τὰ ἄλλα περισπώμενα, διήλλαξε καὶ κατὰ τὴν κλίσιν.

Choer. 299, 26: τὸ δὲ τυφῶν καὶ ταῶν, ἐπειδὴ δισύλλαβά ἐστι, τῶν ἄλλων ὑπὲρ δύο συλλαβὰς ὄντων οἷον Ξενοφῶν Ἀγλαοφῶν Ποσειδῶν, εἰκότως ὡς διαλλάξαντα κατὰ τὴν ποσότητα τῶν συλλαβῶν πρὸς τὰ ἄλλα περισπώμενα, διήλλαξε καὶ κατὰ τὴν κλίσιν. καὶ ὅτι τὸ τυφῶν καὶ ταῶν ἁπλᾶ ἐστι, τῶν ἄλλων περισπωμένων μὴ ὄντων ἁπλῶν, ἀλλ' ἢ συνθέτων, ὡς τὸ Δημοφῶν, Ξενοφῶν, Ἀγλαοφῶν, Κτησιφῶν, Ἱπποκῶν, Δεξικρῶν ἢ παρασύνθετον, ὥσπερ τὸ Ποσειδῶν, καὶ ἐπειδὴ τὸ τυφῶν καὶ ταῶν καὶ εἰς ως λήγει (λέγεται γὰρ καὶ τυφῶς

l. 32 cf. Mon. 9, 3 seqq.

καὶ ταῶϲ), τούτου χάριν οὐκ ἠκολούθηϲε τῇ κλίϲει τῶν περιϲπωμένων καὶ ἐκλίθη διὰ τοῦ ν̄τ̄.

Choer. 71, 18: τὰ εἰϲ ων καθαρὰ ἀρϲενικὰ διϲύλλαβα βαρύτονα βραχείᾳ παραληγόμενα διὰ τοῦ ω̄ κλίνεται οἷον Κάων Κάωνοϲ, Φάων Φάωνοϲ, Νέων Νέωνοϲ, Θέων Θέωνοϲ, Κλέων Κλέωνοϲ, Ἴων Ἴωνοϲ. τὸ Κρέων Κρέοντοϲ ὡϲ μετοχικὸν διὰ τοῦ ν̄τ̄ κλίνεται· περὶ δὲ τῶν μετοχικῶν ὕϲτερον ἐροῦμεν. τὸ δὲ λέων λέοντοϲ ὡϲ ἔχον θηλυκὸν τὸ λέαινα διὰ τοῦ ντ κλίνεται, ὁμοίωϲ τῷ θεράπων θεράποντοϲ, ὅτι καὶ θεράπαινα.

Choer. 71, 26: τὰ εἰϲ ων καθαρὰ διϲύλλαβα ἀρϲενικὰ βαρύτονα εἰ ἔχοι πρὸ τέλουϲ φύϲει μακράν, διὰ τοῦ ο̄ κλίνεται οἷον Ἄων Ἄονοϲ, Δάων Δάονοϲ, Χάων Χάονοϲ, ῥᾴων ῥᾴονοϲ, πλείων πλείονοϲ, μείων μείονοϲ, Μαίων Μαίονοϲ «Μαίον' ἄρα προέηκε» (Δ 398), κίων κίονοϲ. τὸ δὲ αἰών ὀξύτονον διὰ τοῦ ω κλίνεται αἰῶνοϲ.

Choer. 71, 5: τὰ εἰϲ ω̄ν καθαρὰ βαρύτονα ἔχοντα δίχρονον ἐν τῇ παραληγούϲῃ, εἰ μὲν ἐκτείνει τὸ δίχρονον, τρέπει τὸ ω̄ εἰϲ τὸ ο ἐν τῇ γενικῇ οἷον Μαχάων Μαχάονοϲ, Ἱκετάων Ἱκετάονοϲ, Ἀρετάων Ἀρετάονοϲ, Ἀμφίων Ἀμφίονοϲ, Ὑπερίων Ὑπερίονοϲ (ϲημαίνει δὲ τὸν ὑπὲρ ἡμᾶϲ ἀνατέλλοντα), Ἐχίων Ἐχίονοϲ, Δολίων Δολίονοϲ, ὀπάων ὀπάονοϲ (ὁ ἀκόλουθοϲ), κίων κίονοϲ, πίων πίονοϲ (ὁ λιπαρόϲ), πρίων πρίονοϲ· εἰ δὲ ϲυϲτέλλει τὸ δίχρονον, φυλάττει τὸ ω̄ ἐν τῇ γενικῇ οἷον Ἠετίων Ἠετίωνοϲ, Ἀμφιτρύων Ἀμφιτρύωνοϲ, Εὐρυτίων Εὐρυτίωνοϲ, Ἠλεκτρύων Ἠλεκτρύωνοϲ, Εὐρυθαλίων Εὐρυθαλίωνοϲ, Μοϲχίων Μοϲχίωνοϲ, Ἡφαιϲτίων Ἡφαιϲτίωνοϲ, Ἐνδυμίων Ἐνδυμίωνοϲ, Ἀϲτερίων Ἀϲτερίωνοϲ. ὅθεν τὸ Ὠρίων ἀναλογώτερόν ἐϲτι ϲυϲτέλλον τὸ ῑ, ὡϲ παρ' Εὐριπίδῃ (Cycl. 213)

τά τ' ἄϲτρα καὶ τὸν Ὠρίωνα δέρκομαι.

ὁ γὰρ ποιητὴϲ ἐξέτεινεν αὐτὸ εἰπών (Σ 488)

ἥ τ' αὐτοῦ ϲτρέφεται, καί τ' Ὠρίωνα δοκεύει.

κατὰ τοῦτον τὸν κανόνα καὶ τὸ κύων ὤφειλε κλίνεϲθαι κύωνοϲ ὡϲ Ἀμφιτρύωνοϲ. ἔϲτι δὲ ἕτεροϲ κανὼν ὁ λέγων· τὰ κοινὰ τῷ γένει διὰ τοῦ ο κλίνεται. ἀπαιτοῦντοϲ οὖν τοῦ μὲν τὸ ω, τοῦ δὲ τὸ ο̄, ϲυνεκόπη τὸ ἀμφίβολον καὶ ἐγένετο κυνόϲ. ἡ μέντοι κλητικὴ εὕρηται διὰ τοῦ ο μικροῦ ὡϲ ἀπὸ τῆϲ κύονοϲ γενικῆϲ «ἐξ αὖ νῦν ἔφυγεϲ θάνατον, κύον» (Λ 362).

---

l. 2 cf. Eust. 346, 13, ubi tertia ap. Choerob. propositarum causarum diserte Herodiano assignatur; etymologias a Choerob. prolatas, quippe quum dubiae sint velut Ξενοφῶν a φῶ τὸ φονεύω et Δεξικρῶν a κρείω τὸ βαϲιλεύω καὶ κρατῶ aut etiam falsae ut Ἱπποκῶν a κτῶμαι Ἱπποκτῶν καὶ Ἱπποκῶν (cf. Lob. El. II 115 seqq.) Herodiano non obtrudendas iudicavi. l. 3 cf. Theogn. 30, 10.
l. 11 pro Λάων Λάονοϲ, cuius genetivus Λάωνοϲ ap. Dicaearchum reperitur (cf. Lob. ad Ai. p. 164) quum ᾱ breve babeat, posui Ἄων Ἄονοϲ, adieci ex St. B. Δάων et Χάων. αἰών ex Theogn. 38, 4; omisi πρώην (scr. πρόων) πρόωνοϲ ἡ ἀκρώρεια fictum ex πρών. l. 25—29 ex Choer. 286, 1, l. 30—35 ex E. M. 549, 44 (Favorin. 80, 35) insorui.

Τὰ εἰς ιων ὀξύτονα, εἰ μὲν θηλυκὰ ἢ κοινὰ τῷ γένει ἐστί, διὰ τοῦ ο κλίνεται οἷον χιών χιόνος, ἠϊών ἠϊόνος, Ἑρμιών Ἑρμιόνος πόλις Ἀργόλιδος, Ἰβιών Ἰβιόνος· ἔστι δὲ ὄνομα νήσου, ὁ ἡ περικτιών περικτιόνος, ἀμφικτιών ἀμφικτιόνος, ἰθυκτιών ἰθυκτιόνος· εἰ δὲ μόνως ἀρσενικά ἐστι, φυλάττει τὸ ω̄ οἷον Κνακιών Κνακιῶνος, Ἀσιών Ἀσιῶνος, κυρηβιών κυρηβιῶνος, ἀνθεστηριών ἀνθεστηριῶνος, δοθιών δοθιῶνος τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον ἀντὶ τοῦ δοθιήν.

Τὰ εἰς υων ὀξύτονα κατὰ γενικὴν τρέπει τὸ ω̄ εἰς τὸ ō, εἰ μὴ συμπίπτει πόλεσιν οἷον ἀλεκτρυών ἀλεκτρυόνος, Γηρυών Γηρυόνος, Κερκυών Κερκυόνος, Ἀμφικτυών Ἀμφικτυόνος, κελενδρυών, κολοκτρυών. τὰ δὲ συμπίπτοντα πόλεσι κλίνεται διὰ τοῦ ω̄ οἷον Cικυών ὁ κτιστὴς ὁμοφώνως τῇ πόλει Cικυῶνος. ὡσαύτως καὶ Κρεμμυών Κρεμμυῶνος καὶ Κρομμυών Κρομμυῶνος.

Τὰ εἰς αιων ὑπερδισύλλαβα εἴτε βαρύτονα εἴτε ὀξύτονα διὰ τοῦ ω κλίνεται Εὐφραίων Εὐφραίωνος, Αἰγαίων Αἰγαίωνος, Ἀκταίων Ἀκταίωνος, Ἀλκμαίων, Εὐγαίων, Ἀθηναίων, Ἑκατομβαιών Ἑκατομβαιῶνος, ἐλαιών ἐλαιῶνος.

Τὰ εἰς εων ὑπερδισύλλαβα ἀρσενικὰ καὶ θηλυκὰ εἴτε βαρύτονα εἴτε ὀξύτονα τὸ ω̄ φυλάττει, Γελέων Γελέωνος — Γελέοντες δέ εἰσι φυλὴ παλαιά, μία τῶν τεσσάρων ἀπὸ Ἴωνος παίδων — Ἡρακλέων Ἡρακλέωνος, Ἀλκμέων, Τυφέων, Ποσειδέων Ποσειδέωνος ἐξ οὗ Ποσειδῶν συνηρέθη, Ποσειδεών Ποσειδεῶνος ὄνομα μηνός, ἀνδρεών, παρθενεών, πορθεών, λυμεών, ἀπατεών, Ἐλεών πόλις, Μεδεών πόλις, Ξυπετεών

I. 1 sic fere Herodianum canonem de oxytonis in ῑων constituisse ex Choer. Orth. II 168, E. M. 92, 1, Eust. 1175, 15, Theogn. 29, 13 et 38, 9; 39, 24 et Mon. 17, 22 concludi potest. Neque enim ex quantitate declinatum suspendit Herodianus, ut Choer. Dict. 296, 25 fecit quantitatem etiam pervertens, sed ex genere, cui etiam praeter quantitatem vim quandam ad accentum constituendum attribuit, nam Ἀμφίων quum productum habeat ῑ, paroxytonon est, περικτιών vero brevi praefinitum in fine habet acutum, sed declinatio utriusque vocabuli eadem est, Ἀμφίων habet Ἀμφίονος genetivum propter characterem barytonorum producta diphthongo praefinitorum, περικτιών oxytonon a reliquis oxytonis non quantitate differt, sed genere, in quo declinatio nititur. Ex urbium vero nominibus quaedam excepisse et per ω declinanda praecepisse Herodianum ex nominibus a Stephano relatis coniici potest. l. 8 canonem constitui ex Arc. 15, 22 et Theogn. 29, 17. Ab Herodiani doctrina abhorret Choer. Dict. 296, 25: τὰ εἰς ων καθαρὸν ὀξύτονα βραχεῖ διχρόνῳ παραληγόμενα τρέπει τὸ ω̄ εἰς τὸ ō ἐν τῇ γενικῇ οἷον περικτιών περικτιόνος, ἀλεκτρυών ἀλεκτρυόνος, Ἀμφικτυών Ἀμφικτυόνος. τὸ Κνακυών ὀξύτονόν ἐστι καὶ εἰς ω̄ν καθαρὸν καὶ διχρόνῳ παραλήγεται καὶ ἐπειδὴ οὐκ ἔχει συνεσταλμένον ἀλλ' ἐκτεταμένον φυλάττει τὸ ω ἐν τῇ γενικῇ οἷον Κνακυῶνος, ἔστι δὲ ὄνομα κύριον ποταμοῦ. Verum habet Theogn. 38, 6 ὅσα βραχεῖ διχρόνῳ παραλήγεται, διὰ τοῦ ō γράφει τὴν παραλήγουσαν τῆς γενικῆς περικτιόνος, ἀλεκτρυόνος. σεσημείωται τὸ Κνακιών Κνακιῶνος ὄνομα ποταμοῦ καὶ τὸ Ἀσιών Ἀσιῶνος· δηλοῖ δὲ ὄνομα ὄρους, καὶ κυρηβιών· δηλοῖ δὲ τὸν καθαρματώδη, ὅτι βραχεῖ διχρόνῳ παραληγόμενα φυλάττει τὸ ω̄ ἐπὶ τῆς γενικῆς. cf. Lehrs Mon. 17, 22 l. 14 Theogn. 29, 1 et 28, 30, Arc. 28, 11. l. 18 Choer. 72, 1; Γελέοντες ex St. B. 41, 2; de Ἀλκμέων cf. An. Ox. II 337, 4: Ἀλκμέωνος: τὸ με ψιλόν· ὡς παρ' Εὐριπίδῃ ἔχει ἡ χρῆσις· συστείλας τὴν αι δίφθογγον εἰς (hoc supplevi) τὸ ε̄ φυλάττει τὸ ω̄ ὡς κύριον ἐν τῇ γενικῇ. Arcad. 18, 9, Theogn. 28, 25 et 29. Ἐλεών Ξυπετεών ex St. B.

Ξυπετεῶνος ὁ οἰκήτωρ δήμου Ξυπετῆς. τὸ δὲ Τελέων Τελέοντος ὡς μετοχικὸν διὰ τοῦ ντ κλίνεται.

Τὰ εἰς ηων ὑπερδισύλλαβα φυλάττει τὸ ω κατὰ τὴν γενικὴν προπρήων προπρήονος, παιήων, ξυνήων, Ἰήων.

Choer. 285, 3: τὰ εἰς ων πατρωνυμικὰ ἅπαντα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς οἷον Ἀτρείων Ἀτρείωνος, Πηλείων Πηλείωνος, Πριαμίων Πριαμίωνος, ὅθεν τὸ Κρονίων ἀναλογώτερόν ἐστι κλινόμενον διὰ τοῦ ω Κρονίωνος οἷον «ὅς ῥα παρὰ Κρονίωνι καθέζετο» (Α 405)· τὸ δὲ «Ζηνὸς δ' οὐκ ἂν ἔγωγε Κρονίονος ἄσσον ἱκοίμην» (Ξ 247) ὑπερβιβασμὸν ἐδέξατο τοῦ χρόνου, καὶ τὸ μὲν ι ἐξετάθη, τὸ δὲ ο συνεστάλη.

Τὰ διὰ τοῦ ιων ὑποκοριστικὰ φυλάττει τὸ ω κατὰ τὴν γενικὴν Ἡφαιστίων Ἡφαιστίωνος, Ξενίων Ξενίωνος, Μοσχίων, Ἠμαθίων, Μελανίων, Πορφυρίων, Τυραννίων. εἰ δέ τι τούτων εἰς κυριότητα μετάγοιτο, τὴν αὐτὴν φυλάττει κλίσιν.

Choer. 286, 8: τὰ εἰς ων παρώνυμα βαρύτονα φυλάττει τὸ ω ἐπὶ γενικῆς οἷον θεός Θέων Θέωνος, τρυφή Τρύφων Τρύφωνος (εἰ γὰρ παρὰ τὸ τρυφῶ ῥῆμα ἦν, εἶχε τρέπειν τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, ὥσπερ ἐλεῶ ἐλεήμων ἐλεήμονος, φιλῶ Φιλήμων Φιλήμονος, νοῶ νοήμων νοήμονος), ἱερός Ἱέρων Ἱέρωνος, ἁβρός Ἅβρων Ἅβρωνος, πλατύς Πλάτων Πλάτωνος, κλέος Κλέων Κλέωνος, κῦδος Κύδων Κύδωνος, Ζεύς Διός Δίων Δίωνος, Αἰγαῖος Αἰγαίων Αἰγαίωνος, Καδμεῖος Καδμείων Καδμείωνος, Ἀργεῖος Ἀργείων Ἀργείωνος, Βακχεῖος Βακχείων Βακχείωνος, φίλος Φίλων Φίλωνος, ἀγαθός Ἀγάθων Ἀγάθωνος, νίκη Νίκων Νίκωνος. χωρὶς εἰ μὴ ἢ ἀπὸ τῶν εἰς ος συνθέτων, ταῦτα γὰρ διὰ τοῦ ο κλίνεται οἷον αἷμα ἄναιμος ἀναίμων ἀναίμονος,

τοὔνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται (Ε 342),

κῦμα ἔγκυμος ἐγκύμων ἐγκύμονος, πυγή κατάπυγος καταπύγων καταπύγονος (ὁ κίναιδος), χεῖμα ἄχειμος ἀχείμων ἀχείμονος. διὰ τοῦτο τὸ Ἀκταίων ἀναλογώτερόν ἐστι φυλάττον τὸ ω ἐν τῇ γενικῇ οἷον

ὁρᾷς τὸν Ἀκταίωνος ἄθλιον μόρον (Eurip. Bacch. 337).

τοῦτο γὰρ παρώνυμόν ἐστι καὶ οὐκ ἔστιν ἀπὸ τῶν εἰς ος συνθέτων, ἀπὸ γὰρ τοῦ ἀκτή γέγονεν ἀκταῖος καὶ Ἀκταίων. ὅταν οὖν γένηται διὰ τοῦ ο οἷον

Ἀκταίονός τε μητέρ', Αὐτονόην λέγω (Eurip. Bacch. 230),

γνῶθι ὅτι συνεστάλη τὸ ω διὰ τὸ μέτρον. τὸ Ἰάσων οὐκ ἀντίκειται ἡμῖν, οὐδὲ γάρ ἐστι παρώνυμον παρὰ τὸ ἴασις, ἀλλὰ ῥηματικὸν παρὰ τὸ ἰάσομαι μέσου μέλλοντος (sic).

---

l. 1 Τελέων ap. Choer. 72, 4 pro τό τε λέων scribendum est, quia de hyperdisyllabis sermo est. l. 3 Choer. 71, 32, Theogn. 29, 6. l. 5 cf. 70, 22, Theogn. 27, 24. l. 12 Theogn. 27, 25, Arc. 17, 24. l. 38 coll. Choer. 72, 7, Theogn. 28, 17 et 29, 22.

Choer. 286, 30: τὰ εἰς ων κοινὰ τῷ γένει τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ οἷον ὁ σώφρων καὶ ἡ σώφρων τοῦ σώφρονος καὶ τῆς σώφρονος, ὁ τέκτων καὶ ἡ τέκτων τοῦ τέκτονος καὶ τῆς τέκτονος, ὁ γείτων καὶ ἡ γείτων τοῦ γείτονος καὶ τῆς γείτονος, ὁ τλήμων καὶ ἡ τλήμων τοῦ τλήμονος καὶ τῆς τλήμονος, ὁ ἴδμων καὶ ἡ ἴδμων τοῦ ἴδμονος καὶ τῆς ἴδμονος, ὁ ἄφρων καὶ ἡ ἄφρων τοῦ ἄφρονος καὶ τῆς ἄφρονος. χωρὶς εἰ μὴ ᾖ σύνθετα ἀπὸ τῶν εἰς ων φυλαττόντων τὸ ω ἐν τῇ γενικῇ, ἔστι γὰρ αἰών αἰῶνος, καὶ γίνεται εὐαίων εὐαίωνος ἐκ τούτου σύνθετον, καὶ ἔστι κοινὸν τῷ γένει, ὁ εὐαίων γὰρ καὶ ἡ εὐαίων, καὶ ὅμως φυλάττει τὸ ω ἐν τῇ γενικῇ· καὶ πάλιν ἔστι χιτών χιτῶνος, καὶ γίνεται ἀπὸ τούτου σύνθετον ἀχίτων ἀχίτωνος, χαλκοχίτων χαλκοχίτωνος, καὶ ἰδού ἐστι ταῦτα κοινὰ τῷ γένει· ὁ ἀχίτων γὰρ καὶ ἡ ἀχίτων, καὶ ὁμοίως ὁ χαλκοχίτων καὶ ἡ χαλκοχίτων, καὶ ὅμως φυλάττει τὸ ω ἐν τῇ γενικῇ· καὶ πάλιν ἔστι Πλάτων Πλάτωνος, καὶ ἐκ τούτου γίνεται σύνθετον φιλοπλάτων φιλοπλάτωνος, καὶ ἔστι κοινὸν τῷ γένει, ὁ φιλοπλάτων γὰρ καὶ ἡ φιλοπλάτων, καὶ ὅμως φυλάττει τὸ ω ἐν τῇ γενικῇ. δεῖ προσθεῖναι καὶ χωρὶς τοῦ αἴθων αἴθωνος καὶ εἴρων εἴρωνος, ταῦτα γὰρ κοινά ἐστι τῷ γένει ὁ αἴθων καὶ ἡ αἴθων, ὁ εἴρων καὶ ἡ εἴρων, καὶ ὅμως φυλάττει τὸ ω ἐν τῇ γενικῇ διὰ τὸν χαρακτῆρα τῶν εἰς θων καὶ εἰς ρων δισυλλάβων βαρυτόνων.

Choer. 288, 29: τὰ εἰς ων ἔχοντα θηλυκὸν διὰ τοῦ αινα διὰ τοῦ ντ κλίνεται, καὶ δῆλον ὅτι τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ οἷον δράκων δράκοντος ὅτι καὶ δράκαινα, θεράπων θεράποντος ὅτι θεράπαινα, λέων λέοντος ὅτι λέαινα. καὶ τὰ κύρια δὲ ὀνόματα παρ' ἡμῖν ἐφύλαξε τὴν αὐτὴν κλίσιν οἷον Δράκοντος τοῦ Στρατονικέως, καὶ Λέοντος, καὶ πάλιν Δράκοντος τοῦ νομοθέτου. πρόσκειται δὲ «παρ' ἡμῖν» ἐπειδὴ οἱ Αἰολεῖς Δράκονος εἰρήκασιν ἐπὶ τοῦ κυρίου ὀνόματος, ἐπὶ γὰρ τοῦ θηρίου καὶ αὐτοὶ δράκοντος λέγουσι. σημειούμεθα δὲ ἐν τῷ κανόνι τούτῳ τὸ Λάκων Λάκωνος, ἔστι δὲ ἐθνικόν, τοῦτο γὰρ ἔχον θηλυκὸν διὰ τοῦ αινα οἷον Λάκαινα οὐ κλίνεται διὰ τοῦ ντ, οὐδὲ γὰρ λέγονται Λάκοντες ἀλλὰ Λάκωνες διὰ τοῦ ω, περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι ὑπάγεται καὶ τῷ κανόνι τῶν ὑποκοριστικῶν καὶ τῷ λόγῳ τῶν ἐθνικῶν. τὸ δὲ γείτων καὶ τέκτων ἔχει θηλυκὸν διὰ τοῦ αινα οἷον γείταινα καὶ τέκταινα καὶ οὐ κλίνεται διὰ τοῦ ντ, γείτονος γὰρ καὶ τέκτονος. ἰστέον δὲ ὅτι ταῦτα κοινά ἐστι τῷ γένει οἷον ὁ γείτων καὶ ἡ γείτων, ὁ τέκτων καὶ ἡ τέκτων· ἀλλ' οἱ ποιηταὶ καὶ παρωνύμως ποιοῦσιν αὐτὰ διὰ τοῦ αινα οἷον γείταινα καὶ τέκταινα,

γίνεο μοι τέκταινα βίου δαμάτειρά τε λιμοῦ,

ὥσπερ καὶ ἐκ τοῦ θεός γέγονε θέαινα παρωνύμως.

Τὰ εἰς ων βαρύτονα ἐθνικὰ φυλάττει τὸ ω ἐν τῇ γενικῇ οἷον

l. 1 coll. Choer. 73, 1 et Theogn. 29, 32. l. 32 Choer. 289, 32, cf. 73, 13. l. 40 Choer. 73, 30 et 289, 18, Theogn. 30, 15. Pro iis, quae Choerob. de Κίκων

Μίτων Μίτωνος, Ἴτων Ἴτωνος, Καδμείων Καδμείωνος, Ἀργείων Ἀργείωνος, Λάκων Λάκωνος, Κύδων Κύδωνος, Καύκων Καύκωνος «καὶ Λέλεγες καὶ Καύκωνες δῖοί τε Πελαςγοί» (Κ 429), Κίκων Κίκωνος· τὸ γὰρ «Κικόνεςςι γεγώνευν» (ι 47) καὶ τὸ «Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεςςι πέλαςςεν» (ι 39) διὰ τὸ μέτρον διὰ τοῦ ο ἐκλίθη. ςεςημείωται τὸ Μέμνων Μέμνονος· ἐθνικὸν γάρ ἐςτι καὶ ὅμως τρέπει τὸ ω εἰς τὸ ο̄ ἐν τῇ γενικῇ ὥςπερ καὶ τὸ κύριον ὄνομα.

Τὰ εἰς ων ἐθνικὰ ὀξύτονα τρέπει τὸ ω εἰς ο̄ ἐν τῇ γενικῇ οἷον Αὐςών Αὐςόνος, Μυγδών Μυγδόνος, Cιδών Cιδόνος «ἐπεὶ Cιδόνες πολυδαίδαλοι εὖ ἤςκηςαν» (Ψ 743), Μυρμιδών Μυρμιδόνος, Μακεδών Μακεδόνος.

Choer. 74, 4: τὰ εἰς ων διςύλλαβα ἔχοντα δύο ςύμφωνα κατὰ ςύλληψιν μὴ ὄντα παρώνυμα τρέπει τὸ ω εἰς τὸ ο̄ ἐν τῇ γενικῇ οἷον τέκτων τέκτονος διὰ τὰ δύο ςύμφωνα, ἴδμων ἴδμονος (ὁ ἔμπειρος), φράδμων φράδμονος (ὁ ςυνετός), πρόφρων πρόφρονος (ὁ πρόθυμος), ἄφρων ἄφρονος, ἄκμων ἄκμονος, Μέμνων Μέμνονος. πρόςκειται «μὴ ὄντα παρώνυμα» διὰ τὸ Ἄβρων Ἄβρωνος, ἔςτι δὲ ὄνομα κύριον, τοῦτο γὰρ φυλάττει τὸ ω̄, ἀλλὰ παρώνυμόν ἐςτι παρὰ τὸ ἁβρός καὶ Μέρμνων ὄνομα παρὰ Θεοκρίτῳ (3, 35), παρὰ γὰρ τὸ μέρμνης.

Τὰ εἰς ων ἰαμβικὰ πρὸ τέλους ἔχοντα τὸ ῑ φυλάςςει τὸ ω̄ ἐπὶ τῆς γενικῆς ὁμοίως βαρύτονα καὶ ὀξύτονα, Ἴτων Ἴτωνος ὄνομα πόλεως, κιθών κιθῶνος, τρίβων τρίβωνος τὸ διδαςκαλικὸν ἱμάτιον, Cίμων Cίμωνος.

Choer. 74, 12: τὰ εἰς ων λήγοντα ςύνθετα εἴτε βαρύτονα ἢ εἴτε ὀξύτονα εἴτε περιςπώμενα τὴν τῶν ἁπλῶν φυλάττει κλίςιν οἷον χθών χθονός ἐνοςίχθων ἐνοςίχθονος (ὁ τὴν γῆν κινῶν), Μέμνων Μέμνονος Ἀγαμέμνων Ἀγαμέμνονος, τέκτων τέκτονος ἀρχιτέκτων ἀρχιτέκτονος, γέρων γέροντος ὠμογέρων ὠμογέροντος, Μέδων Μέδοντος Αὐτομέδων Αὐτομέδοντος, χιτών χιτῶνος χαλκοχίτων χαλκοχίτωνος, αἰών αἰῶνος εὐαίων εὐαίωνος, θύρων θύρωνος προθύρων προθύρωνος, κοιτών κοιτῶνος προκοιτών προκοιτῶνος, δαιτυμών δαιτυμόνος φιλοδαιτύμων φιλοδαιτύμονος, Ξενοφῶν Ξενοφῶντος φιλοξενόφων φιλοξενόφωντος, Ποςειδῶν Ποςειδῶνος μιςοποςείδων μιςοποςείδωνος.

Τὰ εἰς ῶν περιεκτικὰ καὶ ὡς περιεκτικὰ ὀξύνεται καὶ τὸ ω̄ φυλάττει ἐπὶ τῆς γενικῆς οἷον κοιτών κοιτῶνος, δαφνών δαφνῶνος, ἀμπελών ἀμπελῶνος, παρθενών παρθενῶνος, ἀκανθών ἀκανθῶνος, ἐλαφηβολιών ἐλαφηβολιῶνος, ἀνθεςτηριών ἀνθεςτηριῶνος, μεταγειτνιών μεταγειτνιῶνος, πυανεψιών πυανεψιῶνος, βοηδρομιών βοηδρομιῶνος.

tradit: τὸ Κίκων κύριον μὲν ὂν φυλάττει τὸ ω ἐν τῇ γενικῇ, ἐθνικὸν δὲ ὂν τρέπει τὸ ω εἰς τὸ ο̄ οἷον Κίκονες ὡς παρὰ τῷ ποιητῇ κτλ. posui, quae Eustath. ad Hom. 1615, 12 Herodianum de declinatione huius vocis docuisse dicit in fragm. 26. l. 8 Choer. 289, 14, Theogn. 30, 24. l. 12 coll. Theogn. 30, 24, Ep. Cr. I 64, 20 coll. 40, 30. l. 20 Ep. Cr. I 434, 29, An. Ox. II 423, 27, ubi Πιθών Πιθῶνος ὄνομα πόλεως additur. l. 24 cf. Theogn. 30, 27. l. 34 Choer. 295, 10, Theogn. 29, 19.

[δοκεῖ τὸ κανών κανόνος ἀντικεῖcθαι. περιέχει γὰρ τὰ ὑπ' αὐτῷ καὶ ὅμως τρέπει τὸ ω εἰς τὸ ο̅ ἐν τῇ γενικῇ.]

Τὰ εἰς ων λήγοντα θηλυκὰ βαρύτονα φυλάττει τὸ ω̅ ἐν τῇ γενικῇ οἷον μήκων μήκωνος, τρήρων τρήρωνος οἷον «τρήρωνα πέλειαν» (Χ 140), ἅλων ἅλωνος, Ἀσκάλων Ἀσκάλωνος.

Τὰ εἰς ω̅ν̅ ὀξύτονα θηλυκὰ μὴ ὄντα ἐπὶ πόλεων τρέπει τὸ ω εἰς τὸ ο̅ ἐν τῇ γενικῇ οἷον πλαγγών πλαγγόνος, χελιδών χελιδόνος, ἀηδών ἀηδόνος, τρυγών τρυγόνος, εἰκών εἰκόνος, cινδών cινδόνος, λαγών λαγόνος, χιών χιόνος, cιαγών cιαγόνος, ἀλκυών ἀλκυόνος, Ἀμαζών Ἀμαζόνος. τούτῳ τῷ λόγῳ καὶ τὸ χθών χθονός τρέπει τὸ ω εἰς τὸ ο̅ ἐν τῇ γενικῇ. cεcημείωται τὸ τυφεδών τυφεδῶνος καὶ μελεδών μελεδῶνος. ταῦτα γὰρ διὰ τοῦ ο̅ ἔδει γράφειν, ἀλλὰ ποιητικά ἐcτι καὶ διὰ τὸ μέτρον ποιητικῶς διὰ τοῦ ω ἐγένετο.

Τὰ εἰς ω̅ν̅ ἐπὶ πόλεων εἴτε βαρύτονα ἢ εἴτε ὀξύτονα φυλάττει τὸ ω ἐν τῇ γενικῇ οἷον Κρότων Κρότωνος, Ἀσκάλων Ἀσκάλωνος, Ἴτων Ἴτωνος «Ἰτωνά τε μητέρα μήλων» (Β 696), Πυθών Πυθῶνος, Πλευρών Πλευρῶνος, Ἀντρών Ἀντρῶνος, Καλυδών Καλυδῶνος, Ἀμυδών Ἀμυδῶνος. τὸ γὰρ Λακεδαίμων τοῦ ἁπλοῦ κλίcιν ἐφύλαξε, λέγω δὴ τοῦ δαίμων δαίμονος καὶ τούτου χάριν διὰ τοῦ ο̅ ἐκλίθη. cημειούμεθα δὲ τὸ Ὀλοοccών Ὀλοοccόνος «πόλιν Ὀλοοccόνα λευκήν» (Β 739) καὶ Ἀνθηδών Ἀνθηδόνος καὶ καθόλου πάντα, ὅcα ἐcτὶ ἐπὶ πόλεων εἰς δ̅ω̅ν̅ τῷ η̅ παραληγόμενα ὀξύτονα οἷον Ἰccηδών Ἰccηδόνος, Ἀcπληδών Ἀcπληδόνος, Τερηδών Τερηδόνος, Καρχηδών Καρχηδόνος ἡ ἐν τῇ Λιβύῃ, Καλχηδών Καλχηδόνος ἡ κατὰ Βυζάντιον, ἥτις καὶ Χαλκηδὼν καλεῖται· εὑρίcκομεν γὰρ διφορουμένην τὴν χρῆcιν. ἔτι δὲ cεcημείωται τὸ Ἑρμιών Ἑρμιόνος καὶ Ἠϊών Ἠϊόνος καὶ Ἰβιών Ἰβιόνος καὶ τὸ Cιδών Cιδόνος, ὅπερ cυναπηνέχθη τοῖς εἰς δ̅ω̅ν̅ λήγουcι ῥηματικοῖς ἤγουν τῷ ἀλγηδών ἀλγηδόνος, ἀηδών ἀηδόνος, μετέπεcε δὲ παρ' Ὁμήρῳ (ο 424) Cιδῶνος γραφόμενον ὡς Ἀντρῶνος, Πλευρῶνος. οἱ δὲ ὕcτερον τὰς ὅλας πλαγίας τῆς Cιδῶνος τῷ ω μεγάλῳ παραληγομένας προφέρουcιν.

Τὰ εἰς β̅ω̅ν̅ λήγοντα εἴτε διcύλλαβα εἴτε ὑπὲρ δύο cυλλαβὰς εἴτε βαρύτονα εἴτε ὀξύτονα διὰ τοῦ ω̅ κλίνεται, cτίλβων cτίλβωνος, Cτίβων Cτίβωνος, Cτράβων Cτράβωνος, Ἄμβων Ἄμβωνος, Νάρβων Νάρβωνος, Cίρβων Cίρβωνος, βουβών βουβῶνος, Ἀλαβών Ἀλαβῶνος, ἀρραβών ἀρραβῶνος. cεcημείωται τὸ Χαρναβῶν περιcπώμενον διὰ τοῦ ντ κλινόμενον καὶ φυλάττον τὸ ω, Cοφοκλῆς Τριπτολέμῳ «καὶ Χαρναβῶντος, ὃς Γετῶν ἄρχει τανῦν».

---

l. 3 Choer. 340, 26, Theogn. 32, 4 et 39, 15. Quae de Cιδών Cιδόνος apposui sunt ex Eustath. 1741, 26 (fr. 27) et ad Dionys. 117. Choer. hoc loco Cιδών Cιδῶνος ut legitimum cum Πυθών Πυθῶνος componit ut p. 296, 20. In Ep. Cr. I 260, 28 Λακεδαίμων Λακεδαίμονος subiicitur canoni: τὰ κοινὰ τῷ γένει διὰ τοῦ ο̅. Λακεδαίμων γὰρ ἀνὴρ ἀπὸ πόλεως καὶ ἡ Λακεδαίμων πόλις.

l. 31 composui canonem ex Theogn. 30, 29, Choer. 74, 24, Arc. 10, 8, St. B. 67, 6 Ἀλαβών κλίνεται Ἀλαβῶνος et Mon. 9, 30.

Τὰ εἰϲ γων διϲύλλαβα ὀξύτονα μὴ ὄντα περιεκτικὰ μηδὲ ἐπὶ πόλεωϲ διὰ τοῦ ο κλίνεται οἷον πυγών, λαγών, ϲταγών, τὸ δὲ ἀγών ὡϲ περιεκτικὸν καὶ τὸ Ὀργών νῆϲοϲ ὡϲ ἐπὶ πόλεωϲ φυλάττει τὸ ω.

Τὰ εἰϲ γων λήγοντα ἀρϲενικὰ ὑπὲρ δύο ϲυλλαβὰϲ βαρύτονα διὰ τοῦ ω κλίνεται ἢ διὰ τοῦ οντ οἷον Ϲαλάγγων Ϲαλάγγωνοϲ «μέϲφα Ϲαλάγγωνοϲ ποταμοῦ» (Apoll. Rhod. Arg. IV 337), Ἐρίγων Ἐρίγωνοϲ, ἀρίγων ἀρίγωνοϲ (ἔϲτι δὲ εἶδοϲ δόρατοϲ), προάγων προάγωνοϲ· Οὐκαλέγων Οὐκαλέγοντοϲ, Πελάγων Πελάγοντοϲ, Ἁρπάγων Ἁρπάγοντοϲ τῷ λόγῳ τῶν μετοχικῶν. τὸ δὲ καταπύγων βαρυνόμενον καὶ διὰ τοῦ ο κλιθὲν εἶχεν ἀφορμὴν τὸ παρώνυμον εἶναι τοῦ κατάπυγοϲ ὡϲ καὶ τοῦ ἄπειροϲ τὸ ἀπείρων. τὰ δὲ ὀξύτονα διὰ τοῦ ο κλίνεται Παφλαγών Παφλαγόνοϲ, Λαιϲτρυγών Λαιϲτρυγόνοϲ, Πηλαγών Πηλαγόνοϲ «Πηλαγόνων ἐλατῆρα», ἀρηγών, λέγω δὲ ἐπὶ τοῦ ϲυμμάχου ἀρϲενικῶϲ «ἀρηγόνοϲ ἡμετέροιο», Πηλεγών Πηλεγόνοϲ.

Choer. 75, 11: τὰ εἰϲ δων λήγοντα διϲύλλαβα βαρύτονα διὰ τοῦ ω κλίνεται, εἰ μὴ μετοχικὴν κλίϲιν ἀναδέχεται οἷον κώδων κώδωνοϲ, Φαίδων Φαίδωνοϲ, Φείδων Φείδωνοϲ, Μείδων Μείδωνοϲ (ὀνόματα δὲ ταῦτα κύρια), χλίδων χλίδωνοϲ (οὗτοϲ δὲ λέγεται κόϲμοϲ ὁ περὶ τοὺϲ βραχίοναϲ), τὸ Λάδων (ἔϲτι δὲ ὄνομα ποταμοῦ) ὑπὸ Ἀντιμάχου διὰ τοῦ ω κέκλιται ἀναλόγωϲ οἷον Λάδωνοϲ, ὡϲαύτωϲ δὲ καὶ ὑπὸ Ἐρατοϲθένουϲ ἐκλίθη Λάδωνοϲ· τὸ μέντοι Νέδων τῷ λόγῳ τῶν μετοχικῶν διὰ τοῦ ντ κλίνει Κόριννα οἷον Νέδοντοϲ, οἱ δὲ περὶ Δίδυμον καὶ Ἀπίωνα διὰ τοῦ ω κλίνουϲιν ἀναλόγωϲ οἷον Νέδωνοϲ. τὸ Μέδων (ἔϲτι δὲ κύριον ὄνομα) ὁ μὲν ποιητὴϲ Ὅμηροϲ διὰ τοῦ ντ κλίνει οἷον Μέδοντοϲ τῷ λόγῳ τῶν μετοχικῶν, Ἰϲαῖοϲ δὲ ὁ ῥήτωρ καὶ Ἀριϲτοτέληϲ ἐν Ὀπουντίων Πολιτείᾳ Μέδωνόϲ φαϲιν ἀναλόγωϲ. τὸ δὲ κνώδων τῷ λόγῳ τῶν μετοχικῶν διὰ τοῦ ντ κλίνεται, καὶ ἴϲωϲ ὅτι ϲύνθετόν ἐϲτι παρὰ τὸ ὀδούϲ ὀδόντοϲ καὶ τὴν τοῦ ἁπλοῦ ἐφύλαξε κλίϲιν οἷον ὡϲ παρὰ τῷ Ϲοφοκλεῖ (Ai. 1025)

τοῦδ' αἰόλου κνώδοντοϲ

ἀντὶ τοῦ ξίφουϲ.

Τὰ εἰϲ δων διϲύλλαβα ὀξύτονα διὰ τοῦ ο κλίνεται οἷον Μυγδών Μυγδόνοϲ, Ϲαρδών Ϲαρδόνοϲ, ϲινδών ϲινδόνοϲ, Μαρδών Μαρδόνοϲ, φλεδών φλεδόνοϲ, κληδών κληδόνοϲ, Ϲιδών Ϲιδόνοϲ τὸ ἐθνικὸν καὶ Ϲιδών Ϲιδόνοϲ ἡ πόλιϲ, τὸ γὰρ Ϲιδῶνοϲ παρ' Ὁμήρῳ μετέπεϲε γραφόμενον ὡϲ Ἀντρῶνοϲ Πλευρῶνοϲ. τὸ δὲ Ἠδῶνεϲ μεταπέπλαϲται ἐκ τοῦ Ἠδωνοί.

---

l. 1 Theogn. 31, 9, Arc. l. c. et 14, 18, St. B. Ὀργών. l. 4 Il. Pr. Φ 141, Arc. 10, 17, Choer. 74, 32, Theogn. 31, 6. l. 21 de Νέδων cf. St. B. s. v. Νέδων κλίνεται Νέδοντοϲ. l. 32 Arc. 11, 6, Μαρδών ex St. B., φλεδών κληδών ex Theogn. 31, 33, apud quem Ϲιδών Ϲιδῶνοϲ ὡϲ ἐπὶ πόλεωϲ λαμβανόμενον excipitur, quod secundum Eustath. ad Herodiani sententiam transmutavi: Ἠδῶνεϲ ex Schol. ad Thucyd. II 99.

Choer. 75, 30: τὰ εἰς δων ὑπὲρ δύο cυλλαβὰς βαρύτονα μὴ ὄντα παρώνυμα μηδὲ cύνθετα παρὰ τὸ ὀδούς διὰ τοῦ ντ κλίνεται καὶ δηλονότι τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ οἷον Κελάδων Κελάδοντος (ἔcτι δὲ ὄνομα ποταμοῦ), Λαομέδων Λαομέδοντος, Αὐτομέδων Αὐτομέδοντος (ὀνόματα δὲ καὶ ταῦτα κύρια), Ἀκήδων Ἀκήδοντος ὄνομα ποταμοῦ, Cαρπήδων Cαρπήδοντος (ἔcτι δὲ ὄνομα κύριον)· ἡ Cαρπηδόνος γενικὴ ἀπὸ τῆς Cαρπηδὼν ὀξυτόνου εὐθείας ἐcτί. πρόcκειται «μὴ ὄντα παρώνυμα», ἐπειδὴ τὰ παρώνυμα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς οἷον κόρυδος Κορύδων Κορύδωνος (ἔcτι δὲ ὄνομα κύριον), κίναδος Κινάδων Κινάδωνος, κέλαδος Κελάδων Κελάδωνος· τὸ γὰρ Κελάδοντος μετοχικόν ἐcτι. καὶ τὰ παρὰ τὸ ὀδούς δὲ cύνθετα διὰ τοῦ ντ κλίνεται καὶ δηλονότι τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ οἷον Θερμώδων Θερμώδοντος (ἔcτι δὲ ὄνομα ποταμοῦ), Παμπάδων Παμπάδοντος, Χαλκώδων Χαλκώδοντος (ἔcτι δὲ ταῦτα ὀνόματα κύρια), ἀμφώδων ἀμφώδοντος, κρατερώδων κρατερώδοντος, χαυλιόδων χαυλιόδοντος. ταῦτα δὲ παρὰ τὸ ὀδούς cύνθετα πολλάκις πέφυκε διὰ τὸ μέτρον ἀποβάλλειν τὸ τ ἐκ τῆς γενικῆς καὶ φυλάττει τὸ ο οἷον ἀμφώδων ἀμφώδοντος καὶ ἀμφώδων ἀμφώδονος.

Τὰ εἰς δων λήγοντα ὀξύτονα ὑπὲρ δύο cυλλαβὰς τρέπει τὸ ω εἰς ο κατὰ γενικὴν οἷον χελιδών χελιδόνος εἴτε τὸ ὄρνεον εἴτε ὁ περὶ τελετῶν γράψας, Cαρπηδών Cαρπηδόνος εἴτε ὁ ἥρως εἴτε ἡ πέτρα εἴτε ἡ ἀκτὴ εἴτε ἡ νῆcος (ὡς παρὰ Cοφοκλεῖ ἐν Αἰχμαλωτίcι εἴρηται «Cαρπηδὼν ἀκτή», ἐν Τυμπανιcταῖς «ἡμεῖς δ' ἐν ἄντροις, ἔνθα Cαρπηδὼν πέτρα». καὶ ἡ νῆcος ἰδίως ἐν Ὠκεανῷ Γοργόνων οἰκητήριον οὖcα ὡς ὁ τὰ Κύπρια φηcί·

τῷ δ' ὑποκυcαμένη τέκε Γοργόνας, αἰνὰ πέλωρα,
αἳ Cαρπηδόνα ναῖον ἐν ὠκεανῷ βαθυδίνῃ,
νῆcον πετρήεccαν).

Τενθρηδών, Πρόθου πατήρ, Φαρκηδών, Ἀπιδών, Μυρμιδών, Ἰccηδών, Ἀcπληδών, Μακεδών καὶ καθόλου τὰ διὰ τοῦ ηδων καὶ εδων εἴτε ἀρcενικὰ εἴτε θηλυκὰ διὰ τοῦ ο τὴν κλίcιν ἔχει. τὸ γὰρ παρὰ τῷ Κυρηναίῳ

τὰ δὲ νῦν πολλὴν τυφεδῶνα
λεcχαίνεις

l. 1 cf. Theogn. 32, 27. l. 19 Mon. 9, 3, cum quo loco cf. Theogn. 32, 11—27; Choer. p. 296, 5—23 canon sic constituitur: τὰ εἰς δων λήγοντα ὀξύτονα τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ οἷον Cαρπηδών Cαρπηδόνος, Μακεδών Μακεδόνος, Μυρμιδών Μυρμιδόνος «ἀνὴρ πολλοῖcιν ἀνάccων Μυρμιδόνεccι» (Φ 188), χωρὶς τοῦ Καλυδών Καλυδῶνος καὶ Ἀμυδών Ἀμυδῶνος· ἔcτι δὲ ταῦτα ὀνόματα ἡρώων, καὶ φυλάττει τὸ ω ἐν τῇ γενικῇ. ἔχει δὲ ἀπολογίαν τοιαύτην, ὅτι ὡμοφώνηcε πόλεcι, τῇ ἡ Ἀμυδών τῆς Ἀμυδῶνος καὶ τῇ ἡ Καλυδών τῆς Καλυδῶνος, καὶ τούτου χάριν ἐφύλαξε τὸ ω κατὰ τὴν γενικὴν ὁμοίως ταῖς πόλεcι. εἴτι γὰρ εἰς δων φυλάττει τὸ ω, τοῦτο εὑρίcκεται ἐν ὁμοφωνίᾳ πόλεως γενόμενον, ὡς ἐπὶ τοῦ Καλυδών Καλυδῶνος καὶ Ἀμυδών Ἀμυδῶνος, οὐκ ἀντιcτρέφοντος τοῦ κανόνος. οὐ γὰρ τὰ ὁμοφωνοῦντα πόλει πάντως φυλάττει τὸ ω ἐν τῇ γενικῇ. ἰδοὺ γὰρ τὸ ὁ Cιδών τοῦ Cιδόνος ὁμοφωνεῖ πόλει τῇ ἡ Cιδών τῆς Cιδῶνος, καὶ ὅμως τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ οἷον ὡς παρὰ τῷ ποιητῇ «ἐπεὶ Cιδό-

ἕνεκα μέτρου τὸ ω ἐφύλαξεν. δεῖ προσθεῖναι «χωρὶς εἰ μὴ παραλήγοιτο τῷ ῡ» διὰ τὸ Καλυδών Καλυδῶνος καὶ Ἀμυδών Ἀμυδῶνος.

Choer. 76, 19: τὰ εἰς ων λήγοντα διςύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ ω̄ ἕν τι τῶν διπλῶν ἢ τὸ c̄ κύρια μὲν ὄντα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς, προσηγορικὰ δὲ ὄντα τρέπει τὸ ω εἰς ō ἐν τῇ γενικῇ. ἔςτω δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· καὶ τῶν μὲν κυρίων οἷον Ῥίζων Ῥίζωνος (ὁ τοῦ Κάδμου υἱός), Ἄζων Ἄζωνος (ποταμὸς Λυκίας καὶ ὄνομα ἀνδρός), Ὄζων Ὄζωνος (ὄνομα ποταμοῦ), Πρήξων Πρήξωνος, Δέξων Δέξωνος, Αἴξων Αἴξωνος, Μύρςων Μύρςωνος, Κτήςων Κτήςωνος, Πράςων Πράςωνος (εἷς τῶν Αἰγύπτου παίδων), Λεύςων Λεύςωνος (ὄνομα δὲ τοῦτο κυνός), Γράςων Γράςωνος (ὄνομα κύριον), ᾧ ὁμοίως κλίνεται καὶ τὸ νῦν ἐν τῇ συνηθείᾳ ἐπιθετικὸν λεγόμενον, Παύςων Παύςωνος, Θράςων Θράςωνος (ταῦτα δέ ἐςτιν ὀνόματα κύρια καὶ διὰ τοῦ ω κλίνεται). τὸ Αἴςων κύριον ὄνομα ὂν διχῶς κλίνεται, καὶ γὰρ διὰ τοῦ ω̄ κατὰ τὸν κανόνα τοῦτον οἷον

Αἴςωνος υἱὸς Κρηθέως ἀφ' αἵματος,

καὶ διὰ τοῦ ō ποιητικῶς διὰ τὸ μέτρον οἷον ὡς παρὰ τῷ ποιητῇ «Αἴςονά τ' ἠδὲ Φέρητα» (λ 258). τὰ μέντοι μὴ ὄντα κύρια διὰ τοῦ ο κλίνεται οἷον μείζων μείζονος, ἄξων ἄξονος, κρείςςων κρείςςονος, πάςςων πάςςονος (ὁ παχύτερος), μάςςων μάςςονος (σημαίνει δὲ τὸν μείζονα), εἰ δὲ καὶ κύριον σημαίνει τοῦτο (σημαίνει ποταμὸν ἐν Πελοποννήςῳ), δηλονότι τὴν αὐτὴν κλίςιν ἐφύλαξε· τὸ καύςων καύςωνος παρώνυμόν ἐςτι παρὰ τὸ καῦςις, καὶ τούτου χάριν φυλάττει τὸ ω̄ ἐν τῇ γενικῇ.

Choer. 77, 12: τὰ εἰς ω̄ν̄ ὑπὲρ δύο συλλαβὰς βαρύτονα ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν διπλῶν ἢ τὸ c̄ διὰ τοῦ ω̄ θέλει κλίνεςθαι οἷον Ἀλίζων Ἀλίζωνος (ἔςτι δὲ ἐθνικόν), Ὀνάςςων Ὀνάςςωνος, Τυλίςων Τυλίςωνος, Τελέςων Τελέςωνος (ἔςτι δὲ ταῦτα ὀνόματα κύρια). σεσημείωται τὸ Ἰάςων Ἰάςονος διὰ τοῦ ō κλιθέν (ἔςτι δὲ ὄνομα κύριον) καὶ ἴςως ὡς ἔχον μακρὸν τὸ ᾱ ἐν τῇ παραληγούςῃ διὰ τοῦ ō ἐκλίθη ὁμοίως τῷ Μαχάων Μαχάονος καὶ Ἱκετάων Ἱκετάονος. τὸ δὲ Ὑψίζων Ὑψίζοντος (ἔςτι δὲ ὄνομα ποταμοῦ) τῷ λόγῳ τῶν μετοχικῶν διὰ τοῦ ντ κλίνεται, τὸ δὲ ὀλίζων ὀλίζονος (ἔςτι δὲ ὁ ὀλιγώτερος) ὡς συγκριτικὸν διὰ τοῦ ō ἐκλίθη, ὁμοίως τὸ μάςςων μάςςονος, κρείςςων κρείςςονος καὶ τὰ ὅμοια.

Τὰ εἰς ω̄ν̄ ὀξύτονα ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν διπλῶν ἢ τὸ c̄ ἐπίθετα ὄντα ἢ ἐθνικὰ τρέπει τὸ ω̄ εἰς ō ἐπὶ τῆς γενικῆς οἷον Αὐςών

νες πολυδαίδαλοι εὖ ἤςκηςαν» (Ψ 743). Quam Herodianus in Mon. Καλυδῶνος Ἀμυδῶνος excuset consona praecedente vocalem ῡ, quum praeterea ap. Eustath. l. paullo ante citato urbis Cιδών legitimum esse genetivum Cιδόνος pronunciet, quam Homerus ad analogiam aliorum urbium in Cιδῶνος transformaverit, hoc Choerobosci adnotamentum quamvis per se praestans ab Herodiano profectum esse non potest, quare ab Apollonio petitum esse existimo. l. 3 coll. Theogn. 33, 8; de Αἴςων St. B. 54, 16 Αἴςων Ἰάςονος πατήρ, οὗ τὸ ὄνομα διὰ τοῦ ω̄ κλίνεται. τὸ δὲ Αἰςονίδης ὡς Ἡςίοδος ἀπὸ τοῦ «Αἴςονά τ' ἠδὲ Φέρητα». l. 25 cf. Theogn. 33, 20. l. 35 Theogn. 38, 18; de Αὐςών cf. Choer. 289, 15, Arc. 14,

Αὐσόνος, πρηξών πρηξόνος· οὕτως γὰρ τοὺς ἀγοραίους καλοῦσι Σικελοί, δραξών δραξόνος, ἀλαζών ἀλαζόνος, ἀμαζών ἀμαζόνος τὸ ἐπίθετον· λέγεται γὰρ καὶ ἀρσενικῶς ὡς παρὰ Καλλιμάχῳ «ἵν' ἀμαζόνες ἄνδρες ἔωσιν». τὸ γὰρ ἐπὶ ἔθνους φυλάττει τὸ ω ἐπὶ γενικῆς. τὸ Ὀλιζών ὀξύτονον ἐπὶ πόλεως διὰ τοῦ ῶ κλίνεται, τὸ δὲ κισσών κισσῶνος διὰ τοῦ ῶ οὐ μάχεται, περιεκτικὸν γάρ.

Choer. 77, 24: τὰ εἰς ων λήγοντα δισύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν δασέων διὰ τοῦ ω κλίνεται. ἔστω δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· μόθων μόθωνος, μάλθων μάλθωνος (ὁ μαλθακός), Ῥίνθων Ῥίνθωνος (ὄνομα κύριον), κώθων κώθωνος (εἶδος ποτηρίου), καὶ τὸ ἐν τῇ συνηθείᾳ ἐφ' ὕβρει λεγόμενον αἴθων αἴθωνος ὁ διάπυρος, Σίθων Σίθωνος πατὴρ Παλλήνης, πίθων πίθωνος ὁ πίθηκος ὑποκοριστικῶς, ῥώθων ῥώθωνος, Τρύφων Τρύφωνος, σίφων σίφωνος, κύφων κύφωνος, Βρύχων Βρύχωνος (ὄνομα ποταμοῦ), Τύχων Τύχωνος (δαίμων παρὰ τὴν Ἀφροδίτην, ἔστι δὲ ὄνομα κύριον), Σόφων Σόφωνος, Ξίφων Ξίφωνος (ὄνομα κυνός), Σπέρχων Σπέρχωνος (ὄνομα κυνός), καὶ τὸ γλήχων γλήχωνος, βαρυνόμενον ἐπὶ τῆς γενικῆς φυλάσσει τὸ ω, εἰ καὶ παρὰ Ἀττικοῖς ὀξύνεται καὶ θηλυκῶς λέγεται.

Choer. 78, 3: τὰ δὲ ὑπὲρ δύο συλλαβὰς μετοχικὰ μὲν ὄντα διὰ τοῦ ντ κλίνεται, καὶ δηλονότι τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ οἷον Φαέθων Φαέθοντος, Πυριφλεγέθων Πυριφλεγέθοντος, Πολυσπέρχων Πολυσπέρχοντος· παρώνυμα δὲ ὄντα διὰ τοῦ ω κλίνεται οἷον ἀγαθός Ἀγάθων Ἀγάθωνος, κίναιθος Κιναίθων Κιναίθωνος. τὸ ἐνοσίχθων ἐνοσίχθονος διὰ τοῦ ο κλιθὲν τοῦ ἁπλοῦ, φημὶ δὴ τοῦ χθών χθονός, τὴν κλίσιν ἐφύλαξεν, ἐνοσίχθων δέ ἐστιν ὁ τὴν γῆν κινῶν.

Τὰ εἰς ων λήγοντα δισύλλαβα ὀξύτονα ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν δασέων διὰ τοῦ ω κλίνεται πιθών πιθῶνος, κιθών κιθῶνος ὁ χιτών, Πυθών Πυθῶνος, τὸ δὲ Σιθών Σιθόνος ὡς ἐθνικὸν τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ.

Καὶ τὰ ὑπὲρ δύο συλλαβὰς ὀξύτονα διὰ τοῦ ω κλίνεται Μαραθών Μαραθῶνος, Ἀργανθών Ἀργανθῶνος ὄνομα ὄρους, Κολοφών Κολοφῶνος. τὸ δὲ κατηφών κατηφόνος τρέπει τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς. τὸ δὲ Ἱπποθῶν περισπώμενον Ἱπποθῶντος διὰ τοῦ ω καὶ διὰ τοῦ ντ κλίνεται.

Choer. 78, 11: τὰ εἰς ων λήγοντα δισύλλαβα βαρύτονα ἔχοντα ψιλὸν σύμφωνον πρὸ τοῦ ω μὴ ὄντα κοινὰ μήτε ἔχοντα θηλυκὸν διὰ τοῦ αινα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς. ἔστω δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· Χάλκων Χάλκωνος (ἔστι δὲ ὄνομα κύριον), Γλαύκων Γλαύκωνος, Λάκων Λάκωνος (ὁ Λακεδαιμόνιος), Δόρκων Δόρκωνος, κνάκων κνάκωνος (καὶ ὁ λευκὸς καὶ ὁ πυρρός), φάλκων φάλκωνος,

17 et 11, 18. l. 7 coll. p. 287, 19, Theogn. 33, 27, Arc. 16, 6 et 15. Σίθων ex St. B. 497, 12. l. 26 Arc. 11, 25, Choer. 287, 29. l. 30 Theogn. 34, 1, κατηφών ex Il. Pr. Ω 253, Ἱπποθῶν Arc. 12, 6.

μήκων μήκωνος, Λάμπων Λάμπωνος (ἔστι δὲ ὄνομα κύριον), σκήπων σκήπωνος, Πλούτων Πλούτωνος (ὁ Ἅιδης), Πλάτων Πλάτωνος, Μέτων Μέτωνος (ὀνόματα δὲ ταῦτα κύρια), Μύτων Μύτωνος (ὁ Μιτυληναῖος), Κρότων Κρότωνος, Κάπων Κάπωνος, Καύκων Καύκωνος (ἔθνος δέ εἰσιν οἱ Καύκωνες), δράπων δράπωνες (ὁ δραπέτης, ὑποκοριστικῶς), Σάπων Σάπωνος, Δούπων Δούπωνος (εἷς τῶν κενταύρων), Ἕρπων Ἕρπωνος (ὄνομα κύριον), Λύπων Λύπωνος (καὶ αὐτὸ ὄνομα κύριον), Κίκων Κίκωνος ὃ διὰ μέτρον διὰ τοῦ ō ἐκλίθη παρὰ τῷ ποιητῇ «Κίκονες Κικόνεσσι γεγώνευν» (ι 47). τὸ δὲ πέπων (σημαίνει δὲ τὸν προσφιλέστατον), καὶ γείτων καὶ τέκτων, κοινά ἐστι τῷ γένει. τὸ δὲ ἄκων ἄκοντος, σημαίνει δὲ τὸ ἀκόντιον, ἐξ οὗ καὶ τὸ «ἐς δοῦπον ἀκόντων» (Υ 451) παρὰ τῷ ποιητῇ, ἔχει θηλυκόν, τὸ ἄκαινα· ὡσαύτως καὶ τὸ δράκων δράκοντος ἔχον θηλυκὸν διὰ τοῦ αινα οἷον δράκαινα διὰ τοῦ ντ ἐκλίθη, καὶ τὸ κύριον δὲ ὄνομα παρ' ἡμῖν τὴν αὐτὴν κλίσιν φυλάττει Δράκοντος τοῦ Στρατονικέως. πρόσκειται «παρ' ἡμῖν», ἐπειδὴ οἱ Αἰολεῖς Δράκωνος εἰρήκασι τὴν γενικὴν διὰ τοῦ ω ἐπὶ τοῦ κυρίου ὀνόματος, τῷ κανόνι τῷ προλεχθέντι ἑπόμενοι (ἐπὶ γὰρ τοῦ θηρίου καὶ αὐτοὶ δράκοντος)· τὸ δὲ Λάκων Λάκωνος εἰ καὶ ἔχει θηλυκὸν διὰ τοῦ αινα τὸ Λάκαινα, ἀλλ' οὖν τῷ κανόνι τῷ προλεχθέντι ἐφύλαξε τὸ ω ἐπὶ τῆς γενικῆς.

Καὶ τὰ ὑπὲρ δύο συλλαβὰς βαρύτονα διὰ τοῦ ω κλίνεται οἷον σαλάκων σαλάκωνος, Χαρίτων Χαρίτωνος, Ἀρίστων Ἀρίστωνος, Κεράτων Κεράτωνος, Μελίτων Μελίτωνος. τὸ Τριάκων (ἔστι δὲ ὄνομα κύριον) διὰ τοῦ ντ ἐκλίθη οἷον Τριάκοντος, καὶ ἴσως ἐπειδὴ γειτνιᾷ τοῦτο τῷ τριάκοντα ἀριθμῷ· τὸ μέντοι θεράπων θεράποντος ὡς ἔχον θηλυκόν, λέγω δὴ διὰ τοῦ αινα, φημὶ δὴ τὸ θεράπαινα, διὰ τοῦ ντ ἐκλίθη ὁμοίως τῷ λέων λέοντος λέαινα.

Τὰ εἰς ων ὀξύτονα ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν ψιλῶν, μὴ ὄντα ἐθνικά, φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς οἷον ἀγκών ἀγκῶνος, κροτών κροτῶνος εἶδος ζῴου φθαρτικοῦ, Πλατανιστών Πλατανιστῶνος ὄνομα ποταμοῦ. πρόσκειται «μὴ ὄντα ἐθνικά» διὰ τὸ Βιστών Βιστόνος, ἐθνικὸν γὰρ καὶ διὰ τοῦ ō κλίνεται. τὸ δὲ εἰκών εἰκόνος θηλυκόν. τὸ δὲ Εὐρυπῶν περισπώμενον διὰ τοῦ ντ κλίνεται.

Choer. 79, 22: τὰ εἰς ων λήγοντα δισύλλαβα βαρύτονα κύρια ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν ἀμεταβόλων φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς, Ἕρμων Ἕρμωνος, Τίμων Τίμωνος, Κόνων Κόνωνος, Ῥήμων Ῥήμωνος, Σίνων Σίνωνος, Φαίνων Φαίνωνος, Ζήνων Ζήνωνος, Μόλων Μόλωνος, Δόλων Δόλωνος, Φίλων Φίλωνος, Γέλων Γέλωνος, Πέλ-

l. 20 coll. Theogn. 34, 6; pro iis quae Choerob. de Κίκων tradit: τὸ Κίκων κύριον μὲν ὂν φυλάττει τὸ ω ἐν τῇ γενικῇ κατὰ τὸν κανόνα τοῦτον οἷον Κίκωνος, ἐθνικὸν δὲ λεγόμενον διὰ τοῦ ο κλίνεται, παραλόγως δὲ ὡς παρὰ τῷ ποιητῇ οἷον «Κίκονες Κικόνεσσι γεγώνευν», exhibui quae Herodianum docuisse diserte refert Eust. 539, 13 cf. fr. 26. l. 21 Choer. 79, 14, Theogn. 34, 19. l. 28 Theogn. 39, 1, Arc. 22, 13, St. B. 171, 10, Mon. 9, 32. l. 34 cf. Theogn. 36, 18.

λων Πέλλωνος, Πύλων Πύλωνος, Χέλλων Χέλλωνος, Θήρων Θήρωνος, Χάρων Χάρωνος, Χείρων Χείρωνος (ἐπὶ τοῦ Κενταύρου· τὸ γὰρ cυγκριτικὸν τρέπει τὸ ω̄ εἰc τὸ ō ἐπὶ τῆc γενικῆc οἷον χείρονος, ἐπὶ τοῦ ἐλάττονος), Μαύρων Μαύρωνος, Νέρων Νέρωνος, Νάρων Νάρωνος (ποταμός)· τὸ γὰρ «Νάρονος ὄχθας» παρὰ τῷ Νικάνδρῳ (Ther. 607) διὰ τὸ μέτρον cυνεcτάλη τὸ ω εἰc τὸ ō ἐν τῇ γενικῇ. cεcημαίωται τὸ Πάμμων Πάμμονος διὰ τοῦ ō κλιθὲν οἷον «Πάμμονά τ' Ἀντίφονόν τε» (Ω 250) (ἔcτι δὲ ὄνομα κύριον). τὰ παρὰ τὸ φρήν φρενός γινόμενα τρέπει τὸ ω εἰc τὸ ō ἐν τῇ γενικῇ οἷον ἄφρων ἄφρονος, cώφρων cώφρονος, Λυκόφρων Λυκόφρονος (ἔcτι δὲ ὄνομα κύριον), περίφρων περίφρονος (ὁ cυνετός), δαΐφρων δαΐφρονος, ἐχέφρων ἐχέφρονος (cημαίνει δὲ ταῦτα τὸν cυνετόν).

Choer. 80, 10: τὰ εἰc ω̄ν̄ λήγοντα προηγουμένου ἀμεταβόλου κοινὰ τῷ γένει διὰ τοῦ ō κλίνεται οἷον πρόφρων πρόφρονος (ὁ πρόθυμος) ὁ πρόφρων καὶ ἡ πρόφρων, ἄφρων ἄφρονος ὁ ἄφρων καὶ ἡ ἄφρων, αἴμων αἴμονος ὁ αἴμων καὶ ἡ αἴμων· cημαίνει δὲ τὸν ἔμπειρον, οἰκτίρμων οἰκτίρμονος, ἐλεήμων, εὐδαίμων, ἀπείρων. cεcημείωται τὸ εἴρων εἴρωνος, ὅτι κοινὸν τῷ γένει ὂν φυλάττει τὸ ω̄. ἔχει δὲ ταύτην τὴν ἀπολογίαν, ὅτι τὰ εἰc ων ἔχοντα τὸ ρ̄ διcύλλαβα ἁπλᾶ μὴ ἔχοντα οὐδέτερον φυλάττει τὸ ω ἐν τῇ γενικῇ οἷον Μάρων Χείρων Νέρων.

Τὰ εἰc λ̄ω̄ν̄ διcύλλαβα βαρύτονα φυλάττει τὸ ω Δρίλων, Φίλων, Μίλων, τίλων, βρίλων ὁ βαλανεύς, Χίλων, Cόλων, Δόλων, κήλων, Μήλων ὁ Ἡρακλῆc, Cάλων, Γέλων, Μέλων, Κύλων, Πύλων. ὡcαύτωc καὶ τὰ ὀξύτονα πυλών μυλών.

Τὰ εἰc λ̄ω̄ν̄ λήγοντα ὑπὲρ δύο cυλλαβὰc ἀρcενικὰ ὀξύτονά τε καὶ βαρύτονα φυλάττει τὸ ω̄ οἷον Ἀπόλλων Ἀπόλλωνος, Ἀcκάλων Ἀcκάλωνος, ἀφ' οὗ καὶ ἡ πόλιc, Κεφάλων Κεφάλωνος, Καcτάλων Καcτάλωνος ὄνομα πόλεωc, Βαβυλών Βαβυλῶνος, ἀμπελών ἀμπελῶνος, καμηλών καμηλῶνος. τὸ δὲ μιμαλλών διὰ τοῦ ō κλινόμενον οὐ μάχεται θηλυκὸν ὄν· δηλοῖ γὰρ τὰc μαινάδαc. τὸ δὲ Ἀτιτάλλων τῶν μετοχῶν ἐφύλαξε τὴν κλίcιν ὡc Ἀτιτάλλοντοc. ὁ γὰρ τοιοῦτοc χαρακτὴρ μετοχῶν ἐcτιν, ἰάλλων, ἰνδάλλων, ἀταcθάλλων, ἀγάλλων.

Τὰ εἰc μ̄ω̄ν̄ διcύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ μ̄ ἀμετάβολον μὴ ὄντα κύρια διὰ τοῦ ō κλίνεται οἷον τέρμων τέρμονος, χάρμων χάρμονος, cίρμων cίρμονος· τὸ δὲ Cάλμων Cάλμωνος καὶ Ἄμμων Ἄμμωνος κύρια.

Τὰ εἰc μ̄ω̄ν̄ διcύλλαβα ἔχοντα πρὸ τοῦ μ̄ cύμφωνον κατὰ cύλληψιν τρέπει τὸ ω̄ Λάκμων Λάκμονος ἡ κορυφὴ τοῦ ὄρους, φράδμων φράδμονος, ἴδμων ἴδμονος, ἄκμων ἄκμονος ἐπί τε κυρίου καὶ προcηγορικοῦ.

l. 13 coll. Theogn. 36, 30 et Choer. 287. 31. l. 21 Theogn. 35, 28. l. 25 Theogn. 63, 3, Mon. 12, 10, Ep. Cr. I 18, 9, E. M. 130, 24. l. 33 Theogn. 34, 30 cf. An. Ox. II 410, 25. l. 37 Theogn. 35, 7, Ep. Cr. I 40, 30 coll. 64, 20.

Τὰ εἰς μων ὑπὲρ δύο cυλλαβὰς παραληγόμενα α βραχεῖ εἴτε ὀξύτονα εἴτε βαρύτονα διὰ τοῦ ω̄ κλίνεται Τελαμών Τελαμῶνος, καλαμών, πλαταμών, Ποτάμων Ποτάμωνος, Νασάμων Νασάμωνος. σεσημείωται τὸ τεράμων τεράμονος διὰ τοῦ ο̄ κλινόμενον.

Τὰ εἰς μων ὑπὲρ δύο cυλλαβὰς ἔχοντα τὴν πρὸ τέλους cυλλαβὴν βραχεῖαν ὑπεσταλμένης τῆς εἰς α παραλήξεως βαρύτονα διὰ τοῦ ω κλίνεται οἷον Ἀρτέμων, Πολέμων, Διδύμων. τὰ δὲ ὀξύτονα διὰ τοῦ ονος κλίνεται οἷον δαιτυμών δαιτυμόνος, Ἰτυμών Ἰτυμόνος, κηδεμών, ἀκρεμών, ἐθνυμών.

Τὰ εἰς μων ὑπὲρ δύο cυλλαβὰς φύσει μακρᾷ παραληγόμενα βαρύνεται καὶ διὰ τοῦ ο̄ κλίνεται οἷον ἀμύμων ἀμύμονος, ἐγκύμων ἐγκύμονος, Φιλήμων, Ἡγήμων.

Τὰ εἰς νων ὑπὲρ δύο cυλλαβὰς βαρύτονα ὡς ἐπὶ τὸ πλεῖστον μετοχικά ἐστι καὶ τὴν τῶν μετοχῶν κλίσιν ἀναδέχεται οἷον Ὑγιαίνων Ὑγιαίνοντος ὄνομα ἰατροῦ, Αὐξάνων Αὐξάνοντος ὄνομα κύριον. τὸ ἀμείνων ἀμείνονος συγκριτικὸν τὴν τῶν συγκριτικῶν κλίσιν ἐφύλαξεν.

Τὰ εἰς νων ὀξύτονα φυλάττει τὸ ω, Κραννών Κραννῶνος, δαφνών δαφνῶνος, ξενών, πλατανών, τὸ δὲ κανών τρέπει τὸ ω εἰς ο̄ κανόνος.

Τὰ εἰς ρων ὀνόματα δισύλλαβα μὴ ὄντα συγκριτικὰ φυλάττει τὸ ω̄ ἐπὶ τῆς γενικῆς οἷον Μύρων Μύρωνος, Χάρων Χάρωνος. τὸ οὖν γέρων οὐκ ἐφύλαξε τὸ ω, διότι ἡ (immo ὡς) μετοχὴ ἐκλίθη. συνηκολούθησε γὰρ τῇ φέρων φέροντος.

Τὰ εἰς ρων ὀνόματα ὑπερδισύλλαβα βαρύτονα διὰ τοῦ ο̄ κλίνεται οἷον Ὑπείρων Ὑπείρονος «Ὑπείρονα ποιμένα λαῶν» (Ε 144), τὸ δὲ Ἱέρων Ἱέρωνος διὰ τοῦ ω κλίνεται, ἔστι γὰρ παρώνυμον παρὰ τὸ ἱερός, τὸ δὲ Ἀχέρων Ἀχέροντος ὡς μετοχὴ ἐκλίθη.

Τὰ εἰς ρων ὀξύτονα τὸ ω̄ φυλάττει, οἰρών οἰρῶνος ἡ χάραξις τοῦ ἀρότρου, Βραυρών Βραυρῶνος. τὸ δὲ Δεξικρῶν καὶ Ἑρμοκρῶν περισπώμενα διὰ τοῦ ντ κλίνεται.

Περὶ κινήσεως τῶν εἰς ων.

Choer. 290, 19: πᾶσα δοτικὴ ἑνικῶν εἰς ν̄ λήγουσα, τροπῇ τοῦ ν εἰς τὸ σ̄ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ οἷον ποιμένι ποιμέσι, αὐχένι αὐχέσι, φρενί φρεσί, σωλῆνι σωλῆσι, Πλάτωνι Πλάτωσι, Δίωνι Δίωσι, Μέμνονι Μέμνοσι, γείτονι γείτοσι, οὕτως οὖν καὶ Θέωνι Θέωσι καὶ σώφρονι σώφροσι. — τὸ δὲ λέων λέοντος ἔχει ἐπὶ δοτικῆς τῶν πληθυντικῶν

l. 1 Arc. 13, 15, Theogn. 37, 9, An. Ox. II 375, 4. l. 5 Arc. 13, 22, Theogn. 37, 9; 35, 20 et 25, An. Ox. II l. c. l. 10 Ep. Cr. I 46, 21, Arc. 13, 12. l. 13 Theogn. 37, 13, Arc. 14, 12. l. 17 Theogn. 39, 12, Arc. 14, 5. l. 19 Ep. Cr. I 97, 25, An. Par. III 312, 25, E. M. 226, 36, ubi Πτέρων Πτέρωνος, Ἄκρων Ἄκρωνος, Ἄμβρων Ἄμβρωνος, σώφρων σώφρονος δὲ κοινόν ἐστι κτλ. l. 23 Choer. 288, 5, de Ἱέρων 286, 14, Ἀχέρων ipso secundum γέρων finxi. l. 27 Theogn. 38, 29, Arc. 15, 5.

λέουσιν. ἀπὸ γὰρ τῆς δοτικῆς τῶν ἑνικῶν κανονίζεται ἡ δοτικὴ τῶν πληθυντικῶν τούτῳ τῷ τρόπῳ· πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα πρὸ τοῦ ῑ λαμβάνουσα τὸ σ̄ καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα σὺν αὐτῷ ἐκφωνεῖσθαι στοιχεῖα τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, ὄφεϊ ὄφεσι, πόλεϊ πόλεσι, βότρυϊ βότρυσι, Πάριδι Πάρισι, Θέτιδι Θέτισι, Πλάτωνι Πλάτωσι, Μέμνονι Μέμνοσι, Ἕκτορι Ἕκτορσι, Νέστορι Νέστορσι· οὕτως οὖν καὶ λέοντι λέουσι τοῦ σ̄ προσελθόντος καὶ ἀποβληθέντων τῶν μὴ δυναμένων σὺν αὐτῷ ἐκφωνηθῆναι στοιχείων, φημὶ δὴ τοῦ ν καὶ τοῦ τ̄. διὰ τοῦτο δὲ ἡ λέουσι δοτικὴ τὸ ῡ προσέλαβεν, ἐπειδὴ ἡ παραλήγουσα τῆς δοτικῆς τῶν πληθυντικῶν οὐ θέλει εἶναι ἐλάττων τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, ἀλλ' ἢ ἴση ἢ μείζων, χωρὶς εἰ μὴ χαρακτὴρ κωλύσῃ καὶ χωρὶς τοῦ χερσί δοτικῆς. ἴση μὲν οἷον λέβητες λεβήτων λέβησι λέβητας λέβητες, Λάχητες Λαχήτων Λάχησι Λάχητας Λάχητες, Πάριδες Παρίδων Πάρισι Πάριδας Πάριδες, ἀκτῖνες ἀκτίνων ἀκτῖσιν ἀκτῖνας ἀκτῖνες· μείζων δὲ οἷον Ἕκτορες Ἑκτόρων Ἕκτορσιν Ἕκτορας Ἕκτορες, Νέστορες Νεστόρων Νέστορσι Νέστορας Νέστορες· ἐπὶ τούτων γὰρ ἡ μὲν παραλήγουσα τῆς δοτικῆς θέσει μακρά ἐστιν, ἡ δὲ παραλήγουσα τῶν ἄλλων πτώσεων φύσει βραχεῖα, τὸ δὲ θέσει μακρὸν μεῖζόν ἐστι τοῦ φύσει βραχέος· καὶ πάλιν Αἴαντες Αἰάντων Αἴασιν Αἴαντας Αἴαντες, Θόαντες Θοάντων Θόασι Θόαντας Θόαντες· ἐπὶ τούτων γὰρ ἡ μὲν παραλήγουσα τῆς δοτικῆς φύσει μακρά ἐστιν, ἡ δὲ παραλήγουσα τῶν ἄλλων πτώσεων θέσει μακρά ἐστι, τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ· καὶ πάλιν Πηλέες Πηλέων Πηλεῦσι Πηλέας Πηλέες, βασιλέων βασιλεῦσι βασιλέας βασιλέες· ἐπὶ τούτων γὰρ ἡ μὲν παραλήγουσα τῆς δοτικῆς φύσει μακρά ἐστιν, ἡ δὲ παραλήγουσα τῶν ἄλλων πτώσεων φύσει βραχεῖα, τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ φύσει βραχέος. τούτων οὕτως ἐχόντων, εἰ μὴ προσέλαβε τὸ υ ἡ λέουσι δοτική, ἤμελλεν ἐλάττονα ἔχειν τὴν ἰδίαν παραλήγουσαν τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, ὅπερ ἐστὶν ἄτοπον. ἡ μὲν γὰρ παραλήγουσα τῶν ἄλλων πτώσεων θέσει μακρά ἐστιν οἷον λέοντες λεόντων λέοντας λέοντες, ἡ δὲ παραλήγουσα τῆς δοτικῆς τούτων, εἰ μὴ προσέλαβε τὸ ῡ, φύσει βραχεῖα εὑρίσκετο· τὸ δὲ θέσει μακρὸν μεῖζόν ἐστι τοῦ φύσει βραχέος. τούτου οὖν χάριν προσέλαβεν ἡ δοτικὴ τῶν πληθυντικῶν τὸ ῡ, ἵνα μὴ εὑρεθῇ ἔχουσα τὴν ἰδίαν παραλήγουσαν ἐλάττονα τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, καὶ ἐγένετο λέουσιν. τοῦ γὰρ ῡ προσελθόντος οὐκέτι εὑρίσκεται ἐλάττων ἡ παραλήγουσα τῆς δοτικῆς τῶν πληθυντικῶν τῆς παραληγούσης τῶν ἄλλων πτώσεων, ἀλλὰ τοὐναντίον καὶ μείζων· τὸ γὰρ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ. πρόσκειται «χωρὶς εἰ μὴ χαρακτὴρ κωλύσῃ»· ἐπειδή ἐστι κήρυκες κηρύκων κήρυξι κήρυκας κήρυκες καὶ Φοίνικες Φοινίκων Φοίνιξι Φοίνικας Φοίνικες. καὶ ἰδοὺ ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν ἐλάττονα ἔχει τὴν ἰδίαν παραλήγουσαν τῆς παραληγούσης τῶν ἄλλων πτώσεων. ἡ μὲν γὰρ δοτικὴ θέσει μακρὸν ἔχει τὸ ῑ, αἱ δὲ ἄλλαι πτώσεις φύσει

μακρὸν ἔχουσιν αὐτό, τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ. διὰ τοῦτο δὲ ἡ δοτικὴ τῶν πληθυντικῶν θέσει μακρὸν ἔχει τὸ δίχρονον οἷον Φοίνιξι καὶ κήρυξιν, ἐπειδὴ τὸ ῑ καὶ ῡ οὐδέποτε εὑρίσκεται πρὸ τοῦ ξ̄ φύσει μακρὰ οἷον πέρδιξ, τέττιξ, Βέβρυξ, ὄνυξ, «χωρὶς εἰ μὴ λόγῳ ἀρχούσης παρῳχημένων» διὰ τὸ ἰξεύω ἴξευον. τὸ μὲν γὰρ ἰξεύω θέσει μακρὸν ἔχει τὸ ῑ, τὸ δὲ ἴξευον φύσει μακρόν, τῷ λόγῳ τῆς ἀρχούσης τῶν παρῳχημένων. οἱ γὰρ παρῳχημένοι ἢ χρονικῶς ἢ συλλαβικῶς θέλουσι μεγεθύνεσθαι· συλλαβικῶς μὲν οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον, λέγω ἔλεγον· χρονικῶς δὲ οἷον ἄγω ἦγον, ἄρχομαι ἠρχόμην, ἅπτω ἧπτον. ἐν οἷς οὖν τὸ ἰξεύω ἴξευον οὐκ ἠδύνατο μεγεθυνθῆναι συλλαβικῶς, οὐδὲ γὰρ ἄρχεται ὁ ἐνεστὼς ἀπὸ συμφώνου, ἐξ ἀνάγκης χρονικῶς ἐμεγεθύνθη, καὶ τούτου χάριν φύσει μακρὸν ἔχει τὸ ῑ. πρόσκειται «χωρὶς τῆς χερσὶ δοτικῆς τῶν πληθυντικῶν», ἐνταῦθα γὰρ ἐλάττων ἐστὶν ἡ παραλήγουσα τῆς δοτικῆς τῶν πληθυντικῶν τῆς παραληγούσης τῶν ἄλλων πτώσεων. ἡ μὲν γὰρ παραλήγουσα τῆς δοτικῆς θέσει μακρά ἐστιν, ἡ δὲ παραλήγουσα τῶν ἄλλων πτώσεων φύσει μακρά ἐστιν οἷον χεῖρες χειρῶν χεῖρας χεῖρες· τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ. τὸ δὲ χερσί μόνως λέγομεν τὴν δοτικὴν τῶν πληθυντικῶν καὶ οὐχὶ χειρσί διὰ τῆς ει διφθόγγου, ἐπειδὴ οὐδέποτε μετὰ τοῦ χ̄ εὑρίσκεται δίφθογγος καταλήγουσα εἰς ρ̄ συμφώνου ἐπιφερομένου οἷον χάρμα, «αὐλῆς ἐν χόρτῳ» (Λ 774), «χέρνιβα δ' ἀμφίπολος» (α 136). καὶ πῶς ἀναλυομένου (an ἀναπολουμένου?) τούτου τοῦ λόγου καὶ ἐπὶ τοῦ φ̄ — καὶ γὰρ οὐδὲ μετὰ τοῦ φ̄ εὑρίσκεται δίφθογγος καταλήγουσα εἰς ρ̄ συμφώνου ἐπιφερομένου — ἡ φθειρσί δοτικὴ συνέστη παρὰ Ἀρχιλόχῳ «φθειρσὶ μοχθίζοντα»; λέγομεν οὖν ὅτι ἡ χείρ ἐπὶ τῆς γενικῆς καὶ χειρός καὶ χερός κατὰ ἀποβολὴν τοῦ ῑ, ἡ δὲ φθειρός οὐ διὰ τοῦ ε̄, διὰ τοῦτο οὐδὲ φθερσί.

Choer. 293, 17: ἄξιον δέ ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν ἐν τῇ λέουσι δοτικῇ τῶν πληθυντικῶν τὸ ῡ ἐπλεόνασε καὶ μὴ ἄλλο φωνῆεν· καὶ ἔστιν εἰπεῖν ὅτι διὰ τοῦτο τὸ ῡ ἐπλεόνασεν, ἐπειδὴ τὸ ō διὰ τῆς προσθήκης τοῦ ῡ μεγεθύνεσθαι πέφυκεν οἷον τύπτοντος τύπτουσα, λέγοντος λέγουσα, γράφοντος γράφουσα, καὶ αὐτὸ δὲ τὸ ὄνομα τοῦ στοιχείου διὰ τοῦ ō καὶ ῡ γράφεται καὶ ἐκφωνεῖται· τὸ δὲ ε̄ ἐκ τῆς προσθήκης τοῦ ῑ, ἤγουν ἐκ τοῦ ἐναντίου, πέφυκε μεγεθύνεσθαι οἷον τυφθέντος τυφθεῖσα, δαρέντος δαρεῖσα, νυγέντος νυγεῖσα, καὶ αὐτὸ δὲ τὸ ε̄, τὸ ὄνομα τοῦ στοιχείου, διὰ τοῦ ε̄ καὶ ῑ γράφεται καὶ ἐκφωνεῖται. ἐπειδὴ οὖν διὰ τῆς προσθήκης τοῦ ῡ πέφυκε μεγεθύνεσθαι τὸ ō, τούτου χάριν ἐν τῇ λέουσι δοτικῇ τῶν πληθυντικῶν τὸ ῡ ἐπλεόνασεν καὶ οὐκ ἄλλο φωνῆεν.

Καὶ πάλιν ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὸ ō προσέλαβε τὸ ῡ ἐν τῇ λέουσι δοτικῇ καὶ μὴ μᾶλλον ἐτράπη τὸ ō εἰς τὸ ω̄. ἔστιν οὖν εἰπεῖν ὅτι οὐκ ἠδύνατο τραπῆναι τὸ ō εἰς τὸ ω̄ ἐν τῇ λέουσι

l. 18 extremam partem de χερσί explevi ex Ep. Cr. I 441, 10.

δοτικῇ, ἐπειδὴ ἡνίκα ἔχῃ ἡ δοτικὴ τῶν πληθυντικῶν τὸ ω̄, καὶ ἡ δοτικὴ τῶν ἑνικῶν αὐτὸ ἔχει οἷον Τρύφωνι Τρύφωcι, Πλάτωνι Πλάτωcι, Θέωνι Θέωcι, Δίωνι Δίωcι· τῆς οὖν δοτικῆς τῶν ἑνικῶν τῆς λέοντι διὰ τοῦ ο̄ οὔcης, πῶς δύναται ἡ δοτικὴ τῶν πληθυντικῶν διὰ τοῦ ω εἶναι; ὅτε γὰρ ἡ δοτικὴ τῶν ἑνικῶν τὸ ο̄ ἔχει, καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν τὸ ο̄ ἔχει οἷον cώφρονι cώφροcι, γείτονι γείτοcι, τέκτονι-τέκτοcι. προcλαμβάνει οὖν τὸ υ ἡ δοτικὴ τῶν πληθυντικῶν καὶ γίνεται λέουcι, καὶ λοιπὸν φυλάττει τὸ ο̄ τῆς δοτικῆς τῶν ἑνικῶν, καὶ μείζονα χρόνον εὑρίcκεται ἔχουcα κατὰ τὴν παραλήγουcαν τῆς παραληγούcης τῶν ἄλλων πτώcεων.

Περὶ τῶν εἰς ξ̄.

Choer. 302, 14: τὰ εἰς ξ̄ καὶ εἰς ψ τὸ φωνῆεν τὸ ἐν τῇ εὐθείᾳ φυλάττει καὶ ἐν τῇ γενικῇ οἷον νάρθηξ νάρθηκος, cκώληξ cκώληκος, Κύκλωψ Κύκλωπος, μώλωψ μώλωπος, χωρὶς τοῦ ἀλώπηξ ἀλώπεκος (τοῦτο γὰρ ἔτρεψε τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ γενικῇ). καὶ ἀντιcτρέφει ὁ κανών· δύναται γάρ τις εἰπεῖν ὅτι καὶ τὸ φωνῆεν τὸ ἐν τῇ γενικῇ ἐcτι καὶ ἐν τῇ εὐθείᾳ ἐπὶ τῶν εἰς διπλοῦν ληγόντων, οἷον ἡ Πέλοπος γενικὴ διὰ τοῦ ο̄ ἔχει γραφήν, ἀλλὰ καὶ ἡ Πέλοψ εὐθεῖα ὁμοίως διὰ τοῦ ο̄ γράφεται, καὶ πάλιν Κύκλωπος διὰ τοῦ ω̄ καὶ Κύκλωψ ὁμοίως· χωρὶς τοῦ ἀλώπηξ ἀλώπεκος. ἔχει δὲ ταῦτα τὰ εἰς διπλοῦν λήγοντα cύμφωνον τὴν κλίcιν ἢ διὰ δαcέος ἢ ψιλοῦ ἢ μέcου. καὶ τὰ μὲν εἰς ξ̄ διὰ τῆς δευτέρας cυζυγίας τῶν βαρυτόνων ἐκφέρεται, τουτέcτι διὰ τοῦ γ̄ ἢ κ̄ ἢ χ̄· οἷον ὄρτυξ ὄρτυγος, κόραξ κόρακος, ὄνυξ ὄνυχος· τὰ δὲ εἰς ψ̄ λήγοντα διὰ τῆς πρώτης cυζυγίας τῶν βαρυτόνων ἐκφέρεται, τουτέcτι διὰ τοῦ β̄ ἢ π̄ ἢ φ̄ οἷον Ἄραψ Ἄραβος, κύκλωψ κύκλωπος, Κίνυψ Κίνυφος.

Choer. 302, 26: ἄξιον δέ ἐcτι ζητῆcαι, τί δήποτε τὰ εἰς ξ̄ λήγοντα διὰ τοῦ γ̄ ἢ διὰ τοῦ κ̄ ἢ διὰ τοῦ χ̄ κλίνεται οἷον τέττιξ τέττιγος, πέρδιξ πέρδικος, ὄνυξ ὄνυχος· καὶ τὰ εἰς ψ λήγοντα διὰ τοῦ β̄ ἢ π̄ ἢ φ̄ κλίνεται οἷον Ἄραψ Ἄραβος, Πέλοψ Πέλοπος, Κίνυψ Κίνυφος. ἐν ταυτῷ δὲ ζητοῦμεν, διατί τὰ εἰς c̄ λήγοντα καὶ περιττοcυλλάβως κλινόμενα διὰ τοῦ δ̄ ἢ διὰ τοῦ θ̄ ἢ διὰ τοῦ τ̄ ἢ διὰ καθαροῦ οc̄ κλίνεται οἷον Πάρις Πάριδος, ὄρνις ὄρνιθος, Λάχης Λάχητος, βότρυς βότρυος. ἔcτιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι ἀναλογεῖ ὁ μέλλων τῇ εὐθείᾳ, ὁ δὲ ἐνεcτὼς τῇ γενικῇ. ἐπειδὴ οὖν ὅταν ὁ ἐνεcτὼς διὰ τοῦ β̄ ἢ π̄ ἢ φ̄ ἐκφέρηται, τότε ὁ μέλλων διὰ τοῦ ψ̄ εἰcφέρεται οἷον λείβω λείψω, τέρπω τέρψω, γράφω γράψω, τούτου χάριν καὶ ὅταν ἡ εὐθεῖα διὰ τοῦ ψ ἐκφέρηται, τότε ἡ γενικὴ διὰ τοῦ β̄ ἢ π̄ ἢ φ εἰcφέρεται οἷον Ἄραψ Ἄραβος, Κύκλωψ Κύκλωπος, Κίνυψ Κίνυφος· καὶ ἐπειδὴ πάλιν ὅταν ὁ ἐνεcτὼς διὰ τοῦ γ̄ ἢ κ̄ ἢ χ̄ ἐκφέρηται, τότε ὁ μέλλων διὰ τοῦ

l. 15—20 verba καὶ ἀντιcτρέφει — ἀλώπηξ ἀλώπεκος ex Choer. 321, 31 huc transtuli.

ξ̄ εἰσφέρεται οἷον λέγω λέξω, πλέκω πλέξω, τρέχω θρέξω, τούτο χάριν καὶ ὅταν ἡ εὐθεῖα διὰ τοῦ ξ̄ ἐκφέρηται, τότε ἡ γενικὴ διὰ τοῦ γ̄ ἢ χ̄ ἢ κ̄ εἰσφέρεται οἷον τέττιξ τέττιγος, πέρδιξ πέρδικος, ὄνυξ ὄνυχος. καὶ ἐπειδὴ πάλιν ὅταν ὁ ἐνεστὼς διὰ τοῦ θ̄ ἢ δ̄ ἢ τ̄ ἢ διὰ καθαροῦ τοῦ ω̄ ἐκφέρηται, τότε ὁ μέλλων διὰ τοῦ ς εἰσφέρεται οἷον ᾄδω ᾄσω, πείθω πείσω, ἀνύτω ἀνύσω, ἀκούω ἀκούσω, τούτου χάριν καὶ ὅταν ἡ εὐθεῖα διὰ τοῦ ς̄ ἐκφέρηται καὶ περιττοσυλλάβως κλίνηται, τότε ἡ γενικὴ διὰ τοῦ δ ἢ θ̄ ἢ τ̄ ἢ διὰ καθαροῦ τοῦ ος εἰσφέρεται οἷον Πάρις Πάριδος, ὄρνις ὄρνιθος, Λάχης Λάχητος, βότρυς βότρυος.

Τὰ εἰς ξ̄ μονοσύλλαβα μετὰ διφθόγγου διὰ τοῦ κ̄ κλίνεται, προίξ προικός, γλαῦξ γλαυκός, Ταῦξ Ταυκός. ὑγιῶς ἄρα τὸ Γραίξ Γραικός, Ῥαίξ Ῥαικός, Θρᾷξ Θρᾳκός· οὐχ ὑγιῶς δὲ τὸ αἴξ αἰγός, ἀλλ' ἐπειδὴ μόνον ἀπὸ φωνήεντος ἤρξατο, παραλλάξαν κατὰ τὴν ἄρχουσαν ἤλλαξε καὶ κατὰ τὴν κλίσιν.

Τὰ εἰς ξ̄ μονοσύλλαβα, μὴ μετὰ τοῦ γ̄, ἔχοντα τὸ ᾱ συνεσταλμένον διὰ τοῦ κ̄ κλίνεται δράξ δρακός, σάρξ σαρκός, πτάξ πτακός, Πράξ Πρακός, σπάξ σπακός. ἀναλόγως ἄρα τὸ πλάξ πλακός. παραλόγως δὲ τὸ γλάξ γλαγός. ἔστι δὲ βοτάνη γάλακτος αὐξητική. ὡρισάμεθα δὲ «μὴ μετὰ τοῦ γ̄» διὰ τὸ στράγξ καὶ «ἔχοντα τὸ ᾰ συνεσταλμένον» διὰ τὸ ῥάξ τὸ ἐπὶ τῆς σταφυλῆς.

Τα εἰς ξ̄ λήγοντα μονοσύλλαβα ἔχοντα ἕν τι τῶν φύσει μακρῶν διὰ τοῦ κ̄ κλίνεται, πτώξ πτωκός, ὁ λαγωός, ὦλξ ὠλκός, πρώξ πρωκός, βῶξ βωκός, κήξ κηκός καὶ σφήξ σφηκός. ἡμάρτηται ἄρα τὸ βήξ βηχός διὰ τοῦ χ̄· τινὲς δὲ εἶπον καὶ βηκός. ἀλλ' οὐχ εὕρηται ἐν χρήσει· δεῖ δὲ κατὰ πάντα τὰς τῆς χρήσεως φωνὰς τηρεῖν.

Τὰ εἰς ξ̄ λήγοντα μονοσύλλαβα ἔχοντα ἕν τι τῶν φύσει βραχέων διὰ τοῦ κ̄ κλίνεται, κρέξ κρεκός, δόρξ δορκός, κρόξ κροκός, ἔνθεν ἡ αἰτιατικὴ «πολλὴν κρόκα» (Hes. Opp. 538), πρόξ προκός. τί οὖν τὸ φλόξ; οὐκ ἔστι μόνον, ἀλλὰ καὶ τὸ Λέξ Λεγός· ἐπεὶ ταῦτα ῥηματικά ἐστι, τὸ μὲν ἀπὸ τοῦ φλέγω, τὸ δὲ ἀπὸ τοῦ λέγω. ἐπεὶ οὖν τὰ ῥήματα διὰ τοῦ γ̄ ἐστίν, ὁμοίως καὶ τὰ ὀνόματα· ἢ καὶ ἄλλως, ἐπεὶ τὸ λ ἔχει, οὐδὲν δὲ τῶν ἄλλων τὸ λ εἶχεν· ὥστε οὖν κατὰ δύο τρόπους παραλλάσσεται ἢ ἀπὸ γενέσεως ἢ ἀπὸ στοιχείου τοῦ λ̄.

Choer. 303, 28: τὰ εἰς αξ̄ λήγοντα ὑπὲρ μίαν συλλαβὴν ἁπλᾶ διὰ τοῦ κ̄ κλίνεται οἷον θώραξ θώρακος, φύλαξ φύλακος, κόραξ κόρακος, ἄναξ ἄνακος (καὶ πλεονασμῷ τοῦ τ̄ ἄνακτος), αὖλαξ αὔλακος, πῖδαξ πίδακος (σημαίνει δὲ τὴν πηγήν), κλῖμαξ κλίμακος. πρόσκειται «ἁπλᾶ» διὰ τὰ σύνθετα οἷον διὰ τὸ ἀποσφάξ ἀποσφάγος (ἔστι δὲ παρὰ τὸ σφάζω), νεκρο-

l. 10 An. Ox. III 243, 9, Lob. Parall. p. 99. Θρᾷξ addidi ex Arc. 125, 7 et Ep. Cr. I 25, 5 ubi πάντων τῶν εἰς αιξ̄ ληγόντων μονοσυλλάβων ὀνομάτων τοῦτο (τό αἴξ) μόνον διὰ τοῦ γ̄ κλίνεται. l. 15 An. Ox. III 243, 14 cf. Dichr. 284, 20, An. Ox. II 411, 11, Lob. Parall. 94 seqq. l. 21 An. Ox. III 243, 21. l. 26 An. Ox. III 243, 27.

βαστάξ νεκροβαστάγος (ἔστι δὲ παρὰ τὸ βαστάζω). σύνθετα δὲ δεῖ νοεῖν οὐχὶ τὰ ἀπὸ τῶν εἰς αξ̄ ἁπλῶν σύνθετα, ἀλλὰ τὰ ἀπὸ ἄλλων τινῶν σύνθετα, ὡς ἐπὶ τοῦ ἀποσφάξ καὶ νεκροβαστάξ. τὰ γὰρ ἀπὸ τῶν εἰς αξ̄ ἁπλῶν σύνθετα τὴν τῶν ἁπλῶν φυλάττει κλίσιν οἷον φύλαξ φύλακος χαρτοφύλαξ χαρτοφύλακος, θώραξ θώρακος λινοθώραξ λινοθώρακος, Φαίαξ Φαίακος φιλοφαίαξ φιλοφαίακος, ἅρπαξ ἅρπαγος φιλάρπαξ φιλάρπαγος. σεσημείωται τὸ ἅρπαξ ἅρπαγος διὰ τοῦ γ̄ κλιθὲν καὶ τὸ κέκραξ κέκραγος (σημαίνει δὲ τὸν κρακτικόν), ἔχει δὲ ἀπολογίαν τοῦ διὰ τοῦ γ̄ κλίνεσθαι, ὅτι παράκειται αὐτοῖς ῥῆμα εἰς ζω̄ λῆγον, φημὶ δὴ τὸ ἁρπάζω καὶ κράζω. τὰ δὲ εἰς ξ̄ λήγοντα ἔχοντα ῥῆμα ἀντιπαρακείμενον εἰς ζω̄ λῆγον διὰ τοῦ γ̄ κλίνεται οἷον βαστάζω νεκροβαστάξ νεκροβαστάγος, σφάζω ἀποσφάξ ἀποσφάγος, μαστίζω μάστιξ μάστιγος· οὕτως οὖν καὶ ἁρπάζω ἅρπαξ ἅρπαγος καὶ κράζω κέκραξ κέκραγος. ἔτι σεσημείωται τὸ Ἄτραξ Ἄτραγος (ἔστιν δὲ ἔθνος) διὰ τοῦ γ̄ κλιθέν, ὡς Εὔπολις «εἰς Ἄτραγα νύκτωρ», περὶ οὗ ἔστιν εἰπεῖν ὅτι τοῦτο ἀναλογώτερόν ἐστι διὰ τοῦ κ̄ κλινόμενον οἷον Ἄτρακος, ὡς παρὰ Καλλιμάχῳ

Ἀτράκιον δὲ (an δ' ἄρ'?) ἔπειτα λυκοσπάδα πῶλον ἐλαύνει,

καὶ παρὰ Λυκόφρονι (v. 1309) «καὶ δευτέρους ἔπεμψαν Ἄτρακας λύκους».

Choer. 304, 23: ἔτι σεσημείωται τὸ λάλαξ λάλαγος διὰ τοῦ γ̄ κλιθέν, περὶ οὗ ἔστιν εἰπεῖν ὅτι ἀπὸ τοῦ λαλαγή ἐγένετο τοῦ σημαίνοντος τὸν θόρυβον, καὶ ἐφύλαξεν ἐν τῇ κλίσει τὸ σύμφωνον τοῦ λαλαγή, φημὶ δὴ τὸ γ̄. τὸ λάταξ λάταγος (θηλυκόν ἐστι καὶ σημαίνει τὴν μεγάλην σταγόνα) οὐκ ἀντίκειται τῷ κανόνι, πρῶτον μὲν ὅτι σύνθετόν ἐστιν (ἀπὸ γὰρ τοῦ στάζω στάξω γέγονεν ἐν συνθέσει κατ' ἐπίτασιν τοῦ λα̅ μορίου λάσταξ καὶ κατὰ ἀποβολὴν τοῦ c̄ λάταξ), περὶ δὲ ἁπλῶν διαλαμβάνει ὁ κανών, «ἁπλᾶ» γὰρ πρόσκειται ἐν τῷ κανόνι· δεύτερον δέ, παράκειται αὐτῷ ῥῆμα εἰς ζω̄ λῆγον, φημὶ δὴ τὸ στάζω, καὶ τούτου χάριν διὰ τοῦ γ̄ κλίνεται· εἰρήκαμεν γὰρ ὅτι τὰ εἰς ξ̄ λήγοντα ἔχοντα ῥῆμα παρακείμενον εἰς ζω̄ λῆγον διὰ τοῦ γ̄ κλίνεται οἷον μαστίζω μάστιξ μάστιγος, ἁρπάζω ἅρπαξ ἅρπαγος, οὕτως οὖν καὶ στάζω στάξ καὶ κατ' ἐπίτασιν τοῦ λα̅ μορίου καὶ κατὰ ἀποβολὴν τοῦ c̄ λάταξ λάταγος.

Choer. 308, 22: τὰ εἰς ηξ̄ ὑπὲρ μίαν συλλαβὴν ἁπλᾶ διὰ τοῦ κ̄ κλίνεται οἷον σκώληξ σκώληκος, μύρμηξ μύρμηκος, νάρθηξ νάρθηκος. πρόσκειται «ὑπὲρ μίαν συλλαβὴν» διὰ τὸ ἡ βήξ τῆς βηχός μονοσύλλαβον. εἰ δέ ἐστι σύνθετα, ἀπὸ ῥήματος δηλονότι, διὰ τοῦ γ̄ κλίνεται καὶ φυλάττει μίαν συλλαβὴν τοῦ ῥήματος ἐξ οὗ γίνεται οἷον πλήξω οἰστροπλήξ οἰστροπλῆγος, παραπλήξ παραπλῆγος, λαοπλήξ λαοπλῆγος, ἀκανθοπλήξ ἀκανθοπλῆγος, βουπλήξ βουπλῆγος. ταῦτα δὲ πάντα σύνθετα ἀπὸ ῥήματος ὀξύτονά ἐστι καὶ ἐπίθετα καὶ κοινὰ τῷ γένει οἷον ὁ κυματοπλήξ καὶ ἡ κυματοπλήξ, ὁ παραπλήξ καὶ ἡ παραπλήξ, ὁ οἰστρο-

l. 15 Eupolidis et Lycophronis exempla addidi ex St. B. l. 25 κατ' ἐπίτασιν scripsi pro κατ' ἐπέκτασιν coll. E. M. 557, 56.

πλήξ καὶ ἡ οἰστροπλήξ· τὸ μέντοι ὕcπληξ καὶ ἀντίπηξ βαρύνεται, ἐπειδὴ προσηγορικά ἐcτι καὶ μόνου θηλυκοῦ γένουc ἐcτι· τὴν δὲ κλίcιν καὶ αὐτὰ διὰ τοῦ γ̄ ἔχει οἷον ὕcπληξ ὕcπληγοc καὶ ἀντίπηξ ἀντίπηγοc (ἡ ὕcπληξ δέ ἐcτιν ἡ ἀφετηρία τοῦ δρόμου, ὕcπληξ δὲ παρὰ τὸ πλήττω καὶ τὴν ὑπό πρόθεcιν γέγονεν ὑπόπληξ καὶ cυγκοπῇ τοῦ ō καὶ πλεοναcμῷ τοῦ c̄ γέγονεν ὕcπληξ, ὡc ὑπότεροc ὕcτεροc· τὸ δὲ ἀντίπηξ cημαίνει τὴν κιβωτὸν καὶ παρὰ τὴν ἀντί πρόθεcιν καὶ τὸ πήccω γέγονεν). τὸ μολιβδοτήξ δέ τινεc βαρύνουcι παραλόγωc, κλίνεται δὲ διὰ τοῦ κ̄ οἷον μολιβδοτῆκοc, ἐπειδὴ παρὰ τὸ τήκω ἔχει τὴν cύνθεcιν, τούτου χάριν τὸ cύμφωνον τοῦ τήκω ἐφύλαξε κατὰ τὴν κλίcιν, φημὶ τὸ κ̄. πρόcκειται ἀνωτέρω «εἰ δέ ἐcτι cύνθετα ἀπὸ ῥήματοc δηλονότι» διὰ τὸ χηναλώπηξ, τοῦτο γὰρ ἀπὸ τοῦ ἀλώπηξ cυντέθειται, καὶ τὸν τόνον καὶ τὴν κλίcιν τοῦ ἁπλοῦ ἐφύλαξεν οἷον ἀλώπηξ ἀλώπεκοc καὶ χηναλώπηξ χηναλώπεκοc.

Choer. 310, 7: τὰ εἰc ῑξ̄ ἀρcενικὰ ἁπλᾶ ὑπὲρ μίαν cυλλαβὴν διὰ τοῦ κ̄ κλίνεται οἷον πέρδιξ πέρδικοc, Φοῖνιξ Φοίνικοc, Κίλιξ Κίλικοc, πλὴν τοῦ τέττιξ τέττιγοc, τοῦτο γὰρ διὰ τοῦ γ̄ κλίνεται. τὸ δὲ κεχρεωcτημένον ἀνεπλήρωcαν οἱ Δωριεῖc καὶ οἱ Ἀθηναῖοι διὰ τοῦ κ̄ κλίνοντεc αὐτὸ οἷον τέττικοc. τὸ ὄρνιξ ὄρνιχοc διὰ τοῦ χ̄ κλινόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔcτι κοινολεκτούμενον ἀλλὰ κατὰ διάλεκτον· τὸ γὰρ ὄρνιc ὄρνιξ λέγουcιν οἱ Δωριεῖc. τοῦτο δὲ καὶ ἐν τῇ εἰc c̄ καταλήξει παράλογόν ἐcτι· τῷ γὰρ λόγῳ τῶν εἰc ῑc̄ προcηγορικῶν διὰ καθαροῦ τοῦ ōc̄ ὤφειλε κλίνεcθαι οἷον ὄρνιc ὄρνιοc, ὥcπερ μάντιc μάντιοc καὶ ὄφιc ὄφιοc. ἀλλ' ἔcτιν εἰπεῖν ὅτι ἐcτί τινα εἰc ῑc̄ λήγοντα ἔχοντα πρὸ τοῦ ῑ δύο ἀμετάβολα, ἅτινα διὰ τοῦ θοc̄ κλίνεται οἷον δέλλιc δέλλιθοc (ἔcτι δὲ ζῷον ὅμοιον μελίccῃ), μέρμιc μέρμιθοc (cημαίνει δὲ τὸ λεπτὸν cχοινίον), οὕτωc οὖν καὶ ὄρνιc ὄρνιθοc. πρόcκειται ἐν τῷ κανόνι «ὑπὲρ μίαν cυλλαβὴν» διὰ τὸ θρίξ τριχόc· τοῦτο γὰρ διὰ τοῦ χ̄ κλίνεται, ἀλλ' οὐκ ἔcτιν ὑπὲρ μίαν cυλλαβήν. πρόcκειται «ἀρcενικὰ» διὰ τὸ μάcτιξ μάcτιγοc, τοῦτο γὰρ διὰ τοῦ γ̄ κλίνεται, ἀλλ' οὐκ ἔcτιν ἀρcενικόν. πρόcκειται «ἁπλᾶ» διὰ τὰ cύνθετα· ἐπειδὴ ταῦτα τὴν τῶν ἁπλῶν φυλάττει κλίcιν οἷον θρίξ τριχόc καλλίθριξ καλλίτριχοc, cτίξ cτιχόc (cημαίνει δὲ τὴν τάξιν) ὁμόcτιξ ὁμόcτιχοc, Φοῖνιξ Φοίνικοc Λιβοφοῖνιξ Λιβοφοίνικοc, ἧλιξ ἥλικοc ὁμῆλιξ ὁμήλικοc.

Choer. 80, 16: τὰ εἰc ῡξ̄ διcύλλαβα φύcει μακρᾷ παραληγόμενα ἁπλᾶ μὴ ὄντα θηλυκὰ διὰ τοῦ κ̄ κλίνεται οἷον αἶθυξ αἴθυκοc (ὁ εὐκίνητοc) παρὰ τὸ αἰθύccω (ἔcτι δὲ καὶ ὄνομα ἔθνουc καὶ κύριον), βαῖβυξ

l. 3 etymologiam vocis ὕcπληξ refiuxi secutus vestigia Herodianea in locis a Lehrsio ad Herod. p. 70 citatis Ep. Hom. 417 et 470, quum Choerob. praeter alteram originationem quam omisi ab ὗc et πλήccω hanc ab ὑπό diverse ab Herodiano sic proferat: παρὰ τὴν ὑπό πρόθεcιν γέγονεν ὑπόπληξ καὶ cυγκοπῆc γενομένηc τῆc πο cυλλαβῆc καὶ πλεοναcμῷ τοῦ c̄ γέγονεν ὕcπληξ ὡc ὑπότεροc ὕcτεροc. l. 36 de αἶθυξ cf. Lehrs Herod. p. 346, idem Κῆϋξ suasit pro *Ιυξ.

βαίβυκος (βαίβυκες δὲ λέγονται οἱ πελεκᾶνες), δοῖδυξ δοίδυκος (ὁ τριβεύς), θρᾶνυξ θράνυκος (ἐπὶ τοῦ θρόνου παρὰ Κορίννῃ), θρῆνυξ θρήνυκος (ἐπὶ τοῦ αὐτοῦ, καὶ ἔστιν ἡ χρῆσις παρ' Εὐφορίωνι ἐν Πολυχάρει), ἶβυξ ἴβυκος (ἔστι δὲ εἶδος ὀρνέου), ἶδυξ ἴδυκος (ἐπὶ τῆς ἴκτιδος, ὡς Ἀλέξανδρος ὁ Μύνδιος), κῆρυξ κήρυκος, Κήϋξ Κήϋκος (ἔστι δὲ ὄνομα κύριον), κῶδυξ κώδυκος (ἐπὶ τοῦ κωδύου), Νᾶρυξ Νάρυκος (ἔστι δὲ ὄνομα πόλεως)· τὸ βλῖτυξ βλίτυγος (σημαίνει δὲ τὴν βδέλλαν) καὶ τὸ ἦλυξ ἤλυγος (σημαίνει δὲ τὴν σκιάν) διὰ τοῦ γ̄ κλιθέντα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ μόνως θηλυκά ἐστι καὶ ἐφυλάξατο αὐτὰ ὁ κανών. πρόσκειται «ἁπλᾶ» διὰ τὸ μῶνυξ μώνυχος σύνθετον, καὶ διὰ τοῦ χ̄ κλίνεται· μῶνυξ δέ ἐστιν ὁ ἔχων ἕνα ὄνυχα, οἱονεὶ μονόνυξ.

Τὰ εἰς υ̅ξ̅ δισύλλαβα ἔχοντα ἐν τῇ τελευταίᾳ συλλαβῇ ἢ β̄ ἢ γ̄ ἢ δ̄ ἢ π̄ διὰ τοῦ κ̄ κλίνεται οἷον Βέβρυξ Βέβρυκος (ἔστι δὲ ἔθνος), βόμβυξ βόμβυκος (ἔστι δὲ γένος αὐλοῦ, καὶ θηρίδιά τινα καὶ ζῷον ἀφ' οὗ τὰ βομβύκινα, κατὰ Λάκωνας δὲ στάμνον δηλοῖ), ἶβυξ ἴβυκος (ἔστι δὲ εἶδος ὀρνέου), Σάμβυξ Σάμβυκος (κύριον· ἔστι δὲ καὶ ποταμὸς καὶ ἔθνος), δοῖδυξ δοίδυκος, ἶδυξ ἴδυκος, Ἄμπυξ Ἄμπυκος (κύριον ὄνομα καὶ κόσμος, ἤγουν κεφαλοδέσμιον, καὶ τροχός).

Τὰ εἰς υ̅ξ̅ τῷ ε̄ παραληγόμενα ἔχοντα ἐν τῇ ἑξῆς συλλαβῇ ἀμετάβολον διὰ τοῦ κ̄ κλίνεται, μὴ πεφυκότα ὀξύνεσθαι εἰ μὴ μόνον θηλυκὰ ὄντα. ἔστω δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· Βέβρυξ Βέβρυκος, Ἔρυξ Ἔρυκος (ὁ ἥρως καὶ ἡ πόλις παρὰ τῷ Ἐρατοσθένει)· πτερύξ δὲ πτερύγος διὰ τοῦ γ̄ καὶ ὅτι μόνον θηλυκόν ἐστι καὶ ὅτι πέφυκεν ὀξύνεσθαι· οὕτως γὰρ καὶ ἀνεγνώσθη παρὰ τῷ ποιητῇ ἡ γενικὴ παροξυτόνως, ὡς ἀπὸ ὀξυτόνου εὐθείας «πτερύγος λάβεν ἀμφιαχυῖαν» (Β 316).

Τὰ εἰς υ̅ξ̅ δισύλλαβα ἔχοντα πρὸ τέλους συλλαβὴν εἰς α καταλήγουσαν μὴ ὄντα κατὰ ἀφαίρεσιν δηλονότι τοῦ α, μὴ λεγόμενα ἀρσενικῶς καὶ θηλυκῶς καὶ μὴ πεφυκότα ἔχειν πρὸ τοῦ ξ̄ τὸ γ̄ διὰ τοῦ κ̄ κλίνεται· τὰ γὰρ ἀντιδιαστελλόμενα διὰ τοῦ γ̄ κλίνεται. ἔστω δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· Ἄδρυξ Ἄδρυκος (πόλις Συρακουσίων, ἀρσενικῶς λεγομένη, «ἔφυγον εἰς τὸν Ἄδρυκα» Φίλιππος ὁ ἱστορικός φησιν), ἄμβυξ ἄμβυκος, Γάνυξ Γάνυκος (ὁ γανύκτωρ παρὰ τῷ Ἐρατοσθένει), θρᾶνυξ θράνυκος (ὁ θρόνος παρὰ Κορίννῃ), κάλυξ κάλυκος (θηλυκῶς δὲ λέγεται καὶ σημαίνει τὸ καλούμενον ῥόδον), Σάμβυξ Σάμβυκος κύριον. τῶν δὲ ἀντιδιαστελλομένων, ἤγουν διὰ τοῦ γ̄ κλιθέντα, παραδείγματα ταῦτα· ψάλυξ ψάλυγος (τινὲς δὲ τὰς ψυχὰς ἐδέξαντο σημαίνειν τὴν λέξιν, Δίδυμος δέ φησιν τοὺς ἀσθενεῖς σπινθῆρας δηλοῦν τὴν λέξιν)· ἔστι δὲ ἀπὸ τοῦ φεψάλυξ καὶ κατὰ ἀφαίρεσιν δηλονότι τῆς πρώτης συλλαβῆς, ἐφυλάξατο δὲ αὐτὸ ὁ κανών. πρόσκειται «ἔχοντα τὴν πρὸ τέλους εἰς τὸ α καταλήγουσαν» διὰ τὸ ἄντυξ· τοῦτο γὰρ οὐκ ἔχει τὴν

---

l. 7 βαῖτυξ habet Hesych. ut Choerob., sed Salmasius βλῖτυξ scribendum esse monuit. l. 18 cf. p. 314, 4, ubi hi duo canones in brevius contracti sunt. l. 36 ψυχὰς ex Hesych. pro τρίχας proposuit Lob. El. I 150.

πρὸ τέλους cυλλαβὴν εἰc ᾱ καταλήγουcαν ἀλλ' εἰc ν̄ (ἄντυξ δέ ἐcτιν ἡ περιφέρεια τοῦ ἅρματος), τὸ δὲ ἄμπυξ ἄμπυκος διὰ τοῦ κ̄ κλιθὲν καὶ μὴ ἔχον τὴν πρὸ τέλους cυλλαβὴν εἰc τὸ α καταλήγουcαν τοῖc προλεχθεῖcι κανόcιν ὑποβάλλεται. πρόcκειται «μὴ λεγόμενα ἀρcενικῶc καὶ θηλυκῶc» διὰ τὸ φάρυξ φάρυγος διὰ τοῦ γ̄ κλιθέν· τοῦτο γὰρ ἀρcενικῶc μὲν παρὰ Δωριεῦcι, θηλυκῶc δὲ παρὰ Ἀθηναίοιc λέγεται. πρόcκειται «μὴ ἔχοντα πρὸ τοῦ ξ̄ τὸ γ̄», ἐπειδὴ ταῦτα διὰ τοῦ γ̄ κλίνεται καθόλου οἷον λάρυγξ λάρυγγος, ἀμάρυγξ ἀμάρυγγος (ἐπὶ ἀκτῖνος καὶ λαμπηδόνος καὶ ὄψεως), πώϋγξ πώϋγγος, στόρθυγξ στόρθυγγος (cημαίνει δὲ πᾶν εἰc ὀξὺ λῆγον).

Τὰ εἰc υξ̄ ὑπὲρ δύο cυλλαβὰς παραληγόμενα τῷ ᾱ διὰ τοῦ γ̄ κλίνεται οἷον Ἴᾶπυξ Ἰάπυγος (ἔcτι δὲ ἔθνος), cπινθάρυξ cπινθάρυγος, ταρβάλυξ ταρβάλυγος (ὁ ταρακτικός), φεψάλυξ φεψάλυγος (cημαίνει δὲ τὸν cπινθῆρα).

Τὰ εἰc υξ̄ ἔχοντα τὸ ō ἐν τῇ παραληγούcῃ μὴ ἐπιφερομένου τοῦ ν̄ μηδὲ ἔχοντα ἐν τῇ ἐπιφερομένῃ cυλλαβῇ τὸ β̄ διὰ τὸ βόμβυξ βόμβυκος καὶ κόμβυξ κόμβυκος, διὰ τοῦ γ̄ κλίνεται· εἰ δὲ ἐπιφέρεται τὸ ν̄, διὰ τοῦ χ̄ κλίνεται. οἷον κόκκυξ κόκκυγος, Μόρτυξ Μόρτυγος (βαcιλεὺc Κερκυραίων), τὸ ὄρτυξ τινὲc δὲ ὄρτυγός φαcι διὰ τοῦ γ̄ Φιλήμων δὲ διὰ τοῦ κ̄ φηcὶν ὄρτυκος, ὄρυξ ὄρυγος, πομφόλυξ πομφόλυγος, στόρθυγξ στόρθυγγος (πᾶν εἰc ὀξὺ λῆγον)· διῶνυξ διώνυχος διὰ τοῦ χ̄, cτόνυξ cτόνυχος καὶ ἀκρόνυξ ἀκρόνυχος (τὸ ἄκρον τῆc νυκτός) καὶ μεcόνυξ μεcόνυχος (εἷc τῶν ἑπτὰ πλανήτων παρὰ τοῖc Πυθαγορείοιc ὀνομάζεται, μέμνηται Cτηcίχορος)· ταῦτα δὲ ἔχει τὸ ō ἐπιφερομένου τοῦ ν̄.

Τὰ εἰc υξ θηλυκὰ ὑπὲρ μίαν cυλλαβὴν διὰ τοῦ γ̄ κλίνεται, χωρὶc εἰ μὴ λόγῳ ἑτέρῳ ἀκολουθεῖ οἷον ἄντυξ ἄντυγος (ἡ περιφέρεια τοῦ ἅρματος), βαῖτυξ βαίτυγος (cημαίνει δὲ τὴν βδέλλαν), βλέκυξ βλέκυγος (ἡ φλυαρία), ἦλυξ ἤλυγος (ἡ cκιά, λέγεται δὲ καὶ ἠλύγη καὶ ἐπηλυγιcμός ὁ ἐπιcκιαcμός), πομφόλυξ πομφόλυγος, πτέρυξ πτέρυγος, φάρυξ φάρυγος, φεψάλυξ φεψάλυγος, ψάλυξ ψάλυγος (τὰ δύο δὲ τὸ αὐτὸ cημαίνει, φημὶ δὴ τὸν cπινθῆρα). τὸ δὲ ἄμπυξ ἄμπυκος καὶ κάλυξ κάλυκος τοῖc προλεχθεῖcι κανόcι διὰ τοῦ κ̄ κλίνεται.

Τὰ εἰc υξ̄ cύνθετα τὴν τοῦ ἁπλοῦ φυλάττει κλίcιν οἷον ἦλυξ ἤλυγος ἐπῆλυξ ἐπήλυγος, πτέρυξ πτέρυγος τανυπτέρυξ τανυπτέρυγος.

Τὰ παρὰ τὸ ὄνυξ καὶ παρὰ τὸ νύξ καὶ τὰ παρὰ τὸ ὀρύccω διὰ τοῦ χ̄ κλίνεται οἷον διῶνυξ διώνυχος, μονῶνυξ μονώνυχος, ἀκρόνυξ ἀκρόνυχος (τὸ ἄκρον τῆc νυκτός), εἰνάνυξ εἰνάνυχος (ὁ ἐννέα νυκτῶν), ἔννυξ ἔννυχος, μεcόνυξ μεcόνυχος (εἷc τῶν πλανήτων), διῶρυξ διώρυχος. τὸ δὲ νύξ διὰ τοῦ χ̄ ἐκλίθη νυχός καὶ κατὰ τροπὴν τοῦ δαcέος χ̄ εἰc τὸ

l. 5 φάρυξ pro φάρυγξ scribendum esse ipse canon docet, cf. Eustath. 40, 2. l. 20 cτόρθυγξ non quadrare videtur; fortasse sic scripsit: cτόρθυξ cτόρθυγος, εἶτα cτόρθυγξ cτόρθυγγος. l. 39 ex p. 313, 22 addidi, quae de simplicibus νύξ et ὄνυξ dicta sunt.

ἀντίστοιχον ψιλὸν κ̄ καὶ κατὰ πλεονασμὸν τοῦ τ̄ γέγονε νυκτός· ἀπὸ οὖν τοῦ νύξ νυχός γέγονε εἰνάνυξ εἰνάνυχος. τὸ δὲ νύξ διὰ τοῦ χ̄ ἐκλίθη, ἐπειδὴ ἀπὸ τοῦ νύσσω νύξω νύξ γέγονεν οἱονεὶ ἡ νύσσουσα ἡμᾶς πρὸς ὕπνον καὶ λοιπὸν ἐφύλαξε κατὰ τὴν κλίσιν τὸ σύμφωνον τοῦ νένυχα παρακειμένου λέγω δὲ τὸ χ̄. καὶ τὸ ὄνυξ δὲ ὄνυχος ἔννοιαν ἔχει συνθέσεως· παρὰ γὰρ τὸ νύσσω νύξω γίνεται ἄνυξ τοῦ ᾱ ἐπιτατικοῦ μορίου προσελθόντος οἱονεὶ ᾧτινι πάνυ νύσσεταί τις, καὶ λοιπὸν τροπῇ τοῦ ᾱ εἰς τὸ ο̄ ὄνυξ. τοῦτο δὲ ἠκολούθησε κατὰ τὴν κλίσιν κατὰ τὸ στόνυξ στόνυχος.

Τὰ παρὰ τὸ ὀρύσσω καὶ τὰ παρὰ τὸ φεύγω καὶ παρὰ τὸ ζεύγω διὰ τοῦ γ̄ καὶ χ̄ κλίνεται οἷον διῶρυξ διώρυχος, τετρῶρυξ τετρώρυχος, πρόφυξ πρόφυγος, πρόσφυξ πρόσφυγος, ἄζυξ ἄζυγος (ὁ μόνος), δίζυξ δίζυγος, ὁμόζυξ ὁμόζυγος, σύζυξ σύζυγος.

Τὰ εἰς ω̄ξ̄ ἁπλᾶ διὰ τοῦ κ̄ κλίνεται οἷον πτώξ πτωκός (σημαίνει δὲ τὸν λαγωόν), βῶξ βωκός (ἔστι δὲ εἶδος ἰχθύος, ὅστις ἱστορεῖται ἔχων βοήν· γέγονε δὲ τοῦτο παρὰ τὸ βοή βόαξ καὶ κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ᾱ εἰς ω̄ βῶξ). πρόσκειται «ἁπλᾶ» διὰ τὰ σύνθετα οἷον διὰ τὸ κυαμοτρώξ κυαμοτρῶγος, τοῦτο δὲ τοῦ τρώγω τὸ σύμφωνον κατὰ τὴν κλίσιν ἐφύλαξε. τὸ δὲ θηροδίωξ καὶ αἰγοδίωξ ἀπὸ τοῦ διώκω συντεθέντα διὰ τοῦ κ̄ κλίνεται· τὸ γὰρ σύμφωνον τοῦ διώκω ῥήματος κατὰ τὴν κλίσιν ἐφύλαξεν. σεσημείωται τὸ ῥώξ ῥωγός, τοῦτο γὰρ διὰ τοῦ γ̄ ἐκλίθη (ῥώξ δέ ἐστιν εἶδος φαλαγγίου, ὅ ἐστιν εἶδος σκορπίου)· ἐπὶ γὰρ τῆς σταφυλῆς ῥάξ ῥαγός λέγεται θηλυκῶς. εὑρίσκομεν δὲ καὶ ἐπὶ τῆς σταφυλῆς διὰ τοῦ ω̄ λεγόμενον ῥώξ ῥωγός παρὰ Ἀρχιλόχῳ.

Choer. 306, 11: τὰ εἰς διπλοῦν λήγοντα σύμφωνον τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον ὁ κόραξ ὦ κόραξ, ὁ Φαίαξ ὦ Φαίαξ, ὁ θώραξ ὦ θώραξ, ὁ τέττιξ ὦ τέττιξ, ὁ πέρδιξ ὦ πέρδιξ, ὁ κύκλωψ ὦ κύκλωψ, ὁ Αἰθίοψ ὦ Αἰθίοψ, ὁ Πέλοψ ὦ Πέλοψ, ὁ Ἄραψ ὦ Ἄραψ, ὁ αἶθοψ ὦ αἶθοψ. δεῖ προσθεῖναι, χωρὶς τοῦ ἄνα, διὰ τὸ Ζεῦ ἄνα οἷον

Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικέ, τηλόθι ναίων (Π 233).

ἔστι γὰρ ἄναξ ἡ εὐθεῖα, καὶ ὅμως ἡ κλητικὴ οὐχ ὁμοφωνεῖ τῇ εὐθείᾳ, ἀλλὰ χωρὶς τοῦ ξ̄ ἐστίν· καὶ ἔστιν εἰπεῖν, ὅτι ὁ ποιητὴς διὰ τὸ μέτρον ἀπέβαλε τὸ ξ̄, ἀμέλει ὅτε ὁ ποιητὴς ἐδεήθη μακρᾶς συλλαβῆς διὰ τοῦ ξ̄ εἶπεν αὐτὸ κατὰ τὴν κλητικὴν οἷον

Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον.

ἔτι δεῖ προσθεῖναι, καὶ χωρὶς τοῦ ὦ γύναι οἷον

μή με, γύναι, χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνισπε (Γ 438).

τοῦτο γὰρ ὡς ἀπὸ τῆς γύναιξ εὐθείας ἐστὶ καὶ ὅμως χωρὶς τοῦ ξ̄ ἐστί, περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο ἀπέβαλε τὸ ξ̄ κατὰ τὴν κλητικήν, ἐπειδὴ τὰ εἰς αιξ λήγοντα ἢ ἀρσενικοῦ μόνου γένους ἐστὶν οἷον Θρᾷξ,

l. 19 adnotationem de θηροδίωξ et αἰγοδίωξ adieci ex p. 314, 33.

ἢ ἐὰν ᾖ θηλυκοῦ γένους, πάντως καὶ ἀρσενικοῦ ἐστιν οἷον ὁ Γραῖξ καὶ ἡ Γραῖξ, ὁ αἶξ καὶ ἡ αἶξ· ὅτι γὰρ λέγεται καὶ ὁ αἶξ ἀρσενικῶς, ἐδήλωσεν ὁ ποιητὴς εἰπὼν (Δ 105)

αὐτίκ' ἐσύλα τόξον ἐΰξοον ἰξάλου αἰγὸς
ἀγρίου, ὅν ῥά ποτ' αὐτὸς ὑπὸ στέρνοιο τυχήσας
πέτρης ἐκβαίνοντα.

ἐπειδὴ οὖν καὶ τὸ γύναιξ οὐκ ἠδύνατο ἀρσενικοῦ γένους εἶναι, ἡ γὰρ σημασία κωλύει, τούτου χάριν ἀπέβαλε τὸ ξ̅ κατὰ τὴν κλητικὴν καὶ γέγονε γύναι, ἵνα μὴ εὑρεθῇ εἰς α̅ι̅ξ̅ λῆγον καὶ θηλυκοῦ μόνου γένους ὄν· διὰ ταύτην γὰρ τὴν αἰτίαν καὶ ὁ γύναιξ εὐθεῖα ἐπιλέλοιπεν. ἐν δὲ τῇ συνθέσει, ἐπειδὴ γίνεται ἀρσενικοῦ γένους, ἀναδέχεται τὴν εἰς α̅ι̅ξ̅ κατάληξιν οἷον

ὡς ὧν ἄπαις τε κἀγύναιξ κἀνέστιος

παρὰ Σοφοκλεῖ ἐν Ἀθάμαντι. ὅτι δὲ γύναιξ ὤφειλεν εἶναι ἡ εὐθεῖα δῆλον ἐκ τῆς γενικῆς τῶν ἑνικῶν καὶ ἐκ τῆς δοτικῆς τῶν πληθυντικῶν. καὶ ἐκ μὲν τῆς γενικῆς τῶν ἑνικῶν, ὅτι γυναικός ἐστι· πᾶσα γὰρ γενικὴ διὰ τοῦ κ̅ο̅ς̅ κλινομένη εἰς ξ̅ ἔχει τὴν εὐθεῖαν καταλήγουσαν οἷον θώρακος θώραξ, κόρακος κόραξ, Φοίνικος Φοῖνιξ, πέρδικος πέρδιξ. εἰ οὖν γυναικός ἐστιν ἡ γενικὴ διὰ τοῦ κ̅ο̅ς̅, δηλονότι καὶ ἡ εὐθεῖα γύναιξ ἐστὶν εἰς ξ. ἐκ δὲ τῆς δοτικῆς τῶν πληθυντικῶν, ὅτι πᾶσα δοτικὴ πληθυντικῶν εἰς ι̅ λήγουσα μετὰ διπλοῦ, ἀποβολῇ τοῦ ι̅ τὴν εὐθεῖαν τῶν ἑνικῶν ποιεῖ οἷον Κύκλωψι Κύκλωψ, Πέλοψι Πέλοψ, θώραξι θώραξ, κόραξι κόραξ, τέττιξι τέττιξ. εἰ οὖν γυναιξὶν ἡ δοτικὴ τῶν πληθυντικῶν δηλονότι καὶ γύναιξ ἐστὶν ἡ εὐθεῖα τῶν ἑνικῶν, ἀλλ' ἐπιλέλοιπε διὰ τὴν προλεχθεῖσαν αἰτίαν.

Περὶ τῶν εἰς ρ̅.

Choer. 315, 13: τὰ εἰς α̅ρ̅ λήγοντα, εἰ μέν ἐστι μονοσύλλαβα, μακρὸν ἔχει τὸ α̅ καὶ προσθέσει τοῦ ο̅ς̅ ποιεῖ τὴν γενικὴν οἷον ψάρ ψαρός (ἔστι δὲ εἶδος ὀρνέου)· τοῦτο δὲ παρὰ τῷ ποιητῇ διὰ τοῦ α̅ εὑρίσκεται καὶ διὰ τοῦ η̅ οἷον «κολοιούς τε ψῆράς τε» (Π 583), καὶ «ψαρῶν νέφος ἔρχεται» (Ρ 755), καὶ Κάρ Καρός (ἔστι δὲ ἔθνος οἱ Κᾶρες), Μάρ Μαρός (καὶ τοῦτο δὲ ἔθνος ἐστίν), Πάρ Παρός (τόπος δέ ἐστιν ἐν τῷ περὶ Θυρέᾳ, ἐν ᾧ ἐμαχέσαντο οἱ Ἀργεῖοι καὶ Λακεδαιμόνιοι). εἰ δέ ἐστιν ὑπὲρ μίαν συλλαβήν, μακρὸν μὲν ἔχει οὐκέτι τὸ α̅, προσθέσει δὲ τοῦ ο̅ς̅ καὶ αὐτὰ ποιεῖ τὴν γενικὴν οἷον μάκαρ μάκαρος, τοῦτο δὲ ἀπὸ τοῦ μακάριος γέγονε κατὰ ἀποκοπήν. Ἄραρ Ἄραρος

---

l. 25 cf. Ep. Cr. I 100, 9 et 102, 14, E. M. 243, 28. l. 36 originationem vocabuli μακάριος (qua a κήρ καρός ἀκάριος et pleonasmo literae μ̅ μακάριος ut ὀχλός μοχλός, ἴα μία propagatur), quamquam Herodianus μ̅ in μοχλός et μία appositum indicavit (E. Or. 103, 6, Dichr. 290, 25) tamen ei adscribere nolui. Caeterum Lobeckius in El. II 312 de μάκαρ ex μακάριος orto Herodianum idem

(Γαλατίας δὲ οὗτος ποταμός). τὸ δὲ Καῖcαρ βάρβαρόν ἐcτι· καὶ αὐτὸ δὲ προcθέcει τοῦ οc ποιεῖ τὴν γενικὴν οἷον Καίcαρος.

Choer. 345, 6: εἰc αρ οὐκ ἔχομεν θηλυκὰ εἰ μὴ τὸ δάμαρ, ὅπερ καὶ μετὰ τοῦ c εὑρίcκεται δάμαρc, ἐξ οὗ γίνεται ἡ δάμαρτος γενική.

Choer. 316, 21: τὰ εἰc ηρ λήγοντα μονοcύλλαβα μὲν ὄντα προcθέcει τοῦ οc ποιεῖ τὴν γενικὴν καὶ φυλάττει τὸ η οἷον θήρ θηρός, φήρ φηρός ὁ κένταυρος «φηρcὶν ὀρεcκῴοιcιν» (Α 268), Cήρ Cηρός (Cῆρεc δέ εἰcιν ἔθνος, ὅθεν τὰ cηρικὰ ἱμάτια, τὰ πολυτελῆ), καὶ τὸ θηλυκὸν δὲ τὸ κήρ, ὅπερ cημαίνει τὴν θανατηφόρον μοῖραν, προcθέcει τοῦ οc ποιεῖ τὴν γενικὴν ὁμοίωc τοῖc προλεχθεῖcιν εἰc ηρ μονοcυλλάβοιc οἷον κηρός, ἐξ οὗ τὸ

μάρτυροι οὓc μὴ κῆρεc ἔβαν θανάτοιο φέρουcαι (Β 302).

τοῦτο δὲ λέγεται καὶ καρὸc ἐν cυcτολῇ τοῦ η εἰc τὸ α οἷον

τίω δέ μιν ἐν καρὸc αἴcῃ (Ι 378).

ἐπειδὴ γὰρ μόνου θηλυκοῦ γένουc εὑρέθη ἐν τοῖc εἰc ηρ μονοcυυλλάβοιc, τούτου χάριν ἔτρεψε τὸ φωνῆεν τῆc εὐθείαc ἐν τῇ γενικῇ. οὕτω γὰρ καὶ τὸ φρήν ὡc μόνον μόνου θηλυκοῦ γένουc εὑρεθὲν ἐν τοῖc εἰc ην μονοcυλλάβοιc ἔτρεψε τὸ φωνῆεν τῆc εὐθείαc ἐν τῇ γενικῇ οἷον φρενόc, ὡcαύτωc καὶ τὸ χθών ὡc μόνου θηλυκοῦ γένουc εὑρεθὲν ἐν τοῖc εἰc ων μονοcυλλάβοιc ἔτρεψε τὸ ω εἰc τὸ ο ἐν τῇ γενικῇ οἷον χθονόc. εἰ δέ τιc εἴποι, καὶ διατί τὸ κὴρ οὐκ ἐξηνέχθη διὰ τοῦ ε κατὰ τὴν γενικὴν ὥcπερ τὸ φρήν φρενόc, ἀλλὰ διὰ τοῦ α οἷον καρόc; λέγομεν ὅτι οὐκ ἐγένετο κατὰ ἀκόλουθον κλίcιν ἀλλὰ κατὰ ποιητικὴν cυcτολὴν διὰ τοῦ α οἷον

τίω δέ μιν ἐν καρὸc αἴcῃ.

ὅπερ καὶ διὰ τοῦ η εὑρίcκεται κλινόμενον οἷον

μάκαρεc (μάρτυροι) οὓc μὴ κῆρεc ἔβαν θανάτοιο φέρουcαι.

Choer. 85, 24: τὰ δὲ ὑπὲρ μίαν cυλλαβὴν εἰc ηρ λήγοντα ὀξύτονα, εἰ μὲν ἔχει τὸ τ, φυλάττει τὸ η ἐν τῇ γενικῇ οἷον λουτήρ λουτῆροc, καμπτήρ καμπτῆροc, ὀλετήρ ὀλετῆροc, ξυcτήρ ξυcτῆροc, cωτήρ

---

atque Apollon. de adverb. 56, 17 sensisse iure perhibere videtur, neque eum amplexnm esse eam sententiam, quam Eustath. 1542, 27: τὸ μάκαρ οὐκ ἔcχεν ἀποκοπὴν ἐκ τοῦ μακάριοc· οὐ γὰρ ἂν ἀπεκοπὲν ἐκλίνετο. τὰ γὰρ οὕτω παθόντα μένει ἀμετάβατα εἰc κλίcιν· τὸ γὰρ δῶ καὶ τὸ κρῖ καὶ ὁ παρὰ τῷ γεωγράφῳ ἦλ οὐκέτι κινεῖται· οὕτω καὶ τὸ νίφα καὶ τὸ cκέπα τὸ τοῦ Ἡcιόδου. οὔκουν ὁ μάκαρ ἀπεκόπη, ἀλλὰ πρωτότυπον αὐτὸ ἐκείνου ἐcτίν. Nam Heredianus aclisiam apocepatorum (scilicet declinabili exitu praediternm) nen sumpsisse videtur, nam ap. St. B. s. Δωδώνη dicit si Δωδών a Δωδώνη detruncatnm in usn esset, Δωδῶνοc inde pervenire pesse. l. 4 ex dnabns sententiis quae de ὀάρων tnm ap. Choerob. proponnntur βούλονται δέ τινεc καὶ τὸ «ὀάρων ἕνεκα cφετεράων» (Ι 327) ἀντὶ τοῦ τῶν γυναικῶν ἀπὸ εὐθείαc τῆc εἰc αρ παραλαμβάνειν, ἵνα εὑρεθῇ ἡ εὐθεῖα τῶν ἑνικῶν ὄαρ, καὶ ἐκ τούτου ὄαρεc ὀάρων· ἕτεροι δὲ λέγουcιν ὅτι ἀπὸ τοῦ ὄαροc ἐγένετο ὄαρει ἡ εὐθεῖα τῶν πληθυντικῶν, καὶ ἐκ τούτου ἡ γενικὴ τῶν πληθυντικῶν ὀάρων· εἰ δέ που, φαcίν, εὑρεθῇ ὄαρεc ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἀπὸ τοῦ ὄαροι γέγονεν κατὰ μεταπλαcμόν, prierem Herediani esse apparet ex Dichr. 289, 20: τὰ εἰc αρ λήγοντα ὑπὲρ μίαν cυλλαβὴν ἐπὶ παντὸc γένουc cυcτέλλει τὸ α, μάκαρ, δάμαρ, ὄαρ, θέναρ, φρέαρ, cτέαρ.

l. 5 cf. p. 81, 1.

cωτῆροc, γενετήρ γενετῆροc, ἐλατήρ ἐλατῆροc (ἔcτι δὲ εἶδοc πλακοῦντοc· cημαίνει δὲ καὶ τὸν ἡνίοχον, παρὰ τὸ ἐλαύνειν), χωρὶc τοῦ πατήρ πατέροc, ἀcτήρ ἀcτέροc, ταῦτα γὰρ ἔχοντα τὸ τ̅ τρέπει τὸ η εἰc ε ἐν τῇ γενικῇ. εἰ δὲ μὴ ἔχει τὸ τ̅, τρέπει τὸ η εἰc τὸ ε̅ ἐν τῇ γενικῇ οἷον αἰθήρ αἰθέροc, δαήρ δαέροc (ὁ ἀνδράδελφοc), ἀνήρ ἀνέροc, χωρὶc τοῦ cπινθήρ cπινθῆροc καὶ Ἐλευθήρ Ἐλευθῆροc (ἔcτι δὲ ὄνομα κύριον), ταῦτα γὰρ μὴ ἔχοντα τὸ τ̅ ἐφύλαξε τὸ η̅ ἐν τῇ γενικῇ.

Choer. 86, 1: τῶν εἰc η̅ρ̅ βαρυτόνων τὰ μὲν μακρᾷ παραληγόμενα τρέπει τὸ η̅ εἰc ε̅ ἐν τῇ γενικῇ οἷον Πίηρ Πίεροc, φράτηρ φράτεροc (φράτερεc δέ εἰcιν οἱ cυγγενεῖc). τὰ δὲ βραχείᾳ παραληγόμενα φυλάττει τὸ η̅ ἐν τῇ γενικῇ οἷον ἐρίηρ ἐρίηροc (ὁ εὐάρμοcτοc), Ἴβηρ Ἴβηροc· πάνθηρ πάνθηροc τὴν τοῦ ἁπλοῦ κλίcιν ἐφύλαξε, λέγω δὴ τοῦ θήρ θηρόc, ἐπειδὴ τοῦτο ὡc μακρᾷ παραληγόμενον ὤφειλε τρέψαι τὸ η̅ εἰc τὸ ε̅ ἐν τῇ γενικῇ.

Choer. 346, 20: τὰ εἰc ηρ λήγοντα θηλυκὰ ὑπὲρ μίαν cυλλαβὴν τρέπει τὸ η̅ εἰc τὸ ε̅ ἐν τῇ γενικῇ οἷον εἰνάτηρ εἰνάτεροc «καὶ εἰνατέρων ἐϋπέπλων» (Ζ 378) (cημαίνει δὲ τὴν cύννυμφον), Δημήτηρ Δημήτεροc, καὶ κατὰ cυγκοπὴν γίνεται Δήμητροc, θυγάτηρ θυγατέροc, καὶ μήτηρ μητέροc, ὅπερ κατὰ cυγκοπὴν θυγατρόc καὶ μητρόc. τὸ δὲ ῥαιcτήρ, cωτήρ, ἀήρ καὶ ὅcα τοιαῦτα ἀρcενικὰ ὄντα πολλάκιc οἱ ποιηταὶ μεταφέρουcιν εἰc θηλυκὸν γένοc οἷον τὸν ῥαιcτῆρα, τὴν ῥαιcτῆρα οἷον «ῥαιcτῆρα κραταιήν» (C 477) (ἀντὶ τοῦ cφῦραν, καὶ ἔcτι παρὰ τὸ ῥαίω τὸ φθείρω), τὸν ἀέρα τὴν ἀέρα, τὸν cωτῆρα τὴν cωτῆρα, οὐκ ἀντίκειται ἡμῖν οὔτε κατὰ τόνον, οὔτε κατὰ κλίcιν, ἐπειδὴ κατὰ ποιητικὴν ἐξουcίαν ἀπὸ ἀρcενικοῦ γένουc μετηνέχθη εἰc θηλυκὸν γένοc, καὶ λοιπὸν τὴν κλίcιν καὶ τὸν τόνον τοῦ ἀρcενικοῦ γένουc ἐφύλαξεν.

Τὰ εἰc υ̅ρ̅ ὀνόματα προcθέcει τοῦ ο̅c̅ ποιεῖ τὴν γενικὴν οἷον ψίθυρ ψίθυροc, μάρτυρ μάρτυροc. τοῦτο δὲ τὸ μάρτυρ γίνεται ἐκ τοῦ μάρτυc κατὰ τὴν Αἰολέων διάλεκτον. ἐκεῖνοι γὰρ τὸ c̅ εἰc ρ̅ μεταβάλλουcι τὸ οὗτοc οὗτορ λέγοντεc καὶ τὸ ἵπποc ἵππορ. οὕτωc οὖν καὶ μάρτυc μάρτυρ, ἀφ' ἧc ἐκπίπτει τὸ πληθυντικὸν οἱ μάρτυρεc παρά τε τοῖc κωμικοῖc καὶ Ἱππώνακτι· οἱ δέ γε μάρτυροι ἀπὸ τῆc ὁ μάρτυροc εὐθείαc οἷον «Ζεὺc δ' ἄμμ' ἐπιμάρτυροc ἔcτω» (Η 76). τὸ δὲ Ἴλλυρεc καὶ Κέρκυρεc καὶ Ἄccυρεc παρ' Ἐρατοcθένει οὐ κλίcεωc ἔcτι, ἀπὸ

---

l. 7 cf. 317, 14 quo loco quae de etymis vocabulorum πατήρ, ἀcτήρ, cπινθήρ, Ἐλευθήρ dicta sunt, ex Herodiano fluxisse non videntur, certe cum non, ut ap. Choerob. factum est, Ἐλευθήρ cum ἤλευθα 'perfecto medii consociasse, sed cum ἐλευθερόc, apparet ex St. B. 265, 10, cf. praeterea Choer. Ep. in Psalm. 7, 29. l. 8 cf. p. 320, 11. l. 27 pro iis, quae Choer. p. 86, 9 habet secutus Apollon. de pron. p. 113 (cf. Lob. El. II 290): τὰ εἰc υρ πάντα ἀπὸ πεπονθότων ἐcτίν· ἔcτι γὰρ τὸ μάρτυρ ἀπὸ τῆc μάρτυροc εὐθείαc γινόμενον κατὰ cυγκοπὴν (i. e. ἀποκοπήν)· ταύτηc δὲ τῆc μάρτυροc εὐθείαc μάρτυροι ἐcτὶν ἡ εὐθεῖα τῶν πληθυντικῶν ὡc παρὰ τῷ ποιητῇ (Β 312) «μάρτυροι, οὓc μὴ κῆρεc ἔβαν θανάτοιο φέρουcαι» — exhibui quae Herodianea esse testantur E. M. 506, 20, Eustath. 114, 15 coll. 1807, 6, ad Dionys. 492, St. B. 137, 5 s. Ἄccυρ.

εὐθείας τῆς Ἴλλυρ, Κέρκυρ, Ἄσσυρ, ἀλλὰ κατὰ τὴν αὐτὴν πτῶσιν μεταπέπλασται ἐκ τοῦ Ἰλλυρίοι καὶ Κερκυραῖοι καὶ Ἀσσύριοι ὡς οἱ θεράποντες εὕρηνται θέραπες λεγόμενοι καὶ οἱ πολύποδες πώλυπες.

Choer. 345, 30: τὰ εἰς ειρ λήγοντα μονοσύλλαβα τρία μόνα ἐστίν, ἓν μὲν θηλυκὸν τὸ χείρ, δύο δὲ ἀρσενικά. τὸ Εἴρ (ἔστι δὲ ὄνομα ποταμοῦ) καὶ τὸ φθείρ. τὸ γὰρ Φθίρ τὸ κύριον ὄνομα, λέγω δὴ τὸ ἐπὶ τοῦ υἱοῦ τοῦ Ἐνδυμίωνος, διὰ τοῦ ι γράφεται. ὑπὲρ μίαν συλλαβὴν εὑρίσκομεν τὸ ἀντίχειρ καὶ Βέχειρ (ἔστι δὲ ἔθνος), καὶ τὸ Σάπειρ, ὁμοίως ἔθνος. ταῦτα δὲ πάντα προσθέσει τοῦ ος ποιεῖ τὴν γενικὴν οἷον ἀντίχειρ ἀντίχειρος,

μετὰ δ' αὖ — φῦλα Βεχείρων
ἑξείης δὲ Σάπειρες (Apoll. Rh. 2, 394),

φθείρ φθειρός· τοῦτο δὲ ἀρσενικῶς λέγεται, οὐδὲ γὰρ ὡς λέγουσι τινὲς τὰς φθεῖρας θηλυκῶς ἐν τῇ συνηθείᾳ. τὸ χείρ διχῶς εὑρέθη κλινόμενον οἷον χειρός διὰ τῆς ει διφθόγγου καὶ χερός χωρὶς τοῦ ι· καὶ πολλή ἐστιν ἡ χρῆσις τῆς χερός γενικῆς τῆς χωρὶς τοῦ ι, οὐ μόνον παρὰ ποιηταῖς, ἀλλὰ καὶ παρὰ τραγικοῖς καὶ παρὰ ἰαμβογράφοις, μὴ οὖσι μήτε κωμικοῖς μήτε τραγικοῖς. ἡ δὲ δοτικὴ τῶν πληθυντικῶν χερσί μόνως χωρὶς τοῦ ι λέγεται, καὶ οὐδέποτε διὰ τῆς ει διφθόγγου. ἡ δὲ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν τοῖν χεροῖν λέγεται ὡς ἐπὶ τὸ πλεῖστον χωρὶς τοῦ ι, σπανίως δὲ διὰ τῆς ει διφθόγγου χειροῖν. ποτὲ δὲ καὶ τὸ χείρ κλίνεται μετατεθείσης τῆς ει διφθόγγου εἰς η, ᾧ μαρτυρεῖ Ἀλκμὰν ἐν τῷ «ἐπ' ἀριστερὰ χηρὸς ἔχων».

Τὰ εἰς ωρ μονοσύλλαβα φυλάττει τὸ ω ἐν τῇ γενικῇ οἷον φώρ φωρός. εἰς ωρ θηλυκὸν οὐκ ἔχομεν πλὴν τοῦ ὤρ, ἀφ' οὗ τὸ «ἀμυνέμεναι ὤρεσσιν» (Ε 486). ἀπὸ γὰρ τοῦ ὄαρ ἐγένετο κατὰ κρᾶσιν τοῦ ο καὶ α εἰς ω ὤρ ὥσπερ κρείττονα κρείττω.

Choer. 87, 4: τὰ εἰς ωρ λήγοντα ὑπὲρ μίαν συλλαβὴν εἰ μὲν ὀξύνεται, τὸ ω φυλάττει ἐπὶ τῆς γενικῆς οἷον ἰχώρ ἰχῶρος (τὸ σεσηπὸς αἷμα)· τὰ δὲ βαρύτονα εἰ μὲν ἔχει τὸ λ, φυλάττει τὸ ω ἐν τῇ γενικῇ οἷον κέλωρ κέλωρος (σημαίνει δὲ τὸν υἱὸν παρὰ τὸ κελεύεσθαι), πέλωρ πέλωρος (ὁ μέγας, ἐξ οὗ καὶ τὸ πελώριος ὁ μέγας ὁμοίως)· εἰ δὲ μὴ ἔχει τὸ λ, τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ οἷον Νέστωρ Νέστορος, Ἕκτωρ Ἕκτορος, οἰκήτωρ οἰκήτορος, παντοκράτωρ παντοκράτορος καὶ τὰ ὅμοια. Δεῖ προσθεῖναι, χωρὶς εἰ μὴ κατὰ ποιητικὴν ἐξουσίαν φυλάξῃ τὸ ω ἐν τῇ γενικῇ οἷον ὡς ἐπὶ τοῦ μήστωρ, τοῦτο γὰρ παρὰ τῷ Ὁμήρῳ ἐπὶ μὲν τοῦ κυρίου τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ οἷον

l. 4 coll. 86, 24, de χηρός genetivo sunt ex Eustath. 110, 38, ubi diserte additum est κατὰ Ἡρωδιανόν (fr. 37), Ep. Cr. I 440, 7. l. 12 in Apollonii versu M. habet Σάπφειρες. l. 24 Choer. 347, 17, ubi diserte dicitur Herodianum ὤρεσιν ab ὤρ duxisse (cf. fr. 33), quum Choer. ex ὄαροι per metaplasmum ὀάρεσι propagatum et hoc per crasin ὤρεσιν fictum esse pronunciet. cf. Eustath. 573, 29. l. 28 cf. 320, 30; 348, 10; adnotamentum de vocabuli μήστωρ declinatione habent etiam Ep. Cr. I 146, 3.

«Μήϲτορά τ' ἀντίθεον» (Ω 257). ἐπὶ δὲ τοῦ ἐπιθέτου ἀεὶ παρὰ τῷ ποιητῇ φυλάϲϲει τὸ ω̄ ἐν τῇ γενικῇ οἷον «μήϲτωραϲ ἀϋτῆϲ» (Ν 93) «μήϲτωρε φόβοιο» (Ε 272), ἀντὶ τοῦ ἐμπείρουϲ καὶ ἐπιϲτήμοναϲ. τοιαῦτα δὲ εὑρίϲκομεν καὶ ἄλλα παρὰ τοῖϲ ἀρχαίοιϲ φυλάττοντα τὸ ω ἐν τῇ γενικῇ οἷον ἠλέκτωρ ἠλέκτωροϲ, ταλάωρ ταλάωροϲ (ἠλέκτωρ μὲν γὰρ λέγεται ὁ ἥλιοϲ, ταλάωρ δὲ τόξον), προπάτωρ προπάτωροϲ, ταῦτα δὲ ποιητικά ἐϲτιν, ἐπεὶ ἡμᾶϲ διὰ τοῦ ο̄ δεῖ γράφειν αὐτά.

Choer. 318, 24: τὸ πατὴρ πατέροϲ γίνεται κατὰ ϲυγκοπὴν πατρόϲ ἐν τῇ γενικῇ, καὶ μήτηρ μητέροϲ μητρόϲ, καὶ θυγάτηρ θυγατέροϲ θυγατρόϲ· τὸ δὲ ἀνήρ ἀνέροϲ, γενόμενον κατὰ ϲυγκοπὴν ἀνρόϲ, ἐξ ἀνάγκηϲ ἐπλεόναϲε τὸ δ̄ καὶ ἐγένετο ἀνδρόϲ· οὐκ ἠδύνατο γὰρ εἶναι ἀνρόϲ χωρὶϲ τοῦ δ̄, ἐπειδὴ τὸ ν̄ πρὸ τοῦ ρ̄ οὔτε ἐν ϲυλλήψει δύναται εἶναι οὔτε ἐν διαϲτάϲει.

Τὸ μητέροϲ καὶ θυγατέροϲ οὐκ ἐφύλαξε τὸν τόνον ἐν τῇ αὐτῇ ϲυλλαβῇ, ἐν ᾗ καὶ ἡ εὐθεῖα ἔχει αὐτόν, ἀλλὰ κατεβίβαϲεν αὐτὸν μίαν ϲυλλαβὴν καὶ πρὸ μιᾶϲ ἔχει τὸν τόνον. καὶ λέγομεν ὅτι ἠκολούθηϲε τοῖϲ ἰδίοιϲ ϲυγγενικοῖϲ, φημὶ δὴ τῷ πατέροϲ, ἀνέροϲ, δαέροϲ, ὥϲπερ καὶ ἐκ τοῦ ἐναντίου τὰ ἀρϲενικὰ ἠκολούθηϲε τούτοιϲ κατὰ τὴν ἰδίαν κλητικὴν καὶ γέγονεν ἄνερ πάτερ ϲῶτερ δᾶερ ὥϲπερ μῆτερ καὶ θύγατερ.

Choer. 348, 15: ἄξιόν ἐϲτι ζητῆϲαι, διατί, ὥϲπερ τὸ γαϲτήρ γαϲτέροϲ γίνεται κατὰ ϲυγκοπὴν γαϲτρόϲ, μὴ τὸν αὐτὸν τρόπον καὶ τὸ ἀϲτήρ ἀϲτέροϲ γίνεται κατὰ ϲυγκοπὴν ἀϲτρόϲ; καὶ ἐπιλύονταί τινεϲ λέγοντεϲ ὅτι ἐπειδὴ τὸ ἀϲτήρ ἀρϲενικόν ἐϲτι, τούτου χάριν οὐ πάϲχει ϲυγκοπήν. οὗτοι οὐκ ἀκριβῶϲ λέγουϲι· καὶ γὰρ καὶ ἐπὶ ἀρϲενικῶν ὁρᾶται πολλάκιϲ ἡ τοιαύτη ϲυγκοπὴ κατὰ τὴν γενικήν, ὡϲ ἐπὶ τοῦ πατήρ πατέροϲ πατρόϲ, καὶ ἀνήρ ἀνέροϲ ἀνδρόϲ τοῦ δ̄ μετὰ τὴν ϲυγκοπὴν πλεονάϲαντοϲ. κρεῖττον οὖν ἐϲτιν ἐπιλύϲαϲθαι οὕτωϲ· αἱ ϲυγκοπτόμεναι γενικαὶ μιμεῖϲθαι θέλουϲι τὰϲ ὀξυτόνουϲ εὐθείαϲ οἷον ἡ ἀνδρόϲ γενικὴ μιμεῖται τὴν χονδρόϲ εὐθεῖαν, καὶ πάλιν ἡ μητρόϲ καὶ πατρόϲ γενικὴ μιμεῖται τὴν ἰατρόϲ εὐθεῖαν· ἐπειδὴ οὖν ἡ ἀϲτέροϲ γενικὴ εἰ ϲυνεκόπτετο καὶ ἐγένετο ἀϲτρόϲ οὐκ εἶχε μιμεῖϲθαι εὐθεῖαν διὰ τοῦ ϲτροϲ ἐκφερομένην ὀξύτονον, τὸ γὰρ Ἴϲτροϲ (ἔϲτι δὲ ὄνομα ποταμοῦ) βαρύνεται, τούτου χάριν ὡϲ μὴ ἔχουϲα εὐθεῖαν ἣν ὤφειλε μιμήϲαϲθαι οὐ ϲυγκόπτεται. εἰ δέ τιϲ εἴποι ὅτι τούτῳ τῷ λόγῳ οὔτε ἡ γαϲτέροϲ γενικὴ ὤφειλε ϲυγκοπὴν ἀναδέξαϲθαι καὶ γενέϲθαι γαϲτρόϲ, οὔτε γὰρ αὕτη ἔχει εὐθεῖαν, ἣν ὤφειλε μιμήϲαϲθαι, οὐδὲ γὰρ ἔχομεν, ὡϲ εἴρηται, εὐθεῖαν διὰ τοῦ τροϲ ἐκφερομένην ὀξύτονον, λέγομεν ὅτι ἐπειδὴ τὸ γαϲτήρ κατὰ τὴν εὐθεῖαν παραλόγωϲ ὀξύνθη, τούτου χάριν καὶ κατὰ τὴν γενικὴν παραλόγωϲ ἀνεδέξατο ϲυγκοπήν.

Τὸν ἀνέρα γίνεται κατὰ ϲυγκοπὴν ἄνδρα καὶ θυγατέρα θύγατρα,

l. 8 cf. περὶ ϲυντάξεωϲ τῶν κδ' ϲτοιχείων fr. 16 et 17. l. 14 Choer. 346, 27. l. 20 cf. 347, 1. l. 40 Ep. Cr. I 346, 7, Choer. 349, 7. Non Herodiani est ea causa, propter quam Choer. μητέρα et πατέρα non per syncopen μῆτρα

ἀλλ' οὐ τὸν αὐτὸν τρόπον καὶ τὸ μητέρα γίνεται κατὰ cυγκοπὴν μῆτρα οὐδὲ τὸ πατέρα cυγκέκοπται, τὴν δὲ γενικὴν τῶν πληθυντικῶν cυνέκοψεν Ὅμηρος «ἐξέτι πατρῶν» (θ 245) ἴcωc μιμούμενος τὴν ἑνικὴν γενικήν.

Choer. 319, 22: ἰcτέον ὅτι ἐὰν εὑρεθῇ ἕτερον cύμφωνον, ἀποβάλλεται ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν οἷον Πάριδι Πάριcι, Πλάτωνι Πλάτωcι, λέοντι λέουcι· χωρὶc εἰ μὴ εὑρεθῇ τὸ ρ̄, τοῦτο γὰρ φυλάττεται ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν οἷον Ἕκτορι Ἕκτορcι, Νέcτορι Νέcτορcι, ἢ εἰc δύο cύμφωνα λήγει ἡ εὐθεῖα, τότε γὰρ φυλάττεται τὰ δύο cύμφωνα καὶ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, ἐπειδὴ ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν ἐκ τῆc εὐθείαc κανονίζεται προcθέcει τοῦ ῑ οἷον ἅλc ἁλcί, Τίρυνc Τίρυνcιν, ἕλμινc ἕλμινcι, μάκαρc μάκαρcι. καὶ ἄξιόν ἐcτι ζητῆcαι διὰ ποίαν αἰτίαν, εἰ μὲν εὑρεθῇ ἕτερον cύμφωνον, ἀποβάλλει αὐτὸ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν οἷον Πάριδι Πάριcι, Πλάτωνι Πλάτωcιν, εἰ δὲ εὑρεθῇ τὸ ρ̄, φυλάττει αὐτὸ καὶ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν οἷον Ἕκτορι Ἕκτορcι, Νέcτορι Νέcτορcι. ἔcτιν οὖν ταύτην εἰπεῖν τὴν ἀπολογίαν, ὅτι τὸ ρ ἐνομίcθη φωνῆεν εἶναι. ἐπειδὴ ἡνίκα εὑρεθῇ φωνῆεν ἔχουcα ἡ δοτικὴ τῶν ἑνικῶν, φυλάττει αὐτὸ καὶ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν οἷον ὄφεϊ ὄφεcι, πόλεϊ πόλεcι, μάντεϊ μάντεcι, τούτου χάριν ἡνίκα εὑρεθῇ ἔχουcα τὸ ρ̄, φυλάττει αὐτὸ καὶ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν οἷον Ἕκτορι Ἕκτορcι, Νέcτορι Νέcτορcι.

Choer. 349, 27: ὡc ὄφεϊ ὄφεcι, τάχεϊ τάχεcι, Πάριδι Πάριcι, Πλάτωνι Πλάτωcιν, Ἕκτορι Ἕκτορcι, Νέcτορι Νέcτορcιν, οὕτωc οὖν καὶ μητέρι μητέρcι, καὶ διὰ τὴν εὐφωνίαν ὑπερβιβαcμὸc γίνεται τοῦ ρ, καὶ τροπὴ παρακολουθεῖ τοῦ ε̄ εἰc α καὶ γίνεται μητράcιν, ὥcπερ πατέρι πατέρcι καὶ πατράcι, καὶ θυγατέρι θυγατέρcι καὶ θυγατράcι, καὶ ἀνήρ ἀνέρcι καὶ ἀνδράcι, τοῦ δ πλεονάcαντοc. δύναται δὲ καὶ ἀπὸ τῆc κατὰ cυγκοπὴν δοτικῆc τῶν ἑνικῶν κανονιcθῆναι καὶ ἐπὶ τούτων ἡ δοτικὴ τῶν πληθυντικῶν. ἔcτι γὰρ ἡ κατὰ cυγκοπὴν δοτικὴ τῶν ἑνικῶν μητρί καὶ πατρί καὶ θυγατρί καὶ ἀνδρί· καὶ ἐπειδὴ τοῦ c̄ προcερχομένου ἀcυνταξία γίνεται, τούτου χάριν πλεοναcμὸc παρακολουθεῖ τοῦ ᾱ καὶ γίνεται μητράcι καὶ πατράcι καὶ θυγατράcι καὶ ἀνδράcιν ἡ δοτικὴ τῶν πληθυντικῶν.

Περὶ τῶν εἰc ψ.

Καθόλου τὰ εἰc ψ λήγοντα εἴτε μονοcύλλαβα εἴτε ὑπὲρ δύο cυλλαβὰc εἴτε ἁπλᾶ εἴτε cύνθετα διὰ τοῦ π κλίνεται οἷον ὤψ ὠπός ὁ ὀφθαλμόc καὶ ὄνομα κύριον «Εὐρύκλει' Ὦπος θυγάτηρ» (α 429), θήψ θηπόc (cημαίνει δὲ τὸν κόλακα), κνίψ κνιπόc (τὸ δὲ μετὰ τοῦ c̄ cκνίψ κλίνε-

et πάτρα proferri dicit: ἵνα μὴ cυνεμπέcῃ τῷ μήτρα καὶ πάτρα εὐθείᾳ. Nam Herodianum ad diversitatem temporis attendisse certum est. l. 33 utraque explicatio ab Herodiano profecta esse videtur, quamquam posteriorem ab eo praelatam esse apparet ex Il. Pr. X 28 et Io. Al. 11, 27 αἱ πλεονάcαcαι τὸ ᾱ κατὰ τὴν παραλήγουcαν παροξύνονται πατράcι θυγατράcι μητράcι, Arc. 138, 2.

l. 35 Choer. 87, 26 et 322, 5, An. Ox. II 424, 13; quae de formarum κνίψ

ται ϲκνιπόϲ καὶ ϲκνιφόϲ), κύκλωψ κύκλωποϲ, ἑλίκωψ ἑλίκωποϲ ὁ εὐόφθαλμοϲ, λαῖλαψ λαίλαποϲ πλὴν τεϲϲάρων ἐν μονοϲυλλάβοιϲ, λέγω δὴ τοῦ φλέψ φλεβόϲ, φάψ φαβόϲ, Νίψ Νιβόϲ (ὄνομα κρήνηϲ) καὶ λίψ λιβόϲ ὁ ἄνεμοϲ, ἐν δὲ τοῖϲ ὑπὲρ μίαν ϲυλλαβὴν ἁπλῶν μὲν ε´ Ἄραψ Ἄραβοϲ, Χάλυψ Χάλυβοϲ, Κίνυψ Κίνυφοϲ (ποταμὸϲ Λιβύηϲ), Θάρυψ Θάρυβοϲ (ἔϲτι δὲ ὄνομα κύριον), Ϲκίραψ Ϲκίραφοϲ (ἔϲτι δὲ ὄνομα κύριον παρὰ τοῖϲ κωμικοῖϲ εὑριϲκόμενον), ϲυνθέτων δὲ δύο, τοῦ κατῆλιψ κατήλιφοϲ (ϲημαίνει δὲ τὴν μέϲην ϲτέγην ἀπὸ τοῦ κατειλῆφθαι ὑπὸ τοῦ ξύλου ἤ τινοϲ τοιούτου, ἐφ᾽ ὧν τὰ καταϲτρώματα τίθεται καὶ τὸ ἀπὸ τῆϲ τρόπεωϲ τοῦ ἱϲτοῦ, ᾧ προϲδέδεται ὁ ἱϲτόϲ) καὶ τοῦ χέρνιψ χέρνιβοϲ καὶ τῶν ἀπὸ τῶν εἰϲ βω ῥημάτων οἷον πεδότριψ πεδότριβοϲ (τῶν κατατετριμμένων εἰϲ πέδαϲ, τουτέϲτιν εἰϲ δεϲμούϲ), οἰκότριψ οἰκότριβοϲ (ϲημαίνει δὲ τὸν οἰκογενῆ), χοιρότριψ χοιρότριβοϲ καὶ τὰ ὅμοια.

Choer. 322, 13: ἰϲτέον δὲ ὅτι τὰ μὴ κλιθέντα διὰ τοῦ π τὴν ἀναλογίαν ἐπλήρωϲαν· ὃν γὰρ τρόπον τὰ εἰϲ ξ λήγοντα κλίνεται διὰ δαϲέοϲ ἢ ψιλοῦ ἢ μέϲου, τουτέϲτι διὰ τοῦ γ ἢ κ ἢ χ οἷον ὄρτυξ ὄρτυγοϲ, θώραξ θώρακοϲ, ὄνυξ ὄνυχοϲ, τὸν αὐτὸν τρόπον καὶ τὰ εἰϲ ψ λήγοντα διὰ δαϲέοϲ ἢ ψιλοῦ ἢ μέϲου κλίνεϲθαι θέλει τουτέϲτι διὰ τοῦ β ἢ π ἢ φ οἷον Ἄραψ Ἄραβοϲ, Κύκλωψ Κύκλωποϲ, Κίνυψ Κίνυφοϲ. ταῦτα οὖν τὰ δοκοῦντα εἰϲ ψ παράλογα τὰ τῆϲ ἀναλογίαϲ ἐφύλαξε κλιθέντα διὰ τοῦ β καὶ φ. λοιπὸν γὰρ εὑρίϲκεται τῇ προφάϲει ταύτῃ τὰ εἰϲ ψ λήγοντα κλινόμενα διὰ δαϲέοϲ καὶ ψιλοῦ καὶ μέϲου, τουτέϲτι διὰ τοῦ β ἢ π ἢ φ.

Περὶ θηλυκῶν ὀνομάτων.

Περὶ τῶν εἰϲ α.

Choer. 323, 30: τὰ εἰϲ α λήγοντα θηλυκά, ἐὰν μὲν ἔχῃ τὸ α καθαρόν, τουτέϲτι μὴ προηγουμένου ϲυμφώνου, ἢ πρὸ τοῦ α τὸ ρ, ἢ μακρόν, φυλάττει καὶ ἐν τῇ γενικῇ, φημὶ δὴ τὸ α, καὶ προϲθέϲει τοῦ ϲ ποιεῖ τὴν γενικήν. ἔϲτω δὲ παραδείγματα τοῦ κανόνοϲ ταῦτα· τὸ α μὲν καθαρὸν οἷον μαῖα μαίαϲ, γραῖα γραίαϲ, γαῖα γαίαϲ, Μήδεια Μηδείαϲ (τὸ γὰρ

Μηδείηϲ ὑπ᾽ ἔρωτι [Apoll. Rh. 3, 31]

Ἰωνικόν ἐϲτι), Κράτεια Κρατείαϲ, Ἀλεξάνδρεια Ἀλεξανδρείαϲ, Καιϲάρεια Καιϲαρείαϲ, Ἀντιόχεια Ἀντιοχείαϲ. πρὸ τοῦ α τὸ ρ οἷον ϲφαῖρα ϲφαίραϲ, Δηϊάνειρα Δηϊανείραϲ, εὐπάτειρα εὐπατείραϲ, ϲώτειρα ϲωτείραϲ, γενέτειρα γενετείραϲ, ἄρουρα ἀρούραϲ. τὸ δὲ α μακρὸν οἷον Ἀθηνᾶ Ἀθηνᾶϲ (μακρὸν γὰρ ἔχει τὸ α), μνᾶ μνᾶϲ, Ναυϲικᾶ Ναυϲικᾶϲ, Ἀνδρομέδα Ἀνδρομέδαϲ, Λήδα Λήδαϲ (τὸ γὰρ

---

et ϲκνίψ declinatione praebui, sunt ex Ep. Cr. I 391, 6. Quamquam canonem, quem Choeroboscus hic proponit, se Ioanni Characi debere dicit Choerob., tamen non dubitandum est, quin et ipse Charax Herodianum exscripserit. l. 5 et 19 Κίνυψ cod., cf. Cathol. p. 247; sed vereor ne κῖνυψ scribendum sit, cf. Thesaurum.

Λήδην εἶδον τὴν Τυνδαρέου παράκοιτιν [λ 297]

ἀπὸ τοῦ ἡ Λήδη ἐστί), Φιλομήλα Φιλομήλας, Διοτίμα Διοτίμας, Ἥρα Ἥρας, φοβερά φοβερᾶς. ταῦτα δὲ ὡς ἔχοντα τὸ ᾱ καθαρὸν καὶ μετὰ τοῦ ρ̄ καὶ ἐκτεταμένον φυλάττει τὸ ᾱ ἐν τῇ γενικῇ. ἐὰν δὲ μηδὲν ἐκ τούτων τῶν τριῶν ἔχῃ τουτέςτι μήτε τὸ καθαρὸν ᾱ, μήτε πρὸ τοῦ ᾱ τὸ ρ̄, μήτε ἐκτεταμένον τὸ ᾱ, τρέπει τὸ ᾱ εἰς τὸ η̄ ἐν τῇ γενικῇ μετὰ τοῦ προςλαμβάνειν δηλονότι τὸ ϲ̄ οἷον μοῦςα μούςης, δόξα δόξης, ῥίζα ῥίζης, δίψα δίψης, ἄελλα ἀέλλης, θύελλα θυέλλης, Cκύλλα Cκύλλης, ἅμαξα ἁμάξης, τράπεζα τραπέζης, τύπτουςα τυπτούςης, χαρίεςςα χαριέςςης.

Ἰςτέον ὅτι τῶν ςυμφώνων τὰ μὲν τῷ ᾱ χαίρει, τὰ δὲ τῷ η̄, τὰ δὲ τῷ ᾱ καὶ τῷ η̄. οἷον τὸ βῆτα τῷ η̄ χαίρει οἷον Θίςβη, Ἀρίςβη· ὡςαύτως δὲ καὶ τὸ γ̄ οἷον ςτέγη, αὐγή, κραυγή· καὶ τὸ δ̄ δὲ τῷ η̄ χαίρει οἷον Ἴδη, Νέδη, Cίδη, ὅθεν καὶ τὸ Λήδη οἷον

καὶ Λήδην εἶδον τὴν Τυνδαρέου παράκοιτιν,

ἀναλογώτερόν ἐςτι τοῦ Λήδα καὶ τὸ Ἀνδρομέδη τοῦ Ἀνδρομέδα. ἀλλὰ λέγομεν ὅτι Λήδη καὶ Ἀνδρομέδη ἦν, καὶ ἔτρεψε Δωρικῶς τὸ η̄ εἰς ᾱ δηλονότι μακρὸν καὶ ἐγένετο Λήδα καὶ Ἀνδρομέδα. τὸ ζ̄ τῷ ᾱ χαίρει οἷον ῥίζα, μᾶζα, χάλαζα. τὸ ξ̄ ὁμοίως τῷ ᾱ χαίρει οἷον δόξα, μύξα, ἅμαξα· ὡςαύτως καὶ τὸ ψ̄ οἷον δίψα· καὶ τὸ ϲ̄ δὲ τῷ ᾱ χαίρει οἷον μοῦςα, φῦςα, πῖςα, κνῖςα, θάλαςςα. τὸ δὲ θ̄ τῷ ᾱ χαίρει καὶ τῷ η̄ οἷον μέθη, λήθη, κριθή, μίνθα (τὸ ἡδύοςμον)· ὡςαύτως δὲ καὶ τὸ λ̄ τῷ ᾱ χαίρει καὶ τῷ η̄· ἐὰν μὲν εὑρεθῇ δύο λλ, τῷ ᾱ χαίρει οἷον θύελλα, ἄελλα, ἅμιλλα, Cκύλλα, πλὴν τοῦ Ἕλλη καὶ Πέλλη. ἰδοὺ γὰρ ταῦτα δύο λλ ἔχοντα εἰς η̄ καταλήγει (ἔςτι δὲ τὸ μὲν Ἕλλη ὄνομα κύριον γυναικός, τὸ δὲ Πέλλη ὄνομα πόλεως). ἐὰν δὲ εὑρεθῇ ἓν λ̄ μὴ ἔχον προηγούμενον ςύμφωνον, τῷ η̄ χαίρει οἷον Ἐριφύλη, Cεμέλη, πύλη, αὐλή, φυλή, χηλή ὄνυξ, πλὴν τοῦ παῦλα καὶ τοῦ ἀνάπαυλα, ταῦτα γὰρ ἓν λ̄ ἔχοντα διὰ τοῦ ᾱ ἐγένετο, ςημαίνει δὲ τὴν ἀνάπαυςιν· τὸ γὰρ Φιλομήλα Δωρικῶς ἔτρεψε τὸ η̄ εἰς τὸ ᾱ μακρόν, Φιλομήλη γὰρ ἦν. ὁμοίως δὲ καὶ τὰ ἔχοντα τὸ λ̄ ἐν ἐπιπλοκῇ ςυμφώνου τῷ η̄ χαίρει οἷον ζεύγλη (ςημαίνει δὲ τὸν λῶρον τὸν ςυνέχοντα τὸν ζυγὸν πρὸς τὸ ζῷον), τρίγλη, κίχλη, ὁμίχλη (τὸ γὰρ ζεῦγλα εὑρεθὲν παρὰ τοῖς ἀρχαίοις κατὰ ποιητικὴν ἐξουςίαν ςυνέςτειλε τὸ η̄ εἰς ᾱ). περὶ δὲ τοῦ Αὔγουςτα λέγουςιν ὅτι ὤφειλεν Αὐγούςτη εἶναι ἡ εὐθεῖα διὰ τοῦ η̄, τὸ τ̄ γὰρ τῷ η̄ χαίρει οἷον χαίτη, ἐλάτη, Ἀφροδίτη, μελέτη, ἀρετή, τελευτή, καὶ κατὰ

l. 12 Θίςβη scripsi pro Θίβη, nam nomen Amazonis vulgo Θίβα scribitur et nominativus Θίβη ap. St. B. s. Θιβαΐς a Meinekio in suspicionem vocatur; potui etiam scribere Θήβη. Pro Νίδη scripsi ex St. B. Νέδη. Caeterum quae hic Choerohosens de exitu ᾱ et η̄ profert, congruunt cum exemplis in Catholica ap. Arcad. propositis et quae singillatim de λα et λη tradit, cum Eustath., qui diserte 117, 44 et 1934, 22 Herodianum huic canoni favere narrat. Quae de Θέκλα Choeroboscus ex St. B. profert, omisi, quum Θέκλα nomen aevi Byzantii sit.

ἄλλον δὲ κανόνα ὤφειλεν Αὐγούστη εἶναι, ἐπειδὴ τὰ εἰς ος ἀρσενικὰ ποιοῦντα κατὰ ἰδίαν θηλυκά, τουτέστι μὴ ὄντα κοινὰ τῷ γένει, διὰ τὸ ὁ φιλόσοφος καὶ ἡ φιλόσοφος, ἔχοντα πρὸ τοῦ ος σύμφωνον μὴ τὸ ρ, εἰς η ποιεῖ τὸ θηλυκὸν οἷον σοφός σοφή, καλός καλή, κάλλιστος καλλίστη, ἄριστος ἀρίστη, μέγιστος μεγίστη, οὕτως οὖν καὶ Αὔγουστος Αὐγούστη ὤφειλε γενέσθαι τὸ θηλυκόν, ἀλλ' ἔτρεψε τὸ η εἰς α βραχύ, δηλονότι Ἰταλικῶς· τὸ γὰρ ὄνομα Ἰταλικόν. ὅθεν ἀξιοῦσι τὸ μὲν κύριον ὄνομα τὸ Αὐγούστα λέγειν, ὅτι ἐκτείνει τὸ α, καὶ προσθέσει τοῦ ς ποιεῖ τὴν γενικὴν οἷον Αὐγούστας, ὥσπερ Ἀθηνᾶ Ἀθηνᾶς, Διοτίμα Διοτίμας, Φερετίμα Φερετίμας, Δωρικῶς δηλονότι τραπέντος τοῦ η εἰς α μακρόν· τὸ δὲ ἐπὶ τῆς βασιλίδος Ἰταλικόν ἐστι, καὶ διὰ τοῦτο τρέπει τὸ α εἰς η ἐν τῇ γενικῇ οἷον Αὐγούστης, ὥσπερ μοῦσα μούσης, ἅμαξα ἁμάξης, ὡς τοῦ α συνεσταλμένου ὄντος.

Περὶ τῶν εἰς η.

Choer. 328, 13: τὰ εἰς η λήγοντα θηλυκὰ προσθέσει τοῦ ς ποιεῖ τὴν γενικὴν οἷον καλή καλῆς, Ἀφροδίτη Ἀφροδίτης, τιμή τιμῆς, μελέτη μελέτης· ὅθεν τὴν γυναικός γενικὴν ἀπὸ τῆς γύναιξ εὐθείας κεκλίσθαι φαμὲν καὶ οὐκ ἀπὸ τοῦ γυνή, ἐπεὶ τῆς γυνῆς εἶχεν εἶναι.

Ἄξιον δέ ἐστι ζητῆσαι διατί τὸ γυνή ἄκλιτόν ἐστιν, οὐδὲ γὰρ λέγομεν τῆς γυνῆς. καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι τὰ εἰς νη λήγοντα δισύλλαβα τῷ υ παραληγόμενα ἐκτεταμένον ἔχει τὸ υ οἷον μύνη (ἡ προτροπὴ καὶ ἡ πρόφασις), Βύνη (οὕτως ἐκλήθη ὕστερον ἡ Ἰνώ), Φρύνη (ὄνομα κύριον)· τὸ δὲ γυνή συστέλλει τὸ υ, εἰκότως οὖν ὡς μονῆρες ἄκλιτον ἔμεινε. ἰστέον ὅτι εὑρίσκεται παρὰ Φερεκράτει ἡ αἰτιατικὴ τὴν γυνήν

ὡς ἄτοπόν ἐστι μητέρ' εἶναι καὶ γυνήν,

καὶ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τὰς γυνάς,

ἀλλ' ὁρῶ τὰς γυνάς.

τούτων οὕτως ἐχόντων ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα ἐπὶ τῶν ἑτεροκλίτων ἡ αἰτιατικὴ καὶ κλητικὴ τῇ λεγομένῃ εὐθείᾳ ἀκολουθοῦσι καὶ οὐ τῇ σεσιγημένῃ (ἰδοὺ γὰρ τὸν μέγαν λέγομεν τὴν αἰτιατικὴν καὶ ὦ μέγα τὴν κλητικήν, ὡς πρὸς τὴν μέγας εὐθεῖαν τὴν λεγομένην καὶ οὐχὶ πρὸς τὴν σεσιγημένην τὴν μεγάλος, ἐξ ἧς ἡ γενικὴ καὶ ἡ δοτικὴ μεγάλου μεγάλῳ, ἐπεὶ μεγάλον καὶ μεγάλε εἶχον εἶναι ἡ αἰτιατικὴ καὶ κλητική), πῶς οὖν ἐνταῦθα ἡ αἰτιατικὴ καὶ ἡ κλητικὴ οὐ λέγονται πρὸς τὴν λεγομένην εὐθεῖαν, φημὶ δὴ πρὸς τὸ ἡ γυνή, ἐπεὶ τὴν γυνήν καὶ ὦ γυνή εἶχον εἶναι, ἀλλὰ πρὸς τὴν γύναιξ εὐθεῖαν ἐκλίθησαν, ἐξ ἧς καὶ ἡ γυναικός γενική, καὶ ἡ γυναικί δοτική, γυναῖκα γὰρ φαμὲν καὶ ὦ γύναι; ἔστιν οὖν εἰπεῖν, ὅτι ἐπὶ τῶν ἄλλων ἑτεροκλίτων προφανῶς ἡ γενικὴ καὶ δοτικὴ τὴν ἀκολουθίαν ἔχουσι πρὸς τὴν σεσιγημένην εὐθεῖαν, καὶ τούτου χάριν ἡ αἰτιατικὴ καὶ κλητικὴ οὐκ ἀκολουθοῦσιν αὐταῖς ἀλλὰ

ταῖϲ λεγομέναιϲ εὐθείαιϲ· προφανῶϲ γὰρ ἡ μεγάλου γενικὴ καὶ ἡ μεγάλῳ δοτικὴ τὴν ἀκολουθίαν ἔχει πρὸϲ τὴν μεγάλοϲ εὐθεῖαν. ἐνταῦθα δέ, ἐπειδὴ ἡ γενικὴ καὶ ἡ δοτικὴ οὐκ ἔϲχον τὴν ἀκολουθίαν ἀπαραλλάκτωϲ πρὸϲ τὴν ϲεϲιγημένην εὐθεῖαν, ὡϲ γὰρ πρὸϲ τὴν γύναιξ εὐθεῖαν ἡ γενικὴ καὶ ἡ δοτικὴ προπαροξυτόνωϲ ὤφειλον εἶναι γύναικοϲ καὶ γύναικι, τούτου χάριν, ὡϲ μὴ φυλάξαϲαι τὴν ἀκολουθίαν ἀπαραλλάκτωϲ τῆϲ γενικῆϲ καὶ δοτικῆϲ πρὸϲ τὴν ϲεϲιγημένην εὐθεῖαν, οὐκ ἀπέφυγον αὐτὰϲ ἡ αἰτιατικὴ καὶ ἡ κλητικὴ καὶ οὐκ ἠκολούθηϲαν τῇ λεγομένῃ εὐθείᾳ τῇ ἡ γυνή. ἡ γὰρ Δία αἰτιατικὴ διὰ τοῦτο οὐκ ἠκολούθηϲε τῇ λεγομένῃ εὐθείᾳ, φημὶ δὲ τῇ Ζεύϲ, ἐπειδὴ οὐ δύναται ὅλωϲ τὸ Ζεύϲ τὸ κοινολεκτούμενον κλιθῆναι.

Ἄξιον δέ ἐϲτι ζητῆϲαι διὰ τί τὸ ἄγη ἄκλιτόν ἐϲτι (ϲημαίνει δὲ τὴν ἔκπληξιν) καὶ ἔϲτι θηλυκὸν ὄνομα

ἄγη μ' ἔχει ὄρχαμε λαῶν (Φ 221),

ἀντὶ τοῦ ἔκπληξίϲ με ἔχει. καὶ ἔϲτιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὰ εἰϲ γη ἰαμβικὰ οὐδέποτε ἀπὸ φωνήεντοϲ ἄρχεται οἷον ϲτέγη, ϲφαγή, ταγή. πρόϲκειται «ἰαμβικὰ» διὰ τὸ ἀγή (ϲημαίνει δὲ τὴν ἀπόκλαϲιν τοῦ κύματοϲ)· τοῦτο γὰρ ἀπὸ φωνήεντοϲ ἄρχεται, ἀλλ' οὐκ ἔϲτιν ἰαμβικὸν ἀλλὰ ϲπονδειακόν, τὸ γὰρ α μηκυνόμενον ἔχει. ἐπειδὴ οὖν τὸ ἄγη εἰϲ γη ἐϲτὶν ἰαμβικὸν καὶ ἀπὸ φωνήεντοϲ ἄρχεται, εἰκότωϲ ὡϲ μὴ ἔχον τι μιμήϲαϲθαι ἔμεινεν ἄκλιτον.

Περὶ τῶν εἰϲ ω.

Choer. 330, 8: τὰ εἰϲ ω λήγοντα θηλυκὰ πάντα ὀξύνεται οἷον Λητώ, Κλειώ, Καλυψώ, Ϲαπφώ· ἔχει δὲ παραλλαγὴν περὶ τὴν κλίϲιν. τὰ μὲν γὰρ ἑνικὰ αὐτῶν ὡϲ ἀπὸ περιττοϲυλλάβου κλίϲεωϲ γίνεται οἷον Λητόοϲ Λητοῦϲ, Λητόϊ Λητοῖ, Λητόα Λητώ· τὰ δὲ δυϊκὰ καὶ πληθυντικὰ ὡϲ ἀπὸ ἰϲοϲυλλάβου κλίϲεωϲ οἷον τὰ Λητώ ταῖν Λητοῖν ὦ Λητώ, αἱ Λητοί τῶν Λητῶν ταῖϲ Λητοῖϲ τὰϲ Λητούϲ ὦ Λητοί, ὥϲπερ τὼ καλώ τοῖν καλοῖν ὦ καλώ, οἱ καλοί τῶν καλῶν τοῖϲ καλοῖϲ τοὺϲ καλούϲ ὦ καλοί. ταῦτα δὲ τὰ εἰϲ ω λήγοντα θηλυκὰ εἰϲ ουϲ ἔχει τὴν γενικὴν οἷον Ϲαπφώ Ϲαπφοῦϲ, Κλειώ Κλειοῦϲ, Καλυψώ Καλυψοῦϲ, Λητώ Λητοῦϲ, Ἐρατώ Ἐρατοῦϲ.

Ἄξιον δέ ἐϲτι ζητῆϲαι, διατί τὰ εἰϲ ω λήγοντα θηλυκὰ εἰϲ ουϲ ἔχει τὴν γενικήν. καὶ ἔϲτιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι ἀντιπεπονθότωϲ ἔχει τὰ εἰϲ ω ῥήματα πρὸϲ τὰ εἰϲ ω θηλυκά. τὰ μὲν εἰϲ ω ῥήματα ἀποϲτρέφεται τὴν ὀξεῖαν τάϲιν οἷον τύπτω, γράφω, ποιῶ, νοῶ, τὰ δὲ εἰϲ ω θηλυκὰ ὀξύνεται οἷον Λητώ, Καλυψώ, Ἐρατώ, Ϲαπφώ. ἐπειδὴ οὖν τὰ εἰϲ ω ῥήματα ἔθοϲ ἔχει πολλάκιϲ διὰ τῆϲ ει διφθόγγου ἐκφέρεϲθαι κατὰ τὴν κλίϲιν οἷον τύπτω τύπτειϲ, γράφω γράφειϲ, λέγω λέγειϲ, τούτου οὖν χάριν ἐκ τοῦ ἐναντίου τὰ εἰϲ ω θηλυκὰ διὰ τῆϲ ου

l. 19 extrema pars de ἄγη transiit in An. Ox. II 350, 1.

διφθόγγου ἐκφέρεται οἷον Σαπφώ Σαπφοῦς, Κλειώ Κλειοῦς, Λητώ Λητοῦς. πρόσκειται ἀνωτέρω «πολλάκις» διὰ τὴν δευτέραν καὶ τρίτην συζυγίαν τῶν περισπωμένων.

Ἔτι δὲ ἄξιόν ἐστι ζητῆσαι, τί δήποτε ἡ εἰς $\overline{\text{ους}}$ συνῃρημένη γενική, ἡνίκα μὲν ἀπὸ τῶν εἰς $\overline{\text{ης}}$ εὑρεθῇ, διὰ τοῦ $\overline{\text{εος}}$ ἔχει τὴν γενικὴν ἐν τῇ ἐντελείᾳ οἷον εὐγενής εὐγενέος εὐγενοῦς, Δημοσθένης Δημοσθένεος Δημοσθένους· ἡνίκα δὲ ἀπὸ τῶν εἰς ω εὑρεθῇ, διὰ τοῦ $\overline{\text{οος}}$ ἔχει τὴν γενικὴν ἐν τῇ ἐντελείᾳ οἷον Λητώ Λητόος Λητοῦς, Καλυψώ Καλυψόος Καλυψοῦς. ἔστι δὲ εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὸ η συστελλόμενον εἰς τὸ $\overline{\text{ε}}$ συστέλλεται οἷον ξηρόν ξερόν «ποτὶ ξερὸν ἠπείροιο» (ε 402), φρήν φρενός, τέρην τέρενος, λιμήν λιμένος, ἄρσην ἄρσενος· ἐπειδὴ οὖν τὸ η συστελλόμενον εἰς τὸ $\overline{\text{ε}}$ συστέλλεται, εἰκότως οὖν ἡ εἰς $\overline{\text{ους}}$ συνῃρημένη γενική, ἡνίκα εὑρεθῇ ἀπὸ τῶν εἰς $\overline{\text{ης}}$, διὰ τοῦ $\overline{\text{εος}}$ ἔχει τὴν ἐντέλειαν. διατί δὲ ὅτε ἐστὶν ἀπὸ τῶν εἰς $\overline{\text{ω}}$ διὰ τοῦ οος ἔχει τὴν ἐντέλειαν; λέγομεν ταύτην τὴν ἀπολογίαν, ὅτι τὸ $\overline{\text{ω}}$ συστελλόμενον εἰς τὸ $\overline{\text{ο}}$ συστέλλεται οἷον Ἕκτωρ Ἕκτορος, Μέντωρ Μέντορος, γείτων γείτονος, σώφρων σώφρονος. ἐπειδὴ οὖν τὸ $\overline{\text{ω}}$ συστελλόμενος εἰς τὸ $\overline{\text{ο}}$ συστέλλεται, εἰκότως καὶ ἡ εἰς $\overline{\text{ους}}$ γενικὴ εὑρεθεῖσα παρὰ τῶν εἰς ω διὰ τοῦ $\overline{\text{οος}}$ ἔχει τὴν ἐντέλειαν.

Choer. 332, 13: ἰστέον ὅτι τῇ μὲν διὰ τοῦ $\overline{\text{οος}}$ γενικῇ κέχρηνται οἱ Ἴωνες οἷον τῆς Σαπφόος τῆς Λητόος, τῇ δὲ εἰς $\overline{\text{ους}}$ οἱ Ἀττικοὶ καὶ ἡ κοινὴ διάλεκτος οἷον Σαπφοῦς Λητοῦς.

Ἀπὸ τῆς Σαπφοῖ δοτικῆς γέγονεν ἡ Σαπφόα αἰτιατικὴ τροπῇ τοῦ ι εἰς $\overline{\text{α}}$ καὶ κατὰ κρᾶσιν τοῦ ο καὶ α εἰς $\overline{\text{ω}}$ Σαπφώ. ἔστι καὶ τὴν Σαπφών καὶ τὴν Λητών ἡ αἰτιατικὴ καὶ κατὰ τροπὴν τοῦ ω εἰς τὴν $\overline{\text{οι}}$ δίφθογγον γίνεται τὴν Σαπφοῖν καὶ τὴν Λητοῖν. ἰστέον δὲ ὅτι οἱ Αἰολεῖς καὶ διὰ τοῦ ων λέγουσι τὴν αἰτιατικὴν τῶν εἰς $\overline{\text{ω}}$ θηλυκῶν καὶ βαρύνουσιν οἷον τὴν Λήτων, τὴν Σάπφων.

l. 22 Choerob. in Hort. Adon. f. 268b, ut comperio ex Ahrens. de dial. Doric. p. 238, testatur nonnullos Doriensium Σαπφόος proferre et eum hac forma comparat Ἀόος Pind. Nem. VI 51 (cf. Lob. El. II 64). Alterius genetivi in ως, quem Romanus ap. Choerob. 331, 24 pro nativo habet, unde correpto $\overline{\text{ω}}$ et $\overline{\text{υ}}$ adiecto communis in $\overline{\text{ους}}$ oriatur, mentionem facit Choer. in Hort. Adon. 268b: οἱ Αἰολεῖς καὶ Λάκωνες προσθέσει τοῦ $\overline{\text{ς}}$ ποιοῦσι τὴν γενικὴν οἷον ἡ Σαπφώ τῆς Σαπφῶς, ἡ Λητώ τῆς Λητῶς καὶ δηλοῦσιν αἱ χρήσεις οὕτως ἔχουσαι

ἐκ Σάπφως τόδ' ἀμελγόμενος μέλι τοι φέρω (Sapph. fr. 21 Ahrens),
μάλα δὴ κεκορημένας
Γόργως (Sapph. fr. 73)
εὐμορφοτέρα Μνασιδίκα τᾶς ἁπάλας Γυρίννως (fr. 66).

Hunc locum debeo Ahrensio de dial. Aeol. p. 118 not. 10; petitus autem videtur ex Herodiano, qui quum ap. Choerob. paullo infra accusativum Σαπφών pro originali habeat, unde Σαπφοῖν natus sit, in libro περὶ κλίσεως de isosyllaba declinatione accuratius exposuisse putandus est. — De dativo cf. fr. 34.

l. 23 Choer. 333, 10 cf. fr. 35. Aeolici accusativi mentionem facit Choerob. etiam in Hort. Adon 268 b, quem locum ex Ahrensii dial. Aeol. p. 113 not. cognovi: τὴν αἰτιατικὴν οἱ Αἰολεῖς καὶ μόνῃ προσθέσει τοῦ $\overline{\text{ν}}$ ἐποίουν τὴν Λήτων ὡς καὶ ἡ χρῆσις δηλοῖ, «Ἥρων ἐξεδίδαξε γυάριον τὴν † ἀνυοδρόμον» (Sapph. fr. 75 Ahrens; Bergk. fr. 71 sic habet Ἥ. ἐξεδίδαξ' ἐκ Γυάρων τὰν τανυσίδρομον). Ahrensius ibi etiam locum nostrum emendavit.

Choer. 335, 10: ἡ κλητικὴ τῶν εἰς ῶ θηλυκῶν εἰς τὴν οῖ δίφθογγον λήγει, τῆς χρήσεως οὕτως ἐχούσης, ἡ Σαπφώ ὦ Σαπφοῖ, ἡ Λητώ ὦ Λητοῖ

Λητοῖ, ἐγὼ δέ τοι οὔτι μαχέσομαι (Φ 498).

καὶ ἔστιν εἰπεῖν, ὅτι εὑρίσκεται ἐπὶ τούτων ἡ κλητικὴ καὶ ὁμοφώνως τῇ εὐθείᾳ, ὡς παρὰ τῷ Ἀπολλωνίῳ (III 1)

εἰ δ' ἄγε νῦν, Ἐρατώ, πάρα θ' ἵστασο καί μοι ἔνισπε.

ὁ μέντοι ποιητὴς καὶ οἱ ἄλλοι εἰς τὴν οι δίφθογγον ποιοῦσι τὴν κλητικὴν οἷον

Λητοῖ, ἐγὼ δέ τοι οὔτι μαχέσομαι,

καὶ Μένανδρος «φίλη Πειθοῖ».

Choer. 336, 31: ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα τροπῇ τοῦ ῑ εἰς ε̄ ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν οἷον Αἴαντι Αἴαντε, Θόαντι Θόαντε, λέβητι λέβητε, διατί ἐπὶ τῶν εἰς ω̄ θηλυκῶν οὐ γίνεται ἡ εὐθεῖα τῶν δυϊκῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν, τροπῇ τοῦ ῑ εἰς ε̄ οἷον Λητόϊ Λητόε, Σαπφόϊ Σαπφόε, ἀλλὰ τὰ Λητὼ καὶ τὰ Σαπφὼ ὁμοφώνως τῇ αἰτιατικῇ τῶν ἑνικῶν· καὶ γὰρ ἡ αἰτιατικὴ τῶν ἑνικῶν τὴν Λητώ ἐστι καὶ τὴν Σαπφώ. καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ὅταν ἡ γενικὴ τῶν ἑνικῶν συναιρῆται, τότε καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν ὁμοίως συναιρεῖται, οἷον Δημοσθένεος Δημοσθένους Δημοσθένεε Δημοσθένη, τείχεος τείχους τείχεε τείχη, εὐγενέος εὐγενοῦς εὐγενέε εὐγενῆ, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος. οὐδὲ γὰρ ἡνίκα μὴ συναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν, κωλύεται πάντως συναιρεθῆναι ἡ εὐθεῖα τῶν δυϊκῶν, ἀλλ' ἔστιν ὅτε συναιρεῖται, οἷον βασιλεὺς βασιλέως βασιλέε βασιλῆ, πόλις πόλεως πόλεε πόλη, ὡς παρ' Αἰσχίνῃ τῷ Σωκρατικῷ, «τούτω τὼ πόλη»· λέγει δὲ περὶ Ἀθηναίων καὶ Λακεδαιμονίων. εἰ ἄρα οὖν ἐν τοῖς εἰς ω̄ θηλυκοῖς συναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν, Λητόος Λητοῦς, Σαπφόος Σαπφοῦς καὶ Ἐρατόος Ἐρατοῦς, δηλονότι καὶ ἡ εὐθεῖα τῶν δυϊκ:ν ἀναγκάζεται συναίρεσιν ἐπιδέξασθαι. ἐὰν οὖν γένηται ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν ἡ εὐθεῖα τῶν δυϊκῶν τροπῇ τοῦ ῑ εἰς ε̄ οἷον Λητόϊ Λητόε καὶ Σαπφόϊ Σαπφόε, μέλλει ἐν τῇ συναιρέσει εἰς τὴν ο̅υ̅ δίφθογγον καταλήγειν· τὸ γὰρ ο̄ καὶ ε̄ εἰς τὴν ου δίφθογγον κιρνᾶται οἷον τὸ ἐμόν τοὐμόν, τὸ ἔργον τοὔργον, προέβη προὔβη. εἰς τὴν ο̅υ̅ δίφθογγον δὲ καταλήγειν αὐτὴν ἀδύνατόν ἐστιν, οὐδέποτε γὰρ εὐθεῖα τῶν δυϊκῶν εἰς τὴν ο̅υ̅ δίφθογγον καταλήγει, τὸ γὰρ ῡ οὐκ ἔστι τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν· τούτου οὖν χάριν οὐκ ἐγένετο ἐκ τῆς δοτικῆς τῶν ἑνικῶν ἡ εὐθεῖα τῶν δυϊκῶν, ἀλλ' ὡμοφώνησεν τῇ αἰτιατικῇ τῶν ἑνικῶν τῇ ἐχούσῃ κατάληξιν ἁρμόζουσαν τῇ εὐθείᾳ τῶν δυϊκῶν, λήγει γὰρ εἰς ω ἡ αἰτιατικὴ τῶν ἑνικῶν, ὅπερ ἐστὶ τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν οἷον τὼ φίλω, τὼ ἀνθρώπω.

l. 7 in Callimachi versu M habet παρ' ἐμ' ἵστασο. l. 11 idem M addit Μένανδρος.

Choer. 338, 18: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω λήγουσα εἰς τὴν οι δίφθογγον ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, χωρὶς τῶν οὐδετέρων οἷον τὼ καλώ οἱ καλοί, τὼ ἀνθρώπω οἱ ἄνθρωποι, οὕτως οὖν καὶ τὰ Σαπφώ αἱ Σαπφοί.

Περὶ τῶν εἰς ν ληγόντων.

Choer. 339, 10: εἰς αν θηλυκὸν οὐκ ἔχομεν. εἰς εν οὐκ ἔστιν οὔτε ἀρσενικὸν οὔτε θηλυκόν· τὸ ἄρσεν καὶ τέρεν οὐδέτερά ἐστιν. ἐπὶ τοῖς εἰς ην μονοσυλλάβοις μόνον τὸ φρήν μόνου θηλυκοῦ γένους ἐστὶ καὶ τούτου χάριν τρέπει τὸ η εἰς τὸ ε ἐν τῇ γενικῇ καὶ γίνεται φρενός. ἔστι δὲ καὶ ἄλλο τὸ γλήν, ὅπερ κατὰ ἀποκοπὴν ἐγένετο ἀπὸ τοῦ γλήνη, οὗπερ ἡ κλίσις οὐχ εὑρίσκεται· γλήνη δὲ ἡ κόρη, οἷον ὡς παρὰ τῷ ποιητῇ «ἔρρε κακὴ γλήνη» (Θ 164). δισύλλαβα δὲ ἔχομεν ταῦτα· ἡ Τροιζήν (ἔστι δὲ ὄνομα πόλεως) καὶ ἡ Σειρήν, ἅπερ προσθέσει τοῦ ος ποιεῖ τὴν γενικὴν καὶ φυλάττει τὸ η οἷον Τροιζῆνος, Σειρῆνος.

Περὶ τῆς κλίσεως τῶν εἰς ιν καὶ ὅτι δικατάληκτά ἐστιν εἴτε ἀρσενικὰ εἴτε θηλυκά ἐστι καὶ ὅτι ἀναλογώτερά ἐστι τὰ εἰς ιν παρὰ τοῖς νεωτέροις εὑρισκόμενα τῶν εἰς ις, οἷς τισι κέχρηνται οἱ ἀρχαῖοι, προειρήκαμεν ἐν τοῖς ἀρσενικοῖς.

Εἰς ον διὰ τοῦ ο οὐχ εὑρίσκεται θηλυκά, ἐὰν δὲ ἄρα καὶ εὕρωμεν, ἀπὸ οὐδετέρου γένους ἐστὶ μετενεχθέντα, ἅτινα καὶ τόνον καὶ κλίσιν τοῦ οὐδετέρου φυλάττει, μόνον δὲ τὸ ἄρθρον ἐναλλάττει οἷον ἡ Ἀβρότονον, ἡ Λεόντιον, ἡ Χρυσίον, ἡ Φάνιον· ἀπὸ γὰρ τοῦ τὸ ἀβρότονον καὶ τὸ λεόντιον καὶ τὸ φάνιον καὶ τὸ χρυσίον (ἔστι δὲ τὸ μὲν τὸ ἀβρότονον ὄνομα βοτάνης, τὸ δὲ ἡ Ἀβρότονον ὄνομα ἑταίρας). ταῦτα δὲ οὐκ ἔχει πληθυντικὰ διὰ τὸ ἀχαρακτήριστον· οὐδὲ γὰρ ἠδύνατο τὴν κλίσιν τοῦ οὐδετέρου ἐπιδέξασθαι ἐν τοῖς πληθυντικοῖς, ἐπειδὴ οὐδέποτε οὔτε ἀρσενικὰ οὔτε θηλυκὰ εἰς α καταλήγει ἐν τοῖς πληθυντικοῖς· αὕτη γὰρ ἡ κατάληξις μόνου οὐδετέρου γένους ἐστὶν οἷον βήματα, κρέατα.

Τὰ εἰς υν θηλυκὰ σπάνιά ἐστι, προσθέσει δὲ τοῦ ος ποιεῖ τὴν γενικὴν ὁμοίως τοῖς εἰς υν ἀρσενικοῖς οἷον Γόρτυν Γόρτυνος (ἔστι δὲ ὄνομα πόλεως Κρήτης).

Τὰ εἰς ων λήγοντα θηλυκὰ ἢ ὀξύνεται ἢ βαρύνεται οἷον τρυγών, τρήρων, ἀποστρέφεται δὲ περισπωμένην τάσιν χωρὶς ἑνὸς ὀνόματος εὑρισκομένου καὶ ἐν τῇ συνηθείᾳ λεγομένου καὶ παρὰ τοῖς ἀρχαίοις, τὸ ὄνομα τῆς πόλεως τῆς ἐν Περσίδι οἷον ἡ Κτησιφῶν, τοῦτο δὲ περισπᾶται καὶ διὰ τοῦ ντ κλίνεται μετὰ τοῦ φυλάττειν τὸ ω ἐν τῇ γενικῇ οἷον Κτησιφῶντος. τοῦτο δὲ καὶ τὴν κλίσιν καὶ τὸν τόνον τοῦ ἀρσενικοῦ ἐφύλαξεν. ἔστι δὲ ὁ Κτησιφῶν τοῦ Κτησιφῶντος ὄνομα κύριον ἀρσενικῶς λεγόμενον, ᾧτινι ὁμωνυμεῖ ἡ πόλις.

---

l. 39 de reliquis in ων femininis cf. supra, ubi de nominibus in ῶν agitur.

Περὶ τῶν εἰc ξ θηλυκῶν.

Choer. 342, 21: καθόλου τὰ εἰc ξ λήγοντα θηλυκὰ ὑπὲρ μίαν cυλλαβὴν ἁπλᾶ ὑπεcταλμένων τῶν εἰc υξ διὰ τοῦ κ κλίνεται οἷον κλῖμαξ κλίμακοc, θρῖδαξ θρίδακοc, αὖλαξ αὔλακοc, cχῖδαξ cχίδακοc (τὸ ἐcχιcμένον ξύλον), χάλιξ χάλικοc, πῖδαξ πίδακοc (ἡ πηγή), πήληξ πήληκοc (cημαίνει δὲ τὴν περικεφαλαίαν), ἀλώπηξ ἀλώπεκοc· τοῦτο δὲ παράλογόν ἐcτιν, ὅτι ἔτρεψε τὸ η εἰc τὸ ε ἐν τῇ γενικῇ. τὰ γὰρ εἰc διπλοῦν λήγοντα οὐδέποτε τρέπει τὸ φωνῆεν τῆc εὐθείαc ἐν τῇ κλίcει οἷον νάρθηξ νάρθηκοc, cκώληξ cκώληκοc, Κύκλωψ Κύκλωποc, μώλωψ μώλωποc. καὶ ἄξιόν ἐcτι ζητῆcαι διὰ ποίαν αἰτίαν τὸ ἀλώπηξ ἀλώπεκοc τρέπει τὸ η εἰc τὸ ε ἐν τῇ γενικῇ. καὶ ἔcτιν εἰπεῖν τὴν αἰτίαν ταύτην· τὰ εἰc ηξ θηλυκὰ οὐ φαίνεται παραληγόμενα τῷ ω οἷον πήληξ (ἡ περικεφαλαία), ἀντίπηξ (ἡ κιβωτόc), ὕcπληξ (ἡ ἀφετηρία τοῦ δρόμου)· τὸ γὰρ cκώληξ παραληγόμενον τῷ ω οὐκ ἀντίκειταί ἡμῖν, ἐπειδὴ οὐκ ἔcτι θηλυκὸν ἀλλ' ἀρcενικόν. ἐπειδὴ οὖν τὸ ἀλώπηξ θηλυκὸν παραλήγεται τῷ ω, εἰκότωc παραλλάξαν ἐν τῇ εὐθείᾳ κατὰ τὴν παραλήγουcαν, παρήλλαξε καὶ ἐν τῇ γενικῇ κατὰ τὴν παραλήγουcαν καὶ ἔτρεψε τὸ η εἰc τὸ ε. πρόcκειται ἐν τῷ κανόνι «ἁπλᾶ» διὰ τὰ cύνθετα οἷον διὰ τὸ ἡ καλλίθριξ τῆc καλλίτριχοc, ἡ ὁμόcτιξ τῆc ὁμόcτιχοc (ἡ ἅμα τινὶ πορευομένη)· ταῦτα δὲ κοινά ἐcτι τῷ γένει οἷον ὁ καλλίθριξ καὶ ἡ καλλίθριξ, ὁ ὁμόcτιξ καὶ ἡ ὁμόcτιξ, ἡ ἀντίπηξ τῆc ἀντίπηγοc παρὰ τὴν ἀντί πρόθεcιν καὶ τὸ πήccω, ἡ ὕcπληξ τῆc ὕcπληγοc ἀπὸ τοῦ πλήττειν, ἡ λάταξ λάταγοc παρὰ τὸ λα ἐπιτατικὸν μόριον καὶ τὸ cτάζω κατ' ἀποβολὴν τοῦ c. πρόcκειται «ὑπὲρ μίαν cυλλαβὴν» διὰ τὸ θρίξ τριχόc, cτίξ cτιχόc (cημαίνει δὲ τὴν τάξιν). πρόcκειται «χωρὶc τῶν εἰc υξ», διὰ τὸ ἄντυξ ἄντυγοc (cημαίνει δὲ τὴν περιφέρειαν). τὸ δὲ μάcτιξ μάcτιγοc ἔχει ἀντιπαρακείμενον ῥῆμα εἰc ζω φημὶ δὲ τὸ μαcτίζω.

Choer. 344, 13: τὰ εἰc ξ λήγοντα εἰ μὲν ἔχει πρὸ τοῦ ξ τὸ γ, διὰ τοῦ γ κλίνεται οἷον Cφίγξ Cφιγγόc, cάλπιγξ cάλπιγγοc· εἰ δὲ ἕτερον cύμφωνον ἔχει πρὸ τοῦ ξ, διὰ τοῦ κ κλίνεται οἷον ζόρξ ζορκόc (ἔcτι δὲ εἶδοc θηρίου), cάρξ cαρκόc, ὦλξ ὠλκόc (ὦλξ δέ ἐcτιν ἡ αὖλαξ, «τέμνειν ὦλκα βαθεῖαν»), χωρὶc τοῦ λύγξ, ὅπερ πρὸc διάφορον cημαινόμενον διαφόρωc κλίνεται· ἐπὶ μὲν γὰρ τοῦ πάθουc διὰ τοῦ γ κλίνεται οἷον λύγξ λυγγόc (ἐξ οὗ καὶ τὸ ἐλυγγίαcεν), ἐπὶ δὲ τοῦ θηρίου διὰ τοῦ κ οἷον λυγκόc, ὡc παρὰ Καλλιμάχῳ (h. Dian. 88)

ὁ δὲ κρέα λυγκὸc ἔταμνε.

ἰcτέον δὲ ὅτι τὸ «ἀλκὶ πεποιθώc» (Ε 299), ὅπερ τινὲc μὲν ὡc ἀπὸ τοῦ ἄλξ ἀλκόc λέγουcιν εἶναι, γίνεται κατὰ μεταπλαcμὸν ἀπὸ τῆc ἀλκῇ δοτικῆc.

l. 36 in Callimachi versu M habet ἔτεμνε. l. 38 adnotamentum de ἀλκί accomodavi ad H. Pr. Ε 299, ubi Ascalonita ἀλκί ab ἄλξ flectere dicitur.

Περὶ τῶν εἰϲ ρ̄

προειρήκαμεν ἐν τοῖϲ ἀρϲενικοῖϲ.

Περὶ τῶν εἰϲ ᾱϲ θηλυκῶν.

Choer. 350, 8: τὰ εἰϲ ᾱϲ λήγοντα θηλυκὰ ὀξύνεται καὶ ϲυνεϲταλμένον ἔχει τὸ ᾰ καὶ διὰ τοῦ δοϲ κλίνεται καὶ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον Παλλάϲ Παλλάδοϲ ὦ Παλλάϲ, λαμπάϲ λαμπάδοϲ ὦ λαμπάϲ, τριάϲ τριάδοϲ ὦ τριάϲ, τετράϲ τετράδοϲ ὦ τετράϲ, πολυδειράϲ πολυδειράδοϲ ὦ πολυδειράϲ, μονάϲ μονάδοϲ ὦ μονάϲ, δυάϲ δυάδοϲ ὦ δυάϲ, ἰϲχάϲ ἰϲχάδοϲ ὦ ἰϲχάϲ, φυγάϲ φυγάδοϲ ὦ φυγάϲ, δορκάϲ δορκάδοϲ ὦ δορκάϲ, Ἀρκάϲ Ἀρκάδοϲ ὦ Ἀρκάϲ· ταῦτα δέ, φημὶ δὲ τὸ Ἀρκάϲ καὶ φυγάϲ, κοινά ἐϲτι τῷ γένει· ὁ Ἀρκάϲ γὰρ καὶ ἡ Ἀρκάϲ, ὁ φυγάϲ καὶ ἡ φυγάϲ. δεῖ προϲθεῖναι ἐν τῷ κανόνι, χωρὶϲ τῶν ἀπὸ παθητικοῦ παρακειμένου ϲυντεθέντων. ἐκεῖνα γὰρ καὶ μακρὸν ἔχει τὸ ᾱ καὶ διὰ καθαροῦ τοῦ τοϲ κλίνεται οἷον κέκραμαι χαλκοκράϲ χαλκοκρᾶτοϲ (ὁ χαλκῷ κεκραμένοϲ), γαλακτοκράϲ γαλακτοκρᾶτοϲ (ὁ γάλακτι κεκραμένοϲ), νεοκράϲ νεοκρᾶτοϲ (ὁ νεωϲτὶ κεκραμένοϲ). καὶ ταῦτα δὲ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν οἷον ὦ χαλκοκράϲ, ὦ γαλακτοκράϲ, ὦ νεοκράϲ.

Περὶ τῶν εἰϲ τηϲ θηλυκῶν.

Choer. 351, 25: τὰ εἰϲ τηϲ λήγοντα θηλυκὰ μονογενῆ διὰ τοῦ τοϲ κλίνεται οἷον ποτήϲ ποτῆτοϲ «ἐδητύοϲ ἠδὲ ποτῆτοϲ», κοϲμιότηϲ κοϲμιότητοϲ, φιλότηϲ φιλότητοϲ, κακότηϲ κακότητοϲ, λογιότηϲ λογιότητοϲ, ποιότηϲ ποιότητοϲ, ποϲότηϲ ποϲότητοϲ, ταχυτήϲ ταχυτῆτοϲ, βραδυτήϲ βραδυτῆτοϲ. πρόϲκειται «θηλυκά» διὰ τὸ θύτηϲ θύτου. ταῦτα γὰρ οὐ κλίνεται διὰ τοῦ τοϲ, ἀλλ' οὐκ ἔϲτι θηλυκὰ ἀλλ' ἀρϲενικά. πρόϲκειται «μονογενῆ» ἵνα μὴ ἀρϲενικῶϲ ἢ θηλυκῶϲ λέγηται διὰ τὸ ἀκρατήϲ τοῦ ἀκρατοῦϲ καὶ ἡ ἀκρατήϲ τῆϲ ἀκρατοῦϲ, ὁ προπετήϲ τοῦ προπετοῦϲ καὶ ἡ προπετήϲ τῆϲ προπετοῦϲ, ὁ πενταετήϲ τοῦ πενταετοῦϲ καὶ ἡ πενταετήϲ τῆϲ πενταετοῦϲ. ταῦτα γὰρ εἰϲ ουϲ ἔχει τὴν γενικήν, ὡϲ ἔχοντα οὐδέτερον εἰϲ εϲ οἷον τὸ ἀκρατέϲ, τὸ πενταετέϲ, τὸ προπετέϲ.

Περὶ τῶν εἰϲ ιϲ θηλυκῶν.

Choer. 353, 7: τὰ εἰϲ ιϲ λήγοντα ὀξύτονα ὑπὲρ μίαν ϲυλλαβὴν πάντα διὰ τοῦ δοϲ κλίνεται, εἴτε ἐκτείνει τὸ ῑ ὡϲ τὸ κνημίϲ κνημῖδοϲ, κρηπίϲ κρηπῖδοϲ, ϲφραγίϲ ϲφραγῖδοϲ, εἴτε ϲυϲτέλλει τὸ ῐ ὡϲ τὸ ἀϲπίϲ

l. 1 sic fere Herodianus dicturus fuit, si, ut equidem feci, uno loco omnia de nominibus in ρ̄, quae ap. Choeroboscum tribus diversis locis tractantur, complexus est. l. 18 cf. fr. 38 et περὶ ὀνομάτων fr. 16.

l. 33 cf. An. Ox. II 384, 15 et An. Par. III 295, 20. Post ἀψίϲ ἀψῖδοϲ omisi

ἀcπίδοc, ῥανίc ῥανίδοc, βολίc βολίδοc, ἀψίc ἀψίδοc. πρόcκειται «ὑπὲρ μίαν cυλλαβὴν» διὰ τὸ κίc κιόc (cημαίνει δὲ τὸν cκώληκα) καὶ λίc λιόc (cημαίνει δὲ τὸν λέοντα)· ἔχει δὲ μακρὸν τὸ ῑ κατὰ τὴν γενικήν. ταῦτα γὰρ διὰ καθαροῦ τοῦ οc κλίνεται καὶ οὐ διὰ τοῦ δοc, ἀλλ' οὐκ ἔcτιν ὑπὲρ μίαν cυλλαβήν. τὸ ἀκτίc ἀκτῖνοc διὰ τοῦ νοc κλινόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ δικατάληκτόν ἐcτιν, ἀκτίν γὰρ καὶ ἀκτίc· καὶ οὐκ ἔcτι φύcει εἰc c ἀλλ' εἰc ν, καὶ τροπὴ παρηκολούθηcε τοῦ ν εἰc τὸ c. ταῦτα τὰ εἰc ιc ὀξύτονα εἰc α μόνωc ἔχει τὴν αἰτιατικὴν οἷον κρηπῖδα, ἀcπίδα, ἀψίδα, βολίδα, ῥανίδα. παρὰ δὲ τοῖc Αἰολεῦcι γίνεται εἰc ν κατὰ τὴν αἰτιατικὴν μετὰ βαρείαc τάcεωc, κνῆμιν γὰρ λέγουcι καὶ cφρᾶγιν καὶ ἄψιν, ὡc παρ' Ἡcιόδῳ (Opp. 426) «τριcπίθαμον δ' ἄψιν τάμνειν», ἀντὶ τοῦ ἀψίδα.

Τὰ εἰc ιc ὀξύτονα οὐ γίνεται παρὰ τοῖc Ἴωcι κατὰ ἀποβολὴν τοῦ δ ἐν τῇ γενικῇ, οὐδὲ γὰρ λέγουcι κνημῖδοc κνημῖοc, ἀcπίδοc ἀcπίοc, ὡc Πάριδοc Πάριοc, καὶ Θέτιδοc Θέτιοc. καὶ ἄξιόν ἐcτι ζητῆcαι διὰ ποίαν αἰτίαν ἐπὶ μὲν τῶν εἰc ιc βαρυτόνων εἰώθαcιν οἱ Ἴωνεc ἀποβάλλειν τὸ δ ἐν τῇ γενικῇ οἷον Πάριδοc Πάριοc, Θέτιδοc Θέτιοc, ἐπὶ δὲ τῶν εἰc ιc ὀξυτόνων οὐδέποτε ἀποβάλλουcι τὸ δ οἱ Ἴωνεc κατὰ τὴν γενικήν, οὐδὲ γὰρ λέγουcι κνημῖοc καὶ ἀcπίοc, ἀλλὰ κνημῖδοc καὶ ἀcπίδοc. καὶ ἔcτιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὰ εἰc ιc βαρύτονα πέφυκε διὰ καθαροῦ τοῦ οc κλίνεcθαι οἷον πόλιc πόλιοc, μάντιc μάντιοc, ὄφιc ὄφιοc· καὶ τούτου χάριν ἐπὶ τούτων, φημὶ δὴ ἐπὶ τῶν εἰc ιc βαρυτόνων, ἀποβάλλουcι τὸ δ κατὰ τὴν γενικὴν οἱ Ἴωνεc, ἐπειδὴ ἀποβαλλομένου τοῦ δ ἔχουcί τι μιμήcαcθαι, φημὶ δὴ τὰc διὰ καθαροῦ τοῦ οc ἐκφερομέναc γενικάc· ἐπὶ δὲ τῶν εἰc ιc ὀξυτόνων οὐδέποτε ἀποβάλλουcι τὸ δ ἐν τῇ γενικῇ οἱ Ἴωνεc, ἐπειδὴ ἀποβαλλομένου τοῦ δ οὐκ ἔχουcί τι μιμήcαcθαι, οὐδέποτε γάρ, ὡc εἴρηται, τὰ εἰc ιc ὀξύτονα, ὑπὲρ μίαν cυλλαβὴν δηλονότι, κλίνεται διὰ καθαροῦ τοῦ οc οἷον ἀcπίc ἀcπίδοc, ῥανίc ῥανίδοc, βολίc βολίδοc. τούτου χάριν ἐπὶ τῶν εἰc ιc ὀξυτόνων οὐδέποτε ἀποβάλλουcι τὸ δ οἱ Ἴωνεc κατὰ τὴν γενικήν, ἐπειδὴ ἀποβαλλομένου τοῦ δ οὐκ ἔχουcί τι μιμήcαcθαι· οὔτε γὰρ κλίνεται διὰ καθαροῦ τοῦ οc, ἵνα ἀποβαλλομένου τοῦ δ μιμήcηται τὴν διὰ καθαροῦ τοῦ οc κλίcιν.

Τὰ εἰc ιc περιcπώμενα θηλυκὰ διὰ τοῦ δοc κλίνεται, καὶ εἰc ν μό-

verba: cεcημειωμένου τοῦ ἀγλίc ἀγλῖθοc· τοῦτο γὰρ οὐ κλίνεται διὰ τοῦ δοc, ἀλλὰ διὰ τοῦ θοc, ἔχει δὲ μακρὸν τὸ ῑ κατὰ τὴν γενικὴν καὶ cημαίνει τὴν κεφαλὴν τοῦ cκορόδου. Nam Herodian. ap. Arc. 30, 9 (Cathol. 89, 7) dicit: τὰ εἰc λιc ἁπλᾶ ἔχοντα cύμφωνον κατ' ἐπιπλοκὴν ἢ διπλαcιαcμὸν τοῦ λ ὀξύνεται, εἰ μὴ διὰ τοῦ θοc κλίνοιτο, cuius generis exemplum profert δέλλιc, cum quo ἄγλιc, quod in E. M. 11, 40 paroxytonos scriptum est, comparandum videtur. Choeroboscus eam tonosin secutus est, quae saepius in nostris libris reperitur e. g. Nicand. Theriac. 874 ἀγλῖθεc. Canon transiit in E. M. 244, 56. l. 1 rectius ἀψίc ἀψῖδοc flectitur et in priorem classem (τῶν ἐκτεινόντων τὸ ῑ) inseritur. l. 12 cf. Herodian. ap. Eustath. 8, 42, Arc. 36, 14, Ahrens de dial. Aeolic. p. 113 not. 3. l. 33 cf. An. Par. III 295, 30.

νωϲ ἔχει τὴν αἰτιατικὴν οἷον Βενδῖϲ Βενδῖδοϲ Βενδῖν, Ἀταγαρτῖϲ Ἀταγαρτῖδοϲ Ἀταγαρτῖν, Μολῖϲ Μολῖδοϲ Μολῖν, Τοτῖϲ Τοτῖδοϲ Τοτῖν (ἔϲτι δὲ ταῦτα ὀνόματα δαιμόνων τιμωμένων παρὰ Θρᾳξίν).

Τῶν εἰϲ ιϲ βαρυτόνων θηλυκῶν τὰ εἰϲ νιϲ μακρὰν ἔχοντα τὴν παραλήγουϲαν διὰ τοῦ δοϲ κλίνεται οἷον μῆνιϲ μήνιδοϲ, νεᾶνιϲ νεάνιδοϲ (τοῦτο δὲ μακρὸν ἔχει τὸ ᾱ καὶ προπεριϲπᾶται), ὀνώνιϲ ὀνώνιδοϲ (ὄνομα δέ τοῦτο ἀκάνθηϲ). πρόϲκειται «μακρὰν ἔχοντα τὴν παραλήγουϲαν» διὰ τὸ κόνιϲ κόνεωϲ καὶ ὕνιϲ ὕνιοϲ καὶ ϲπάνιϲ ϲπάνιοϲ· ταῦτα γὰρ βραχείᾳ παραληγόμενα διὰ καθαροῦ τοῦ οϲ ἔχει τὴν γενικὴν (ὕνιϲ δέ ἐϲτι μέροϲ ἀρότρου). ϲεϲημείωται τὸ ὄρνιϲ ὄρνιθοϲ. ἀλλ' ἔϲτιν εἰπεῖν, ὅτι πρῶτον μὲν τοῦτο οὐκ ἔϲτι θηλυκόν μόνωϲ, ηὑρέθη γὰρ καὶ ἀρϲενικῶϲ ὁ ὄρνιϲ παρὰ τῷ Ἀριϲτοφάνει (Plut. 63)

δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.

δεύτερον δὲ ἔϲτιν εἰπεῖν, ὅτι ἔϲτι τινὰ εἰϲ ιϲ λήγοντα ἔχοντα πρὸ τοῦ ῑ δύο ἀμετάβολα, ἅτινα διὰ τοῦ θοϲ κλίνεται οἷον δέλλιϲ δέλλιθοϲ (ἔϲτι δὲ ζῷον ὅμοιον μελίϲϲῃ), μέρμιϲ μέρμιθοϲ (ϲημαίνει δὲ τὸ λεπτὸν ϲχοινίον)· οὕτωϲ οὖν καὶ ὄρνιϲ ὄρνιθοϲ καὶ ὄρνιθεϲ ἡ εὐθεῖα τῶν πληθυντικῶν, καὶ κατὰ ἀποβολὴν τοῦ θ καὶ κράϲει τοῦ ῐ καὶ ε̆ εἰϲ ῑ μακρὸν ὄρνιϲ, ὥϲπερ μάντιεϲ μάντιϲ· τὸ γὰρ μάντειϲ διὰ τῆϲ ει διφθόγγου ἀπὸ τοῦ μάντεεϲ ἐϲτι. ϲεϲημείωται τὸ Τράλλιϲ Τράλλεωϲ (ἔϲτι δὲ ὄνομα πόλεωϲ), ὅτι διὰ δύο ἀμεταβόλων ἐκφερόμενον οὐ κλίνεται διά τοῦ θοϲ, ἀλλὰ διὰ καθαροῦ τοῦ οϲ.

Τὰ εἰϲ πιϲ θηλυκὰ εἴτε ἁπλᾶ εἴτε ϲύνθετα εἴτε ὀξύτονα εἴτε βαρύτονα διὰ τοῦ δοϲ κλίνεται οἷον κρηπίϲ κρηπῖδοϲ, βῶπιϲ βώπιδοϲ, ἑλικῶπιϲ ἑλικώπιδοϲ, τράμπιϲ τράμπιδοϲ, ἔϲτι δὲ βαρβαρικὸν ὅπλον, κάλπιϲ κάλπιδοϲ.

Τὰ εἰϲ ιϲ βαρύτονα διὰ τοῦ δοϲ κλινόμενα καὶ εἰϲ ν ποιεῖ τὴν αἰτιατικὴν οἷον μῆνιϲ μήνιδοϲ μῆνιν, ἔριϲ ἔριδοϲ ἔριν, τοξότιϲ τοξότιδοϲ τοξότιν, κοϲκινόμαντιϲ κοϲκινομάντιδοϲ κοϲκινόμαντιν, Χρυϲόθεμιϲ Χρυϲοθέμιδοϲ Χρυϲόθεμιν καὶ εἰϲ δα οἷον «Ζεὺϲ δ' Ἔριδα προΐαλλε» (Λ 3) καὶ «Ἤλιδα δῖαν» (Β 165), τοῦ δὲ μήνιδα χρῆϲιϲ οὐκ ἔϲτιν.

---

l. 3 cf. Choer. p. 103, 22, An. Paris. 295, 32, Arc. 36, 17. l. 22 cf. Ep. Cr. I 283, 12, An. Paris. III 296, 1, ubi ὄνωνιϲ fortasse rectius quam ὀνῶνιϲ scriptum est; huc referendum est etiam ἄγλιϲ ἄγλιθοϲ, si rectius paroxytonos quam oxytonos profertur. In Ep. Cr. I 317, 24 additur ἕλμινϲ ἕλμινθοϲ; de ὄρνιϲ cf. An. Ox. II 398, 3 ubi: τὸ ὄρνιθοϲ τὸ ῑ μακρόν. οὐδέποτε ἡ παραλήγουϲα περιττοϲυλλάβου γενικῆϲ μείζω εὑρίϲκεται χρόνον ἔχουϲα τῆϲ ληγούϲηϲ τῆϲ ἰδίαϲ εὐθείαϲ πλὴν τοῦ ὄρνιϲ ὄρνιθοϲ. l. 23 Ep. Cr. I 31, 12 (E. M. 157, 18) et 98, 28 coll. Arc. 33, 6, Choer. 355, 17—33. l. 27 canonem constitui secutus Il. Pros. Β 496 Αὐλίδα: ὡϲ ἀπὸ ὀξυτόνου εὐθείαϲ ἡ ἀνάγνωϲιϲ καὶ εἰ μέντοι παρὰ τῷ Εὐφορίωνι «Αὐλίν τ' ἔϲφαγον» αἰτιατικὴ ἀπὸ εὐθείαϲ βαρυνομένηϲ γέγονεν· ἡ γὰρ εἰϲ ν κατάληξιϲ ἀπὸ βαρυτόνων ἐϲτίν, ἡ δὲ εἰϲ δα καὶ βαρυτόνων καὶ ὀξυτόνων, et Choer. 356, 25, ubi quod dicitur quosdam accusativum in ᾰ aut dialecticam aut poeticam habere, ad Herodianum pertinere non videtur.

Περὶ τῶν εἰϲ υϲ θηλυκῶν.

Choer. 357, 18: τὰ εἰϲ υϲ λήγοντα θηλυκὰ εἰ μὲν ἐϲτι βαρύτονα, διὰ καθαροῦ τοῦ οϲ κλίνεται οἷον πίτυϲ πίτυοϲ, χέλυϲ χέλυοϲ (ϲημαίνει δὲ τὴν κιθάραν

πάμφωνοϲ οὐρεία χέλυϲ,

Μένανδροϲ ἐν Λευκαδίᾳ), γένυϲ γένυοϲ, ἀμάμαξυϲ ἀμαμάξυοϲ (ϲημαίνει δὲ ἄμπελον ἀναδενδράδα, τὸ γὰρ παρὰ Ϲαπφοῖ ἀμαμαξύδοϲ παράλογόν ἐϲτι), γῆρυϲ γήρυοϲ (ϲημαίνει δὲ τὴν φωνήν

οὐ γὰρ πάντων ἦεν ὁμὸϲ θρόοϲ, οὐδ' ἴα γῆρυϲ [Δ 437]),

ἔγχελυϲ ἐγχέλυοϲ, ὡϲ παρὰ τῷ ποιητῇ (Φ 353)

τείροντ' ἐγχέλυέϲ τε καὶ ἰχθύεϲ,

τὸ γὰρ παρὰ Ἀριϲτοφάνει (Nub. 559)

τὰϲ εἰκοὺϲ τῶν ἐγχέλεων τὰϲ ἐμὰϲ μιμούμενοι,

ὡϲ ἀπὸ τοῦ ἡ ἔγχελιϲ τῆϲ ἐγχέλεώϲ ἐϲτιν, ὥϲπερ ἡ πόλιϲ τῆϲ πόλεωϲ καὶ πόλεων. δεῖ προϲθεῖναι ἐν τῷ κανόνι, πλὴν τοῦ κόρυϲ κόρυθοϲ καὶ κῶμυϲ κώμυθοϲ· ταῦτα γὰρ διὰ τοῦ θ ἔχει τὴν γενικὴν (κῶμυϲ δέ ἐϲτιν ὁ δεϲμὸϲ τοῦ χόρτου). καὶ δεῖ γινώϲκειν ὅτι τὸ κόρυϲ κόρυθοϲ ἀεὶ ϲυϲτέλλει τὸ υ ἐν τῇ γενικῇ

δαῖέ οἱ ἐκ κόρυθόϲ τε καὶ ἀϲπίδοϲ ἀκάματον πῦρ (Ε 4).

ἔχει δὲ τὴν αἰτιατικὴν διφορουμένην οἷον κόρυθα καὶ κόρυν. τὸ δὲ κῶμυϲ κώμυθοϲ τῶν διὰ τοῦ θοϲ κλινομένων ἠκολούθηϲε κατὰ τὴν γενικὴν καὶ ἐκτείνει τὴν παραλήγουϲαν τῆϲ γενικῆϲ, τουτέϲτι τὸ υ, ὡϲ παρὰ Θεοκρίτῳ (4, 18)

καὶ μαλακοῦ χόρτοιο καλὸν κώμυθα δίδωμι.

τοῦτο δὲ τὸ κῶμυϲ εἰϲ α μόνωϲ ἔχει τὴν αἰτιατικὴν οἷον κώμυθα, οὐκέτι δὲ εἰϲ ν. τούτων οὕτωϲ ἐχόντων, τὸ ἡ νέηλυϲ τῆϲ νεήλυδοϲ διὰ τοῦ δοϲ κλινόμενον οὐκ ἀντίκειται ἡμῖν· ἐπειδὴ οὐκ ἔϲτι μόνωϲ θηλυκὸν ἀλλὰ καὶ ἀρϲενικὸν ὁ νέηλυϲ καὶ ἡ νέηλυϲ, περὶ δὲ θηλυκῶν ἐνταῦθα ὁ λόγοϲ ἐϲτί.

Τὰ εἰϲ υϲ ὀξύτονα θηλυκὰ ἐὰν μὲν ϲυϲτέλλῃ τὸ υ, διὰ τοῦ δοϲ κλίνεται, καὶ εἰϲ α μόνωϲ ἔχει τὴν αἰτιατικὴν οἷον χλαμύϲ χλαμύδοϲ χλαμύδα, κροκύϲ κροκύδοϲ κροκύδα, πηλαμύϲ πηλαμύδοϲ πηλαμύδα· ἐὰν δὲ μακρὸν ἔχῃ τὸ υ, διὰ καθαροῦ τοῦ οϲ κλίνεται εἴτε ὀξύτονα ἢ εἴτε περιϲπώμενα οἷον ὀϊζύϲ ὀϊζύοϲ, ἐριννύϲ ἐριννύοϲ, πληθύϲ πληθύοϲ, ἰξύϲ ἰξύοϲ (ϲημαίνει δὲ τὴν ῥάχιν), ἰλύϲ ἰλύοϲ, ἐδητύϲ ἐδητύοϲ (ϲημαίνει δὲ τὴν βρῶϲιν) «ἐδητύοϲ ἠδὲ ποτῆτοϲ», νηδύϲ νηδύοϲ — τοῦτο δὲ ποιητικῇ ἀδείᾳ ϲυϲτέλλεται ὡϲ παρὰ Καλλιμάχῳ (h. Dian. 160) «ἔτι οἱ πάρα νηδὺϲ ἐκείνη» καὶ παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ (356) «καὶ νηδὺν ἐξαμβλοῦμεν ὡϲ αὐτὴ λέγει» —, δρῦϲ δρυόϲ (τοῦτο δὲ περιϲπᾶται),

l. 5 pro πάφωνε apud Gaisfordium M habet πάμφωνε, unde scripsimus πάμφωνοϲ; Meinekii coniectura (fr. com. ed. min. p. 927) minus probabilis videtur. l. 16 de voce κῶμυϲ et Theocriti versu cf. nott. ad p. 709.

ὀφρῦϲ ὀφρύοϲ, ὀϲφῦϲ ὀϲφύοϲ (ϲημαίνει δὲ καὶ αὐτὸ τὴν ῥάχιν), καὶ ταῦτα δὲ περιϲπᾶται. ϲεϲημείωται τὸ ἀγνύϲ ἀγνῦθοϲ· τοῦτο γὰρ ὀξύτονον ὂν καὶ μακρὸν ἔχον τὸ ῡϲ διὰ τοῦ θοϲ ἐκλίθη καὶ οὐ διὰ καθαροῦ τοῦ οϲ. ἀγνῦθεϲ δὲ λέγονται οἱ λίθοι οἱ περιφερεῖϲ καὶ τετρημένοι οἱ κρεμάμενοι ἐν τοῖϲ μετεωρίοιϲ. ἰϲτέον δὲ ὅτι τὰ διὰ καθαροῦ τοῦ οϲ κλινόμενα εἰϲ ν αὐτὴν μόνωϲ ἔχει τὴν αἰτιατικὴν οἷον πίτυοϲ πίτυν, γένυοϲ γένυν, δρυὸϲ δρῦν, ὀϲφύοϲ ὀϲφῦν, ὀφρύοϲ ὀφρῦν. εὑρίϲκομέν τινα ἐν αὐτοῖϲ ϲπανίωϲ διφορούμενα οἷον νηδύοϲ νηδύα, ὀφρύοϲ ὀφρύα, δρυόϲ δρύα.

Περὶ τῶν εἰϲ ωϲ θηλυκῶν.

Choer. 360, 9 (coll. 361, 8): τὰ εἰϲ ωϲ ὀξύτονα θηλυκὰ δύο ταῦτά ἐϲτι, τὸ αἰδώϲ καὶ ἠώϲ, καὶ εἰϲ ουϲ ἔχει τὴν γενικὴν οἷον αἰδοῦϲ καὶ ἠοῦϲ, καὶ δι' ὅλου κλίνεται ὥϲπερ τὰ εἰϲ ω θηλυκὰ ἐν ἁπάϲαιϲ ταῖϲ πτώϲεϲι· τὸ δὲ δώϲ, ὃ ϲημαίνει τὴν δόϲιν, ὡϲ παρ' Ἡϲιόδῳ (Opp. 354)

δὼϲ ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δοτεῖρα,

ὀξύνεται καὶ θηλυκόν ἐϲτιν· ἔϲτι δὲ ἄκλιτον διὰ ταύτην τὴν αἰτίαν. τὰ εἰϲ ωϲ μονοϲύλλαβα θηλυκὰ καὶ περιϲπᾶται καὶ κύριά ἐϲτιν οἷον ἡ Κῶϲ ἡ Τλῶϲ ἡ Κρῶϲ (ἔϲτι δὲ ταῦτα ὀνόματα πόλεων). ἐπειδὴ δὲ τὸ δώϲ θηλυκὸν καὶ μονοϲύλλαβον ὂν οὐκ ἔϲτι κύριον, ἀλλ' οὔτε δὲ περιϲπᾶται, τούτου χάριν ἄκλιτόν ἐϲτιν. ἰϲτέον ὅτι τὸ αἰδὼϲ Φιλητᾶϲ ὁ διδάϲκαλοϲ Θεοκρίτου χωρὶϲ τοῦ ϲ προηνέγκατο εἰπὼν

ἀγαθὴ δ' ἐπὶ ἤθεϲιν αἰδώ.

ἰϲτέον δὲ ὅτι παρ' Αἰολεῦϲι τὸ ἱδρώϲ θηλυκῶϲ λέγεται καὶ ἀναδέχεται κλίϲιν ἀκόλουθον θηλυκῷ γένει «ἀ δέ μ' ἴδρωϲ κακχέεται» (Sapph. fr. 2 v. 13) ὅμοιον τῷ ἠώϲ. εἶτα γενικὴ «ἴδρωϲ ὀμφόρα» ἀντὶ τοῦ ἱδροῦϲ ὡϲ μελάγχρωϲ ἀντὶ τοῦ μελάγχρουϲ καὶ «Μέλαγχροϲ αἴδωϲ ἄξιοϲ» (Alc. 13) ἀντὶ τοῦ αἰδοῦϲ.

Choer. 360, 19: τὰ δὲ βαρύτονα ἀποβολῇ τοῦ ϲ ποιεῖ τὴν γενικὴν ὁμοίωϲ καὶ τὰ περιϲπώμενα καὶ ἐπιδέχεται κλίϲιν ὁμοίαν τοῖϲ εἰϲ ω Ἀττικοῖϲ ἐν ἁπάϲαιϲ ταῖϲ πτώϲεϲιν οἷον ἡ Κῶϲ τῆϲ Κῶ, ἡ Τλῶϲ τῆϲ Τλῶ, ἡ Κρῶϲ τῆϲ Κρῶ (ἔϲτι δὲ ταῦτα ὀνόματα πόλεων), ἡ Κέωϲ τῆϲ Κέω, ἡ Κῶϲ τῆϲ Κῶ (immo Κόωϲ — Κόω), ἡ Τέωϲ τῆϲ Τέω (ἔϲτι δὲ καὶ ταῦτα ὀνόματα πόλεων), ἡ ἅλωϲ τῆϲ ἅλω (τὸ γὰρ ἅλωοϲ πταῖϲμα νεωτερικόν ἐϲτι· ϲημαίνει δὲ τὸ ἁλώνιον,

δινομένην περὶ βουϲὶν ἐμὴν ἐφύλαττον ἅλωα

παρὰ τῷ Καλλιμάχῳ ἐν τῇ Ἑκάλῃ, ϲημαίνει δὲ καὶ τὸ νεφελοειδὲϲ τὸ περὶ τὸν ἥλιον καὶ τὴν ϲελήνην), ἡ ἕωϲ τῆϲ ἕω (τοῦτο δὲ ϲημαίνει τὴν

l. 9 de quantitate genetivorum in θοϲ cf. Ep. Cr. I 240, 17; pro iis, quae de νηδύϲ habet Choer., posui Arcadii verba p. 92, 10 exemplis ex Choerobosco adiectis, de ἀγνύϲ ἀγνῦθοϲ cf. Ep. Cr. I 164, 31. l. 23 Ep. Cr. I 208, 13 emendat. ab Ahrensio de dial. Aeol. p. 118 not. 11 cf. Ep. Cr. I 209, 33.

ἀνατολήν), ἡ γάλωc τῆc γάλω (τοῦτο δὲ κλίνεται καὶ γάλωτοc ὡc γέλωc γέλωτοc).

Περὶ οὐδετέρων ὀνομάτων.

Choer. 362, 18: τὰ οὐδέτερα ἓξ ἔχει τελικά, τρία φωνήεντα ᾱ, ῑ, ῡ, καὶ τρία cύμφωνα ν, ρ, c̄ οἷον ἅρμα, μέλι, δόρυ, δένδρον, ἕλωρ, δέπαc. τινὲc δὲ προcτιθέαcι καὶ τὸ ο̄ διὰ τὸ ἄλλο καὶ τηλικοῦτο καὶ τοcοῦτο, περὶ ὧν ἐcτιν ἀπολογήcαcθαι καὶ εἰπεῖν, ὅτι ἐπειδὴ τὸ ἄλλοc καὶ τηλικοῦτοc καὶ τοcοῦτοc καὶ τοιοῦτοc ἐνομίcθη ἀντωνυμίαι εἶναι, ἔχομεν ἐν ταῖc ἀντωνυμίαιc τελικὸν τῶν οὐδετέρων τὸ ο, ὡc ἐν τῷ ἐκεῖνο καὶ τοῦτο καὶ αὐτό, τούτου χάριν καὶ τὰ οὐδέτερα τούτων ἐγένετο εἰc τὸ ο οἷον ἄλλο, τοcοῦτο, τηλικοῦτο καὶ τοιοῦτο· ἄλλωc τε τὸ τηλικοῦτο καὶ τοcοῦτο καὶ τοιοῦτο οὐ μόνον εἰc ο̄ λήγει ἀλλὰ καὶ εἰc ν̄, λέγομεν γὰρ καὶ τηλικοῦτον καὶ τοcοῦτον καὶ τοιοῦτον. τὸ δὲ ἄλλο ἐν τῇ cυνθέcει μετὰ τοῦ ν γίνεται οἷον ἔξαλλον, ἀλλοπρόcαλλον, ἄνταλλον, πάραλλον, καὶ τὸ χρεωcτημένον αὐτῷ ν ἐν τῇ ἁπλότητι ἐν τῇ cυνθέcει ἀναδέχεται. ἔτι δὲ ταῦτα τὰ εἰc ο̄ λήγοντα οὐδέτερα ὀλίγα ἐcτὶ καὶ οὐκ ἔcτιν ἱκανὰ ἀποτελέcαι κατάληξιν.

Choer. 363, 19: πᾶν οὐδέτερον ἀπὸ ἀρcενικοῦ γεγενημένον δηλονότι κατὰ παραcχηματιcμὸν τὴν τοῦ ἀρcενικοῦ κλίcιν ἐπιδέχεται καὶ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ οἷον ὁ καλόc τοῦ καλοῦ τῷ καλῷ τὸ καλόν τοῦ καλοῦ τῷ καλῷ, ὁ cοφόc τοῦ cοφοῦ τῷ cοφῷ τὸ cοφόν τοῦ cοφοῦ τῷ cοφῷ, ὁ μέτριοc τοῦ μετρίου τῷ μετρίῳ τὸ μέτριον τοῦ μετρίου τῷ μετρίῳ, ὁ ἀλλότριοc τοῦ ἀλλοτρίου τῷ ἀλλοτρίῳ τὸ ἀλλότριον τοῦ ἀλλοτρίου τῷ ἀλλοτρίῳ, ὁ εὔγηρωc τοῦ εὐγήρω τῷ εὐγήρῳ τὸ εὔγηρων τοῦ εὐγήρω τῷ εὐγήρῳ, ὁ μέλαc τοῦ μέλανοc τῷ μέλανι τὸ μέλαν τοῦ μέλανοc τῷ μέλανι, ὁ cώφρων τοῦ cώφρονοc τῷ cώφρονι τὸ cῶφρον τοῦ cώφρονοc τῷ cώφρονι, ὁ τάλαc τοῦ τάλανοc τῷ τάλανι τὸ τάλαν τοῦ τάλανοc τῷ τάλανι, ὁ πᾶc τοῦ παντόc τῷ παντί τὸ πᾶν τοῦ παντόc τῷ παντί, ὁ λιπόπατριc τοῦ λιποπάτριδοc τῷ λιποπάτριδι τὸ λιπόπατρι τοῦ λιποπάτριδοc τῷ λιποπάτριδι, ὁ χαρίειc τοῦ χαρίεντοc τῷ χαρίεντι τὸ χάριεν τοῦ χαρίεντοc τῷ χαρίεντι, ὁ ἄρcην τοῦ ἄρcενοc τῷ ἄρcενι τὸ ἄρcεν τοῦ ἄρcενοc τῷ ἄρcενι, ὁ ταχύc τοῦ ταχέοc τῷ ταχέϊ καὶ ταχεῖ τὸ ταχύ τοῦ ταχέοc τῷ ταχέϊ καὶ ταχεῖ. τὸ οὖν ἄρειον καὶ τὸ πλεῖον εἰ μὲν ἀπὸ τοῦ ὁ ἄρειοc τοῦ ἀρείου καὶ ὁ πλεῖοc τοῦ πλείου ἀρcενικοῦ ἐγένετο, δηλονότι τὸ ἄρειον τοῦ ἀρείου καὶ τὸ πλεῖον τοῦ πλείου κλίνεται, εἰ δὲ ἀπὸ τοῦ ὁ ἀρείων τοῦ ἀρείονοc καὶ ὁ πλείων τοῦ πλείονοc, δηλονότι τὸ ἄρειον τοῦ ἀρείονοc καὶ τὸ πλεῖον τοῦ πλείονοc. τὸ δὲ ὁ cκότοc τοῦ cκότου

---

l. 1 de declinatione voc. γάλωc quae exhibui, addita sunt ex Herod. περὶ παθῶν in E. M. 220, 9. l. 4 Choerob. cf. p. 838 et 839 et Herod. περὶ παθῶν in E. M. 748, 3 et ap. Eustath. 617, 44.

καὶ τό cκότος τοῦ cκότους, ὁ ἔλεγχος τοῦ ἐλέγχου καὶ τό ἔλεγχος τοῦ ἐλέγχους, ὁ τάριχος τοῦ ταρίχου καὶ τό τάριχος τοῦ ταρίχους οὐκ ἔcτι κατὰ παραcχηματιcμόν ἀλλὰ κατὰ μεταβολὴν ἤγουν ἐναλλαγὴν γένους ὥcπερ ὁ λύχνος καὶ τό λύχνον, ὁ θεμέλιος καὶ τὸ θεμέλιον.

Choer. 365, 12: πᾶν οὐδέτερον ὄνομα παραcχηματιζόμενον ἀρcενικῷ, ἐὰν μὲν ἰcοcυλλάβωc κλίνοιτο, τῇ αἰτιατικῇ τοῦ ἀρcενικοῦ ὁμοφωνεῖ οἷον ὁ cοφός τοῦ cοφοῦ τῷ cοφῷ τόν cοφόν καὶ τὸ cοφόν, ὁ μέτριος τοῦ μετρίου τῷ μετρίῳ τόν μέτριον καὶ τὸ μέτριον, ὁ εὔγηρωc τοῦ εὔγηρω τῷ εὐγήρῳ τὸν εὔγηρων καὶ τὸ εὔγηρων· ἐὰν δὲ περιττοcυλλάβωc κλίνοιτο τῇ κλητικῇ τοῦ ἀρcενικοῦ ὁμοφωνεῖ οἷον ὁ cώφρων τοῦ cώφρονος ὦ cῶφρον καὶ τὸ cῶφρον, ὁ ἄρcην τοῦ ἄρcενος ὦ ἄρcεν καὶ τό ἄρcεν, ὁ ταχύς τοῦ ταχέος ὦ ταχύ καὶ τό ταχύ, ὁ χαρίεις τοῦ χαρίεντος ὦ χαρίεν καὶ τὸ χαρίεν, ὁ λιπόπατρις τοῦ λιποπάτριδος ὦ λιπόπατρι καὶ τὸ λιπόπατρι.

Τὰ οὐδέτερα ἢ καὶ τῇ φωνῇ καὶ τῷ cημαινομένῳ ἐcτὶν οὐδέτερα, ὥcπερ τὸ ξύλον τὸ δένδρον τό τεῖχος, ἢ τῇ μὲν φωνῇ ἐcτιν οὐδέτερα τῷ δὲ cημαινομένῳ οὐκ ἔcτιν οὐδέτερα, ὥcπερ τό παιδίον, τὸ θηλυκόν, τὸ cῶφρον, τὸ γύναιον· ταῦτα γὰρ τῇ φωνῇ ἐcτιν οὐδέτερα, τῷ δὲ cημαινομένῳ οὐκ ἔcτιν οὐδέτερα. τὸ μὲν γὰρ παιδίον καὶ τό cῶφρον ἢ ἄρcεν ἢ θῆλυ δηλοῖ, καὶ τὸ θηλυκόν δὲ καὶ τό γύναιον ὁμολογουμένωc θῆλυ δηλοῖ. ἰcτέον δὲ ὅτι εἰcὶ καταλήξειc ἐν τοῖc οὐδετέροιc αἵτινέc εἰcι μονογενεῖc, ὡc τὰ εἰc ᾰc οὐδέτερα πάντα μονογενῆ ἔcτιν οἷον κρέας γῆρας κέρας, καὶ τὰ εἰc οc οὐδέτερα ὀνόματα, καὶ ταῦτα γὰρ μονογενῆ ἐcτιν οἷον τὸ τεῖχος τὸ βέλοc· τὸ γὰρ τάριχος καὶ τὸ cκότος οὐ κατὰ παραcχηματιcμόν γέγονεν, ἀπό τοῦ ὁ τάριχος καὶ ὁ cκότος, ἀλλὰ κατὰ μεταβολὴν γένους, ἤγουν ἐναλλαγήν. πρόκειται «ὀνόματα», ἤγουν τὰ εἰc ŏc οὐδέτερα ὀνόματα, διὰ τὰc μετοχὰc οἷον διὰ τό τετυφόc καὶ πεποιηκόc· ταῦτα γὰρ οὐκ ἔcτι μονογενῆ, ὁ τετυφώc γὰρ καὶ ἡ τετυφυῖα καὶ τό τετυφόc, ὁ πεποιηκώc ἡ πεποιηκυῖα τὸ πεποιηκόc. καὶ πάλιν εἰcὶ καταλήξειc αἵτινεc ἀπό παραcχηματιcμοῦ εἰcιν, ὡc τὰ εἰc αν οὐδέτερα· πάντα γὰρ ἀπό παραcχηματιcμοῦ ἐcτιν οἷον ὁ μέλας τὸ μέλαν, ὁ τάλας τό τάλαν, ὁ πᾶc τὸ πᾶν. εἰcὶ πάλιν καταλήξειc κοιναί, τουτέcτι καὶ μονογενείᾳ ἁρμόζουcαι καὶ τριγενείᾳ, ὥcπερ τὰ εἰc ον οὐδέτερα· ταῦτα γὰρ καὶ μονογενῆ ἐcτιν ὥcπερ τὸ ξύλον τὸ δένδρον τὸ μέτρον, καὶ τριγενῆ ὥcπερ ὁ καλόc ἡ καλή τό καλόν, ὁ cοφόc ἡ cοφή τό cοφόν.

Περὶ τῶν εἰc ᾱ οὐδετέρων.

Choer. 368, 2: τὰ εἰc ᾰ λήγοντα οὐδέτερα καὶ βαρύνεται καὶ cυcτέλλει τὸ α καὶ τῷ μ παραλήγεται, καὶ διὰ τοῦ τοc θέλει κλίνεcθαι οἷον ποίημα ποιήματος, αἷμα αἵματος, ἅρμα ἅρματος.

Choer. 368, 31: τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά ἐστιν οἷον τὸ ἄλφα τοῦ ἄλφα τῷ ἄλφα, τὸ βῆτα τοῦ βῆτα τῷ βῆτα, τὸ γάμμα τοῦ γάμμα τῷ γάμμα. καὶ λέγουσι περὶ τούτων τινὲς διαφόρους αἰτίας· ἐπειδὴ οὐκ ἔχει πρὸ τοῦ α̅ τὸ μ̅, διὰ τοῦτο οὐ κλίνεται· τὰ εἰς α̅ λήγοντα οὐδέτερα πρὸ τοῦ α̅ θέλει ἔχειν τὸ μ̅ οἷον ποίημα ῥῆμα βῆμα νόημα, ὅθεν τὸ γάμμα καὶ σίγμα ὡς ἔχοντα πρὸ τοῦ α̅ τὸ μ̅ ἐκινδύνευσε κλίνεσθαι οἷον γάμμα γάμματος καὶ σίγμα σίγματος, καὶ οὕτω τινὲς παραναγινώσκουσιν ἐν τῇ κωμῳδίᾳ

ἔσωσας ἐκ τῶν σιγμάτων Εὐριπίδου.

τὸ δὲ ἀληθέστερον κατὰ διάλυσιν ἢ διάστασιν ἀναγινώσκεται οἷον «ἔσωσας ἐκ τῶν σίγμα», καὶ ἐπιφέρεται «τῶν Εὐριπίδου», ἵνα εὑρεθῇ τὸ ἄρθρον ἐπιφερόμενον, λέγω δὴ τὸ τῶν· καὶ ταῦτα γὰρ ἄκλιτα ἔμεινε κατὰ συνεκδρομὴν τῶν ἑτέρων στοιχείων. ἕτεροι δὲ λέγουσιν, ὅτι διὰ τοῦτο τὰ ὀνόματα τῶν στοιχείων οὐ κλίνεται, ἐπειδὴ τὰ στοιχεῖα βαρβάρων ἐστὶν εὑρήματα.

Choer. 371, 34: ἰστέον δὲ ὅτι κυρίως οὐκ ἔχει κλητικὰς τὰ οὐδέτερα ἀλλὰ καταχρηστικῶς. τὰ γὰρ πολλὰ αὐτῶν ἄψυχά ἐστιν οἷον τὸ ξύλον, τὸ βέλος, τὸ τεῖχος· οὐ δεῖ δὲ τὰ ἄψυχα καλεῖν, ὁ γὰρ καλῶν διὰ τοῦτο καλεῖ τινα ἵνα ἐπιστρέψῃ πρὸς αὐτόν· τὰ δὲ ἄψυχα πῶς ἔχει ἐπιστρέφειν πρὸς τὸν καλοῦντα αὐτά; πρόσκειται «τὰ πολλὰ αὐτῶν» διὰ τὸ γύναιον καὶ παιδίον, ταῦτα γὰρ ἔμψυχά ἐστιν.

Πᾶσα εὐθεῖα πληθυντικῶν τῶν οὐδετέρων εἰς α̅ λήγει οἷον τὰ βήματα, τὰ ξύλα, τὰ δένδρα, τὰ φρέατα, τὰ μέτρα· εἰ δέ που εἰς η̅ εὑρεθῇ καταλήγουσα, γνῶθι ὅτι κατὰ κρᾶσίν ἐστιν οἷον τὰ τείχεα τὰ τείχη, τὰ βέλεα τὰ βέλη. τὰ χρέα καὶ κλέα ἀπὸ τοῦ χρέεα καὶ κλέεα γέγονε κατὰ συγκοπὴν τοῦ ε̅· οὔτε γὰρ δυνάμεθα λέγειν ὅτι κατὰ κρᾶσιν γέγονεν, ἐπειδὴ τὸ α̅ συνεσταλμένον ἔχει οἷον «παλαιγενέων κλέα φωτῶν» (Apoll. Rh. I 1). τὸ δὲ χαλκᾶ καὶ χρυσᾶ καὶ ὀστᾶ καὶ κανᾶ μηδεὶς οἰέσθω ὡς ἀπὸ τοῦ χάλκεα καὶ χρύσεα καὶ ὀστέα καὶ κάνεα γεγενῆσθαι κατὰ κρᾶσιν, ἐπειδὴ εἰς η̅ ὤφειλε καταλήγειν, ὥσπερ βέλεα βέλη, τείχεα τείχη. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι ἐν τῇ εὐθείᾳ τῶν ἑνικῶν ἐγένετο ἡ κρᾶσις οἷον χάλκεον χαλκοῦν, χρύσεον χρυσοῦν, κάνεον κανοῦν, ὀστέον ὀστοῦν· καὶ λοιπὸν ἀπὸ τῆς κεκραμένης ἑνικῆς εὐθείας ἐγένετο ἡ κλίσις οἷον χαλκοῦν χαλκᾶ, χρυσοῦν χρυσᾶ, κανοῦν κανᾶ, ὀστοῦν ὀστᾶ.

Περὶ τῶν εἰς ι̅ ληγόντων οὐδετέρων.

Choer. 373, 8: τὰ εἰς ι̅ λήγοντα οὐδέτερα διὰ τοῦ τος̅ κλίνεται οἷον μέλι μέλιτος, τὸ δὲ πέπερι καὶ τὸ σίνηπι καὶ τὸ κίκι (εἶδος δέ ἐστι

l. 10 διάλυσιν ἢ addit M. l. 15 has duas causas aclisias literarum nominum ex pluribus, quas profert Choerob., ab Herodiana propositas arbitror cf. Theogn. 120, 18 τὸ Πάσχα βάρβαρον, διὸ καὶ ἄκλιταν.

παρ' Αἰγυπτίοις ἐλαίου) καὶ τὸ κόμμι (κόμμι δέ ἐστι τὸ κομμίδιον) καὶ τὸ κιννάβαρι (ἔστι δὲ εἶδος βάμματος πυρροῦ, ἐξ οὗ γράφει ὁ βασιλεύς) καὶ τὸ στάχι (ὅπερ σημαίνει εἶδος πυρροῦ καὶ αὐτό) καὶ τὸ στίμμι (ὅπερ αἱ γυναῖκες κατὰ τοὺς ὀφθαλμοὺς χρίονται, ὅπερ ἐν τῇ συνηθείᾳ λαχᾶς καλεῖται) οὐκ ἔστιν Ἑλληνικὰ ἀλλὰ βάρβαρα, κλίνεται δὲ διὰ καθαροῦ τοῦ $\overline{ος}$ οἷον πεπέριος σινήπιος κίκιος κόμμιος κινναβάριος στάχιος στίμμιος, Ἰωνικῶς διὰ τοῦ $\overline{ε}$ καὶ $\overline{ο}$, καὶ Ἀττικῶς δὲ διὰ τοῦ $\overline{ε}$ καὶ ω ὥσπερ ὄφις ὄφιος καὶ ὄφεος καὶ ὄφεως. δεῖ δὲ γινώσκειν ὅτι τοῦ κόμμι εὑρέθη παρὰ Κρωβύλῳ ἡ δοτικὴ κόμμιδι, ὡς παρὰ τῆς κόμμιδος γενικῆς. ἔχει δὲ οὕτως·

τὸν πλακοῦντα κόμμιδι,
οὐ μέλιτι, διεκόσμει (Mein. fr. com. ed. min. p. 1171).

καὶ τοῦ πέπερι δὲ ἡ γενικὴ εὑρέθη διὰ τοῦ $\overline{δος}$ πεπέριδος παρὰ Θεοφράστῳ οἷον ὄξους ἔκχυσις καὶ πεπέριδος· τὸ δὲ κιννάβαρι καὶ ἀρσενικῶς εὑρέθη ὁ κιννάβαρις· εὕρηται γὰρ παρὰ Ἀναξανδρίδῃ ἡ αἰτατικὴ «τὸν κιννάβαριν». εὑρέθη δὲ καὶ τὸ στίμμι θηλυκῶς λεγόμενον οἷον ἡ στίμμις στίμμεος ἰωνικῶς καὶ στίμμεως ἀττικῶς, ἡ αἰτιατικὴ στίμμιν οἷον Ἴων Ὀμφάλῃ

καὶ τὴν μέλαιναν στίμμιν ὀμματογράφον.

καὶ ἀποροῦσί τινες λέγοντες, διατί μὲν ταῦτα βάρβαρα ὄντα καὶ μὴ ὄντα Ἑλληνικὰ κλίνεται, τὰ δὲ ὀνόματα τῶν στοιχείων εἰρήκαμεν μὴ κλίνεσθαι ὡς βάρβαρα ἤγουν ὡς βαρβάρων εὑρήματα; ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ διὰ τοῦτο μόνον εἰρήκαμεν τὰ ὀνόματα τῶν στοιχείων μὴ κλίνεσθαι, ἀλλὰ καὶ δι' ἄλλας αἰτίας. πάλιν ἀποροῦσί τινες λέγοντες, ὅτι διατί, ὥσπερ τὸ Ξέρξης βάρβαρον ὄνομα ὅμοιον γενόμενον τῷ Χρύσῃ καὶ Πέρσῃ ὁμοίως αὐτοῖς ἐκλίθη, Ξέρξου γὰρ ὡς Χρύσου καὶ Πέρσου, μὴ τὸν αὐτὸν τρόπον καὶ ταῦτα, φημὶ δὴ τὸ πέπερι καὶ τὰ ὅμοια βάρβαρα ὄντα ὅμοια τῷ μέλιτι οὐκ ἐκλίθη διὰ τοῦ $\overline{τος}$ ὁμοίως αὐτῷ; ἔστιν οὖν εἰπεῖν, ὅτι τῶν βαρβάρων καὶ ἐχόντων χαρακτῆρα Ἑλληνικὸν τὰ μὲν ἀναλόγως κλίνεται, τὰ δὲ οὔ. ἰδοὺ γὰρ ἔστι Μέμφις καὶ Ταμίαθις (ἔστι δὲ ταῦτα ὀνόματα πόλεων Αἰγύπτου)· καὶ τὸ μὲν Μέμφις ἀναλόγως κλίνεται, Μέμφιδος γὰρ ὥσπερ Θέτιδος· τὸ δὲ Ταμίαθις οὔ, Ταμιάθεως γάρ. — ἰστέον δὲ ὅτι μονήρές ἐστι τὸ μέλι διὰ τοῦ $\overline{τος}$ κλινόμενον, οὐκ ἔστι γὰρ εἰς $\overline{ι}$ λῆγον οὐδέτερον διὰ τοῦ $\overline{τος}$ κλινόμενον, εἰ μὴ τοῦτο μόνον καὶ τὰ παρ' αὐτὸ δηλονότι σύνθετα οἷον ἀπόμελι ἀπομέλιτος, ὀξύμελι ὀξυμέλιτος, εὐκρατόμελι εὐκρατομέλιτος, οἰνόμελι οἰνομέλιτος· τὸ λιπόπατρι τοῦ λιποπάτριδος καὶ τὸ φυγόπολι τοῦ φυγοπόλιος καὶ τὸ τί τινός τῶν ἀρσενικῶν τὴν κλίσιν ἐφύλαξε, φημὶ δὲ τοῦ ὁ λιπόπατρις τοῦ λιποπάτριδος καὶ τοῦ ὁ φυγόπολις τοῦ φυγοπόλιος καὶ τοῦ ὁ τίς τοῦ τινός.

---

l. 14 παρὰ Θ. — πεπέριδος addit M. l. 18 στίμμεος — οἷον addit M.
l. 20 cf. An. Ox. II 413, 1.

Choer. 375, 3: δεῖ γινώcκειν ὅτι ἐcτί τινα εἰc ῑ λήγοντα οὐδέτερα μονογενῆ πεπονθότα, ἅπερ ἄκλιτά ἐcτιν οἷον τὸ ἄλφι, ὅπερ ἀπὸ τοῦ ἄλφιτον γέγονε κατὰ ἀποκοπήν, καὶ τὸ ἔρι, ὅπερ ἀπὸ τοῦ ἔριον γέγονε ὁμοίωc κατὰ ἀποκοπήν, καὶ τὸ κρῖ

κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύραc (Ε 196),

ὅπερ ἀπὸ τοῦ κρῖμνον γέγονεν ὁμοίωc κατὰ ἀποκοπὴν καὶ τὸ τρόφι, ὃ cημαίνει τὸ εὐτραφὲc

πολλῶν δὲ τρόφι κῦμα κυλίνδεται (Λ 307),

ἀπὸ τοῦ τρόφιμον γέγονε κατὰ ἀποκοπήν.

Περὶ τῶν εἰc ῡ οὐδετέρων.

Choer. 375, 27: τὰ εἰc ῡ λήγοντα οὐδέτερα, δηλονότι μονογενῆ, εἰ μὲν μακρᾷ παραλήγεται, διὰ τοῦ εοc κλίνεται οἷον ἄcτυ ἄcτεοc, πῶϋ πώεοc (cημαίνει δὲ τὸ ποίμνιον)· cεcημείωται τὸ νᾶπυ νάπυοc, ὅτι μακρᾷ παραληγόμενον οἷον ὡc παρὰ Ἀριcτοφάνει (Eq. 631)

κἄβλεψε νᾶπυ καὶ τὰ μέτωπ' ἀνέcπαcεν

οὐκ ἐκλίθη διὰ τοῦ εοc, ἀλλὰ διὰ τοῦ υ (cημαίνει δὲ τὸ cίνηπι)· εἰ δὲ βραχείᾳ παραλήγεται, διὰ τοῦ ῡ κλίνεται, τουτέcτι προcθέcει τοῦ ο̄c̄ ποιεῖ τὴν γενικὴν καὶ φυλάττει τὸ υ οἷον γόνυ γόνυοc. τὸ δὲ γουνόc καὶ δουρόc δύναται καὶ μόνον καθ' ὑπέρθεcιν τοῦ ῡ γενέcθαι ἀπὸ τοῦ γόνυοc καὶ δόρυοc, ἀλλὰ καὶ ἀπὸ τοῦ γοῦναc γούνατοc καὶ δοῦραc δούρατοc κατὰ cυγκοπὴν γουνόc καὶ δουρόc. καὶ ἰcτέον ὅτι κρεῖττόν ἐcτι κατὰ cυγκοπὴν αὐτὰ λέγειν ἤπερ καθ' ὑπέρθεcιν τοῦ ῡ. ἐὰν γὰρ δῶμεν αὐτὰ καθ' ὑπέρθεcιν τοῦ ῡ γεγενῆcθαι, δηλονότι καὶ cυναίρεcιc τοῦ ο̄ καὶ ῡ παρακολουθεῖ εἰc τὴν ου δίφθογγον, καὶ δηλονότι βαρύνεcθαι ὤφειλεν, ὥcπερ τὸ λάαοc λᾶοc καὶ κέαροc κῆροc καὶ ἔαροc ἦροc· εἰ δὲ κατὰ cυγκοπὴν αὐτὰ δῶμεν γενέcθαι, ὀξύνεται ὁμοίωc τῷ πατέροc πατρόc, μητέροc μητρόc, ἀνέροc ἀνδρόc.

Εἴρηται καὶ δορόc καὶ δουρόc καὶ δούρατοc καὶ δόρατοc καὶ δόρεοc καὶ πέντε ἔχει δοτικὰc τὸ δόρυ δούρατι, δουρί, δόρει, δόρατι, δορί. ἡ δούρατι καὶ δόρατι πρόδηλοc καὶ ἡ δουρί καὶ δορί πεπονθυῖα. ἡ δόρει παρ' Αἰcχύλῳ ἐν Ἀγαμέμνονι (fort. Μέμνονι) «cὺν δόρει cτρατόν». ἔcτιν ἡ εὐθεῖα δόρυ «δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει» (Ν 442) καὶ ὡc πῶϋ πώεοc γενική, δοτικὴ πώει, δόρυ δόρεοc δόρεϊ cυναλοιφῇ δόρει. ἡ δὲ δουρί οἷον παρ' Ἀλκμᾶνι «δουρὶ ξυcτῷ μέμηνεν Αἴαc» παρὰ τὴν δοῦραc εὐθεῖαν, ἐπεὶ ἀνάλογόc ἐcτιν ὁμοίων παράθεcιc. ἔχει δὲ αὕτη ἡ εὐθεῖα ὁμοίων παράθεcιν κέραc καὶ τέραc. οὗ πληθυντικὸν ἀνάλογον

l. 27 cf. E. M. 497, 31, Mon. 34, 20. l. 28 quae de genetivo proposui, sunt ex Mon. 35, 4, ubi additur: ὡc ἐν ἑτέροιc ἐδήλωcα, quibus verbis hic περὶ κλίcεωc liber significari videtur. De dativo ex Ep. Cr. I 122 locum adieci, ut emendatus est a Lehrsio ad Herod. p. 118 Alcmanis loco ex Choer. 377, 3 apposito et Aristophanis Achaeique testimoniis ex eodem p. 376, 19 adiectis (de Sophoclis vel potius Achaei fragmento cf. Nauck fragm. tragicorum p. 176 et 584,

δούρατα «δούρατα δ' αἴ κ' ἐθέληςθα καὶ ἓν καὶ εἴκοςι δήειϲ» (N 260), ἡ γενικὴ δούρατοϲ καὶ ἐν ϲυγκοπῇ δουρόϲ ὑφέςει τοῦ ῡ δορόϲ

ἐναντίον δορὸϲ
ὀρνύμενοϲ Ἀχιλλέωϲ

καὶ ἡ δοτικὴ «ϲὺν δορὶ ϲὺν ἀϲπίδι», ὅπερ Ἀριϲτοφάνηϲ παρενυφαίνει ἐν Εἰρήνῃ (355) ἐν Μώμῳ Ϲοφοκλέουϲ (scr. Ἀχαιοῦ) προκείμενον. αἱ δὲ παρὰ Τρύφωνι εὐθεῖαι δόρ καὶ δούρ, ἀφ' οὗ δορόϲ καὶ δουρόϲ, κακίζονται.

Choer. 377, 11: τὰ γόνυα καὶ δόρυα γίνεται καθ' ὑπερβιβαϲμὸν τοῦ ῡ γοῦνα καὶ δοῦρα. δύναται δὲ καὶ ἀπὸ τοῦ γούνατοϲ καὶ δούρατοϲ γενέϲθαι κατὰ ἀποκοπὴν τῆϲ τοϲ ϲυλλαβῆϲ γοῦνα καὶ δοῦρα.

Περὶ τῶν εἰϲ ον οὐδετέρων.

Choer. 377, 24: τὰ εἰϲ ον οὐδέτερα εἰϲ ου ἔχει τὴν γενικὴν οἷον μέτρον μέτρου, ξύλον ξύλου, δένδρον δένδρου, πλέθρον πλέθρου. τὸ γὰρ βέλτιον βελτίονοϲ καὶ κρεῖττον κρείττονοϲ ἀπὸ τοῦ ὁ βελτίων τοῦ βελτίονοϲ καὶ ὁ κρείττων τοῦ κρείττονοϲ ἀρϲενικοῦ γέγονε καὶ δηλονότι τὴν τῶν ἀρϲενικῶν κλίϲιν ἐφύλαξεν.

Περὶ τῶν εἰϲ αρ οὐδετέρων.

Choer. 380, 21: τῶν εἰϲ αρ οὐδετέρων τὰ μὲν ὑπὲρ δύο ϲυλλαβὰϲ διὰ τοῦ τοϲ κλίνεται οἷον τὸ δέλεαρ τοῦ δελέατοϲ, τὸ ὄνειαρ τοῦ ὀνείατοϲ (ϲημαίνει δὲ τὸ ὄνειαρ τὸ ὠφελοῦν καὶ τὸ βρῶμα), ἄλειφαρ ἀλείφατοϲ (ϲημαίνει δὲ τὸ ἄλειμμα

ἀλείφατοϲ ἐννεώροιο [C 351]),

κάρηαρ καρήατοϲ καὶ κατὰ ϲυγκοπὴν κάρητοϲ, ὡϲ παρὰ τῷ ποιητῇ

κὰδ δὲ κάρητοϲ
οὔλαϲ ἧκε κόμαϲ (ψ 157).

---

qui etiam pro παρεμφαίνει emendavit παρενυφαίνει). Choeroboscus δόρει repetit a nominativo δόροϲ, quae altera forma sit nominativi δόραϲ pariter atque δέροϲ γῆροϲ alterae species nominativorum δέραϲ et γῆραϲ fortasse magis ex Herodiani sententia, si quidem is canon, quem Choer. proponit, Herodiani est, secundum quem μακροπαράληκτα εἰϲ ῡ per εοϲ, βραχυκατάληκτα per ῠοϲ flectuntur. Dativi γόνυϊ et δόρυϊ, quos affert Choeroboscus, ab ipso ex analogia ficti videntur. — Περὶ τοῦ δάκρυ πῶϲ κλίνεται, inquit Choerob. 376, 24, ἐν τῷ ὀνόματι τοῦ Ἡρωδιανοῦ μαθηϲόμεθα. Eius doctrina continetur in Ep. Cr. I 120, 31: ἔϲτιν ἡ εὐθεῖα δάκρυον καὶ δάκρυ. οὐ γὰρ ἐκ τοῦ δάκρυον κατὰ ἀποβολήν, ἀλλὰ κατὰ ϲχηματιϲμόν χρῆται ὁ ποιητήϲ «βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν» (δ 198) (cf. περὶ παθῶν in E. M. 246, 8 et Zonar. 470 δάκρυ οὐ γέγονεν ἀπό τοῦ δάκρυον κατ' ἀποκοπήν, ἀλλά κατὰ ϲχηματιϲμόν, ἔϲτι γάρ ἀπό ϲυνθέτου λέξιϲ ἁπλῆ. ἔϲτι γὰρ ἀρίδακρυϲ ἀρίδακρυ καὶ δάκρυ). τοῦ δάκρυ ἡ γενικὴ δάκρεοϲ δάκρεϊ, τό πληθυντικὸν δάκρεα, τοῦτο κατὰ ϲυναλοιφὴν γέγονε δάκρη «ξανθὰ δάκρη». ἀπὸ δὲ τοῦ δάκρυον δάκρυα. τὸ δὲ δάκρυϲιν οὐκ ἀπὸ τοῦ δάκρυ, δάκρεϲι γὰρ ἂν ἦν, ἀλλὰ ἀπὸ τοῦ δακρύοιϲ κατὰ μεταπλαϲμὸν ὡϲ προβάτοιϲ πρόβαϲιν, ἐγκάτοιϲ ἔγκαϲι, πετάλοιϲ πέταλϲιν «ἐν ἠρινοῖϲ πέταλϲι». Etiam haec extrema de δάκρυϲι ex δακρύοιϲ per metaplasmum nato Herodiani est, ut ex exemplis appositis elucet et recte se habet, si δάκρεοϲ genetivus est ut πώεοϲ ἄϲτεοϲ. Quare Lobeckio El. II 293 Epimeristam perperam interpretatum esse contendenti non adstipulor.

τῶν δὲ διϲυλλάβων τὰ μὲν φύϲει μακρᾷ παραληγόμενα διὰ τοῦ τοϲ κλίνεται οἷον ἦμαρ ἤματοϲ, εἶδαρ εἴδατοϲ (ϲημαίνει δὲ τὸ βρῶμα), ἧπαρ ἥπατοϲ, οὖθαρ οὔθατοϲ (ϲημαίνει δὲ τὸν μαζόν)· τὰ δὲ βραχείᾳ ἢ θέϲει μακρᾷ παραληγόμενα διὰ τοῦ ροϲ κλίνεται οἷον θέναρ θέναροϲ (ϲημαίνει δὲ τὸ κοῖλον τῆϲ χειρόϲ, παρὰ τὸ θένειν ἤγουν τύπτειν), ὕπαρ ὕπαροϲ (ϲημαίνει δὲ τὸ ἀληθινὸν ἐνύπνιον, ἤγουν τὴν λεγομένην ὀπταϲίαν), ἔαρ ἔαροϲ, κέαρ κέαροϲ (ϲημαίνει δὲ τὴν ψυχήν), καὶ κατὰ κρᾶϲιν τοῦ ε καὶ α εἰϲ η ἦροϲ καὶ κῆροϲ, νέκταρ νέκταροϲ (τὸ τῶν θεῶν πόμα), ἄλκαρ ἄλκαροϲ (ϲημαίνει δὲ τὴν βοήθειαν). ϲεϲημείωται τὸ φρέαρ τοῦ φρέατοϲ καὶ ϲτέαρ ϲτέατοϲ, ὅτι βραχείᾳ παραληγόμενα διὰ τοῦ τοϲ ἐκλίθη (ϲτέαρ δέ ἐϲτι τὸ λίποϲ), περὶ ὧν ἔϲτιν εἰπεῖν, μήποτε φρεῖαρ καὶ ϲτεῖαρ ἦν καὶ ὡϲ ἔχοντα φύϲει μακρὰν τὴν παραλήγουϲαν διὰ τοῦ τοϲ ἐκλίθη οἷον ϲτείατοϲ καὶ φρείατοϲ, ἐξ οὗ τὸ «φρείατα μακρὰ νάουϲι» (Φ 197), καὶ λοιπὸν ἀποβληθέντοϲ τοῦ ι, ἔμεινεν ἡ αὐτὴ κλίϲιϲ.

Choer. 381, 23: ἄξιόν ἐϲτι ζητῆϲαι τοῦτο περὶ τῶν εἰϲ αρ οὐδετέρων τῶν κλινομένων διὰ τοῦ τοϲ, ὅτι οὐδεμία μετουϲία ἐϲτὶ τῶν ἀμεταβόλων μετὰ τοῦ τ, ὥϲτε κλίνεϲθαι αὐτὰ διὰ τοῦ τ· ὤφειλεν γὰρ καὶ ταῦτα φυλάξαι τὸ ἀμετάβολον ἐν τῇ γενικῇ. ἀμετάβολα γὰρ λέγεται παρὰ τὸ μὴ μεταβάλλεϲθαι ἐν τοῖϲ μέλλουϲι τῶν ῥημάτων μηδὲ ἐν ταῖϲ κλίϲεϲι τῶν ὀνομάτων οἷον κείρω κερῶ, φθείρω φθερῶ, Πλάτων Πλάτωνοϲ, Ἕκτωρ Ἕκτοροϲ. ἔϲτιν οὖν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι ἀπὸ τῆϲ εἰϲ ϲ καταλήξεώϲ ἐϲτιν ἡ κλίϲιϲ τούτων οἷον ὡϲ ἀπὸ τοῦ ὄνειαϲ καὶ δέλεαϲ καὶ φρέαϲ καὶ ϲτέαϲ, ὥϲπερ κρέαϲ κρέατοϲ καὶ γῆραϲ γήρατοϲ, ὥϲτε ἑτερόκλιτα αὐτὰ εἶναι.

Τὰ εἰϲ αρ οὐδέτερα παραληγόμενα τῷ ω ἄκλιτά ἐϲτιν οἷον μῶμαρ ὁ μῶμοϲ, βῶμαρ ὁ βωμόϲ, νῶκαρ ἡ ϲτέρηϲιϲ τῆϲ ψυχῆϲ.

Περὶ τῶν εἰϲ ωρ οὐδετέρων.

Choer. 382, 26: τὰ εἰϲ ωρ οὐδέτερα διὰ τοῦ ροϲ κλίνεται καὶ φυλάττει τὸ ω κατὰ τὴν γενικὴν οἷον τέκμωρ τέκμωροϲ (τὸ ϲημεῖον), ἔλδωρ ἔλδωροϲ (τὸ ἐπιθύμημα), ὅπερ κατὰ πλεοναϲμὸν τοῦ ε γίνεται ἐέλδωρ τριϲυλλάβωϲ, ὡϲ παρὰ τῷ ποιητῇ «τόδε μοι κρήηνον ἐέλδωρ» (Α 41), ἕλωρ ἕλωροϲ (τὸ ἕλκυϲμα καὶ ϲπάραγμα, ἐξ οὗ τὸ «ἑλώρια τεῦχε κύνεϲιν»), πλὴν τοῦ ὕδωρ ὕδατοϲ, τοῦτο γὰρ διὰ τοῦ τοϲ ἐκλίθη, καί ἐϲτιν ἑτερόκλιτον· ἡ γὰρ κλίϲιϲ αὐτοῦ ὡϲ ἀπὸ τῆϲ εἰϲ αϲ καταλήξεώϲ ἐϲτιν οἷον ὡϲ ἀπὸ τῆϲ ὕδαϲ ὕδατοϲ, ὥϲπερ κρέαϲ κρέατοϲ, γῆραϲ γήρατοϲ. τοιοῦτόν ἐϲτι καὶ τὸ ϲκώρ (ὃ ϲημαίνει τὸ ἀφόδευμα), τούτου γὰρ ἡ γενικὴ ϲκατόϲ ἐϲτιν ἑτεροκλίτωϲ, ὡϲ ἀπὸ τῆϲ ϲκάϲ εὐθείαϲ τῆϲ μὴ εἰρημένηϲ. ἐγένετο δὲ ἑτερόκλιτον τὸ ὕδωρ ὕδατοϲ διὰ τοιαύτην

l. 16 cf. Choer. 544, 20, Ep. in Psalm. 3, 15. E. M. 491, 20 et fr. 46.
l. 26 Herod. ἐν τῷ περὶ τοῦ ὕδωρ μονοβίβλῳ fr. 2.

αἰτίαν· κανὼν ἔστιν ὁ λέγων, ὅτι πᾶν οὐδέτερον ὑπὲρ μίαν συλλαβὴν ἀπαθὲς βραχυκατάληκτον θέλει εἶναι, χωρὶς τῶν παρὰ τὸ πούς καὶ τῆς εἰς ωρ καταλήξεως. ἔστω δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· τὸ κρέας, τὸ τεῖχος, τὸ ποίημα, τὸ νόημα, τὸ δένδρον, τὸ ξύλον, τὸ δέλεαρ, τὸ ἧπαρ, τὸ μέλι. πρόσκειται «ὑπὲρ μίαν συλλαβὴν» διὰ τὸ πᾶν καὶ πῦρ· ταῦτα γὰρ μακροκαταληκτεῖ, ἀλλ' οὐκ ἔστιν ὑπὲρ μίαν συλλαβήν. πρόσκειται «ἀπαθὲς» διὰ τὸ βοῶν, τὸ ποιοῦν, τὸ ὀστοῦν, ταῦτα γὰρ ἀπὸ κράσεως ἔχει τὴν μακράν, ἀπὸ γὰρ τοῦ βοάον καὶ τοῦ ποιέον καὶ τοῦ ὀστέον ἐστίν. ἔτι πρόσκειται «ἀπαθές» διὰ τὸ κάρη, καὶ τοῦτο γὰρ ἀπὸ πάθους ἔχει τὴν μακροκατάληξιν, ἀπὸ γὰρ τοῦ κάρηνον γέγονε κατὰ ἀποκοπὴν καὶ οὐ καταλήγει φύσει εἰς η. πρόσκειται «χωρὶς τῶν παρὰ τὸ πούς» διὰ τὸ δίπουν καὶ τρίπουν· ταῦτα γὰρ μακροκαταληκτεῖ. πρόσκειται «χωρὶς τῆς εἰς ωρ καταλήξεως» διὰ τὸ τέκμωρ καὶ ἔλδωρ καὶ ὕδωρ, ταῦτα γὰρ μακροκαταληκτεῖ. ἐπειδὴ οὖν παράλογός ἐστιν αὕτη ἡ κατάληξις, φημὶ δὴ ἡ εἰς ωρ διὰ τὴν μακροκαταληξίαν, τούτου χάριν τὸ ὕδωρ οὐκ ἐκλίθη, ἀλλ' ἐγένετο ἡ κλίσις αὐτοῦ ἀπὸ τῆς εἰς ας καταλήξεως, ὥσπερ γὰρ κρέας κρέατος, γῆρας γήρατος, οὕτω καὶ ὕδας ὕδατος, καὶ ἔστι λοιπὸν ἑτερόκλιτον. εὑρίσκεται δὲ καὶ ἡ εἰς ος εὐθεῖα. ὥσπερ γὰρ ἀπὸ τοῦ γῆρας γῆρος καὶ ἀπὸ τοῦ δέρας δέρος, οὕτω καὶ ἀπὸ τῆς ὕδας εὐθείας, ἐξ ἧς ἡ γενικὴ ὕδατος, γίνεται ὕδος, ὡς παρὰ Καλλιμάχῳ,

ἔστιν ὕδος καὶ γαῖα καὶ ὀπτήτειρα κάμινος.

ἔχομεν δὲ καὶ δοτικὴν διὰ τῆς ει διφθόγγου, ὡς παρ' Ἡσιόδῳ (Opp. 61)

γαῖαν ὕδει φύρειν,

ὡς ἀπὸ τῆς ὕδος εὐθείας, ὥσπερ τὸ τεῖχος τῷ τείχει.

Ἄξιον δέ ἐστι ζητῆσαι, τί διαφέρει τὰ εἰς ωρ οὐδέτερα τῶν εἰς ωρ ἀρσενικῶν. καὶ ἔστιν εἰπεῖν, ὅτι κατὰ τοῦτο διαφέρει, καθὸ τὰ μὲν ἀρσενικὰ βαρύτονα ὄντα μὴ ἔχοντα τὸ λ τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ οἷον Ἕκτωρ Ἕκτορος, Μέντωρ Μέντορος, Νέστωρ Νέστορος· τὰ δὲ εἰς ωρ οὐδέτερα φυλάττει τὸ ω κατὰ τὴν γενικὴν οἷον τέκμωρ τέκμωρος, ἕλωρ ἕλωρος, ἔλδωρ ἔλδωρος. καὶ ἀποροῦσί τινες λέγοντες, διατί τὰ εἰς ωρ οὐδέτερα οὐ τρέπει τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, ὥσπερ τὰ εἰς ωρ ἀρσενικά· καὶ ἔστιν εἰπεῖν, ὅτι οὐδέποτε οὐδέτερον μονογενὲς ἔχει τὴν παραλήγουσαν τῆς περιττοσυλλάβου γενικῆς ἧττονα χρόνον ἐχούσαν τῆς ληγούσης τῆς ἰδίας εὐθείας οἷον βῆμα βήματος, μέλι μέλιτος, γόνυ γόνυος, ἄστυ ἄστεος, κρέας κρέατος, τεῖχος τείχεος, φῶς φωτός, ὦς ὠτός· χωρὶς τοῦ πῦρ πυρός (τοῦτο γὰρ ἐν μὲν τῇ εὐθείᾳ ἐκτείνει τὸ υ, ἐν δὲ τῇ γενικῇ συστέλλει αὐτό), καὶ χωρὶς τοῦ ὕδωρ ὕδατος (καὶ τοῦτο γὰρ βραχεῖαν ἔχει τὴν παραλήγουσαν τῆς γενικῆς, τῆς εὐθείας μακροκαταληκτούσης). τοῦτο δὲ ἑτερόκλιτον εἰρήκαμεν, ὡς

---

l. 25 adnotamentum de heteroclisia voc ὕδωρ transiit in E. M. 776, 15, de ὕδος E. M. 549, 54.

ἀπὸ τῆς ὕδας εὐθείας. πρόσκειται «μονογενῆ» διὰ τὸ πᾶν παντός, τοῦτο γὰρ ἐν μὲν τῇ εὐθείᾳ φύσει μακρὸν ἔχει τὸ ᾱ, ἐν δὲ τῇ γενικῇ θέσει μακρόν· τὸ δὲ φύσει μακρὸν μεῖζόν ἐστι τοῦ θέσει μακροῦ. τούτου χάριν τὰ εἰς ωρ οὐδέτερα οὐ τρέπει τὸ ω̄ εἰς τὸ ō ἐν τῇ γενικῇ, ἵνα μὴ εὑρεθῇ ἡ παραλήγουσα τῆς περιττοσυλλάβου γενικῆς τῶν μονογενῶν οὐδετέρων ἥττονα χρόνον ἔχουσα τῆς ληγούσης τῆς ἰδίας εὐθείας.

Περὶ τῶν εἰς ας οὐδετέρων.

Choer. 385, 11: πάντα τὰ εἰς ας λήγοντα οὐδέτερα διὰ τοῦ τος κλίνεται οἷον πέρας πέρατος, κρέας κρέατος, γέρας γέρατος, οὖας οὔατος, ἐκ δὲ τούτου γίνεται κατὰ ἀποβολὴν τοῦ υ δας καὶ κατὰ κρᾶσιν οὖς καὶ κατὰ Δωριεῖς ὦς. ἰστέον δὲ ὅτι τὸ οὖς ἄκλιτόν ἐστι· τὸ γὰρ

Ἄντιφον αὖτε παρ' οὖς ἔλασε ξίφει (Λ 109)

ἀντὶ τῆς παρὰ τὸ οὖς ὑπάρχον αἰτιατικῆς οὐκ ἀντίκειται ἡμῖν, οὐδὲ γὰρ ἐκλίθη, ἀλλ' ὡμοφώνησε τῇ ἰδίᾳ εὐθείᾳ. τὰ γὰρ οὐδέτερα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν καὶ αἰτιατικὴν οἷον τὸ βῆμα τοῦ βήματος τῷ βήματι τὸ βῆμα ὦ βῆμα, τὸ ξύλον τοῦ ξύλου τῷ ξύλῳ τὸ ξύλον ὦ ξύλον. καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὸ οὖς ἄκλιτόν ἐστι. καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· οὐδὲν οὐδέτερον εἰς ους λήγει εἰ μὴ μόνον τὸ οὖς. ἐπειδὴ οὖν τοῦτο, φημὶ δὲ τὸ οὖς, οὐκ ἔσχεν ἄλλο ὅμοιον, εἰκότως ὡς μὴ ἔχον τί μιμήσασθαι, ἄκλιτον ἔμεινεν. ἰστέον δὲ ὅτι τὸ δέμας ἄκλιτόν ἐστι. καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν ἐστὶν ἄκλιτον. καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· οὐδὲν εἰς ας οὐδέτερον ἔχει πρὸ τοῦ α τὸ μ̄ οἷον γῆρας, κῶας, κρέας, τέρας. ἐπειδὴ οὖν τὸ δέμας εἰς ας ἐστὶν οὐδέτερον καὶ ἔχει πρὸ τοῦ ᾱ τὸ μ, εἰκότως ὡς μὴ ἔχον τι μιμήσασθαι ἄκλιτον ἔμεινε.

Ἰστέον δὲ ὅτι οὐδὲν εἰς ας ὑπὲρ δύο συλλαβὰς ἔστιν οὐδέτερον, ὅθεν τὸ καρήατος οὐκ ἀπὸ τοῦ κάρηας, ἀλλ' ἀπὸ τοῦ κάρηαρ.

Ἰστέον ὅτι ὁ Σοφοκλῆς ἐν Κηδαλίωνι σατυρικῷ φησι

καὶ δή τι καὶ παρεῖκα τῶν ἀρτυμάτων
ὑπὸ τοῦ δέατος

ἀντὶ τοῦ δέους καὶ παρὰ Ἑκαταίῳ ἐστὶν «τὰ δέατα περιτεταμένα». ἀλλ' οὐ λέγεται ἡ εὐθεῖα δέας. ὅτε Ξενοφάνης φησὶν

ἁγνὸν ἐνὶ σπεάτεσσι τεοῖς καταλείβεται ὕδωρ.

ἀλλ' οὐ γὰρ λέγεται σπέας. ἡ γὰρ ἀναλογία ὡς ἀπὸ τοιούτων εὐθειῶν τὰς κλίσεις λαμβάνει, οὐκ οὐσῶν μέντοι ἐν χρήσει Ἑλλήνων. τὸ δὲ παρὰ τῷ ποιητῇ κτεάτεσσιν

ἀνέρος, ὃν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτετμε (α 218)

μεταπλασμοῦ ἔχεται ἐκ τῆς κτεάτοις δοτικῆς.

l. 10 verba ἐκ δὲ τούτου — Δωριεῖς ὦς pro Choerobosci verbis καὶ κατὰ συγκοπὴν οὖς inserui ex Herod. περὶ παθῶν in E. M. 639, 1 cf. Ep. Cr. I 116, 16 et Mon. 14, 24 τοῦ οὖς οὐ ζητητέον τὴν κλίσιν, de δέμας Mon. 29, 26. l. 26 Ep. Cram. I 251, 17, E. M. 491, 22. l. 28 Mon. 30, 25 cf. Lehrs ad h. l.

Choer. 386, 1: ἰϲτέον δὲ ὅτι, ὡϲ εἴρηται, πάντα τὰ εἰϲ ᾱϲ λήγοντα οὐδέτερα διὰ τοῦ τοϲ κλίνεται οἷον γέραϲ γέρατοϲ, δέραϲ δέρατοϲ, κέραϲ κέρατοϲ, κρέαϲ κρέατοϲ. καὶ ἐπειδὴ τὰ εἰϲ αϲ λήγοντα οὐδέτερα πέφυκε πολλάκιϲ γίνεϲθαι καὶ εἰϲ ο̄ϲ οἷον δέραϲ δέροϲ, κῶαϲ κῶοϲ, γῆραϲ γῆροϲ, τὰ δὲ εἰϲ ο̄ϲ οὐδέτερα διὰ καθαροῦ τοῦ ο̄ϲ κλίνεται οἷον βέλοϲ βέλεοϲ, τεῖχοϲ τείχεοϲ, εἰκότωϲ καὶ ταῦτα τὰ εἰϲ αϲ οὐδέτερα ἔϲχεν ἀφορμὴν ὡϲ γινόμενα καὶ εἰϲ οϲ τοῦ ἔχειν διὰ καθαροῦ τοῦ οϲ τὴν γενικήν, καὶ τούτου χάριν ἀποβάλλουϲι τὸ τ̄ οἱ Ἴωνεϲ οἷον κρέατοϲ κρέαοϲ, γήρατοϲ γήραοϲ, κέρατοϲ κέραοϲ· καὶ λοιπὸν οἱ Ἀττικοὶ ϲυναιροῦϲι τὸ ᾱ καὶ ο εἰϲ ω καὶ λέγουϲι τοῦ κρέωϲ, τοῦ γήρωϲ καὶ δέρωϲ βαρυτόνωϲ. δι' ὅλου δὲ τοῦτο τὸ ϲχῆμα, φημὶ δὲ τὸ ἀποβάλλεϲθαι τὸ τ̄ Ἰωνικῶϲ καὶ κρᾶϲιν παρακολουθεῖν τῶν φωνηέντων παρὰ τοῖϲ Ἀττικοῖϲ, φυλάττεται καὶ ἐν ταῖϲ γενικαῖϲ καὶ ἐν ταῖϲ δοτικαῖϲ, ἡ γὰρ αἰτιατικὴ καὶ ἡ κλητικὴ ὡμοφώνηϲαν τῇ ἰδίᾳ εὐθείᾳ, μόνη δὲ ἡ δοτικὴ τῶν πληθυντικῶν οὐδὲν τοιοῦτον πάϲχει, οὐκ ἀποβάλλει γὰρ τὸ ἴδιον ϲύμφωνον καὶ ποιεῖ ϲυναίρεϲιν τῶν φωνηέντων. ἰϲτέον δὲ ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν ἡ ἀπὸ τῶν εἰϲ αϲ οὐδετέρων μίαν ἔχει φωνὴν παρὰ πάϲαιϲ ταῖϲ διαλέκτοιϲ οἷον κρέαϲι γέραϲι κέραϲι, τουτέϲτι καὶ παρ' ἡμῖν καὶ παρὰ τοῖϲ Ἴωϲι καὶ παρὰ τοῖϲ Ἀττικοῖϲ.

Choer. 389, 26: καὶ ἄξιόν ἐϲτι ζητῆϲαι διὰ ποίαν αἰτίαν οὐκ ἀποβάλλουϲι τὸ ϲύμφωνον οἱ Ἴωνεϲ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, καὶ παρακολουθεῖ ϲυναίρεϲιϲ τῶν φωνηέντων Ἀττικῶϲ ὥϲπερ καὶ ἐπὶ τῶν ἄλλων πτώϲεων. καὶ ἔϲτιν εἰπεῖν, ὅτι ἐπειδὴ εἰ ἀπεβλήθη τὸ ϲύμφωνον καὶ παρηκολούθηϲε ϲυναίρεϲιϲ τῶν φωνηέντων, ἤμελλε ϲυνεμπίπτειν τῇ δοτικῇ τῶν ἑνικῶν οἷον κρέατι κρέαϊ κρέᾳ, ὅπερ ἐϲτὶν ἄτοπον. τούτου χάριν ἐπὶ τῆϲ δοτικῆϲ τῶν πληθυντικῶν οὐκ ἀποβάλλουϲι τὸ ϲύμφωνον οἱ Ἴωνεϲ καὶ ποιοῦνται ϲυναίρεϲιν οἱ Ἀττικοὶ τῶν φωνηέντων. ἄλλωϲ τε δὲ πᾶϲα δοτικὴ πληθυντικῶν εἰϲ ῑ λήγουϲα θέλει ἔχειν πρὸ τοῦ ῑ τὸ ϲ̄ ἢ δυνάμει ἢ ἐνεργείᾳ· ἐνεργείᾳ μὲν οἷον Αἴαϲι, βήμαϲι, λέβηϲιν, δυνάμει δὲ οἷον Φοίνιξι, Πέλοψι, λαίλαψι. τούτου οὖν χάριν ἐπὶ τῆϲ δοτικῆϲ τῶν πληθυντικῶν οὐκ ἀποβάλλουϲιν οἱ Ἴωνεϲ τὸ ϲύμφωνον καὶ ποιοῦνται ϲυναίρεϲιν οἱ Ἀττικοὶ τῶν φωνηέντων.

Choer. 386, 30: ἀποροῦϲι δέ τινεϲ λέγοντεϲ, διατί ἐπὶ τῶν εἰϲ ᾱ ληγόντων οὐδετέρων μὴ ποιοῦϲιν οἱ Ἴωνεϲ ἀποβολὴν τοῦ τ̄ κατὰ τὴν γενικὴν καὶ κρᾶϲιν τῶν φωνηέντων οἱ Ἀττικοὶ οἷον βῆμα βήματοϲ καὶ βήμωϲ, ὥϲπερ κρέατοϲ καὶ κρέωϲ. καὶ ἔϲτιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· ὅτι τὰ εἰϲ ᾱϲ λήγοντα οὐδέτερα πέφυκε γίνεϲθαι καὶ εἰϲ ο̄ϲ οἷον γῆραϲ γῆροϲ, δέραϲ δέροϲ, κῶαϲ κῶοϲ. καὶ ἐπειδὴ τὰ εἰϲ ο̄ϲ οὐδέτερα διὰ καθαροῦ τοῦ ο̄ϲ κλίνεται οἷον βέλοϲ βέλεοϲ, τεῖχοϲ τείχεοϲ, εἰκό-

l. 19 cf. Ep. Cr. I 251, 21, E. M. 257, 9 δέροϲ τὸ κῴδιον· αἱ τοιαῦται εὐθεῖαι ἤτοι Ἰωνικαί εἰϲιν ἢ Δωρικαὶ οἷον δέροϲ κῶοϲ ἀπὸ τοῦ δέραϲ κῶαϲ cf. etiam Tzetzes ad Hesiod. Opp. v. 61.

τως καὶ ταῦτα ἔϲχεν ἀφορμὴν ὡϲ γινόμενα καὶ εἰϲ οϲ τοῦ ἔχειν καθαρὰν γενικήν. τὰ δὲ εἰϲ ᾱ λήγοντα οὐδέτερα, ἐπειδὴ οὐ γίνεται καὶ εἰϲ ōϲ, τούτου χάριν ὡϲ μὴ ἔχοντά τι μιμήϲαϲθαι οὐκ ἀποβάλλει τὸ τ̄ Ἰωνικῶϲ κατὰ τὴν γενικὴν καὶ κρᾶϲιν ποιεῖ τῶν φωνηέντων Ἀττικῶϲ.

Choer. 388, 4: ἰϲτέον ὅτι τῷ κρέατι κοινῶϲ κατὰ ἀποβολὴν τοῦ τ̄ Ἰωνικῶϲ γίνεται τῷ κρέαϊ καὶ κατὰ ϲυναίρεϲιν τοῦ ᾱ καὶ ῑ εἰϲ τὴν ᾱͅ δίφθογγον γίνεται τῷ κρέᾳ Ἀττικῶϲ. ἰϲτέον δὲ ὅτι ἅμα ϲυναίρεϲιϲ ἐγένετο ἅμα καὶ ἔκταϲιϲ, διὸ καὶ τὸ ῑ ἀνεκφώνητόν ἐϲτι· τὸ γὰρ ῑ ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω̄ ἢ μετὰ τοῦ ᾱ μακροῦ ἐν μιᾷ ϲυλλαβῇ, ἀνεκφώνητον εὑρίϲκεται οἷον τῷ Χρύϲῃ, τῷ ϲοφῷ, τῇ Μηδείᾳ.

Ἄξιον δέ ἐϲτι ζητῆϲαι, διατί ὥϲπερ ἐπὶ τοῦ κρέαϊ καὶ γήραϊ γίνεται κατὰ ϲυναίρεϲιν τοῦ ᾱ καὶ ῑ εἰϲ τὴν ᾱͅ δίφθογγον κρέᾳ καὶ γήρᾳ, μὴ τὸν αὐτὸν τρόπον ἐπὶ τοῦ ναΐ καὶ γραΐ γίνεται κατὰ ϲυναίρεϲιν νᾷ καὶ γρᾷ. ἔϲτιν οὖν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ῑ ἀνεκφώνητον λήγουϲα τὴν γενικὴν ἔχει ἰϲοϲύλλαβον τῇ εὐθείᾳ οἷον τῷ κοχλίᾳ ὁ κοχλίαϲ τοῦ κοχλίου, τῷ ϲοφῷ ὁ ϲοφόϲ τοῦ ϲοφοῦ, τῇ μνᾷ ἡ μνᾶ τῆϲ μνᾶϲ, τῷ γήρᾳ τὸ γῆραϲ τοῦ γήρωϲ, τῷ κρέᾳ τὸ κρέαϲ τοῦ κρέωϲ· τὸ γὰρ κρέαοϲ καὶ γήραοϲ πρὸϲ τὸ κρέαϊ καὶ γήραϊ ἐϲτιν. εἰ οὖν ἐγένετο ταῦτα κατὰ ϲυναίρεϲιν, ἤμελλον ἔχειν τὸ ῑ ἀνεκφώνητον, ὅπερ ἐϲτὶν ἄτοπον, οὐδὲ γὰρ ἔχει ἰϲοϲύλλαβον τὴν γενικὴν τῇ εὐθείᾳ, ὡϲ ναῦϲ ναόϲ, γραῦϲ γραόϲ. τούτου οὖν χάριν οὐ ϲυναιρεῖται ταῦτα κατὰ τὴν δοτικήν, ἵνα μὴ εἰϲ ῑ ἀνεκφώνητον λήγῃ κατὰ τὴν δοτικὴν καὶ ἔχῃ τὴν γενικὴν περιττοϲύλλαβον τῆϲ εὐθείαϲ.

Choer. 388, 34: τὸ κρεοῖν ἀπὸ τοῦ κρεάοιν γέγονε κατὰ κρᾶϲιν τοῦ α καὶ τῆϲ ο̄ῑ διφθόγγου εἰϲ τὴν οι δίφθογγον, διὸ καὶ περιϲπᾶται. ἐὰν δὲ θελήϲωμεν λέγειν ὅτι κρᾶϲιϲ παρηκολούθηϲε τοῦ ᾱ καὶ ō εἰϲ τὸ ω, ὀφείλει διὰ τοῦ ω̄ γενέϲθαι τοῖν κρεῷν προϲγραφομένου τοῦ ῑ· ἡ δὲ παράδοϲιϲ διὰ τῆϲ ο̄ῑ διφθόγγου ἐπίϲταται τὴν λέξιν.

Τὸ κρέα ἀπὸ τοῦ κρέαα γέγονε κατὰ κρᾶϲιν τῶν δύο αα εἰϲ ἓν ᾱ μακρόν, ὥϲπερ Ναυϲικάα Ναυϲικᾶ, τὸ γὰρ «κρέα λυγκὸϲ ἔταμνε» (Callim. Dian. 88) ἀπὸ τοῦ κρέατα γέγονε κατὰ ϲυγκοπὴν τῆϲ ᾱτ̄ ϲυλλαβῆϲ, ϲυνεϲταλμένον γὰρ ἔχει τὸ α.

Περὶ τῶν εἰϲ οϲ οὐδετέρων.

Choer. 390, 30: τὰ εἰϲ ōϲ οὐδέτερα, δηλονότι ὀνόματα, εἰϲ ōῡϲ ἔχει τὴν γενικὴν οἷον τεῖχοϲ τείχουϲ, βέλοϲ βέλουϲ, βάθοϲ βάθουϲ, πέλαγοϲ πελάγουϲ, ἦθοϲ ἤθουϲ, ψεῦδοϲ ψεύδουϲ, ϲτέφοϲ ϲτέφουϲ. πρόϲκειται ἐν τῷ κανόνι «δηλονότι ὀνόματα» διὰ τὰϲ μετοχάϲ. αὗται

l. 10 cf. Il. Pr. Λ 385: κέρα ἀγλαέ: ϲὺν τῷ ῑ ἔγραψάν τινεϲ τὸ κέρα, ἵνα ᾖ δοτική, ὁμοίωϲ τῷ «δέπᾳ μελιηδέοϲ οἴνου» (γ 46, nunc δέπαϲ) καὶ «γήρᾳ ὕπο λιπαρῷ» (λ 136). οὕτωϲ δὲ καὶ δοκεῖ ἐπικρατεῖν ἡ παράδοϲιϲ, ὡϲ καὶ Ἀλεξίων ἀξιοῖ. οἱ δὲ ϲυνέϲτειλαν πληθυντικὸν ἐκδεχόμενοι οὐδέτερον κτλ. cf. Lob. El. II 300 seqq.

γὰρ διὰ τοῦ τος κλίνονται οἷον τὸ τετυφός τοῦ τετυφότος, τὸ πεποιηκός τοῦ πεποιηκότος, τὸ λελαληκός τοῦ λελαληκότος, ὁμοίως τοῖς ἰδίοις ἀρσενικοῖς, ὥσπερ ὁ τετυφὼς τοῦ τετυφότος, ὁ πεποιηκὼς τοῦ πεποιηκότος, ὁ λελαληκὼς τοῦ λελαληκότος.

Ἰστέον δὲ ὅτι τὸ ὄφελος ἄκλιτόν ἐστι· καὶ ἄξιόν ἐστι ζητῆσαι, διατί ἐστιν ἄκλιτον. ἔστι δὲ εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὰ διὰ τοῦ ελος ὑπὲρ δύο συλλαβὰς οὐκ ἔστιν οὐδέτερα οἷον ζάφελος (ὁ μεγαλωφελής), ἄγγελος, πέμπελος (σημαίνει δὲ τὸν πολλῶν ἐνιαυτῶν ὄντα), τὰ γὰρ διὰ τοῦ ελος οὐδέτερα δισύλλαβά ἐστιν οἷον τέλος, σκέλος. ἐπειδὴ οὖν τὸ ὄφελος διὰ τοῦ ελος ὑπὲρ δύο συλλαβὰς ὑπάρχον καὶ οὐδέτερόν ἐστιν, εἰκότως ὡς μὴ ἔχον τι μιμήσασθαι ἔμεινεν ἄκλιτον.

Ἰστέον δὲ ὅτι παρ' Ὁμήρῳ οὐδέποτε εὑρίσκεται ἡ γενικὴ τῶν εἰς ος οὐδετέρων εἰς ους καταλήγουσα ἀλλ' ἢ εἰς ευς οἷον Ἐρέβευς, θάρσευς

τοίου μὲν θάρσευς πλῆσε φρένας ἀμφιμελαίνας (Ρ 573),

ἢ ἐντελῶς, ἤγουν διὰ τοῦ εος οἷον βέλεος

βέλεος δέ σε τείρει ἀκωκὴ (Ν 251),

στήθεος

ἀλλ' ὅτε δὴ ὄπα τε μεγάλην ἐκ στήθεος ἵει (Γ 221),

τείχεος

λεξάσθων παρὰ τάφρον ὀρυκτήν, τείχεος ἐκτός (Ι 67),

ἄχεος

τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα (Ρ 591).

δύο δὲ μόνας γενικὰς ἐποίησεν εἰς ους, ἐπὶ τῶν εἰς ος δηλονότι οὐδετέρων, τὸ

χλωροὶ ὑπὸ δείους (Ο 4)

ἀντὶ τοῦ ὑπὸ τοῦ δέους καὶ

ἦ ῥα κατὰ σπείους κέχυται (ι 330),

ἀντὶ τοῦ κατὰ τοῦ σπέους· τοῦτο δ' οὐκ ἐποίησε διὰ τὸ μέτρον (καὶ εἰ εἰς ευς γὰρ ἐποίησε ταύτας τὰς γενικάς, ἡ αὐτὴ μακρὰ εὑρίσκετο) ἀλλὰ διὰ τὴν κακοφωνίαν τῆς ἐπαλληλίας τοῦ ε. ἔστι γὰρ δέος καὶ σπέος· καὶ εἰ ἐγένετο ἡ γενικὴ παρὰ τῷ ποιητῇ δέευς καὶ σπέευς, ἀλλεπαλληλία ἤμελλεν εἶναι τοῦ ε, καὶ τούτου χάριν τῇ εἰς ους γενικῇ ἐχρήσατο, φημὶ δὲ τῇ δέους καὶ σπέους, ἅτινα ἐν πλεονασμῷ τοῦ ι γίνεται δείους καὶ σπείους.

Περὶ τῶν εἰς ως οὐδετέρων.

Choer. 394, 2: δύο μόνα ἐστὶν εἰς ως λήγοντα οὐδέτερα, τὸ φῶς καὶ τὸ ὦς, ἅτινα διὰ τοῦ τος κλίνεται οἷον φωτός καὶ ὠτός· τὸ γὰρ χρέως Ἀττικῶς ἐγένετο διὰ τοῦ ω. ἰστέον ὅτι τὸ χρέος διὰ τοῦ ο μὲν γραφόμενον κλίνεται ὥσπερ τὸ τεῖχος καὶ ἐν τοῖς ἑνικοῖς καὶ ἐν

l. 11 cf. Ep. Cr. I 305, 21.

τοῖϲ δυϊκοῖϲ καὶ ἐν τοῖϲ πληθυντικοῖϲ, ἐν δὲ τῇ εὐθείᾳ τῶν πληθυντικῶν εἰϲ ᾱ γίνεται οἷον χρέεᾰ χρέα, ϲυγκοπῆϲ γενομένηϲ τοῦ ἑνὸϲ ε̄, ὥϲπερ καὶ ἐπὶ τοῦ κλέεα κλέα, ὡϲ παρὰ Ἀπολλωνίῳ ἐν τῷ πρώτῳ λόγῳ (Ι 1),

ἀρχόμενόϲ ϲεο, Φοῖβε, παλαιγενέων κλέα φωτῶν . .

ὅταν δὲ γένηται διὰ τοῦ ω̄ Ἀττικῶϲ οἷον τὸ χρέωϲ, τὴν αὐτὴν ἔχει ὀρθὴν γενικὴν αἰτιατικὴν καὶ κλητικὴν οἷον τὸ χρέωϲ τοῦ χρέωϲ τὸ χρέωϲ ὦ χρέωϲ, μόνην δὲ τὴν δοτικὴν διαλλάϲϲουϲαν ἔχει, καὶ ἔϲτιν εἰπεῖν δίπτωτον, εὐθεῖαν γὰρ καὶ δοτικὴν ἔχει μόνον. τοῦτο δὲ τὸ Ἀττικόν, φημὶ δὲ τὸ διὰ τοῦ ω̄, οὐ κλίνεται οὔτε εἰϲ δυϊκὸν οὔτε εἰϲ πληθυντικὸν ἀριθμόν.

Ἰϲτέον δὲ ὅτι τὸ φῶϲ καὶ τὸ ὦϲ καὶ περιϲπᾶται καὶ διὰ τοῦ τοϲ κλίνεται οἷον φωτόϲ καὶ ὠτόϲ. διὰ τοῦ τοϲ δὲ κλίνεται διὰ τοιαύτην αἰτίαν· ἔϲτιν δάϲ καὶ φάοϲ· τοῦτο μὲν τὸ φάοϲ καθ' ὑπερβιβαϲμὸν τοῦ ο̄ γίνεται φόαϲ, τὸ δὲ δάϲ γίνεται ἐκ τοῦ οὖαϲ κατὰ ἀποβολὴν τοῦ ῡ, ἐξ οὗ κατὰ κρᾶϲιν οὖϲ, ὅπερ ἐϲτὶν ἄκλιτον· ταῦτα δὲ φημὶ τὸ δάϲ καὶ φόαϲ διὰ τοῦ τ̄ κλίνεται οἷον δάτοϲ καὶ φόατοϲ. τὰ γὰρ εἰϲ αϲ οὐδέτερα διὰ τοῦ τοϲ κλίνεται οἷον φρέαϲ φρέατοϲ, κρέαϲ κρέατοϲ, γῆραϲ γήρατοϲ. καὶ λοιπὸν κατὰ κρᾶϲιν τοῦ ο̄ καὶ ᾱ εἰϲ ω̄ γίνεται φῶϲ καὶ ὦϲ ὥϲπερ κρείττονα κρείττοα κρείττω, βελτίονα βελτίοα βελτίω, ἀρείονα ἀρείοα ἀρείω, καὶ φυλάττει τὴν αὐτὴν κλίϲιν φημὶ δὲ τὴν διὰ τοῦ τοϲ οἷον φωτόϲ καὶ ὠτόϲ. τὰ γὰρ ϲυνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττει κλίϲιν οἷον τιμήειϲ τιμήεντοϲ τιμῆϲ τιμῆντοϲ, δαφνήειϲ δαφνήεντοϲ δαφνῆϲ δαφνῆντοϲ, πλόοϲ πλόου πλοῦϲ πλοῦ, χρύϲεοϲ χρυϲέου χρυϲοῦϲ χρυϲοῦ, ἀργύρεοϲ ἀργυρέου ἀργυροῦϲ ἀργυροῦ, οὕτωϲ οὖν καὶ φόαϲ φόατοϲ καὶ φῶϲ φωτόϲ, καὶ δάϲ δάτοϲ καὶ ὦϲ ὠτόϲ.

Ἰϲτέον δὲ ὅτι τινὲϲ τὸ φῶϲ ἀπὸ τοῦ φάοϲ λέγουϲι γεγενῆϲθαι κατὰ κρᾶϲιν τοῦ ᾱ καὶ ο̄ εἰϲ ῳ, οἵτινεϲ οὐκ ἀκριβῶϲ λέγουϲι· τὸ γὰρ φάοϲ εἰϲ ουϲ ἔχει τὴν γενικὴν οἷον φάουϲ. ἔχομεν γὰρ ὅτι τὸ εἰϲ οϲ οὐδέτερα ὀνόματα εἰϲ ουϲ ἔχει τὴν γενικὴν οἷον τεῖχοϲ τείχουϲ, βάθοϲ βάθουϲ, ἦθοϲ ἤθουϲ, βέλοϲ βέλουϲ· τὸ δὲ φῶϲ διὰ τοῦ τοϲ κλίνεται οἷον φωτόϲ. εἰ δὲ ἦν ἀπὸ τοῦ φάοϲ, ὤφειλεν ὁμοίωϲ αὐτῷ εἰϲ ουϲ ἔχειν τὴν γενικήν, ἐπειδὴ τὰ ϲυνῃρημένα τὴν τῶν ἐντελῶν φυλάττει κλίϲιν. κρεῖττον οὖν ἐϲτι ϲχηματίϲαι αὐτὸ ἀπὸ τοῦ φάοϲ καθ' ὑπερβιβαϲμὸν τοῦ ο̄ φόαϲ καὶ κατὰ κρᾶϲιν τοῦ ο̄ καὶ ᾱ εἰϲ ω̄, φῶϲ δηλονότι· οὐκέτι

l. 11 transiit in E. M. 814, 23; de plurali χρέα Herod. in Il. Pr. Δ 109: τὸ χρέεα χρέα ϲυγκοπή. cf. Χ 347 et Λ 385. l. 15 pro iis, quae Choerob. habet de οὖϲ: τὸ δὲ δάϲ γίνεται οὖαϲ κατὰ πλεοναϲμὸν τοῦ ῡ καὶ κατὰ ϲυγκοπὴν οὖϲ posui, quae Herod. in libro περὶ παθῶν pronnnciavit in E. M. 638, 54 cf. Mon. 14, 31: οὖαϲ καὶ ἡ γενικὴ οὔατοϲ καὶ δάϲ, ἔνθεν δάτοϲ, καὶ ὦαϲ, ἔνθεν ὤατοϲ καὶ ὦϲ, ἔνθεν ὠτόϲ. De φόαϲ habemus testimonium Eustathii 1896, 5: εὐθεῖα ἑνικὴ δάϲ καθ' Ἡρωδιανὸν ὡϲ φόαϲ, διὸ καὶ ϲυναιρεθέντα εἰϲ φῶϲ καὶ ὦϲ ἃ δὴ μόνα ἐν οὐδετέροιϲ εἰϲ ωϲ λήγει, διὰ τοῦ τ̄ κλίνεται neque causam video, cur cum Lobeckio El. II 107 Eustathii fidem in suspicionem vocem.

γὰρ ἡ κλίϲιϲ ἀντίκειται, καὶ τὸ φόαϲ γὰρ διὰ τοῦ τοϲ κλίνεται. καὶ ἐπὶ ἄλλων δὲ ἔχομεν πρῶτον ὑπερβιβαϲμὸν γενόμενον, καὶ οὕτωϲ κρᾶϲιν, ὡϲ ἐπὶ τοῦ «πεδία λωτεῦντα» (Μ 283), ἀντὶ τοῦ ἀνθοῦντα λωτὸν ἔχοντα (λωτὸϲ δέ ἐϲτιν εἶδοϲ βοτάνηϲ). ἐὰν γὰρ ἀπὸ τοῦ λωτόεντα εἴπωμεν αὐτό, λωτοῦντα εἶχεν εἶναι διὰ τῆϲ ου διφθόγγου· τὸ γὰρ ο καὶ ε οὐδέποτε εἰϲ τὴν ευ δίφθογγον κίρναται ἀλλ' εἰϲ τὴν ου οἷον τὸ ἐμόν τοὐμόν, προέϲτη προὔϲτη, προέβη προὔβη· ἀλλὰ λέγομεν ὅτι ἀπὸ τοῦ λωτόεντα καθ' ὑπερβιβαϲμὸν τοῦ ε γέγονε λωτέοντα, καὶ κατὰ κρᾶϲιν Δωρικὴν ἢ Ἰωνικὴν τοῦ ε καὶ ο εἰϲ τὴν ευ δίφθογγον λωτεῦντα, ὥϲπερ Ἐρέβεοϲ Ἐρέβευϲ,

ἐξ Ἐρέβευϲ ἄξοντα κύνα ϲτυγεροῦ Ἀΐδαο (Θ 368).

ΕΙϹ ΤΟ ΠΕΡΙ ΓΕΝΩΝ ΑΠΟΛΛΩΝΙΟΥ ΥΠΟΜΝΗΜΑ.

Steph. Byz. 359, 7 s. v. Καρία: ὑπομνηματίζων τὸ περὶ γενῶν Ἀπολλωνίου διὰ τοῦ ι μακροῦ (sc. τὸ Κάϊρα) φηϲιν ὁ Ἡρωδιανόϲ. ἔϲτι γὰρ ὅτε μετὰ τὴν διαίρεϲιν ἔκταϲιϲ γίνεται, ὀΐομαι, ὄϊγον, ὄϊδα παρ' Αἰολεῦϲιν ἀντὶ τοῦ οἶδα. ἡ χρῆϲιϲ δὲ διὰ διφθόγγου κατὰ ϲυνεκδρομὴν τοῦ ϲώτειρα, ὀλέτειρα.

ΜΟΝΟΒΙΒΛΟΝ ΠΕΡΙ ΤΟΥ ΥΔΩΡ.

1.

Choer. Dict. p. 208, Bekk. Anecd. 1193: λέγει ὁ Ἡρωδιανὸϲ ἐν τῷ περὶ τοῦ [ἡδὺ] ὕδωρ μονοβίβλῳ, ὡϲ οὐ δεῖ διὰ τῶν δύο ϲϲ τὰϲ τοιαύταϲ δοτικὰϲ προφέρεϲθαι, ἀλλὰ δι' ἑνὸϲ οἷον χαρίεϲι τιμήεϲι ὥϲπερ Πλάτωϲι, Πάριϲι, Δημοϲθένεϲι.

2.

Choer. Dict. 381, 19, E. M. 491, 35: λέγει ὁ Ἡρωδιανὸϲ ἐν τῷ μονοβίβλῳ αὐτοῦ, ὅτι τὰ εἰϲ αρ οὐδέτερα παραληγόμενα τῷ ω ἄκλιτά ἐϲτιν οἷον μῶμαρ (ϲημαίνει δὲ τὸν μῶμον), βῶμαρ (ϲημαίνει δὲ τὸν βωμόν), νῶκαρ (ϲημαίνει δὲ τὴν ϲτέρηϲιν τῆϲ ψυχῆϲ).

l. 15 ὄϊγον RV, ὄϊον A, quod merito suspectat Ahrens. dial. Aeol. p. 106, ὄιγον autem Aeoles fortasse dixerunt pro οἶγον ab οἴγω. an legendum ὄϊτον i. e. οἶτον? Meinekius. l. 27 βῶμαρ (ϲημαίνει δὲ τὸν βωμόν) recepi ex E. M., ap. Choer. legitur ϲημαίνει δὲ τὸν μέγαν. Idem habent E. Gud. 229, 55, Zon. 1162 et Constantin. Lascar. βιβλίον γ' (p. 264).

ΠΕΡΙ ΤΟΥ ΖΩϹ.

1.

E. M. 741, 52: λέγει ὁ τεχνικὸϲ ὅτι οὐδέν ἐϲτιν εἰϲ ῶϲ μονοϲύλλαβον πλέον ἀρϲενικόν, εἰ μὴ τοῦτο (sc. ϲῶϲ), πρὸϲ ὃν ἔϲτιν εἰπεῖν, ὅτι ϲὺ ἐδίδαξαϲ ἡμᾶϲ ἐν τῇ περὶ τοῦ Ζώϲ μονοϲυλλάβου βίβλῳ, ὅτι ἔϲτι τὸ Ζώϲ καὶ τὸ Κῶϲ καὶ Γλῶϲ.

2.

Mon. 41, 34 θοόϲ: τὰ εἰϲ οϲ καθαρὰ διϲύλλαβα τῷ ο παραληγόμενα φιλεῖ βαρύνεϲθαι κόοϲ, ϲόοϲ, νόοϲ, χνόοϲ, γόοϲ, πλόοϲ, ῥόοϲ, θρόοϲ. διὸ καὶ τὸ Ζόοϲ παρ' Ἐπιχάρμῳ οἱ πλείουϲ ἐβάρυναν «τρὶϲ ἀπεδόθη Ζόοϲ» ὁμοίωϲ καὶ τὸ ϲόοϲ. τὸ μέντοι θοόϲ ἄντικρυϲ ὀξυνόμενον μονῆρεϲ. τὰ δὲ αἴτια τούτων ἐν ἑτέροιϲ δηλοῦμεν.

1. 8 cf. Il. Pr. Є 887, Arcad. 126, 24.

ΠΕΡΙ CΥΖΥΓΙΩΝ.

1.

Theognost. Cr. II 138, Bekk. Anecd. 1401: τὰ διὰ τοῦ ηφω διcύλλαβα cπάνια· δύο γάρ ἐcτι τὸν ἀριθμόν· τὸ μὲν διὰ τοῦ η̅ γραφόμενον τὸ νήφω ἐπὶ τοῦ φρονῶ, ἐξ οὗ καὶ τὸ νηφαλέοc· ἐπὶ δὲ τοῦ χιονίζω διὰ τῆc ει̅ διφθόγγου καὶ νιφάc καὶ νιφετόc διὰ τοῦ ι̅, ὥc φηcιν Ἡρωδιανὸc ἐν τῷ περὶ cυζυγιῶν.

2.

Choer. Dict. 657, 11, Cram. IV 420: ὁ Ἡρωδιανὸc δευτέραc cυζυγίαc φηcὶν εἶναι τὸ ξυρῶ οἷον ξυρῶ ξυρᾷc.

ΜΟΝΟΒΙΒΛΟΝ ΠΕΡΙ ΤΟΥ ΜΗ ΠΑΝΤΑ ΤΑ ΡΗΜΑΤΑ ΚΛΙΝΕCΘΑΙ ΕΙC ΠΑΝΤΑC ΤΟΥC ΧΡΟΝΟΥC.

*1.

Choer. 609, 35: ἰcτέον ὅτι τὸ μὲν εἶπα καὶ ἤνεγκα κλίνεται καὶ εἰc μετοχὰc καὶ τὰc λοιπὰc ἐγκλίcειc, εἶπαι γὰρ καὶ ἐνέγκαι τὸ ἀπαρέμφατον ὥcπερ τύψαι καὶ γράψαι καὶ εἶπον καὶ ἤνεγκον τὸ προcτακτικὸν ὡc τύψον καὶ γράψον, ὡc παρὰ Μενάνδρῳ «εἶπον δὲ τί ποιεῖν μέλλετε» ἀντὶ τοῦ εἰπέ καὶ εἴπαιμι καὶ ἐνέγκαιμι τὸ εὐκτικὸν ὥcπερ τύψαιμι καὶ γράψαιμι καὶ ἐὰν εἴπω καὶ ἐνέγκω τὸ ὑποτακτικὸν ὥcπερ καὶ ἐὰν τύψω καὶ ἐὰν γράψω καὶ εἴπαc καὶ ἐνέγκαc ἡ μετοχὴ ὥcπερ τύψαc καὶ γράψαc οἷον «εἴπαc ἥλιε χαῖρε Κλεόμβροτε» παρὰ Καλλιμάχῳ ἀντὶ τοῦ εἰπών· τὸ δὲ ἔδωκα ἔθηκα ἧκα οὐ κλίνεται οὔτε εἰc μετοχὰc οὔτε εἰc τὰc λοιπὰc ἐγκλίcειc, ὁριcτικὰ γὰρ μόνον ἔχει.

*2.

Choer. 784, 28: ἡνίκα ὁ παθητικὸc παρακείμενοc ὁ ὁριcτικὸc ἔχει πρὸ τοῦ μ̅ cύμφωνον ἢ τὸ υ̅ φωνῆεν, τότε τὸ εὐκτικὸν διὰ μετοχῆc ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματοc· cύμφωνον μὲν πρὸ τοῦ μ̅ οἷον τέτυμμαι

l. 7 cf. Lob. Rhem. 39, qui rectius νίφω scribi pertendit. l. 9 afferuntur haec verba a Choerobosco, quia Philoponus primae coniugationis verbum esse pronunciavit: τὰ ἔχοντα ρ̅ ὑπὲρ μίαν cυλλαβὴν μὴ προηγουμένου cυμφώνου διὰ τοῦ α̅ ἔχει τὸν μέλλοντα οἷον περάω περάcω χωρὶc τοῦ ξυρῶ ξυρήcω· τοῦτο δὲ ὁ μὲν Φιλόπονοc πρώτηc cυζυγίαc φηcὶν οἷον ξυρῶ ξυρεῖc· ὁ δὲ Ἡρωδιανὸc δευτέραc οἷον ξυρῶ ξυρᾷc. De re cf. Lob. ad Buttm. s. v., ad Phrynich. p. 205, ad Aiac. 180. l. 14 cf. Choer. 903, 20.

τετυμμένος εἴην, κέκαρμαι κεκαρμένος εἴην, λέλεγμαι λελεγμένος εἴην· τὸ δὲ ῡ πρὸ τοῦ μ̄, οἷον τέθυμαι τεθυμένος εἴην, λέλυμαι λελυμένος εἴην, πεπαίδευμαι πεπαιδευμένος εἴην, λέλουμαι λελουμένος εἴην. διὰ τοῦτο δὲ γίνεται, ἐπειδὴ τὰ εἰς μην εὐκτικὰ θέλει πρὸ τοῦ μ̄ δίφθογγον ἔχειν τὴν μετὰ τοῦ ῑ, οἷον τυπτοίμην, τυψαίμην· ἐὰν οὖν, ἡνίκα εὑρεθῇ πρὸ τοῦ μ̄ τὸ ῡ, γένηται εὐκτικὸν κατὰ τὴν ἀναλογίαν τοῦ ῑ πρὸ τοῦ μ̄ προσερχομένου, μέλλει εἶναι τὸ εὐκτικὸν τεθυίμην καὶ λελυίμην, ὅπερ ἐστὶν ἀδύνατον· οὐδέποτε γὰρ μετὰ τὴν ῡῑ δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον μυῖα καὶ τὰ λοιπά· ἀλλὰ καὶ ἡνίκα εὑρεθῇ πρὸ τοῦ μ̄ σύμφωνον, ἐὰν γένηται τὸ εὐκτικὸν κατὰ ἀναλογίαν, μέλλει τοῦ ῑ πρὸ τοῦ μ̄ προσεχρομένου εἶναι τὸ εὐκτικὸν τετυμίμην καὶ ἐφθαρίμην καὶ λελεγίμην καὶ ἐσπαρίμην, καὶ οὐκέτι εὑρίσκεται πρὸ τοῦ μ τὸ ῑ ἐν διφθόγγῳ, ὅπερ ἐστὶν ἄτοπον· ὡς γὰρ εἴρηται, τὰ εἰς μην εὐκτικὰ θέλει πρὸ τοῦ μ δίφθογγον ἔχειν τὴν μετὰ τοῦ ῑ οἷον τυπτοίμην τυψαίμην τυφθησοίμην. τούτου οὖν χάριν, ἡνίκα εὑρεθῇ πρὸ τοῦ μ̄ σύμφωνον ἢ τὸ ῡ ἐν τῷ παθητικῷ παρακειμένῳ τῷ ὁριστικῷ, τὸ εὐκτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος. εἰ δέ τις εἴποι καὶ γενέσθαι κατὰ ὑπερβιβασμὸν τοῦ ῑ, ἵνα εὑρεθῇ ἐν διφθόγγῳ τὸ ῑ οἷον τετυίμμην, λελείγμην, ἐσπαίρμην, λέγομεν ὅτι πρῶτον μὲν ἐν τῷ τετυίμμην εὑρεθήσεται μετὰ τὴν ῡῑ δίφθογγον σύμφωνον ἐπιφερόμενον, ὅπερ ἀδύνατον, ἄλλως τε δὲ ἐν τῷ λελείγμην καὶ ἐσπαίρμην οὐχ εὑρεθήσεται τὸ ῑ πρὸ τοῦ μ̄ καὶ ἐν διφθόγγῳ, ἀλλὰ πρὸ τοῦ ἑτέρου συμφώνου, ὅπερ ἐστὶν ἀδύνατον. ὡς γὰρ εἴρηται, τὰ εἰς μην εὐκτικὰ πρὸ τοῦ μ̄ θέλει ἔχειν τὴν μετὰ τοῦ ῑ δίφθογγον οἷον τυπτοίμην, τυψαίμην. εἰ δέ τις εἴποι πάλιν ἀποβάλλεσθαι τὸ πρὸ τοῦ μ̄ σύμφωνον καὶ λοιπὸν εὑρίσκεται πρὸ τοῦ μ̄ τὸ ῑ ἐν διφθόγγῳ οἷον λελείμην, ἐσπαίμην, λέγομεν ὅτι ἐὰν ἀποβληθῇ τὸ ἓν σύμφωνον, ἀσήμαντος μένει ἡ λέξις.

*3.

Choer. 795, 20: ἰστέον ὅτι ἡ δ΄ συζυγία τῶν εἰς μι οὐκ ἔχει ὑποτακτικὰ διὰ τοιαύτην αἰτίαν. τὰ ὑποτακτικὰ τῶν εἰς μι θέλει ὁμοφωνεῖν τοῖς πρωτοτύποις τῶν εἰς μι οἷον τιθῶ τίθημι ἐὰν τιθῶ, ἱστῶ ἵστημι ἐὰν ἱστῶ, διδῶ δίδωμι ἐὰν διδῶ. κατὰ τοῦτον οὖν τὸν κανόνα καὶ τὰ ὑποτακτικὰ τῆς δ΄ συζυγίας τῶν εἰς μι ἀναγκάζεται ὁμοφωνεῖν τοῖς πρωτοτύποις τῶν εἰς μι οἷον ζευγνύω ζεύγνυμι ἐὰν ζευγνύω, ὀλλύω ὄλλυμι ἐὰν ὀλλύω, πηγνύω πήγνυμι ἐὰν πηγνύω. ἀλλὰ μὴν οὕτως οὐκ ἠδύνατο εἶναι, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶς παρῳ-

l. 19 in codd. τετυΐμμην λελεΐγμην, in quibus diaeresin sustuli. — cod. Coisl. ἐσπερίμην, Barocc. ἐπαίρμην, quod correxi ἐσπαίρμην scribens, ibidem iterum τετυΐμμην. l. 22 in codd. ἐλελεΐγμην; tum in Coisl. ἐσπερίμην, in Barocc. ἐπαίρμην. l. 27 cod. Coisl. λελυίμην, ἐσπαρυίμην, recte Barocc. λελείμην ἐσπαίμην. l. 30 cf. Buttm. grammat. maior. § 107 adn. 36. l. 36 pro ὀλλῶ bis scripsi ὀλλύω.

χημένος ὁριστικός, μὴ ἔχων τὸ μ̄ κλιτικόν, τρέπων τὴν τελευταίαν συλλαβὴν εἰς ω̄ καὶ ἀποβάλλων τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν τὸ ὑποτακτικὸν ποιεῖ· οἷον ἔτυπτον ἐὰν τύπτω, ἔμαθον ἐὰν μάθω. καὶ περισπᾶται τὰ ἔχοντα τὴν μετοχὴν εἰς ς̄ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ̄ κλινομένην οἷον ἐτύφθην τυφθεὶς τυφθέντος ἐὰν τυφθῶ, ἐτύπην τυπεὶς τυπέντος ἐὰν τυπῶ, ἐνύγην νυγεὶς νυγέντος ἐὰν νυγῶ, ἐδάρην δαρεὶς δαρέντος ἐὰν δαρῶ, ἐτίθην τιθεὶς τιθέντος ἐὰν τιθῶ, ἵστην ἱστὰς ἱστάντος ἐὰν ἱστῶ, ἐδίδων διδοὺς διδόντος ἐὰν διδῶ. οὕτως οὖν καὶ ἀπὸ τοῦ παρατατικοῦ τοῦ ἐπήγνυν καὶ ἐζεύγνυν καὶ ὤλλυν τροπῇ τῆς ἐσχάτης εἰς ω̄ καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως ἐὰν πηγῶ καὶ ἐὰν ὀλλῶ καὶ ἐὰν ζευγνῶ, καὶ ἀναγκάζεται γενέσθαι περισπωμένως, ἐπειδὴ καὶ ταῦτα ἔχει τὴν μετοχὴν εἰς ς̄ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ̄ κλινομένην οἷον πηγνύς πηγνύντος, ὀλλύς ὀλλύντος, ζευγνύς ζευγνύντος, ὀμνύς ὀμνύντος. τῶν οὖν δύο κανόνων μαχομένων καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος αὐτὰ ὁμοφωνεῖν τοῖς πρωτοτύποις τῶν εἰς μι, τοῦ δὲ ἑτέρου τὴν εἰς ω μετὰ περισπωμένου τόνου κατάληξιν οἷον ἐὰν πηγνῶ, ἐὰν ζευγνῶ, ἐὰν ὀμνῶ, ἐξ ἀνάγκης ἐπιλιμπάνει τὰ ὑποτακτικὰ τῆς δ' συζυγίας τῶν εἰς μ̄ι.

*4.

Choer. 810, 26: ἰστέον ὅτι ἡνίκα ὁ παθητικὸς παρακείμενος ὁ ὁριστικὸς οὐκ ἔχει πρὸ τοῦ μ̄ σύμφωνον, τότε τῷ κοινῷ κανόνι ποιεῖ τὸ ὑποτακτικόν, τουτέστι πρὸ τοῦ μ̄ δεχόμενος τὸ ω̄ οἷον πεποίημαι ἐὰν πεποιῶμαι, κέκτημαι ἐὰν κεκτῶμαι, μέμνημαι ἐὰν μεμνῶμαι, προπερισπωμένως, καὶ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως φυλαττομένης, ἡνίκα δὲ ὁ παθητικὸς παρακείμενος ὁ ὁριστικὸς ἔχει πρὸ τοῦ μ̄ σύμφωνον, τότε τὸ ὑποτακτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος οἷον τέτυμμαι ἐὰν τετυμμένος ὦ, ἔφθαρμαι ἐὰν ἐφθαρμένος ὦ, ἔσπαρμαι ἐὰν ἐσπαρμένος ὦ, ἐπειδὴ τὰ εἰς μ̄αι ὑποτακτικὰ θέλει ἔχειν πρὸ τοῦ μ̄ τὸ ω̄ οἷον ἐὰν τύπτωμαι, ἐὰν τύψωμαι, ἐὰν λάβωμαι, ἐὰν ποιῶμαι. ἐὰν οὖν ἡνίκα εὑρεθῇ πρὸ τοῦ μ̄ σύμφωνον γένηται ὑποτακτικὸν κατὰ ἀναλογίαν, μέλλει τοῦ ω̄ πρὸ τοῦ μ̄ προσερχομένου εἶναι ὑποτακτικὸν ἐὰν τετύπωμαι καὶ ἐὰν ἐφθάρωμαι καὶ ἐὰν ἐσπάρωμαι καὶ ἐὰν λελέγωμαι, καὶ λοιπὸν γίνεται τὸ ὑποτακτικὸν περιττοσυλλαβοῦν τοῦ ἰδίου ὁριστικοῦ, ὅπερ ἐστὶν ἄτοπον. τούτου χάριν ἡνίκα εὑρεθῇ πρὸ τοῦ μ̄ σύμφωνον, τὸ ὑποτακτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος.

5.

Choer. 811, 20: ἰστέον, ὅτι φησὶν ὁ Ἡρωδιανὸς ἐν τῷ μονοβίβλῳ, ἐν ᾧ διαλαμβάνει περὶ τοῦ μὴ πάντα τὰ ῥήματα κλίνεσθαι εἰς πάντας τοὺς χρόνους, ὅτι καὶ ἐὰν εὑρεθῇ ἐν τῷ παθητικῷ παρακειμένῳ τῷ ὁριστικῷ πρὸ τοῦ μ̄ δίφθογγος ἢ διὰ τοῦ ῡ, τὸ ὑποτακτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος· πεπαίδευμαι ἐὰν πεπαιδευμένος ὦ, λέλουμαι ἐὰν λελουμένος ὦ.

6.

An. Ox. IV 338:

περὶ ἀκλίτων ῥημάτων Αἰλίου Ἡρωδιανοῦ.

Τὰ εἰς βω λήγοντα ῥήματα, ἂν ἐν τῇ πρὸ τέλους συλλαβῇ ἔχῃ τὸ ε, μὴ ὑποτεταγμένου αὐτῷ τοῦ ι, οὐ κλίνεται παρὰ τοῖς παλαιοῖς εἰ μὴ ἄχρι τοῦ παρατατικοῦ οἷόν ἐστι τὸ ῥέμβομαι καὶ σέβω σέβομαι. εὑρέθη δὲ παρὰ τῷ Σοφοκλεῖ ἐσέφθην.

Τὰ εἰς σκω ἄχρι τοῦ παρατατικοῦ κλίνεται, γηράσκω, τιτρώσκω, ἀρέσκω, πιφαύσκω τὸ φανερῶ, μεθύσκω, στερίσκω, πιπράσκω χωρὶς τοῦ θνήσκω θνήξω καὶ ἀλύσκω ἀλύξω. τὸ γὰρ δεδίδαχα οὐκ ὀφείλει ἀπὸ τοῦ διδάσκω κανονίζεσθαι, ἀλλ' ἀπὸ τοῦ διδάχω, ἔνθεν ἡ διδαχή ὡς ἰάχω ἰαχή. τὸ δὲ διδασκῆσαι παρὰ Ἡσιόδῳ (Opp. 64) ὡς ἀπὸ περισπωμένου διδασκῶ ὡς ἀπὸ τοῦ ἀσκῶ ἀσκήσω. οὕτω δὲ καὶ τὸ βοσκήσω ἀπὸ τοῦ βοσκῶ περισπωμένου. τὸ γὰρ βαρυνόμενον ἄκλιτον ἐπίστασιν ἔχει.

* Κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς χω λήγοντα βαρύτονα δισύλλαβα τῷ α καθαρῷ παραληγόμενα σπάνιά ἐστι, τὸ ἄχομαι καὶ τὸ μάχομαι. καὶ ταῦτα μὲν ἄχρι τοῦ παρατατικοῦ κλίνεται ὡς βαρύτονα, ἀπὸ δὲ τοῦ παρατατικοῦ ὡς περισπώμενα ποιεῖται τὴν κλίσιν. Ἡρωδιανός.

Τὰ εἰς αθω λήγοντα ῥήματα ἄχρι τοῦ παρατατικοῦ μόνου κλίνεται οἷον κιάθω τὸ πορεύομαι, ἀμυνάθω βοηθῶ. σημείωσαι ὅτι σκιάσω καὶ ἐσκίασται καὶ ὅσα τοιαῦτα κινήματα ἀπὸ τοῦ θέματός ἐστι τοῦ σκιάζω. ὁμοίως καὶ τὸ πελάσω ἀπὸ τοῦ πελάζω.

* Τὰ διὰ τοῦ εθω ἄχρι παρατατικοῦ κλίνεται οἷον ἐρέθω τὸ ἐρεθίζω, φλεγέθω, ἐμέθω τὸ ἐμῶ.

* Τὰ διὰ τοῦ υθω ῥήματα ἄχρι παρατατικοῦ κλίνεται οἷον βαρύθω, μινύθω, φθινύθω.

* Τὰ εἰς θω ῥήματα μετ' ἐπιπλοκῆς συμφώνου ἄχρι παρατατικοῦ κλίνεται οἷον ἐρέχθω, ἄχθω.

* Τὰ διὰ τοῦ ανω βαρύτονα ἄχρι τοῦ παρατατικοῦ κλίνεται, λαμ-

l. 5 εἰ μὴ ἄχρι τοῦ παρατατικοῦ pro ἀπὸ τοῦ παρακειμένου scripsi coll. p. 372. cf. Choer. Dict. 489, 16, Ep. in Psalm. 17, 24, E. M. 231, 54. l. 9 verba ἀρέσκω — ἀλύξω et tum γὰρ post τὸ addidi ex Choer. Dict. 489, 27, E. M. 231, 39. Initio σκω scripsi pro θω et in fine ἐπίστασιν pro ἐπίτασιν exhibui; cf. Eustath. 1715, 53 et An. Par. III 308, 28: ὀλέκοντο: ἔστιν ἄκλιτον· τὰ τοιαῦτα μέλλοντα οὐκ ἔχει, ἐπειδὴ ἀπὸ μελλόντων μετήχθη εἰς ἐνεστῶτα «ὄρσεο Λαομεδοντιάδη» (Γ 250), «ἄξετε δὲ Πριάμοιο βίην» (Γ 105). γέγονε δὲ τοῦτο ἀπὸ τοῦ ὀλῶ ὀλέσω πλεονασμῷ τοῦ κ ὀλέσκω καὶ κατ' ἔνδειαν τοῦ σ ὀλέκω ὡς ἀπὸ τοῦ μεθύω μεθύσω μεθύσκω καὶ ἀρῶ ἀρέσω ἀρέσκω πλεονασμῷ τοῦ κ, διὸ καὶ οὐ κλίνεται ὡς ἀπὸ μέλλοντος. l. 16 ex E. Gud. 382, 10 (Ep. Cr. I 245, 3) huc traxi. cf. Lob. Rhem. 66. l. 21 verba τὰ εἰς αθω — βοηθῶ supplevi ex Choer. 489, 12, E. M. 231, 52. l. 25 Choer. 489, 14, Ep. Cr. I 87, 4, E. M. 231, 52 et 739, 51. l. 27 Choer. 489, 15, E. M. 231, 50, An. Paris. III 360, 31. l. 29 Ep. Cr. I 355, 15 ubi πάσχω μέλλοντα οὐκ ἔχει. καὶ τὰ εἰς σχω (scripsi θω) etc. l. 31 Choer. 489, 8, E.

βάνω, μανθάνω, κιχάνω, λανθάνω, ἐρυγγάνω τὸ ἐρεύγομαι. πρόσκειται «βαρύτονα» διὰ τὰ περισπώμενα οἷον διὰ τὸ στεφανῶ στεφανώσω.

* Τὰ εἰς ν̅ω̅ βαρύτονα τῷ ε̅ παραληγόμενα ἄχρι παρατατικοῦ κλίνεται ὡς στένω, σθένω. τὸ γὰρ μένω ὡς ἀπὸ περισπωμένου ἔχει τὴν κλίσιν.

* Τὰ διὰ τοῦ εινω ὑπὲρ δύο συλλαβὰς βαρύτονα ἄχρι παρατατικοῦ μόνου κλίνεται οἷον ἐρεείνω, φαείνω, ἀλεείνω. πρόσκειται «ὑπὲρ δύο συλλαβὰς» διὰ τὸ τείνω τενῶ. πρόσκειται «βαρύτονα» διὰ τὸ ταπεινῶ ταπεινώσω.

* Τὰ εἰς μ̅ν̅ω̅ οἷον μίμνω, τέμνω, κάμνω ἄχρι παρατατικοῦ κλίνεται· ὁμοίως ἔχει καὶ δέμω, τέμω. ὁ γὰρ παρακείμενος αὐτῶν ὡς ἀπὸ περισπωμένου.

* Τὰ διὰ τοῦ ε̅ι̅ω̅ παραγωγὰ ἢ ἀπὸ ἐνεστῶτος ἢ ἀπὸ μέλλοντος οἷον κιχῶ κιχείω, θῶ θείω, σῶ σείω, βρώσω βρωσείω, πολεμήσω πολεμησείω ἄχρι τοῦ παρατατικοῦ κλίνεται.

* Τὰ διὰ τοῦ υ̅ω̅ ὑπὲρ δύο συλλαβὰς ποιοῦντα παραγωγὰ εἰς μ̅ι̅ καὶ τὰ ἀπὸ τούτων παραγόμενα εἰς μ̅ι̅ ἄχρι παρατατικοῦ μόνου κλίνεται οἷον πηγνύω πήγνυμι, ὀμνύω ὄμνυμι, ὀλλύω ὄλλυμι, δεικνύω δείκνυμι, ῥηγνύω ῥήγνυμι, ὀρνύω ὄρνυμι.

* Τὰ εἰς ω̅ καθαρὸν τῇ υ̅ι̅ διφθόγγῳ παραληγόμενα οἷον ὀπυίω, ἀλυίω, ἄχρι τοῦ παρατατικοῦ κλίνεται.

* Ἐὰν ἔχῃ ἡ ε′ συζυγία τῶν βαρυτόνων τὴν πρώτην συλλαβὴν δεδιπλασιασμένην καὶ λήγει εἰς ἀμετάβολον οἷον καρκαίρω, μαρμαίρω, παμφαίνω, μορμύρω, ὁμοίως τὰ εἰς ω̅ λήγοντα ἔχοντα πρὸ τοῦ ω̅ δύο σύμφωνα κατ' ἐπιπλοκήν, ὧν τὸ β′ ἐστὶν ἀμετάβολον οἷον μέμβλω, ὄφλω, ἔγρω, δάκνω ἄχρι παρατατικοῦ κλίνεται.

* Τὰ Ἀττικῶς βαρυνθέντα, ἀλέξω, αὔξω, ἕψω καὶ τὰ ποιητικὰ παρὰ μέλλοντος εἰς ἐνεστῶτα μεταγόμενα ὡς τὸ ὄρσω, ἐξ οὗ τὸ ὄρσεο, ἄξω «ἄξετε δὲ Πριάμοιο βίην» (Γ 105), οἴσω οἶσε, καὶ τὰ εἰς δ̅ω̅, εἰ ἔχει πρὸ τοῦ δ̅ ἢ τὸ λ̅ ἢ τὸ ν̅ οἷον σπένδω, κυλίνδω, ἔλδω, μέλδω, ταῦτα πάντα ἄχρι τοῦ παρατατικοῦ κλίνεται.

M. 231, 42. l. 3 E. M. 231, 56. l. 6 Choer. 489, 31, Ep. Cr. I 29, 19, E. M. 231, 38, Choer. Orth. 244, 10. l. 10 E. M, 232, 1. l. 13 Ep. Cr. I 407, Choer. 489, 35, An. Par. III 306, 2, E. M. 231, 43. Schol. ad Od. γ 396 κείω μέλλοντα οὐκ ἔχει καὶ τὰ ἄλλα ὅμοια, διὸ χρῆται τῷ ἐνεστῶτι ἀντὶ μέλλοντος. l. 16 Choer. 490, 11, Ep. in Psalm. 129, 1.

l. 20 Choer. 490, 29 cf. E. M. 72, 24: τοῦ ὀπυίω καὶ ἀλυίω καὶ τῶν παραπλησίων ἐπιλελοίπασιν οἱ χρόνοι οἱ διὰ συμφώνου γινόμενοι· οὐδέποτε γὰρ μετὰ τὴν υ̅ι̅ δίφθογγον σύμφωνα ἐπιφέρεται οἷον μυῖα καὶ αἴθυια. ἐπιλέλοιπε δὲ ὅ τε παρακείμενος καὶ ὁ ὑπερσυντέλικος καὶ ὁ ἀόριστος καὶ ὁ μέλλων. l. 22 Choer. 490, 24, E. M. 232, 3. l. 27 Choer. 490, 32, E. M. 232, 12 et de praesentibus e futuro propagatis Ep. Cr. I 322, 1 et 19; omisi ut a Choerobosco addita verba καὶ τὰ ποιητικὰ ὡς τὸ ὄσσω ἐκ τοῦ ὄπτω καὶ λεύσσω ἐκ τοῦ βλέπω καὶ πέσσω ἐκ τοῦ πέπτω καὶ κορύσσω ἐκ τοῦ κορύπτω, nam a λεύσσω flexit Herodianus futurum λεύσω, unde praesens λεύσω repetivit An. Par. III 332, 16.

* Τὸν πίcω μέλλοντα ὁ τεχνικὸς μὴ εἰρῆcθαί φηcι καὶ ταῦτα εἰρημένου αὐτοῦ καὶ παρὰ Πινδάρῳ οἷον «πίcω γε Δίρκης ὕδωρ» (Isthm. VI 108) καὶ παρ' Εὐπόλιδι «τῷ δ' ἂν οἶνος εἴη πολύς, πίcει». ἀλλὰ μήποτέ ἐcτιν εἰπεῖν μὴ εἰρῆcθαι ἐν πλάτει.

ΠΕΡΙ ΜΕΤΟΧΩΝ.

1.

Mon. 5, 26: τὰ ἄλλα μέρη τοῦ λόγου cχεδὸν ὡς ἐπὶ πλεῖcτον προτίθεται, αἱ δὲ μετοχαὶ ἀεὶ δεύτεραι τῶν ῥημάτων τὴν κίνηcιν ἔχουcιν, ὡς δείκνυται ἐν τῷ περὶ μετοχῶν.

*2.

Choer. 817, 23: αἱ μετοχαὶ ἢ ἁπλαῖ εἰcιν ἢ παραcύνθετοι, οὐδέποτε δὲ cύνθετοι· ἢ γὰρ ἀπὸ ἁπλῶν ῥημάτων παράγονται καί εἰcιν ἁπλαῖ οἷον τύπτω τύπτων ἢ ἀπὸ cυνθέτων ῥημάτων παράγονται καί εἰcι παραcύνθετοι οἷον καταγράφω καταγράφων, ἀναγινώcκω ἀναγινώcκων χωρὶς τῆς ἀέκων μετοχῆς. αὕτη γὰρ cύνθετός ἐcτιν. ἀπὸ γὰρ τῆς ἑκών γέγονεν ἐν cυνθέcει ἀέκων. οὐδὲ γὰρ ἔχει ῥῆμα προϋπάρχον ἐν cυνθέcει, ἵνα παραcύνθετον αὐτὴν εἴπωμεν, ἀλλ' ἐν μετοχῇ ἐγένετο ἡ cύνθεcιc.

3.

Ioann. Alex. 18, 29: ἔτι ἔcτι πάντες πάντων, οὐχ ὅτι ἐκ τοῦ ἅπαντος, ὥς τινές φαcιν, ἀφαιρέcει τοῦ ᾱ γέγονεν· ἐπεὶ ἔδει καὶ τὸ

l. 1 E. M. 673, 20, Eustath. 1193, 20, Favorin. 366, 1, Lob. ad Buttmann. 276, Rhemat. 18 cum not. 31. l. 3 Eupolidis versum secundum Eustath. Demorum fragmentis inseruit Meinekius (frg. com. ed. min. I p. 178), qui eum sic scribit: ὅτῳ δ' ἂν οἶνος ᾖ πολύς πίcει.

Breviter summam doctrinae veterum grammaticorum de defectivis verbis retulerunt et Macrob. p. 335 ed. Bip. et incertus grammat. ap. Endlicherum p. 175.

l. 9 cf. Lohrs ad h. l., qui comparat p. 27, 22 αἱ μετοχαὶ ἀεὶ δεύτεραί εἰcι καὶ ἐπιζητοῦcι τὸ κινοῦν αὐτὰς ῥῆμα et 28, 23 ἡ μετοχή, εἰ καὶ μέρος λόγου ἐcτίν, ἐκεῖνό γε ἔχει ἐξαίρετον τὸ μήποτε πρωτότυπον εἶναι· διὸ καὶ οὐδὲ αὐτῇ τὰ αἴτια ἀνατίθεμεν, ὅτι μὴ cπανίως, ἐφ' ὧν καὶ ζητοῦμεν εἰ καὶ μετοχαὶ ὑπάρχουcιν, ὥcπερ καὶ ἐπὶ τῆς ἄcμενος καὶ τὸ κρέων καὶ τὸ ἀκέων καὶ κτίμενος. — Choer. 818, 10 πᾶcαι αἱ μετοχαὶ παραγωγοί εἰcι, πᾶcαι γὰρ ἐκ τῶν ῥημάτων παράγονται· ἀπὸ γὰρ τοῦ τύπτω γίνεται τύπτων καὶ ἀπὸ τοῦ ἔτυψα γίνεται τύψας. l. 15 quaestionem de ἀέκων in libro περὶ μετοχῶν institutam esse conici potest ex Il. Pr. P 190 μεταcπών ὡς καταλαβών. ἔcτι γὰρ δεύτερος ἀόριcτος· οὐδεμία δὲ μετοχὴ ἐν τῇ cυνθέcει ἀναβιβάζει τὸν τόνον ὅτι μὴ μόνον ἡ ἀέκων, περὶ ἧς ζητοῦμεν. Haec quaestio solvitur explicite ap. Choer. h. l., in brevius contractam eam in Catholica proposuimus cf. etiam Choer. 733, 19. l. 19 locus plenus servatus esse videtur Choer. Epim. in Psalm. 50, 22 κατὰ πόcους τρόπους δείκνυται τὸ πᾶς μὴ εἶναι ὄνομα, ἀλλὰ μετοχήν; κατὰ τέccαρας, πρῶτον μὲν ὅτι τὰ εἰς ας μονοcύλλαβα ἐπὶ ὀνόματος οὐκ ἀποτελεῖ τριγένειαν οἷον Ζάς, ἐπὶ δὲ μετοχῶν ἀποτελεῖ οἷον cτάς cτᾶcα cτάν, βάς βᾶcα βάν, τὸ δὲ πᾶς ἀποτελεῖ τριγένειαν ὁμοίως ταῖς μετοχαῖς οἷον πᾶς πᾶcα πᾶν, δηλονότι ὅτι μετοχή ἐcτι καὶ οὐκ ὄνομα· δεύτερον δὲ ὅτι τὰ εἰς ᾱς ὀνόματα ποιεῖ τὸ θηλυκὸν εἰς να οἷον τάλας τάλαινα, μέλας μέλαινα, τὸ δὲ πᾶς εἰς cα ποιεῖ τὸ θηλυκὸν οἷον πᾶς πᾶcα, δη-

παντός καὶ τὸ παντί βαρύνεcθαι, ἐκ τοῦ ἅπαντος ἅπαντι ἀφῃρημένα· ἀλλ' ὅτι μετοχῆς εἴληφεν ἀναλογίαν, ὡς ἐν τῷ περὶ μετοχῶν δέδεικται, ᾧ λόγῳ καὶ τὸ πᾶσι βεβαρυτόνηται ὡς cτᾶcι, δοῦcιν.

ΜΟΝΟΒΙΒΛΟΝ ΠΕΡΙ ΤΟΥ ΗΝ.

Choer. 536, 17: λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ τοῦ ἦν μονοβίβλῳ, ὅτι τὸ ἦν εὑρίcκεται καὶ πρώτου προcώπου ἑνικοῦ οἷον ἦν ἐγώ, ὡς παρ' Ἀριcτοφάνει ἐν Πλούτῳ (28)

ἐγὼ θεοcεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν

ἀντὶ τοῦ ὑπῆρχον. εὑρίcκεται καὶ τρίτον πρόcωπον ἑνικοῦ «ἦν ἐκεῖνοc», εὑρέθη δὲ καὶ πρῶτον πρόcωπον τῶν πληθυντικῶν οἷον «ἦν

λονότι μετοχή ἐcτι καὶ οὐκ ὄνομα. τρίτον ὅτι τὰ εἰc cα (pro ᾱ ut etiam paullo ante scripsi) λήγοντα θηλυκὰ παρεcχηματιcμένα ἀρcενικοῖc (pro ἀρcενικὰ scripsi) ἐπὶ μὲν τῶν ὀνομάτων δύο cc ἔχει οἷον χαρίεccα, ἐπὶ δὲ μετοχῶν ἓν οἷον γράψαcα, ποιήcαcα, τὸ δὲ πᾶc δι' ἑνὸc ἐποίηcε τὸ θηλυκόν, δῆλον ὅτι μετοχή ἐcτι καὶ οὐκ ὄνομα. τέταρτον δείκνυται καὶ ἀπὸ τῆc δοτικῆc τῶν πληθυντικῶν· πᾶcα γὰρ δοτικὴ πληθυντικῶν διcύλλαβοc εἰc ῑ λήγουcα ἀνεπέκτατοc ἐπὶ ὀνομάτων ὀξύνεcθαι θέλει οἷον βουcί, Τρωcί, ἐπὶ δὲ μετοχῶν βαρύνεται οἷον βᾶcι cτᾶcι (hic etiam de accentu genetivi πάντων item ad analogiam participiorum accommodato sermo fuit, quod Choeroboscus, qui alium ab Herodiano improbatum canonem sequitor, omisit)· καὶ τὸ πᾶcι δὲ ὁμοίωc βαρύνεται· δῆλον ὅτι μετοχή ἐcτι καὶ οὐκ ὄνομα. καὶ πάλιν ἐκ τοῦ ἐναντίου κατὰ πόcουc τρόπουc δείκνυται τὸ πᾶc οὐκ εἶναι μετοχήν, ἀλλ' ὄνομα; κατὰ δύο· πρῶτον μὲν ἀπὸ cημαινομένου, πᾶcα γὰρ μετοχὴ θέλει ἔχειν προϋποκείμενον ῥήματοc καὶ cυζυγίαν καὶ διαφόρουc χρόνουc καὶ ἐνέργειαν καὶ πάθοc ἐν ἰδίοιc μεταcχηματιcμοῖc. τὸ δὲ πᾶc οὐδὲν ἐκ τούτων ἔχει, δῆλον ὅτι οὐκ ἔcτι μετοχή, ἀλλ' ὄνομα. δεύτερον, ὅτι τὰ εἰc αc λήγοντα ὀνόματα ἢ κύριά ἐcτιν ἢ προcηγορικά, τὸ δὲ πᾶc οὔτε κύριόν ἐcτι οὔτε προcηγορικόν· εὐλόγωc οὖν cχηματίζεται εἰc τριγένειαν. καὶ εἰ ἄρα ὄνομά ἐcτι τὸ πᾶc καὶ οὐ μετοχή, πῶc οὐκ ἐποίηcε τὸ θηλυκὸν εἰc να ὡc τὸ τάλαc τάλαινα, μέλαc μέλαινα; διότι οὐ διὰ τοῦ ν̄ μόνου κλίνεται, ἀλλὰ καὶ διὰ τοῦ τ̄ οἷον παντόc. τὸ δὲ τάλαινα καὶ μέλαινα ὡc ἔχοντα τὴν γενικὴν τοῦ ἀρcενικοῦ διὰ μόνου τοῦ ν̄ ἐκφερομένην οἷον τάλανοc μέλανοc ἔχει καὶ τὸ θηλυκὸν εἰc να. καὶ ἐπεὶ τὸ πᾶc οὐκ ἐποίηcε τὸ θηλυκὸν εἰc νᾱ, ἀλλ' εἰc c̄, διατί οὐκ ἐγένετο διὰ δύο cc ὥcπερ χαρίεccα; διὰ τὴν ἀνάγκην τοῦ οὐδετέρου· οὐδέποτε γὰρ ἡ παραλήγουcα cυλλαβὴ τοῦ (cυλλαβὴ τοῦ scr. pro τῆc) θηλυκοῦ ἐλάccων τῆc τελευταίαc cυλλαβῆc τοῦ οὐδετέρου ἐcτίν, ἀλλὰ μείζων, τάλαινα τάλαν, μέλαινα μέλαν, χαρίεccα χαρίεν· εἰ οὖν τὸ πᾶcα διὰ δύο cc ἐγένετο, εὑρίcκετο ἡ παραλήγουcα αὐτοῦ θηλυκοῦ ἐλάccων τῆc ληγούcηc τοῦ οὐδετέρου, ὅπερ ἐcτὶν ἄτοπον. εὑρίcκετο γὰρ (γὰρ inserui) ἡ παραλήγουcα οὐ φύcει, ἀλλὰ (οὐ — ἀλλὰ inserui) θέcει μακρά, οὐδέποτε γὰρ (pro δέ) τὸ ᾱ πρὸ δύο cυμφώνων φύcει μακρὸν θέλει εἶναι, ἀλλὰ θέcει· διὰ τοῦτο cημειούμεθα τὸ θάccων ἐκτεινόμενον τὸ α καὶ (τὸ θάccων — καὶ ex Mon. 37, 11 explevi) ἐλάccων. η δοτικὴ τῶν πληθυντικῶν τοῖc πᾶcιν, ὅτι πᾶcα δοτικὴ πληθυντικῶν διcύλλαβοc εἰc ῑ λήγει κτλ. τὸ θηλυκὸν ἡ πᾶcα· ὁ κανών· πᾶcα γενικὴ διὰ τοῦ ντ κλινομένη τρέψαcα τὸ τέλοc τῆc γενικῆc εἰc ᾱ καὶ τὴν παραλήγουcαν φύcει μακρὰν ποιοῦcα τὸ θηλυκὸν ποιεῖ πλὴν τῶν ἀπὸ τῶν εἰc ειc οἷον χαρίειc χαρίεccα. De dat. plur. cf. etiam An. Ox. II 405, 11 πᾶcι: διὰ τί βαρύνεται; πᾶcα δοτικὴ πληθυντικὴ διcύλλαβοc εἰc ῑ ἐκφωνούμενον λήγουcα ἐπὶ μὲν ὀνομάτων ὀξύνεται οἷον βουcί, πλευcί (νηυcί?), ποcί, ἁλcί πλὴν τοῦ πᾶcι. ἐπὶ δὲ μετοχῶν βαρύνεται οἷον βᾶcι, cτᾶcι, φᾶcι, οὕτωc οὖν cυνηκολούθηcε τὸ πᾶcι καὶ cυνεβαρύνθη.

ἡμεῖϲ» ἀντὶ τοῦ ἦμεν· εἰκότωϲ οὖν καὶ τὸ τρίτον πρόϲωπον τῶν πληθυντικῶν οὐκ ἐνήλλαξε πρὸϲ τὸ ἴδιον πρῶτον πρόϲωπον, ἀλλ' ἐγένετο καὶ αὐτὸ διὰ τοῦ ῆ «τῆϲ δ' ἦν τρεῖϲ κεφαλαί» (Hesiod. Theog. 321) ἀντὶ τοῦ ἦϲαν, ἵνα ὥϲπερ ἐν τοῖϲ ἑνικοῖϲ τὸ πρῶτον καὶ τρίτον ὁμοφωνῇ.

---

1. 3 verba διὰ τοῦ ῆ ideo adduntur, quia ad analogiam syncopatorum ἔϲτηϲαν ϲτάν, ϲτάντοϲ γάρ formari debuit ex ἦϲαν ἔν per ε̄ propter participium εἰϲ ἔντοϲ. De eadem re se in libro περὶ ῥήματοϲ dicturum esse pronunciat Herod. Mon. 44, 22.

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΡΗΜΑΤΩΝ.

(Περὶ ῥήματος καθολικῶς).

(Περὶ cυζυγιῶν).

1.

Il. Pros. A 278: τὸ ῥῆμα (sc. ἐθέλω) τῶν παραλόγων κατὰ τὸν τόνον ἐςτὶ τριcύλλαβον ὄν, ὡc δείκνυται ἐν τοῖc περὶ ῥημάτων.

(Περὶ παρῳχημένων).

Constantin. Lascar. βιβλίον γ' collato Choer. p. 512 seqq.: πᾶν ῥῆμα οἵας ἂν εἴη cυζυγίας καὶ καταλήξεως, ἢ ἀπὸ φωνήεντος ἄρχεται ἢ διφθόγγου ἢ cυμφώνου. εἰ μὲν οὖν ἀπὸ φωνήεντος, ἢ μεταβολικοῦ ἢ ἀμεταβόλου· εἰ μὲν ἀπὸ ἀμεταβόλου δηλονότι η̄ ῑ ῡ ω̄ οὐδεμία τροπὴ γίνεται ἐν τοῖc παρῳχημένοις οἷον ἠχῶ ἤχουν ἤχηκα ἠχήκειν ἤχηcα, ἰξεύω ἴξευκα ἰξεύκειν ἴξευcα, ὑβρίζω ὕβριζον ὕβρικα ὑβρίκειν ὕβριcα, ὠφελῶ ὠφέληκα ὠφελήκειν ὠφέληcα. ταῦτά τοι καὶ ἀμετάβολα προcαγορεύεται. τὸ δὲ ὑβρίζω καὶ ἰξεύω καὶ τὰ ὅμοια ἐν μὲν τῷ ἐνεcτῶτι θέcει μακρὸν τὸ δίχρονον ἔχει, ἐν δὲ τοῖc παρῳχημένοιc φύcει μακρὸν τῷ λόγῳ τῆc αὐξήcεως.

Εἰ δὲ τὸ ῥῆμα ἄρχεται ἀπὸ φωνήεντος μεταβολικοῦ δηλονότι τὸ ᾱ ε̄ ο̄, γίνεται τροπὴ ἐν τοῖc παρῳχημένοιc τοῦ βραχέος εἰc μακρὸν μεταβαλλομένου. καὶ εἰ μὲν ἄρχεται τὸ θέμα ἀπὸ τοῦ ᾱ τρέπεται κοινῶc τὸ ᾱ εἰc η̄ οἷον ἀνύω ἤνυον ἤνυκα ἠνύκειν ἤνυcα πλὴν τῶν cεcημειωμένων ἀηθέccω ἀήθεccον «ἀήθεccον γὰρ ἐπ' αὐτὸν» (K 493), ἀηδίζομαι ἀηδιζόμην διὰ τὴν ἐπαλληλίαν τῶν δύο η̄, ἄω τὸ πνέω ἄεν ἵνα μὴ cυνεμπέcῃ τῷ ἦεν, ἀΐω τὸ ἀκούω ἄϊον ἵνα μὴ cυνεμπέcῃ τῷ ἤϊον τῷ ἐπορευόμην.

Τὰ δὲ ἀπὸ τοῦ ε̄ ἀρχόμενα ῥήματα ἀδιαφόρωc εἴωθε κλίνεcθαι καὶ διὰ τῆc ει̅ διφθόγγου κατ' ἀρχὴν καὶ διὰ τοῦ η̄. ἀπὸ γοῦν τοῦ ἑλκῶ περιcπωμένου εἵλκεον (P 395) φήcαc τὸν παρατατικὸν διὰ τοῦ η̄ τὸν ἀόριcτον ἐξήνεγκεν ἐν τῷ «Λητὼ γὰρ

---

l. 6 cf. E. M. 318, 32 et Arcad. 168. l. 21 homerica exempla ex Choer. sumpta sunt. De ἀηθέccω ἀηδίζομαι idem tradunt Ep. Cr. I 86, 14. l. 25 posui praeceptum ex Il. Pr. N 543 pro iis, quae Choer. et Lascaris praecipiunt: εἰ δὲ ἄρχεται ἀπὸ τοῦ ε̄, τρέπεται τὸ ε̄ εἰc η̄, ἐλέω ἤλεον ἠλέηκα ἠλεήκειν ἠλέηcα. πλὴν τῶν cεcημειωμένων διcυλλάβων καὶ ὑπερδιcυλλάβων, ἐν οἷc προcτίθεται τὸ ῑ ἐν παρῳχημένοιc. τούτων δὲ ὁ κανὼν κατὰ τοὺc παλαιοὺc (recurrit etiam in An. Par. III 346, 24) τοιοῦτόc τιc τυγχάνει γε ὤν· τὰ ἀπὸ τοῦ ε̄ ἀρχόμενα ὑπερδιcύλλαβα μὲν ὄντα

ἤλκηcε Διόc» (λ 580). ἀλλ᾽ οὐ θέλει πάλιν τὸ η̄ τὸ κατ᾽ ἀρχὴν τῶν παρῳχημένων εἰc ε̄ καὶ ᾱ διαλύεcθαι, ὁπότε ὁ ἐνεcτὼc ἄρχει ἀπὸ τοῦ ε̄, ἀπὸ μέντοι τοῦ ᾱ καὶ η̄, ὡc δῆλον ἐκ τούτων, ἥλη ἐάλη, ἧγη ἐάγη, ἧδον ἕαδον.

Εἰ δὲ ἄρχεται ἀπὸ τοῦ ο̄ μικροῦ τὸ θέμα, τρέπεται τὸ μικρὸν εἰc ω μέγα, ὀνομάζω ὠνόμαζον ὠνόμακα ὠνομάκειν ὠνόμαcα.

Ταῦτα δὲ παρὰ ποιηταῖc ἀναύξητα ἤτοι ἄτρεπτα μένει διὰ τὸ μέτρον ἔθει Ἰωνικῷ, ἄκουεν ἀντὶ τοῦ ἤκουεν, ἔλαυνεν ἀντὶ τοῦ ἤλαυνεν, ὀνόμαcεν ἀντὶ τοῦ ὠνόμαcεν.

Ὅτε δὲ τὸ ῥῆμα ἄρχεται ἀπὸ τῶν τριῶν τούτων μεταβολικῶν φωνηέντων, οἱ Ἀττικοὶ ποιοῦcιν ἴδιον παρακείμενον ἐνεργητικόν, παθητικὸν καὶ μέcον, ἵνα μὴ ἀπορῶcι παρακειμένων ἀπὸ φωνήεντοc ἀρχομένων, τὰ ἀρκτικὰ δύο γράμματα τοῦ ἐνεcτῶτοc προcτιθέντεc τῷ κοινῷ παρακειμένῳ καὶ τὴν τρίτην cυλλαβήν, εἰ μακρὰ εἴη, ὡc τὰ πολλὰ cυcτέλλοντεc ἐπὶ τῶν τριcυλλάβων, ἀλείφω ἤλειφα κοινῶc καὶ ἀλήλιφα Ἀττικῶc, ἐλεύθω ἤλευκα ἤλευθα μέcοc καὶ Ἀττικῶc ἐλήλυθα, ὀμῶ ὤμοκα καὶ ὀμώμοκα, ἀλείφομαι ἤλειμμαι καὶ ἀλήλιμμαι. cεcημείωται τὸ ὑφήφαcται, ὅτι ἀπὸ τοῦ ῡ ἀρχομένου τοῦ ἐνεcτῶτοc ἐγένετο Ἀττικὸc παρακείμενοc. γέγονε δὲ τοῦτον τὸν τρόπον· ἔcτιν ὑφάζω ὑφάcω ὕφακα, ὕφαcμαι ὕφαcται καὶ ὑφύφαcται Ἀττικῶc ἢ ὑφαίνω ὕφαγκα ὕφαcμαι καὶ ὑφύφαcμαι Ἀττικῶc. καὶ ἐπειδὴ οὐ θέλει ὁ Ἀττικὸc παρακείμενοc ἔχειν ἐν τῇ α′ καὶ β′ cυλλαβῇ τὸ αὐτὸ cτοιχεῖον οἷον ἀλήλιφα καὶ ἐλήλυθα καὶ ὀμώμοκα, τούτου χάριν καὶ τροπὴ παρηκολούθηcε τοῦ ῡ εἰc η̄ καὶ γέγονεν ὑφήφαcται. ἔcτι δὲ καὶ τινα, ὧν ἡ τρίτη ἀπ᾽ ἀρχῆc cυλλαβὴ οὐ cυcτέλλεται. ἀπὸ τοῦ ἄλημι ὁ παθητικὸc παρακείμενοc ἤλαμαι καὶ Ἀττικῶc ἀλήλαμαι καὶ κατὰ ὑπέρθεcιν ἀλάλημαι. δύναται δὲ καὶ εἶναι ἐνεcτώc· ἔcτι γὰρ ἄλημι ὡc τίθημι ἄλεμαι ὡc τίθεμαι καὶ διπλαcιαcμὸc μετ᾽ ἐπεκτάcεωc Αἰολικῆc ἀλάλημαι.

Ἐν ἐνίοιc δὲ μόνον προcτίθεται ε̄ ἐν παρατατικῷ καὶ παρακειμένῳ οἷον ὥρων ἑώρων, ὥρακα ἑώρακα, ὠνοῦμαι ἐωνούμην ἐώνημαι. τὸ δὲ ξυνέηκα ἔειπε ποιητικά.

Εἰ δὲ τὸ ῥῆμα ἄρχεται ἀπὸ διφθόγγου, ἢ ἀπὸ τρεπτῆc ἢ ἀπὸ ἀτρέπτου. εἰ μὲν ἀπὸ ἀτρέπτου δηλονότι ευ αι ου οὐδεμία τροπὴ γίνεται ἐν τοῖc παρῳχημένοιc. ἡ μὲν ει δίφθογγοc, ἐπειδὴ ἔχει γνήcιον μέγεθοc, τὸ γὰρ ε̄ μεγεθυνόμενον διὰ τῆc προcθήκηc τοῦ ῑ μεγεθύνεται οἷον τυφθέντοc τυφθεῖcα, δαρέντοc δαρεῖcα καὶ αὐτὸ δὲ τὸ ει τὸ ὄνομα τοῦ cτοιχείου διὰ τοῦ ε̄ καὶ ῑ γράφεται καὶ ἐκφωνεῖ-

τρέπει τὸ ε̄ εἰc η̄ ἐν τοῖc παρῳχημένοιc ἑρμηνεύω ἡρμήνευον, ἐλαύνω ἤλαυνον· χωρὶc τοῦ ἐθίζω εἴθιζον· τοῦτο γὰρ διὰ τῆc ει διφθόγγου γράφεται, ἑcτιῶ εἱcτίων, ἐρύω εἴρυον «εἴρυcαν ἠνορέῃ πίcυνοι καὶ κάρτεϊ χειρῶν» (Λ 9 ex Choer. 906, 29), ἑλκύω εἵλκυον «εἵλκυον ἀμφότεροι» (Ρ 395 ex Choer. 907, 9), ἑρπύζω εἵρπυζον, ἐργάζομαι εἰργαζόμην (de quo Choer. 519, 22 et 906, 23 ὅπερ καὶ διφορεῖται· τινὲc μὲν γὰρ διὰ τῆc ει διφθόγγου γράφουcιν αὐτό), ἕπομαι εἱπόμην· ἔτι καὶ τὸ εἱcτήκειν εὕρηται ἀπὸ τοῦ ἑcτήκω. διcύλλαβα δὲ ὄντα τινὰ μὲν τρέπει τὸ ε̄ εἰc τὸ η̄, εἰ περιcπᾶται, ἐλῶ ἤλων, ἑλκῶ ἥλκουν «Λητὼ γὰρ ἥλκηcε Διὸc κυδρὴν παράκοιτιν» (ex Choer.) χωρὶc τοῦ ἑῶ εἵων, ἐρῶ εἴρουν, ἐξ οὗ καὶ ὁ παρακείμενοc εἴρηκα. τὸ δὲ ἐρῶ τὸ ἐρωτικῶc ἔχω διὰ τοῦ η̄ γίνεται οἷον «ἤρων γάρ, ἤρων, ὁμολογῶ, καὶ νῦν δ᾽ ἐρῶ» παρὰ Μενάνδρῳ (Choer. 907). τινὰ δὲ τῶν διcυλλάβων βαρυτόνων προcλαμβάνει τὸ ῑ ἔχω εἶχον, ἕλω εἷλον, ἔπω εἶπον, ἕλκω εἷλκον, ἔθω «ἔθων Οἰνῆοc ἀλωήν» (Ι 540) εἶθα καὶ Ἀττικῶc εἴωθα «ἀεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττι κεν εἴπω» (Θ 408), ἕω εἷκα ὅθεν εἷμαι καὶ εἱμένοc «εἱμένοc ὤμοιcιν νεφέλην» (Ο 308), ἕζω εἷcα. l. 6 cf. Il. Pr. Ψ 440 ubi Ἰωνικῶc, Θ 161 ubi ποιητικώτερον primam syllabam corripi praecipitur, Ψ 70 ἀκήδειc: ἄμεινον βαρύνειν ὡc ἐνδεῖc τῆc ἀρχούcηc cυcταλείcηc ποιητικῶc. ὡc γὰρ ἤκουcα ἄκουcα, οὕτωc καὶ ἠκήδειc ἀκήδειc. l. 21 de ὑφήφαcται, de quo quae protuli sunt ex Choer. 568, 31 (nam ap. Constant. Lascarin haec valde perturbata sunt), cf. Mon. 44, 25; praeceptum de ἀλάλημαι composui ex Herod. Odyss. Pros. μ 284 et περὶ παθῶν in E. M. 56, 27, similia tradit Choer. 569, 15; de diplasiasmo perfecti cf. etiam E. M. 134, 52. l. 26 cf. Il. Pr. Δ 3, ubi ἑήνδανε, ἐέccατο, ἔωcεν, ἐῳνοχόει proferuntur.

ται, τούτου χάριν ἄτρεπτός ἐστιν — εἰκάζω εἴκαζον καὶ ᾔκαζον παρὰ τοῖς Ἀθηναίοις. ὁμοίως καὶ ἡ ο̅υ̅ δίφθογγος οὐ τρέπεται ὡς ἔχουσα γνήσιον μέγεθος. τὸ γὰρ ο̄ μεγεθυνόμενον διὰ τῆς προσθήκης τοῦ ῡ μεγεθύνεται οἷον τύπτοντος τύπτουσα, λέγοντος λέγουσα καὶ αὐτὸ δὲ τὸ ου, τὸ ὄνομα τοῦ στοιχείου διὰ τοῦ ο̄ καὶ ῡ γράφετα καὶ ἐκφωνεῖται, καὶ διὰ τοῦτο καὶ αὐτὸ ἄτρεπτον μένει — οὐρῶ οὔρουν —

2.

ἡ ευ δίφθογγος ὡς μὴ ἔχουσα γνήσιον μέγεθος (τὸ γὰρ υ οὐκ ἔστι γνήσιον μέγεθος τοῦ ε̄, ἀλλὰ τοῦ ο̄) ὀφείλει τρέπειν τὸ ε̄ εἰς η, ὡς καὶ παρὰ Ἀττικοῖς. ηὐφράνθη γὰρ λέγουσι καὶ ηὐχόμην. ἀλλ' ἐπεκράτησε κατὰ κοινὴν διάλεκτον ἡ ε̅υ̅ δίφθογγος μὴ τρέπεσθαι οἷον εὔχομαι εὐχόμην, εὐφραίνομαι εὐφραινόμην, εὐχαριστῶ εὐχαρίστουν καὶ ἴσως χάριν εὐφωνίας, ὡς λέγει ὁ Ἡρωδιανός.

Εἰ δὲ ἄρχεται ἀπὸ τρεπτοῦ δηλονότι αι αυ οι, γίνεται ἡ αὐτὴ τροπὴ τῶν μεταβολικῶν φωνηέντων. εἰ μὲν ἀπὸ τῆς αι, τρέπεται τὸ ᾱ εἰς η̄ καὶ τὸ ῑ προσγράφεται, αἰσχύνομαι ᾐσχυνόμην, αἰτῶ ᾔτουν· εἰ δὲ ἀπὸ τῆς α̅υ̅, τρέπεται τὸ ᾱ εἰς η̄ οἷον αὐλῶ ηὔλουν, αὔξω ηὔξουν, αὐχῶ ηὔχουν, αὐτομολῶ ηὐτομόλουν. εἰ δὲ ἀπὸ τῆς οι, τρέπεται τὸ ο̄ εἰς ω̄ καὶ τὸ ῑ προσγράφεται οἷον οἴχομαι ᾠχόμην, οἰκῶ ᾤκουν, οἰκοδομῶ ᾠκοδόμουν, οἰκονομῶ ᾠκονόμουν πλὴν τῶν σεσημειωμένων ἀτρέπτων, οἰῶμαι οἰώθην «οἰώθη δ' Ὀδυσσεύς» (Λ 401), «Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή» (Ζ 1), οἰμῶ οἴμησα «οἴμησεν δὲ ἀλείς» (Χ 308). οἰνῶ οἴνουν «μήπω οἰνωθέντες» (π 292) καὶ οἰνίζω οἴνιζον «ἐκ τ' ἄρα οἰνίζοντο» (Η 472), οἰστρῶ οἴστρησα, οἰωνίζομαι οἰωνιζόμην, οἰωνοσκοπῶ οἰωνοσκόπουν, οἰωνοπολῶ οἰωνοπόλουν, οἰακίζω οἰάκιζον, οἰακονομῶ οἰακονομούμην, οἰακοστροφῶ οἰακοστρόφουν. τινὲς δὲ προστιθέασι καὶ τὸ οἰδαίνω οἴδαινον καὶ τὸ οἰκουρῶ οἰκούρουν καὶ τὸ οἰμώζω οἴμωζον, ᾠκούρουν καὶ ᾤμωζον παρὰ Σοφοκλεῖ ἐν Τραχινίαις (928) «ἰδὼν δ' ὁ παῖς ᾤμωξε» καὶ παρὰ τῷ ποιητῇ (ν 198) «ᾤμωξέν τ' ἄρ' ἔπειτα καὶ ὣ πεπλήγετο μηρώ».

Εἰ δὲ ἀπὸ συμφώνου ἄρχεται τὸ ῥῆμα, ὁ παρατατικὸς καὶ ἀόριστος πρῶτος καὶ δεύτερος προσλαμβάνουσιν ε̄, γράφω ἔγραφον ἔγραψα. οἱ δὲ Ἀττικοὶ αὔξησιν ἐπὶ αὐξήσεως ποιοῦντες ἠδυνάμην ἀντὶ ἐδυνάμην καὶ ἠβουλόμην ἀντὶ ἐβουλόμην καὶ ἤμελλον ἀντὶ ἔμελλον λέγουσιν.

Ὅτε δὲ ὁ παρατατικὸς ἄρχεται ἀπὸ μακρᾶς φύσει ὡς ἐπὶ τῶν ἀπὸ φωνήεντος ἀρχομένων, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ παρακείμενος ἠγόραζον ἠγόρακα, ὠνόμαζον ὠνόμακα. ὅτε δὲ ἄρχεται ἀπὸ μακρᾶς θέσει ὡς ἐπὶ τῶν ἀπὸ δύο συμφώνων ἀρχομένων, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ παρακείμενος οἷον ἔφθειρον ἔφθαρκα, ἔσπειρον ἔσπαρκα. ὅτε δὲ ὁ παρατατικὸς ἄρχεται ἀπὸ βραχείας ἢ κοινῆς, ὡς ἐπὶ τῶν ἀπὸ συμφώνου ἀρχομένων, ἀναδιπλασιάζεται ὁ παρακείμενος διὰ τοῦ αὐτοῦ πρώτου συμφώνου τοῦ ἐνεστῶτος μετὰ τοῦ ε̄, ἔτυπτον τέτυφα, ἔλεγον λέλεχα, ἔγραφον γέγραφα, ἔπλυνον πέπλυκα. χωρὶς τῶν ἀρχομένων ἀπὸ γν γνωρίζω ἐγνώριζον ἐγνώρικα — τὸ ἐγλυμμένοι καὶ ἐβλαστηκότες παρ' Εὐπόλιδι παράλογά ἐστιν — καὶ πλὴν τῶν ἀρχομένων ἀπὸ ρ̄, ῥαπίζω ἐρράπικα. διπλοῦν δὲ τὸ ρ̄ ἐν τούτοις παρὰ τοῖς ῥήτορσι. παρὰ ποιηταῖς δὲ πολλάκις διὰ τὸ μέτρον ἐκβάλλεται τὸ ἓν ἐν τοῖς παρῳχημένοις «ἄλλος δ' ἄλλῳ ἔρεζε θεῷ» (Β 400) καὶ «μνήσομαι ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν» (Ι 648). τὸ δὲ «ῥερυπωμένα» (ζ 59) ἀντὶ ἐρρυπωμένα, «ῥεραπισμένῳ νώτῳ» παρὰ Ἀνακρέοντι καὶ «ῥερῖφθαι ἔπος» παρὰ Πινδάρῳ κατὰ τὴν ποιητικὴν ἐξουσίαν οὕτω γέγονε — καὶ πλὴν τῶν ἀρχομένων ἀπὸ διπλῶν ζ̄ ξ̄ ψ ζῶ ἔζηκα, ψάλλω ἔψαλκα, ξηραίνω ἐξήραγκα. τὰ δὲ ἀπὸ δασέων θ φ̄ χ̄ ἀρχόμενα

l. 7 Choer. 522, 7. l. 40 cf. Horod. περὶ παθῶν in E. M. 308, 30.

ἀναδιπλασιάζεται μέν, τρέπεται δέ τὰ δασέα εἰς τὰ ἀντιστοιχοῦντα ψιλά, θεωρῶ τεθεώρηκα, φωνῶ πεφώνηκα, χωνεύω κεχώνευκα. ὅτε δὲ ὁ ἐνεστώς ἄρχεται ἀπό τοῦ λ̄ ἢ μ̄, οἱ Ἀττικοὶ ποιοῦσι ἴδιον παρακείμενον ἐκβολῇ τοῦ πρώτου ἀμεταβόλου καὶ προσλήψει τοῦ ῑ λήβω λήψω λέληφα κοινῶς καὶ εἴληφα Ἀττικῶς, λήχω λήξω λέληχα καὶ εἴληχα, μείρομαι μεροῦμαι μέμαρμαι καὶ εἵμαρμαι, ὅθεν καὶ εἱμαρμένη. ὅτε δέ ὁ παρακείμενος ἄρχεται ἀπὸ συμφώνου, μετὰ τοῦ ἀναδιπλασιασμοῦ βραχεῖαν ἔχει τὴν ἄρχουσαν τέτυφα ἢ κοινὴν δύο συμφώνων ἑπομένων, ὧν τό μέν πρῶτον ἄφωνον, τό δέ δεύτερον ἀμετάβολον τέγραφα, πέπληγα. σεσημείωται τὸ μέμνημαι, κέκτημαι — καὶ ἔκτημαι εὕρηται «Ἴλιον ἐκτῆσθαι» (Ι 402) — πέπταμαι πέπτωκα, καὶ περὶ μέν τοῦ μέμνημαι ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· οὐδέποτε ἀμετάβολον ἀμεταβόλου προηγεῖται κατὰ σύλληψιν οἷον ἀρνός, ἅρμα, ἔρνος, ἅλμη, εἰ μὴ μόνον τὸ μ̄ τοῦ ν̄ ὡς μνήμη, μνημεῖον, μνῆμα, μνᾶ. τὸ γὰρ προηγεῖσθαι τῶν ἀμεταβόλων κατὰ σύλληψιν ἴδιον τῶν ἀφώνων ἐστὶν οἷον κλέος, ἀγρὸς, ἀκμή, πνεῦσαι, θνήσκω, πρῶτος ἐπειδὴ οὖν τό μ̄ σύνταξιν ἀφώνου ἀνεδέξατο καὶ προηγήσατο τοῦ ν̄ τοῦ ἀμεταβόλου, ἀνεδιπλασιάσθη τό μέμνημαι· ἄλλως τε δέ καὶ πολλάκις εὑρίσκεται καὶ ἐν μέτρῳ τὸ μν̄ ἀποτελοῦν κοινὴν συλλαβὴν οἷον ὡς παρὰ Καλλιμάχῳ,

τὼς μέν ὁ Μνησάρχειος ἔφη ξένος

καὶ παρὰ Κρατίνῳ «ἀλλοτριογνώμοις ἐπιλήσμοσι μνημονικοῖσιν» τό δέ κέκτημαι, πέπταμαι καὶ πέπτωκα κατὰ πλεονασμὸν τοῦ κ̄ καὶ π̄ γέγονε Αἰολικῶς. οἱ γὰρ Αἰολεῖς εἰώθασι προστιθέναι σύμφωνον ὥσπερ τό ἐπτερύγωμαι πεπτερύγωμαι.

Ἔτι δέ εἰ μὲν μέλλων ἄρχεται ἀπό φωνήεντος, ἰσοσυλλαβεῖ αὐτῷ ὁ κοινὸς παρακείμενος ἀγοράσω ἠγόρακα, ὀμόσω ὤμοκα. εἰ δέ ἀπὸ συμφώνου, περιττεύει τύψω τέτυφα, ποιήσω πεποίηκα. ὁ ὑπερσυντέλικος ἐν τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις ἰσοσυλλαβεῖ καὶ ὁμοχρονεῖ τῷ παρακειμένῳ ἠγόρακα ἠγοράκειν, ἔφθαρκα ἐφθάρκειν, ἐν δέ τοῖς ἀπὸ συμφώνου ἀρχομένοις ὑπέρ τὰς τοῦ παρακειμένου συλλαβὰς παραλαμβάνει ε̄ τέτυφα ἐτετύφειν, γέγραφα ἐγεγράφειν. μεγεθύνεται δέ πολλάκις ἐν τοῖς Ἀττικοῖς τοῖς ἀπὸ βραχείας ἀρχομένοις, ὀμώμοκα ὠμωμώκειν, ἀκήκοα ἠκηκόειν. καὶ ταῦτα μέν ἐκ τοῦ πολυμαθοῦς Ἡρωδιανοῦ περὶ παρῳχημένων γενικῶς.

3.

Choer. 522, 30: ἐπὶ τῶν ἀπὸ προθέσεως ἀρχομένων γίνεται σύνθεσις κλίσεως, τουτέστι κατὰ χρόνον γίνεται ἡ σύνθεσις καὶ ὡς ἄν τις εἴποι, πρῶτον κλίνεται καὶ οὕτω συντίθεται οἷον ἀπὸ τοῦ γράφω γίνεται καταγράφω καὶ ἀπὸ τοῦ ἔγραφον κατέγραφον καὶ ἀπὸ τοῦ γέγραφα γίνεται καταγέγραφα καὶ ἀπὸ τοῦ ἐγεγράφειν γίνεται κατεγεγράφειν καὶ ἀπὸ τοῦ ἔγραψα τὸ κατέγραψα καὶ ἀπὸ τοῦ γράψω τὸ καταγράψω. τοῦτο δὲ γίνεται, ἵνα μὴ ἐξαμαυρωθῇ ἡ πρόθεσις ἔξωθέν τί ποτε δεχομένη. τῆς γὰρ προθέσεως οὐδὲν ἐθέλει προτίθεσθαι. —

l. 10 defensionem perfecti μέμνημαι recepi ex Choer. 552, 25, explicationem formarum κέκτημαι, πέπταμαι, πέπτωκα ex Herod. περὶ παθῶν. in E. M. 501, 26 et Zonar. 1580; alias causas profert Choer. 553, 28 ἄλλως τε δέ πολλάκις εὑρίσκεται καὶ ἐν τοῖς μέτροις ἀποτελοῦντα τὴν κοινὴν συλλαβὴν κτ καὶ πτ, ὡς παρ' Ὁμήρῳ οἷον (δ 127)

Αἰγυπτίῃ, τῇ πλεῖστα δόμοις ἔνι κτήματα κεῖται,

καὶ παρὰ Ῥίνθωνι «Ἱππώνακτος τὸ μέτρον· οὐδέν μοι μέλει» (cf. Hephaest. c. 1), et paullo ante: ἐπειδὴ τὰ ψιλὰ πάντων τῶν συμφώνων ἀσθενέστερά ἐστιν, ἐν τῷ πέπτωκα καὶ κέκτημαι πτ ἐστὶ καὶ κτ, ταῦτα δέ ψιλά ἐστιν, εἰκότως τῷ λόγῳ τῆς κοινῆς ἀνεδιπλασιάσθη.

ταῦτα μὲν ὁ Ἀπολλώνιός φηcι. πρὸc τοῦτον δὲ ἀντιλέγει ὁ Ἡρωδιανὸc λέγων, ὅτι πρῶτον μὲν οὐκ ἔcτιν ἡ κατά πρόθεcιc ἐν τῷ κατέγραφον, ἀλλὰ μέροc ἐcτὶ τοῦ ῥήματοc, εἰ καὶ ἀπὸ προθέcεωc ἐγένετο ἡ cύνθεcιc. ὥcπερ γὰρ ἐν τῷ εὐγενήc οὐκ ἔcτι τὸ εὖ ἐπίρρημα, ἀλλὰ μέροc ἐγένετο τοῦ ὀνόματοc, εἰ καὶ ἀπὸ ἐπιρρήματοc ἐγένετο ἡ cύνθεcιc, οὕτω καὶ ἐν τῷ καταγράφω οὐ λέγομεν, ὅτι πρόθεcίc ἐcτιν ἡ κατά, ἀλλὰ μέροc τοῦ ῥήματοc, εἰ καὶ ἀπὸ προθέcεωc ἐγένετο ἡ cύνθεcιc, ἄλλωc τε ἰδοὺ τὸ cυνήγοροc ἀπὸ προθέcεωc ἄρχεται, καὶ ὅμωc λέγεται εὐcυνήγοροc, καὶ πάλιν cύμβουλοc εὐcύμβουλοc, ἐπανοίκτηc θυρεπανοίκτηc· οὐκ ὤφειλεν οὖν οὐδὲ ταῦτα ἀπὸ προθέcεωc ἀρχόμενα δέξαcθαι ἔξωθέν τί ποτε. ταῦτα μὲν οὖν ὁ Ἡρωδιανόc.

(Περὶ ἐνεcτῶτοc).

Πᾶν δεύτερον εἰc $\bar{c}$ λῆγον ἀποβολῇ τοῦ $\bar{c}$ ποιεῖ τὸ τρίτον πρόcωπον οἷον τύπτειc τύπτει, λέγειc λέγει, ἐτύφθηc ἐτύφθη, ποιεῖc ποιεῖ, βοᾷc βοᾷ, χρυcοῖc χρυcοῖ, ἔλεγεc ἔλεγε, ἔτυπτεc ἔτυπτε, ἔλαβεc ἔλαβε, ἔμαθεc ἔμαθε χωρὶc τοῦ παρακειμένου καὶ τοῦ πρώτου ἀορίcτου καὶ τῶν ἀπὸ τῶν εἰc $\overline{μι}$. καὶ «χωρὶc μὲν τοῦ παρακειμένου καὶ τοῦ πρώτου ἀορίcτου» πρόcκειται, ἐπειδὴ ἐπὶ τούτων οὐ μόνον τὸ $\bar{c}$ ἀποβάλλεται, ἀλλὰ καὶ τροπὴ παρακολουθεῖ τοῦ $\bar{α}$ εἰc $\bar{ε}$ οἷον τέτυφαc τέτυφε, πεποίηκαc πεποίηκε, ἔτυψαc ἔτυψε. «χωρὶc δὲ τῶν ἀπὸ τῶν εἰc $\overline{μι}$» πρόcκειται, ἐπειδὴ ἐπὶ τούτων κατὰ τὸν ἐνεcτῶτα οὐχ ὅτι τὸ $\bar{c}$ οὐκ ἀποβάλλεται, ἀλλὰ καὶ τὸ $\bar{ι}$ προcέρχεται οἷον τίθημι τίθηc τίθηcι, ἵcτημι ἵcτηc ἵcτηcι, δίδωμι δίδωc δίδωcι, ζεύγνυμι ζεύγνυc ζεύγνυcι.

4.

περὶ cυντάξεωc cτοιχείων fr. 14.

Choer. 505, 17: ἄξιόν ἐcτι ζητῆcαι, τίνοc χάριν ἀπὸ πληθυντικῶν κανονίζομεν τὰ δυϊκὰ ἐν ῥήμαcι· δοκεῖ γὰρ τοῦτο ἀτάκτωc ἔχειν· οὐδεὶc γὰρ τὰ πρῶτα ἐκ τῶν ὑcτέρων κανονίζει. καὶ ἔcτιν εἰπεῖν, ὡc λέγει Φιλόξενοc, ἐπειδὴ τὰ δυϊκὰ ὑcτερογενῆ ἐcτιν· ὕcτερον γὰρ ἐπενοήθη τὰ δυϊκά· ὅθεν οὐδὲ πᾶcα διάλεκτοc κέχρηται τῷ δυϊκῷ ἀριθμῷ. οἱ γὰρ Αἰολεῖc παντελῶc δυϊκὰ οὐκ ἔχουcιν, ὥcπερ οἱ Ῥωμαῖοι ἄποικοι ὄντεc τῶν Αἰολέων· ἀλλ' οὔτε διάλεκτοc ἔχει τὰ δυϊκά, ἀλλ' εἰc πάντα τῷ πληθυντικῷ ἀριθμῷ κέχρηται ἀντὶ τοῦ δυϊκοῦ ἀριθμοῦ, μὴ ἔχουcα δυϊκά. εἰκότωc οὖν, ἐπειδὴ τελευταῖον ἐπενοήθη τὰ δυϊκά, ἐκ τῶν πληθυντικῶν κανονίζεται προτερευόντων αὐτῶν.

5.

Il. Pr. Γ 152: τὰ τρίτα πρόcωπα πληθυντικὰ ὁριcτικὰ ἐνεcτῶτοc χρόνου τὴν αὐτὴν φωνὴν καὶ τὸν αὐτὸν τόνον ἀποφέρεται ταῖc πληθυντικαῖc δοτικαῖc μετοχαῖc, λέγομεν λέγεται λέγουcι καὶ τοῖc λέγουcιν,

l. 13 Choer. 499, 29. l. 20 οὐχ ὅτι scripsi pro παρ' οἷc. Haec ex Herodiano petita esse coniectari licet ex Choer. 747, 17. l. 24 contra Herodiani sententiam fuerunt, qui dicerent primam dualis personam traiectione consonarum fingi potuisse τύπτοθμον aut τύπτοτμον, quibus Choeroboscus obsistit contendens, propter characterem pluralis et dualis $\bar{μ}$ antecedere debere literam $\bar{θ}$ sive $\bar{τ}$. Antea Apollonii sententia exposita fuit, quae eodem redit. l. 25 altera, quae profertur, causa ex comparatione rerum physicarum desumpta potius Apollonio adscribam collat. Choer. 518, 28. l. 35 simile praeceptum etiam in Rhematico exstitisse patet ex Theodos. 1009, 30 et Choer. 509, 24; 510, 6.

ἵϲταμεν ἵϲτατε ἱϲτᾶϲι καὶ τοῖϲ ἱϲτᾶϲι, ἵεμεν ἵετε ἱεῖϲι καὶ τοῖϲ ἱεῖϲι. ἀντιπίπτει μόνον διά τι αἴτιον τὸ φαϲί πρὸ τὸ φᾶϲι μετοχικὸν ὡϲ ϲτᾶϲι.

(Περὶ παρατατικοῦ).

6.

Il. Pr. Δ 222: τὰ ἑνικὰ καὶ τὰ πληθυντικὰ ὁμοφωνοῦντα καὶ ὁμόχρονά ἐϲτιν οἷον ἔλεγον ἐγώ καὶ ἔλεγον ἐκεῖνοι. ἐν δὲ τοῖϲ ϲυγκοπεῖϲι τρίτοιϲ ἡ ϲυγκοπὴ ἀναδέχεται τὴν λῆξιν τὴν αὐτὴν τῇ παραληγούϲῃ τῆϲ γενικῆϲ τῆϲ κατὰ τὴν μετοχήν, ἔϲτηϲαν ἔϲταν, ϲτάντοϲ γάρ· ἔβηϲαν ἔβαν, βάντοϲ γάρ· ἐκοϲμήθηϲαν ἐκόϲμηθεν, κοϲμηθέντοϲ γάρ· «φάνεν δέ οἱ εὐρέεϲ ὦμοι» (c 68), φανέντοϲ γάρ· ἔφυμεν ἔφυτε ἔφυϲαν ἔφυν, ἐπεὶ φύντοϲ· ἔδυμεν ἔδυτε ἔδυϲαν ἔδυν, ἐπεὶ δύντοϲ. περὶ δὲ τοῦ «τῆϲ δ' ἦν τρεῖϲ κεφαλαί» (Hesiod. Theog. 321) ἐν τοῖϲ περὶ ῥήματοϲ ἐροῦμεν.

7.

Il. Pr. Β 832: ἔαϲκε κατὰ ϲυϲτολήν. οὕτωϲ καὶ πάντεϲ· τὰ γὰρ διὰ τοῦ ϲ̄κε̄ παρηγμένα Ἰακῶϲ βραχεῖαν ἔχει τὴν παραλήγουϲαν· «ὧδε δέ τιϲ εἴπεϲκε» (271) καὶ «τὴν αὐτὸϲ φορέεϲκε» (Ο 646).

l. 12 cur autem ἦν, non ἕν factum sit, Choeroboscus 536, 8 Herodiano, ut ex comparatione Il. Pros. patet, duce exposuit ἔϲτι ἦμεν ἦτε ἦϲαν καὶ γίνεται παρὰ τοῖϲ ποιηταῖϲ ἦν τὸ τρίτον πρόϲωπον τῶν πληθυντικῶν καὶ ἰδοὺ ἐλλείπει μιᾷ ϲυλλαβῇ τοῦ ἰδίου πρώτου πληθυντικοῦ· οὐδὲ (pro οὐ καὶ) γέγονε πρὸϲ τὴν παραλήγουϲαν τῆϲ γενικῆϲ τῆϲ μετοχῆϲ· ἔϲτι γὰρ εἶϲ ἔντοϲ ἡ μετοχὴ καὶ ὀφείλει τὸ τρίτον τῶν πληθυντικῶν γενέϲθαι ἕν διὰ τοῦ ε̄, εἶϲ ἔντοϲ γὰρ ἡ μετοχή, ἀλλ' ἐπειδὴ μονοϲύλλαβόϲ ἐϲτιν ἡ λέξιϲ καὶ τὴν αὐτὴν ἔχει ἄρχουϲαν καὶ λήγουϲαν καὶ παραλήγουϲαν, τῷ λόγῳ τῆϲ ἀρχούϲηϲ ἐφυλάχθη τὸ η̄ καὶ οὐκ ἐγένετο τῷ λόγῳ τηϲ παραληγούϲηϲ διὰ τοῦ ε̄. ἔϲτι καὶ ἄλλη τοιαύτη ἀπολογία, ἣν λέγει ὁ Ἡρωδιανόϲ ἐν τῷ περὶ αὐτοῦ μονοβίβλῳ (cf. supra).

Etiam, quae Choeroboscus 536, 31 de formis ἐπληροῦϲαν et ἐϲχάζοϲαν profert, ex Herodiano petita esse videntur: πάλιν δὲ ἐκ τοῦ ἐναντίου εὑρίϲκομεν παρῳχημένων τινῶν τρίτα πρόϲωπα πληθυντικὰ ἰϲοϲυλλαβοῦντα τοῖϲ ἰδίοιϲ πρώτοιϲ πληθυντικοῖϲ, τῆϲ μετοχῆϲ αὐτῶν μὴ οὔϲηϲ εἰϲ ϲ̄ μετ' ὀξείαϲ τάϲεωϲ, οἷόν ἐϲτιν ὁ πληρῶν τοῦ πληροῦντοϲ ἡ μετοχή, καὶ δέον ἐϲτὶν εἰπεῖν τὰ πληθυντικὰ ἐπληροῦμεν ἐπληροῦτε καὶ τὸ τρίτον ἐπλήρουν, ἐνδέον μιᾷ ϲυλλαβῇ τοῦ ἰδίου πρώτου πληθυντικοῦ καὶ λῆγον εἰϲ τὴν παραλήγουϲαν τῆϲ γενικῆϲ τῆϲ μετοχῆϲ, καὶ ὅμωϲ εὕρηται παρὰ τῷ Εὐριπίδῃ ἐν τῇ Ἑκάβῃ τὸ τρίτον πρόϲωπον τῶν πληθυντικῶν ἰϲοϲύλλαβον τῷ ἰδίῳ πρώτῳ προϲώπῳ πληθυντικῷ οἷον ἐπληροῦϲαν, ἔνθα φηϲὶν (574)

οἱ δ' ἐπληροῦϲαν πυρὰν
κορμοὺϲ φέροντεϲ πευκίνουϲ.

καὶ πάλιν ἐϲτὶν ὁ ϲχάζων τοῦ ϲχάζοντοϲ ἡ μετοχή, καὶ πάλιν δέον εἶναι τὰ πληθυντικὰ ἐϲχάζομεν ἐϲχάζετε ἔϲχαζον, καὶ ὅμωϲ εὑρίϲκεται παρὰ Λυκόφρονι τὸ τρίτον πρόϲωπον τῶν πληθυντικῶν ἰϲοϲύλλαβον τῷ ἰδίῳ πρώτῳ προϲώπῳ πληθυντικῷ ἐϲχάζοϲαν, ἔνθα φηϲὶν (21)

καὶ ἀπὸ γῆϲ ἐϲχάζοϲαν

ἀντὶ τοῦ ἀπέλυον· ταῦτα δὲ Καλχηδονίων ἰδιώματόϲ ἐϲτιν (Καρχηδονέων ἰδιώματα M; leg. cum Cobet. apud Gaisf. E. M. p. 8 Χαλκιδέων; cf. o. g. Sturz, d. dial. alexandr. p. 59).

l. 15 explicatum de ϲ̄κε paragoge praeceptum habemus ap. Choerob. p. 632, 28 quod transiit in Ep. Cr. I 309, 12 (E. M. 624, 28), ex quibus quaedam menda sustuli: τὰ Ἰωνικῶϲ γινόμενα διὰ τοῦ ϲ̄κ κατὰ τὸ τρίτον πρόϲωπον ἀπὸ μὲν βαρυτόνων ὄντα ἔχει φωνῆεν πρὸ τοῦ ϲ̄ καὶ κ̄ τὸ ε̄ οἷον τύπτεϲκε λάβεϲκε λέγεϲκε, ὑπεϲταλμένου τοῦ πρώτου ἀορίϲτου. καὶ τὰ τῆϲ πρώτηϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων καὶ τὰ τῆϲ πρώτηϲ ϲυζυγίαϲ τῶν εἰϲ μι ὁμοίωϲ τὸ ε̄ ἔχει πρὸ τοῦ ϲ̄ καὶ κ οἷον ποίεϲκε, τίθεϲκεν, τὰ δὲ τῆϲ δευτέραϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων ἐν τῷ

(Περὶ παρακειμένου).

8.

Choer. 558, 29: εἴ τις εἴποι, διὰ τί γὰρ τετύφατε καὶ ἐτύψατε διὰ τοῦ α̅ φαμὲν καὶ μὴ τετύφετε καὶ ἐτύψετε διὰ τοῦ ε̅, λέγομεν ὅτι οὐ δύναται εἶναι τετύφετε καὶ ἐτύψετε διὰ τοῦ ε̅, ἐπειδὴ τετύφαμεν καὶ ἐτύψαμεν διὰ τοῦ α ἐστὶ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν· καθόλου δὲ τὰ εἰς μεν̅ πληθυντικὰ τροπῇ τοῦ μεν̅ εἰς τε τὸ δεύτερον ποιεῖ καὶ φυλάττει τὴν παραλήγουσαν, ὅσα ἔχει τὴν μετοχὴν εἰς ς̅ οἷον ἐτίθεμεν ἐτίθετε, τιθείς γάρ, ἐδίδομεν ἐδίδοτε, διδούς γάρ, ἐτύφθημεν ἐτύφθητε, τυφθείς γάρ, ἐτετύφειμεν ἐτετύφειτε, τετυφώς γάρ, ἐτύψαμεν ἐτύψατε, τύψας γάρ. λέγει δὲ ὁ Ἡρωδιανός, ὅτι εὑρίσκεται χρῆσις τῆς διὰ τοῦ ε̅ γραφῆς, ὡς παρὰ Ἀριστοφάνει ἐν Ὄρνισι

ὑμεῖς δὲ πρεσβεύεσθε καὶ κεχήνετε

ἀντὶ τοῦ κεχήνατε.

παρατατικῷ μόνῳ τὸ α̅ ἔχει πρὸ τοῦ σκ̅ οἷον βόασκε γέλασκε· ἐν δὲ τῷ β′ ἀορίστῳ ἐὰν ὅλως γίνηται τὸ ε̅ ἔχει πρὸ τοῦ ς̅ καὶ κ̅, μυκῶ μυκᾷς ἔμυκον μύκεσκε· τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν εἰς μι̅ καὶ ἐν τῷ παρατατικῷ καὶ ἐν τῷ δευτέρῳ ἀορίστῳ διὰ τοῦ α̅ ἐκφέρεται πρὸ τοῦ ς̅ καὶ κ̅ οἷον ἵστημι ἵστης ἵστη ἵστασκε ἔστην στάσκε. τὰ δὲ τῆς τρίτης συζυγίας τῶν περισπωμένων καὶ τῶν εἰς μι̅ διὰ τοῦ ο̅ ἐκφέρεται πρὸ τοῦ σκ̅ οἷον ἐχρύσουν ἐχρύσοσκε, ἐδίδων ἐδίδοσκε· τὰ δὲ τῆς τετάρτης συζυγίας εἰς μι συστέλλει τὸ δίχρονον μόνον πρὸ τοῦ σκ οἷον ζεύγνυμι ἐζεύγνυν ἐζεύγνυς ἐζεύγνυσκε, ἔδυν ἔδυς ἔδυσκε· ὁ δὲ πρῶτος ἀόριστος ἐπὶ τῶν βαρυτόνων καὶ ἐπὶ τῶν περισπωμένων καὶ ἐπὶ τῶν εἰς μι τὸ α̅ ἔχει πρὸ τοῦ σκ οἷον τύψασκε γράψασκε βοήσασκε φήσασκε πτήσασκε (sic), καὶ τοῦτο εἰκότως· τὸ γὰρ κεχρεωστημένον τῷ τρίτῳ προσώπῳ ἀνεδέξατο ἐνταῦθα· τὸ γὰρ τρίτον πρόσωπον τοῦ πρώτου ἀορίστου διὰ τοῦ α̅ ὤφειλεν εἶναι οἷον ἔτυψα ἔτυψας καὶ ἔτυψα ἐκεῖνος, κατὰ ἀποβολὴν τοῦ ς̅, ἀλλ᾽ ἐπειδὴ οὐκ ἠδύνατο τὸ τρίτον πρόσωπον ὁμοφωνεῖν κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὴν αὐτὴν διάλεκτον, καὶ τροπὴ παρηκολούθησε τοῦ α̅ εἰς ε̅ καὶ γέγονεν ἔτυψεν ἐκεῖνος· ἐνταῦθα δὲ ἐπειδὴ προσερχομένου τοῦ σκ̅ οὐκέτι γίνεται ὁμοφωνία τοῦ τρίτου προσώπου πρὸς τὸ πρῶτον πρόσωπον, προσῆλθε τὸ κεχρεωστημένον α̅ οἷον τύψασκε ποιήσασκε. ταῦτα δὲ οἱ Ἴωνες· οἱ δὲ ποιηταὶ κατὰ μίμησιν τῶν Ἰώνων πολλάκις καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον πρόσωπον ποιοῦσι διὰ τοῦ σκ οἷον τύπτεσκον· χαίρεσκον γὰρ ἔγωγε καὶ τύπτεσκες καὶ χαίρεσκες. λέγει δὲ ὁ Ἄβρων ὅτι εἴ τι προσλαμβάνει ταῦτα κατὰ τὸ τέλος, ἀποβάλλει κατὰ τὴν ἀρχήν· καὶ γὰρ τὸ ἔτυπτε ποιοῦσιν οἱ Ἴωνες τύπτεσκεν, ἀποβάλλοντες ἐκ τῆς ἀρχούσης συλλαβῆς καὶ προστιθέντες κατὰ τὸ τέλος· διὰ τοῦτο δὲ τὸ ἔτυπτεν ἐν τῷ τύπτεσκεν ἀποβάλλει τὸ ε̅ τὸ τῆς ἀρχούσης, ἐπειδὴ τὰ ποιητικὰ Ἰωνικὰ ταῖς ἰδίαις μετοχαῖς θέλει συνάρχεσθαι οἷον ἔτυπτε τύπτε

τύπτε δ᾽ ἐπιστροφάδην (Φ 20)

πρὸς τὴν τύπτων μετοχήν, ἦγον ἄγεν

ἄγε δὲ ἑ μοῖρα βαρεῖα (Ν 602?)

πρὸς τὴν ἄγων μετοχήν, ἥψατο ἅψατο

ἅψατο δ᾽ ἡμιόνων (Ψ 666)

πρὸς τὴν ἁψάμενος μετοχήν, ἤκουσα ἄκουσα πρὸς τὴν ἀκούσας μετοχήν

πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα (Α 396).

Simile adnotamentum recurrit in Ep. Cr. I 376, 14, ubi additur augmentum non semper omitti allatis «ἐμισγέσκοντο πάροιθεν» (υ 7) «ἢ οἱ παρέκεσκετ᾽ ἀμοιβάς» (ξ 521) καίτοι ἐν ἑτέροις τοῦτο χωρὶς τοῦ ε̅ λέγει

κέσκετ᾽ ἐνὶ μεγάροισιν (φ 41).

μήποτε δὲ ἡ πρόθεσις ὁλόκληρός ἐστι καὶ ὀφείλει διὰ τοῦ α̅ (pro β′) ἐκφέρεσθαι παρακέσκετο. ἔχομεν δὲ καὶ παρὰ τὸ ἐῶ ἐᾷς ἐᾷ εἴων εἴας εἴα εἴασκε «ἀλλ᾽ οὐκ εἴασκε» (Υ 408). μήποτε δὲ καὶ τοῦτο κατὰ πάθος γέγονε τοῦ ι̅ πλεονάσαντος.

l. 12 Buttmannus II 324 Ὄρνισι **vitiosum esse animadvertit, quum locus ex Acharn. 133 depromptus sit, sed potest Herodianus memoria lapsus esse; idem adnotavit** κεχήνετε **potius pro imperativo quam pro indicativo habendum esse.**

(Περὶ μέσου παρακειμένου).

9.

Choer. 584, 1: εἰ ὁ ἐνεστὼς διὰ δύο ἀμεταβόλων, διὰ τοῦ πρώτου ἀμεταβόλου ἐκφέρεται ὁ παρακείμενος ὁ μέσος οἷον τέμνω τέτομα, κάμνω κέκαμα. ἐκ τούτου πιθανεύονταί τινες καὶ λέγουσιν, ὅτι ἐν τῷ τίλλω τέτιλα καὶ πάλλω πέπαλα καὶ στέλλω ἔστολα καὶ ἐν τοῖς ὁμοίοις τὸ δεύτερον λ ἀπεβλήθη καὶ τὸ πρῶτον ἐφυλάχθη· ὁ δὲ Ἡρωδιανὸς οὐ βούλεται τοῦτο, ἀλλὰ λέγει, ὅτι τὸ πρῶτον λ ἀπεβλήθη καὶ τὸ δεύτερον ἐφυλάχθη· φησὶ γάρ, ὅτι πρῶτον μὲν ἐν τῷ τέμνω τέτομα καὶ κάμνω κέκαμα τὸ ν̄ ἀπὸ πλεονασμοῦ ἐστι· κάμω γὰρ καὶ τέμω ἦν· καὶ κατὰ πλεονασμὸν τοῦ ν̄ γέγονε κάμνω καὶ τέμνω, καὶ λοιπὸν τὸ ν̄ τὸ πλεονάσαν κατὰ τὸν ἐνεστῶτα ἀπεβλήθη κατὰ τὸν μέσον παρακείμενον· δεύτερον δὲ δυνάμεθα αὐτὰ λέγειν, λέγω δὲ τὸ κέκαμα καὶ τέτομα, ὡς ἀπὸ περισπωμένων θεμάτων ἐστὶν οἷον ὡς ἀπὸ τοῦ καμῶ καὶ τεμῶ· τρίτον δέ, ὥσπερ τὸ τέρπω καὶ πέρθω οὐ λέγομεν πέμπτης εἶναι συζυγίας διὰ τὸ ρ̄ τὸ ἐν τῇ παραληγούσῃ, ἀλλὰ τὸ μὲν τέρπω πρώτης διὰ τὸ π ἐν τῇ παραληγούσῃ, τὸ δὲ πέρθω τρίτης διὰ τὸ θ̄ τὸ ἐν τῇ ληγούσῃ, οὕτως καὶ τὸ τίλλω καὶ τὸ πάλλω καὶ τὸ στέλλω καὶ τὰ ὅμοια λέγομεν εἶναι πέμπτης συζυγίας, οὐ διὰ τὸ λ̄ τὸ ἐν τῇ παραληγούσῃ, ἀλλὰ τὸ λ̄ τὸ ἐν τῇ ληγούσῃ· τὰ δὲ χαρακτηριστικὰ τοῦ ἐνεστῶτος θέλει εἶναι καὶ ἐν τῷ μέσῳ παρακειμένῳ χαρακτηριστικὰ οἷον πείθω πέποιθα, λέγω λέλογα, δηλονότι διὰ τοῦ δευτέρου λ ἐξηνέχθη ὁ μέσος παρακείμενος ἐν τῷ τέτιλα καὶ πέπαλα καὶ ἔστολα καὶ τοῖς ὁμοίοις, ἐπειδὴ αὐτό ἐστιν, ὡς εἴρηται, τὸ χαρακτηριστικὸν τοῦ ἐνεστῶτος. εἰ δὲ ὁ ἐνεστὼς διὰ καθαροῦ τοῦ ω̄ ἐκφέρεται, ὁ μέσος παρακείμενος διὰ καθαροῦ τοῦ ᾱ ἐκφέρεται οἷον ἀκούω ἤκουα καὶ ἀκήκοα ὁ Ἀττικός, δείω δέδια καὶ δείδια κατὰ πλεονασμὸν τοῦ ῑ, δαίω (τὸ σημαῖνον τὸ καίω) δέδηα καὶ καίω κέκηα· εἴω (σημαίνει δὲ τὸ πορεύομαι) ὡς παρὰ Σώφρονι «ἐγκίκρα, ὡς εἴω», τουτέστι κέρασον ἵνα πορευθῶ, καὶ ὁ μέσος παρακείμενος εἶα διὰ καθαροῦ ᾱ καὶ κατὰ ἔκτασιν Ἀττικὴν τοῦ ε̄ εἰς η̄ ἦα διὰ τοῦ η καὶ ῑ ὥσπερ εἰκάζω εἴκαζον καὶ ᾔκαζον καὶ πάλιν εἴδειν ᾔδειν, καὶ κατὰ διάλυσιν τοῦ ῑ ἤϊα, ὡς παρὰ τῷ ποιητῇ (δ 433)

ἤϊα, πολλὰ θεοὺς γουνούμενος,

ἀντὶ τοῦ ἐπορευόμην, οὗ τὸ τρίτον πρόσωπον ἤϊε,

ὁ δ' ἤϊε νυκτὶ ἐοικώς (Α 47).

τοῦτο τὸ ἤϊα διὰ τοῦ η̄ καὶ ῑ τρέπει τὸ ᾱ εἰς ειν, καὶ ποιεῖ τὸ ὑπερσυντελικὸν ἠΐειν κατὰ τὴν ἄρχουσαν διὰ τοῦ η̄ καὶ ῑ καὶ διὰ τῆς ει διφθόγγου κατὰ τὴν λήγουσαν, ἐξ οὗ τὸ παρῄειν καὶ ἐξῄειν καὶ ἀπῄειν, ὡς παρὰ Μενάνδρῳ

ἀπῄειν τῶν τόκων ἔχων τόκους.

l. 26 δείω scripsi pro δέω. l. 29 ἐγκίκρα M; cf. E. M. 121, 30 et 423, 24.

10.

Eustath. 143, 5: ἰcτέον ὅτι μέcoc παρακείμενόc ἐcτι τὸ ἐμπεφυυῖα κατὰ κανόνα, ὃν ἐκτίθεται καὶ Ἡρωδιανὸc λέγων, καθαρεύοντι τῷ ἐνεcτῶτι cυγκαθαρεύειν καὶ τὸν μέcoν παρακείμενον οἷον φύω πέφυα, ἀκούω ἀκήκοα.

11.

Choer. 585, 15: παραλήγουcαν τὴν αὐτὴν ἔχει ὁ μέcoc παρακείμενοc τῷ ἐνεργητικῷ παρακειμένῳ οἷον τέτυφα τέτυπα, νένηκα νένηθα, πέπληχα πέπληγα, νένυχα νένυγα, πέπηχα πέπηγα, ὤρυχα ὤρυγα, ἤμειφα ἤμειβα, ἤγερκα ἤγερα, χωρὶc εἰ μὴ εὑρεθῇ ἐν διcυλλάβῳ μέλλοντι τὸ ε̄ ἢ μόνον ἢ μετὰ τοῦ ῑ· τότε γὰρ τρέπεται τὸ ε̄ εἰc ο̄ ἐν τῷ παρακειμένῳ οἷον λέγω λέξω λέλογα, τέκω τέξω τέτοκα, νέμω νεμῶ νένομα, μένω μενῶ μέμονα, γείνω γενῶ γέγονα, κείρω κερῶ κέκορα, cπείρω cπερῶ ἔcπορα, φθείρω φθερῶ ἔφθορα, κτείνω κτενῶ ἔκτονα. ἀποροῦcι δέ τινεc λέγοντεc, διὰ ποίαν αἰτίαν ἐπὶ τοῦ κερῶ κέκορα καὶ φθερῶ ἔφθορα οὐκ ἐφυλάχθη τὸ ῑ, ἵνα ᾖ κέκοιρα καὶ ἔφθοιρα· καὶ ἔcτιν εἰπεῖν, ἐπειδὴ οὐκ ἐφυλάχθη τὸ ῑ κατὰ τὸν μέλλοντα, κερῶ γὰρ καὶ φθερῶ ἐcτιν ὁ μέλλων, τούτου χάριν οὐδ' ἐν τῷ μέcῳ παρακειμένῳ ἐφυλάχθη· ἐπὶ δὲ τοῦ πείθω λείβω ἐπειδὴ ἐφυλάχθη τὸ ῑ κατὰ τὸν μέλλοντα — πείcω γὰρ καὶ λείψω ἐcτὶ ὁ μέλλων — τούτου χάριν καὶ κατὰ τὸν μέcoν παρακείμενον ἐφυλάχθη. τούτων οὕτωc ἐχόντων, δεῖ γινώcκειν ὅτι ἡνίκα εὑρεθῇ ἐν τῷ περιcπωμένῳ ἐνεcτῶτι τὸ ε̄, ἢ ἐν τῷ βαρυτόνῳ ἐνεcτῶτι μέν, δι' ἑνὸc δὲ τοῦ λ ἐκφερομένῳ, οὐ τρέπεται εἰc ο̄ ἐν τῷ μέcῳ παρακειμένῳ ἀλλὰ φυλάττεται οἷον θέλω τέθελα, μέλω μέμελα, καὶ τροπῇ τοῦ ε̄ εἰc τὸ η̄ τέθηλα, μέμηλα, ἐξ οὗ καὶ ἡ μετοχὴ μεμηλώc

μέγα πλούτοιο μεμηλώc (Ε 708).

καὶ εὐλόγωc ἐπὶ τούτων οὐ τρέπεται τὸ ε̄ εἰc τὸ ο̄ ἐν τῷ μέcῳ παρακειμένῳ ἐπειδὴ οὐκ ἔcτιν ἐπ' αὐτῶν διcύλλαβοc ὁ μέλλων, ἀλλ' ὑπὲρ δύο cυλλαβὰc οἷον θέλω θελήcω, «μελήcoυcιν δέ μοι ἵπποι» (Ε 228). ἰcτέον δὲ ὅτι ἐὰν ὁ ἐνεcτὼc τῇ ᾱι διφθόγγῳ παραλήγηται, τρέπει αὐτὴν ἐν τῷ μέcῳ παρακειμένῳ εἰc η οἷον φαίνω πέφηνα, χαίνω κέχηνα, μαίνω ἐξ οὗ τὸ μαίνομαι μέμηνα, δαίω τὸ καίω δέδηα, καίω κέκηα.

Cram. Anecd. III 395, 22: τὸ νένοφα· οὐ μεμνημένοc ὁ Ἡρωδιανὸc ἀπορεῖ, πῶc ὁ Ἀριcτοφάνηc νένοφα εἶπε καὶ οὐ νένοιφα, ἵν' ᾖ ὥcπερ λείβω λέλοιβα, λείπω λέλοιπα, οὕτω νείφω νένοιφα. περὶ οὗ ἔcτιν εἰπεῖν, ὡc οὐκ ἐκ τοῦ νείφω ἐκλίθη κατὰ τὸ πείθω πέποιθα καὶ ὅcα ἕτερα ἐπὶ ἐνεcτῶτοc ἔχει τὸ ε̄ μετὰ τοῦ ῑ, ἀλλ' ὡc εἰκὸc ἐκ τοῦ νέφω, ἵνα ᾖ ὥcπερ λέγω λέλογα οὕτω καὶ νέφω νένοφα κατὰ τὰ ἔχοντα τὸ ε̄ μόνον ἐν τῷ ἐνεcτῶτι. τοῦ δὲ νέφω εἰ καὶ μή ἐcτι χρῆ-

l. 5 hinc patet etiam extremam partem superioris fragmenti ex Herodiano petitam esse. l. 25 τέθηλα inserui. l. 29 θέλω θελήcω scripsi pro τελέcω τελέccω. l. 33 totum hunc locum ex Herodiano depromptum esse docet fragmentum libri περὶ cυζυγιῶν et ex hoc loco apparet locum Choerobosci, quem praemisi, ex Herodiano petitum esse.

cιc, ἀλλὰ δοκεῖ ὅμωc πρωτότυπον αὐτὸ εἶναι τοῦ νείφω, ὡc ὑποδηλοῖ καὶ τὸ ἐξ αὐτοῦ νέφοc καὶ ἡ νεφέλη.

12.

Choer. 586, 28: περὶ ποcότητοc τῶν cυλλαβῶν λέγομεν ὅτι μὲν ἐπὶ βαρυτόνων θεμάτων ἰcοcυλλαβεῖ τῷ ἐνεργητικῷ παρακειμένῳ ὁ μέcοc παρακείμενοc οἷον τύπτω τέτυφα τέτυπα, νύccω νένυχα νένυγα, νήθω νένηκα νένηθα, πείθω πέπεικα πέποιθα, πλήccω πέπληχα πέπληγα. κείρω κέκαρκα κέκορα, φθείρω ἔφθαρκα ἔφθορα, ἐπὶ δὲ τῶν περιcπωμένων θεμάτων μιᾷ cυλλαβῇ ἐνδεῖ τοῦ ἐνεργητικοῦ ὁ μέcοc παρακείμενοc οἷον δουπῶ δουπήcω δεδούπηκα δέδουπα, μυκῶ μυκήcω μεμύκηκα μέμυκα, κτυπῶ κτυπήcω ἐκτύπηκα ἔκτυπα.

Eustath. 61, 21: ὥcπερ μέλω μελήcω μεμέληκα καὶ μέcοc παρακείμενοc μέμηλα καὶ ὤλεκα ὦλα, τεθάληκα τέθηλα, οὕτω βεβούληκα βέβουλα. τοιοῦτόν τι καὶ τὸ λέληκα· «δαιμόνιη, τί λέληκαc» (Hes. Opp. 207), καὶ τὸ δεδούπηκα δέδουπα κατὰ Ἡρωδιανὸν «δεδουπότοc Οἰδιπόδαο» (Ψ 679). καὶ ἕτερα οὐκ ὀλίγα, ἐν οἷc καὶ τὸ ἐκτύπηκα ἔκτυπα· εἰcὶ γὰρ περιcπώμενοι τοιοῦτοι μέcοι παρακείμενοι ὡc πολλαχοῦ φανεῖται· ὃ καὶ αὐτοὶ κατὰ τὰ προρρηθέντα μιᾷ cυλλαβῇ ἐνδέουcι τοῦ ἐνεργητικοῦ, ὅπερ ἐν τοῖc βαρυνομένοιc οὐκ ἔcτι ῥήμαcιν. ἐν ἐκείνοιc γὰρ ἰcοcυλλαβεῖ καθόλου ὁ μέcοc τῷ ἐνεργητικῷ.

13.

Choer. 587, 15: δεῖ γινώcκειν ὅτι τότε ἐπιλιμπάνουcιν οἱ μέcοι παρακείμενοι, ἡνίκα ἀπὸ τῶν περιcπωμένων θεμάτων εὑρεθῇ ὁ ἐνεργητικὸc παρακείμενοc, καὶ τρicύλλαβοc ἀπὸ δύο cυμφώνων ἀρχόμενοc, ἢ ἀπὸ μόνου τοῦ ε̄ οἷον θλῶ θλάcω τέθλακα, κλῶ κλάcω κέκλακα, cμῶ cμήcω ἔcμηκα, δρῶ δράcω δέδρακα, ζῶ ζήcω ἔζηκα· καὶ τοῦτο εὐλόγωc, ἐπειδὴ ὁ ἐνεργητικὸc παρακείμενοc ἀπὸ περιcπωμένων ὑπάρχων μιᾷ cυλλαβῇ περιττεύει τοῦ μέcου παρακειμένου, οἷον μυκῶ μεμύκηκα μέμυκα, δουπῶ δεδούπηκα δέδουπα· εἰ ἐποιήcαμεν οὖν μέcον παρακείμενον ἐπὶ τῶν προλεχθέντων, φημὶ τοῦ τέθλακα καὶ κέκλακα καὶ δέδρακα, ἔcμηκα, ἔζηκα, ἤμελλεν ὁ μέcοc παρακείμενοc μιᾷ cυλλαβῇ ἐνδεῖν τοῦ ἐνεργητικοῦ παρακειμένου, καὶ εἶχεν εἰc διcυλλαβίαν περιπεcεῖν, ὅπερ ἐcτὶν ἄτοπον· cπανίωc γὰρ εὑρίcκεται διcύλλαβοc παρακείμενοc ἐν χρήcει· cπάνιον δὲ εἶπον διὰ τὸ οἶδα

οἶδ' ἐπὶ δεξιὰ οἶδ' ἐπ' ἀριcτερὰ νωμῆcαι βῶν
ἀζαλέην (Η 238)·

καὶ διὰ τὸ οἶκα, ὃ cημαίνει τὸ ὁμοιῶ, οἷον «οἶκαc μὲν ὡραίῳ λίνῳ» παρ' Ἀλκμᾶνι, ἀντὶ τοῦ ὅμοιοc εἶ, καὶ διὰ τὸ εἶα καὶ κατ' ἔκταcιν Ἀττικὴν τοῦ ε̄ εἰc η̄ ἦα, ὃ γίνεται ἐν διαλύcει παρὰ τῷ ποιητῇ,

ἤϊα πολλὰ θεοὺc γουνούμενοc.

l. 37 οἶκα scr. pro εἶκα et verba Alcmanis explevi ex Ep. Cr. I 287, 1 et Choer. 871, 30, verba καὶ κατ' ἔκταcιν — ἦα ipse inserui, in Epim. legitur: εἶα, ὅπερ ἐν διαλύcει ἔϊα καὶ ἐπαυξήcει ἤϊα. De re cf. Mon. 24, 4 οἶδα.

Eustath. 759, 5: Ἡρωδιανὸς προϋποθεὶς ῥῆμα τὸ εἴδω παράγει ἐξ αὐτοῦ μέσους παρακειμένους ἐπὶ μὲν τοῦ θεωρῶ καὶ γινώσκω οἶδα, ἐπὶ δὲ τοῦ ὁμοιῶ τὸ οἶκα, ἐξ οὗ ἔοικα, οὗ ὑπερσυντελικὸς ἐῴκειν κατὰ ἔκτασιν.

14.

Cram. An. Ox. III 398, 3: τοῦ δείδοικα πρωτότυπον ὃν τὸ δέδοικα ἐκ τοῦ δείδω τὸ δειλιῶ ἔχει ἀπορίαν πῶς διὰ τοῦ κ̄ ἐκφέρεται καὶ μὴ διὰ τοῦ θεματικοῦ δ̄ διὰ τὸν κανόνα, δι' ὃν ὥρισται καθολικῶς, ὅτι ἐπὶ τῶν βαρυτόνων, δι' οὗ συμφώνου ἐκφέρεται ὁ ἐνεστώς, διὰ τοῦ αὐτοῦ καὶ ὁ μέσος παρακείμενος οἷον λείβω λέλοιβα, λέγω λέλογα κατὰ τὸν Ἡρωδιανόν, καθ' ὃν ἔδει ἀπὸ τοῦ δείδω δέδοιδα εἶναι τὸν μέσον παρακείμενον. λύσις δὲ τῆς ἀπορίας ταύτης τὸ μὴ χρῆναι τρία παράλληλα δ παραλαμβάνεσθαι. τὸ γὰρ τοιοῦτον ψελλισμῷ, φησίν, ὑποπίπτει. διὸ ἀντεισῆλθε τοῦ τρίτου δ̄ τὸ κ̄ τοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ δείδω δείσω δέδεικα, ὃς ἐσιγήθη διὰ τὸ τοῦ μέσου παρακειμένου πολύχρηστον. ὅτι δ' ἐν πολλοῖς ἡ παραλληλία φεύγεται, δηλοῖ καὶ ὁ τεμένιος, ὃν δέον ὂν διφθόγγῳ παραλήγεσθαι κατὰ τὸν κανόνα τοῦ κήτειος κήδειος ἐπιτήδειος καὶ τῶν ὁμοίων ὅμως, ἵνα μὴ ἐπάλληλα εἴη τὰ τρία ε̄, ἐγράφη διὰ μόνου τοῦ ῑ· Σοφοκλῆς (Trach. 754) «τεμενίαν τε φυλλάδα». οὕτω καὶ τὸ «ἴριδι δίῃ» κακίζεται κατὰ τὸ ἀλλεπάλληλον τῶν διχρόνων.

15.

Choer. 592, 30: περὶ τοῦ ἔολπα ζητοῦσιν ὅτι πόθεν γέγονε; — λέγει δὲ ὁ Ἡρωδιανὸς ὅτι δύναται εἶναι ὡς ἀπὸ τρισυλλάβου τοῦ ἐέλπω, τούτου γὰρ ὁ μέσος παρακείμενος ἦελπα καὶ κατὰ τροπὴν τοῦ ε̄ εἰς τὸ ο̄ καὶ συστολῇ τοῦ η̄ εἰς τὸ ε̄ ἔολπα.

16.

Cram. An. Ox. III 263, 24: τὸ ἔμμορε Ζηνόβιος καὶ Ἡρωδιανὸς οὕτω κανονίζουσι μείρω μερῶ, ὁ μὲν παρακείμενος μέμορα καὶ ἐν ὑπερθέσει τοῦ μ̄ ἔμμορα.

---

l. 1 cf. An. Par. III 320 ubi sic fere: ἐπὶ τοῦ ὁμοιῶ ἵνα μὴ συνεμπέσῃ τῷ οἶδα ἐγένετο οἶκα καὶ ἔοικα. l. 6 idem refert Eustath. 149, 1 et de δέδοικα An. Paris. III 316, 6; similia etiam habet Choer. 589 Apollonio eundem de δέδοικα sententiam attribuens, quae hic Herodiano assignatur. — Ex Herodiano petivit fortasse Choer. l. c. eam formae δέδοικα explicationem, quam Alexander Cotyaensis proposuit: Ἀλέξανδρος ὁ Κοτυαεὺς θαυμασίως αὐτὸ σχηματίζει· λέγει γὰρ ὅτι πολλὰ ῥήματα ἀπὸ μέλλοντος παράγεται εἰς τὸν ἐνεστῶτα, καὶ τρέπει τὸ σ̄ εἰς χ̄ ἢ εἰς τὸ κ̄ οἷον σμῶ σμήσω σμήχω, ἐξ οὗ τὸ σμήξω, ὀλῶ ὀλέσω ὀλέκω οὕτως οὖν καὶ ἐκ τοῦ δείσω μέλλοντος ἐγένετο ὁ ἐνεστὼς δείκω κατὰ τροπὴν τοῦ σ̄ εἰς κ̄ καὶ ἐκ τοῦ δείκω λοιπὸν ἀκολούθως ὁ μέσος παρακείμενος δέδοικα ὥσπερ λείπω λέλοιπα, λείβω λέλοιβα, πείθω πέποιθα. l. 28 cf. E. M. 335, 22. Quod Choeroboscus — nam ex eo petitum esse locum Anecdotorum demonstrat Choer. Dict. 593, 26 — contra Herodiani sententiam profert: ἀλλ' ἐλέγχει αὐτὸ τὸ β' πρόσωπον, οὐ διὰ τοῦ ᾱ γάρ, ἀλλὰ διὰ τοῦ ε̄ ἐκφέρεται. ὅθεν καὶ κανονίζεται οὕτως· μορῶ μορήσω ὁ πρῶτος ἀόριστος ἐμόρησε, ὁ δὲ δεύτερος ἔμορον ἔμορες καὶ Αἰολικῶς ἔμμορον ἔμμορες ἔμμορε — non refutat Herodianum, nam ubi per ε secunda persona pronunciabatur, aoristus quidem secundus haberi debet, sed

17.

Eustath. 1687, 12: Ἡρωδιανὸς ἐκ τοῦ λήχω τὸ λαγχάνω παράγων τὸ λέλοχα τροπῇ τοῦ η εἰς ο μικρὸν ὁμοίως τῷ πήθω πέποθε λέγει καὶ πλεονάζειν ἐν αὐτοῖς τὸ ν ὡς καὶ ἐν τῷ κέχανδα οἷον «οἶκον κεχανδότα πολλὰ καὶ ἐσθλά» (δ 96).

*18.

E. M. 667, 33, Ep. Cr. I 268, 32: οὐδέποτε μέσος παρακείμενος διὰ δύο συμφώνων κατὰ σύλληψιν ἐκφέρεται οὐδὲ διὰ διπλῶν· ἔνθεν οὔτε ἀπὸ τοῦ χραισμῶ οὔτε ἀπὸ τοῦ ὀλισθῶ μέσοι γεγόνασι παρακείμενοι ὥσπερ οὐδὲ ἀπὸ τοῦ λιχμῶ, ἵνα μὴ διὰ δύο συμφώνων ἐξενεχθῶσι. τὸ γὰρ «γλώσσῃσι δνοφερῇσι λελιχμότες» παρ' Ἡσιόδῳ (Theog. 826) οὕτως ἐγένετο· ἔστι τι περισπώμενον λιχμῶ οὗ ὁ παρακείμενος λελίχμηκα καὶ ἡ μετοχὴ λελιχμηκὼς καὶ κατὰ συγκοπὴν λελιχμώς. καὶ τὸ πεφυζὼς γέγονεν ἀπὸ τοῦ πεφυζηκὼς καὶ κατὰ συγκοπὴν πεφυζώς.

(Περὶ ὑπερσυντελικοῦ).

(Περὶ πρώτου ἀορίστου).

19.

Eustath. 36, 37: ὥσπερ τὸ κρῆναι ἀπὸ δισυλλάβου τοῦ κραίνω καὶ τὸ μιῆναι ἀπὸ τοῦ μιαίνω, οὕτω καθ' Ἡρωδιανὸν καὶ τὸ κυδῆναι ἐκ τοῦ κυδαίνω, εἰ καὶ κυδᾶναι, φησί, καθ' ἡμᾶς λέγεται ὡς καὶ κερδᾶναι.

20.

Choer. 610, 14: ἄξιόν ἐστι ζητῆσαι, διὰ τί τῶν σεσημειωμένων ἐν τῷ πρώτῳ ἀορίστῳ, φημὶ δὲ τὸ ἤνεγκα καὶ εἶπα καὶ ἔδωκα καὶ ἔθηκα καὶ ἧκα τὰ μὲν δύο τὰ ἀπὸ τῶν εἰς ω, λέγω δὲ τὸ εἶπα καὶ ἤνεγκα, κλίνεται μὲν καὶ εἰς τὰς μετοχὰς καὶ εἰς τὰς λοιπὰς ἐγκλίσεις, τὰ δὲ τρία τὰ ἀπὸ τῶν εἰς μι, λέγω δὲ τὸ ἔθηκα καὶ ἔδωκα καὶ ἧκα, οὐ κλίνεται οὔτε εἰς τὰς μετοχὰς οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις; καὶ λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν ἀπολογίαν κτλ. ὁ δὲ Ἡρωδιανὸς ἄλλην ἀπολογίαν παραδίδωσιν ἔχουσαν οὕτως· τὸ εἶπα διὰ τοῦ ψ ὤφειλεν ἐκφέρεσθαι, ἐπειδὴ καὶ ὁ μέλλων τὸ ψ ἔχει, ἔψω γάρ ἐστι· τοῦ δὲ μέλλοντος τὸ ψ ἔχοντος καὶ ὁ πρῶτος ἀόριστος διὰ τοῦ ψ ἐκφέρεται οἷον γράψω ἔγραψα, τύψω ἔτυψα· καὶ πάλιν τὸ ἤνεγκα διὰ τοῦ ξ ὤφειλεν ἐκφέρεσθαι, ἐπειδὴ καὶ ὁ μέλλων διὰ τοῦ ξ ἐκφέρε-

---

tertia persona, prout sententia poscit, aut pro perfecto putanda est velut ἔμμορε Il. A 278 aut pro aoristo velut iis locis, quos citat Lob. ad Buttm. p. 241.
l. 2 cf. Choer. 594, 7 et 24, Ep. Cr. I 267, 13 et 376, 1, E. M. 560, 47. l. 18 cf. Choer. 607, 35: πολλάκις οἱ Ἴωνες τρέπουσι τὸ ᾱ εἰς τὸ η̄ ἐν τῷ πρώτῳ ἀορίστῳ οἷον ἐμίανα ἐμίηνα, ἐχλίανα ἐχλίηνα, ἐθέρμανα ἐθέρμηνα, ἐλίανα ἐλίηνα, ἐκάθαρα ἐκάθηρα, ἐσήμανα ἐσήμηνα, ἐξ οὗ ὁ πρῶτος ἀόριστος ἐσημηνάμην καὶ ὑπεσημηνάμην, ἔφανα ἔφηνα, ἐξ οὗ ὁ α' μέσος ἀόριστος ἐφηνάμην. τούτοις δὲ τοῖς ὑπὸ τῶν Ἰώνων γινομένοις, λέγω δὲ τὸ ἐμίηνα καὶ ἐλίηνα καὶ ἐχλίηνα καὶ ἐκάθηρα καὶ ἐσήμηνα καὶ τοῖς ὁμοίοις, χρῶνται οἱ Ἀθηναῖοι.

ται, ἐνέγξω γάρ ἐϲτι ὁ μέλλων· τοῦ δὲ μέλλοντοϲ τὸ ξ ἔχοντοϲ καὶ ὁ πρῶτοϲ ἀόριϲτοϲ διὰ τοῦ ξ̄ ἐφέρεται οἷον λέξω ἔλεξα, νύξω ἔνυξα· ἐπειδὴ οὖν τὸ εἶπα διὰ τοῦ ψ̄ ὤφειλε καὶ τὸ ἤνεγκα διὰ τοῦ ξ̄, οὐκ ἐγένετο δὲ οὕτωϲ, ἀλλὰ τὸ μὲν διὰ τοῦ π̄, τὸ δὲ διὰ τοῦ κ̄, τὸ δὲ κ̄ ϲυγγένειαν πρὸϲ τὸ ξ̄ καὶ τὸ π̄ πρὸϲ τὸ ψ̄ ἔχειν, τὸ δὲ ξ̄ ἐκ τοῦ κ̄ καὶ ϲ̄ δοκεῖ ϲυγκεῖϲθαι, τὸ δὲ ψ̄ ἐκ τοῦ π̄ καὶ ϲ̄, εἰκότωϲ ὡϲ μέροϲ τι τῆϲ ἀναλογίαϲ φυλάξαντα ἀκωλύτωϲ κλίνεται καὶ εἰϲ τὰϲ μετοχὰϲ καὶ εἰϲ τὰϲ λοιπὰϲ ἐγκλίϲειϲ· τὸ δὲ ἔδωκα καὶ ἔθηκα καὶ ἧκα διὰ τοῦ ϲ̄ ὤφειλεν εἶναι, ἐπειδὴ καὶ ὁ μέλλων διὰ τοῦ ϲ̄ ἐκφέρεται, δώϲω γὰρ καὶ θήϲω καὶ ἥϲω ἐϲτὶν ὁ μέλλων, ἐξ οὗ καὶ τὸ ἀφήϲω· τοῦ δὲ μέλλοντοϲ διὰ τοῦ ϲ̄ ὄντοϲ καὶ ὁ πρῶτοϲ ἀόριϲτοϲ διὰ τοῦ ϲ̄ ἐκφέρεται οἷον ποιήϲω ἐποίηϲα, νοήϲω ἐνόηϲα· ἐπειδὴ οὖν τὸ ἔθηκα, ἔδωκα, ἧκα διὰ τοῦ ϲ̄ ὤφειλεν εἶναι, οὐκ ἐγένετο δὲ οὕτωϲ, ἀλλὰ διὰ τοῦ κ̄, τὸ δὲ κ̄ πρὸϲ τὸ ϲ̄ οὐδεμίαν ϲυγγένειαν ἔχει, εἰκότωϲ ὡϲ μὴ φυλάξαντα μέροϲ τι τῆϲ ἀναλογίαϲ κωλύεται κλίνεϲθαι καὶ εἰϲ τὰϲ μετοχὰϲ καὶ εἰϲ τὰϲ λοιπὰϲ ἐγκλίϲειϲ.

(Περὶ δευτέρου ἀορίϲτου).

Ut Herodianus in fr. 12 de nnmero syllabarum perfecti secundi exposuit, sic etiam de numero syllabarum aoristi secundi dissernisse putaudus est in eum modum, qno dispntat Choerob. 619, 14: περὶ τῆϲ ποϲότητοϲ τῶν ϲυλλαβῶν ἔϲτιν εἰπεῖν, ὅτι ἀπὸ μὲν βαρυτόνων θεμάτων ἰϲοϲυλλαβεῖ τῷ πρώτῳ ἀορίϲτῳ ὁ δεύτεροϲ ἀόριϲτοϲ οἷον τύπτω τύψω ἔτυψα ἔτυπον, ῥάπτω ἔρραψα ἔρραφον, νύϲϲω ἔνυξα ἔνυγον, γράψα ἔγραψα ἔγραφον, ἐξ οὗ τὸ ἐγράφην, ἀπὸ δὲ περιϲπωμένων θεμάτων μιᾷ αὐτοῦ ἐνδεῖ ὁ δεύτεροϲ ἀόριϲτοϲ, οἷον δουπῶ ἐδούπηϲα ἔδουπον, μυκῶ ἐμύκηϲα ἔμυκον, χραιϲμῶ ἐχραίϲμηϲα ἔχραιϲμον, ὀλιϲθῶ ὠλίϲθηϲα ὤλιϲθον.

Atqne otiam de quantitate vocalis iu paenultima tractasse enm arbitror sic fere nt Choer. 623, 13: ἰϲτέον ὅτι ὁ δεύτεροϲ ἀόριϲτοϲ εἴτε ἀπὸ βαρυτόνων θεμάτων εἴτε ἀπὸ περιϲπωμένων βραχείᾳ θέλει παραλήγεϲθαι, οἷον λείπω ἔλιπον, τρώγω ἔτραγον, λήβω ἔλαβον, κτυπῶ ἔκτυπον, μυκῶ ἔμυκον· τὰ γὰρ φυλάττοντα τὴν παραλήγουϲαν μακρὰν ἐν τῷ δευτέρῳ ἀορίϲτῳ εὐαρίθμητα· ἔϲτι δὲ ταῦτα· χραιϲμῶ ἔχραιϲμον, ὀλιϲθῶ ὤλιϲθον, βλαϲτῶ ἔβλαϲτον, ἀλαλκῶ ἤλαλκον, ἁμαρτῶ ἥμαρτον, καὶ κατὰ ὑπερβιβαϲμὸν τοῦ ρ̄ καὶ τροπῇ τοῦ ᾱ εἰϲ ο̄ καὶ πλεοναϲμῷ τοῦ β̄ ἤμβροτον. ἔϲτι καὶ τὸ δουπῶ ἔδουπον μακρᾷ παραληγόμενον, καὶ τὸ τέρπω ἔταρπον, πλήϲϲω ἔπληγον καὶ ἔπλαγον πρὸϲ διάφορον ϲημαινόμενον· ὁ γὰρ πλήϲϲων ἢ ὁ πληϲϲόμενοϲ ἢ ϲωματικῶϲ πλήϲϲεται ἢ ψυχικῶϲ, καὶ εἰ μὲν ϲωματικῶϲ, ἔπληγον, διὰ τοῦ η̄, ἐξ οὗ καὶ τὸ ἐπλήγην, εἰ δὲ ψυχικῶϲ, ἔπλαγον, διὰ τοῦ ᾱ, ἐξ οὗ τὸ ἐπλάγην καὶ κατεπλάγην. ἀμέλει ὁ ποιητήϲ, ἐπειδὴ ἐπὶ τῆϲ ψυχικῆϲ διαθέϲεωϲ κατεπλήγη εἶπε διὰ τοῦ η̄ διὰ τὴν ἀνάγκην τοῦ μέτρου, τούτου χάριν προϲέθηκε τὸ φίλον ἦτορ,

κατεπλήγη φίλον ἦτορ (Γ 31),

ἵνα μὴ διὰ τῆϲ γραφῆϲ τοῦ η̄ νομιϲθῇ ἐπὶ τῆϲ ϲωματικῆϲ διαθέϲεωϲ κεῖϲθαι. τὸ αὐτὸ δὲ λέγουϲι καὶ ἐπὶ τοῦ πονῶ πονήϲω καὶ πονέϲω, ὁ γὰρ πονῶν ἢ ϲωματι-

---

l. 27 in his, quae ab Herodiano abhorrere aut dubia videbantur, omisi. De quantitate autem egisse Herodiannm patet ex Choer. p. 755, nbi abnormem accentum imperativorum ἐλθὲ εἰπὲ εὑρὲ eo excusat, quod indlcativus horum productam paeunltimam habeat reliquis aoristis secundis brevi syllaba pracfinitis.

κῶς πονεῖ ἢ ψυχικῶς· καὶ εἰ μὲν cωματικῶς, πονέcω διὰ τοῦ ε̄, εἰ δὲ ψυχικῶς πονήcω διὰ τοῦ η̄· διὰ τοῦτο cημειούμεθα παρὰ Ἀριστοφάνει (Pac. 820)

ἐγὼ δέ τοι πεπόνηκα κομιδῇ τὼ cκέλη,

ἐπειδὴ cωματικῶς λεχθὲν διὰ τοῦ η̄ προcηνέχθη. ἔcτι καὶ τὸ δέρθω ἔδαρθον μακρᾷ παραληγόμενον, ὅπερ γίνεται κατὰ ὑπερβιβαcμὸν ἔδραθον, cημαίνει δὲ τὸ ἐκοιμήθην· ἔcτι δὲ καὶ τὸ ἔπεφνον· ἔcτι καὶ τὸ ἅδε τὸ cημαῖνον τὸ ἤρεcε. γέγονε δὲ τοῦτον τὸν τρόπον· ἔcτιν ἥδω ἐξ οὗ τὸ ἥδομαι, τούτου ὁ δεύτερος ἀόριcτος λόγῳ μὲν παραληγούcης γίνεται ἅδον διὰ τοῦ ᾱ, ἐξ οὗ τὸ

ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων (M 80),

ὥcπερ λήβω ἔλαβον, μήθω ἔμαθον, δήκω ἔδακον· λόγῳ δὲ ἀρχούcης γίνεται ἧδον διὰ τοῦ η̄, καὶ ἧδε καὶ κατὰ διάλυcιν τοῦ η̄ εἰc ε̄ καὶ ᾱ γίνεται ἔαδα, ὥcπερ ἥλω ἑάλω· ἔcτι καὶ τὸ δέρκω ἔδαρκον, ὅπερ γίνεται κατὰ ὑπερβιβαcμὸν ἔδρακον· ἔcτι καὶ τὸ πέρθω ἔπαρθον, ὅπερ γίγνεται κατὰ ὑπερβιβαcμὸν ἔπραθον· ἔcτι καὶ τὸ κακέμφατον τὸ ἔπαρδον μακρᾷ παραληγόμενον, ὅτι ἀπὸ τοῦ πέρδω, ἐξ οὗ τὸ πέρδομαι, ἔπαρδον καὶ ἀπέπαρδον· τὸ ἦλθον καὶ εὗρον λόγῳ ἀρχούcης ἔχουcι τὴν μακράν· ἐπειδὴ γὰρ ταῦτα διcύλλαβά ἐcτι καὶ τὴν αὐτὴν ἔχει ἄρχουcαν καὶ παραλήγουcαν, τῷ λόγῳ τῆc ἀρχούcης ἔcχε τὴν μακράν καὶ οὐ τῷ λόγῳ τῆc παραληγούcης. γέγονε δὲ τὸ ἦλθον τοῦτον τὸν τρόπον· ὥcπερ ἀπὸ τοῦ φεύγω γέγονεν ἔφυγον καὶ ἀπὸ τοῦ τεύχω ἔτυχον, οὕτω καὶ ἀπὸ τοῦ ἐλεύθω γέγονε ἤλυθον καὶ κατὰ cυγκοπὴν ἦλθον. ὡcαύτως δὲ καὶ τὸ εἶπον, ὡc ἀπὸ τοῦ ἔπω γενόμενον, λόγῳ ἀρχούcης ἔcχε τὴν μακράν· τὸ γὰρ ε̄ μεγεθυνόμενον διὰ τῆc προcθήκης τοῦ ῑ μεγεθύνεται οἷον ἔχω εἶχον, ἕλκω εἷλκον, ἢ τρέπεται εἰc η̄ οἷον ἑρμηνεύω ἡρμήνευον, ἐλαύνω ἤλαυνον· οὐ δυνάμεθα δὲ λέγειν, ὅτι ἐν τῷ εἶπον δευτέρῳ ἀορίcτῳ λόγῳ παραληγούcης προcῆλθε τὸ ῑ, ἐπειδὴ ὡc εἰρήκαμεν, ἡνίκα ᾖ ἀπὸ βαρυτόνων θεμάτων ὁ δεύτερος ἀόριcτος, βραχείᾳ θέλει παραλήγεcθαι οἷον ἔτυπον, ἔνυγον, ἔλαβον, ἔμαθον. ἰcτέον δὲ ὅτι εἶδον γενόμενον ἀπὸ τοῦ εἴδω λόγῳ ἀρχούcης διὰ τῆc ει διφθόγγου γράφεται οἷον

εἶδον γὰρ cκοπιὴν ἐc παιπαλόεccαν ἀνελθών (κ 194)·

λόγῳ δὲ παραληγούcης διὰ τοῦ ῑ γράφεται οἷον

οὐκ ἴδον οὐ πυθόμην (ψ 40).

Ἔλθωμεν δὲ καὶ μάθωμεν πῶc cυcτέλλεται ἐν τῷ δευτέρῳ ἡ παραλήγουcα. ἰcτέον ὅτι ὀφείλει ὁ δεύτερος ἀόριcτος διχρόνῳ παραλήγεcθαι, ὅθεν ἐπὶ τοῦ τρώγω ἔτραγον τὸ ω̄ εἰc τὸ ᾱ ἐτράπη καὶ ἐπὶ τοῦ λήβω ἔλαβον τὸ η̄ εἰc ᾰ τρέπεται ἐν τῷ δευτέρῳ ἀορίcτῳ κατὰ τὴν παραλήγουcαν, εἰc α δὲ cυcτελλόμενον, δηλονότι βραχύ, διὰ τὸ τὸν δεύτερον ἀόριcτον βραχείᾳ θέλειν παραλήγεcθαι, ὡc εἴρηται. ἔcτω δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· λήβω ἔλαβον, μήθω ἔμαθον, πρήθω (τὸ καίω) ἔπραθον, φήγω ἔφαγον, λήθω ἔλαθον, πήθω ἔπαθον, δήκω ἔδακον, λήχω ἔλαχον, τήκω ἔτακον (ἐξ οὗ τὸ ἐτάκην), πλήccω ἔπλαγον (ἐξ οὗ τὸ ἐπλάγην πρὸς διάφορον cημαινόμενον, ὡc ἐν τοῖc προλαβοῦcιν εἰρήκαμεν)· ἡ εῡ δίφθογγος τὸ ε̄ ἀποβάλλει καὶ τὸ δίχρονον φυλάττει ἐν τῷ δευτέρῳ ἀορίcτῳ. φεύγω ἔφυγον, τεύχῳ ἔτυχον, πεύθω ἔπυθον (ἐξ οὗ τὸ ἐπυθόμην), ἐλεύθω ἤλυθον καὶ κατὰ cυγκοπὴν ἦλθον. ἰcτέον δὲ ὅτι ἐκ τοῦ ἔτυχον γίνεται ὁ δεύτερος ἀόριcτος ἐτυχόμην τετύχοντο κατὰ ἀναδιπλαcιαcμὸν καὶ τροπῇ τοῦ χ̄ εἰc τὸ ἀντίcτοιχον τὸ ψιλόν, φημὶ δὲ εἰc τὸ κ̄, «τετύκοντό τε δαῖτα» (A 467). ἐὰν εὑρεθῇ δύο δίχρονα, τὸ δεύτερον ἀποβάλλεται ἐν τῷ δευτέρῳ ἀορίcτῳ καὶ τὸ πρῶτον φυλάττεται οἷον καίω ἔκαον ἐξ οὗ τὸ ἐκάην. χαίρω ἔχαρον ἐξ οὗ τὸ ἐχάρην, μαίνω μαίνομαι ἔμανον ἐξ οὗ τὸ ἐμάνην, φαίνω ἔφανον ἐξ οὗ τὸ ἐφάνην, χαίνω ἔχανον, παύω ἔπαον ἐξ οὗ τὸ ἐπάην καὶ ἀνεπάην ἐν τῇ cυνηθείᾳ· ἡ ει δίφθογγος ἐν τῷ δευτέρῳ ἀορίcτῳ ἀποβάλλει τὸ ε̄ καὶ φυλάττει τὸ ῑ· οἷον λείπω ἔλιπον, πείθω ἔπιθον ἐξ οὗ τὸ ἀπαρέμφατον πιθεῖν ὥcπερ λαβεῖν καὶ κατὰ ἀναδιπλαcιαcμὸν πεπιθεῖν, λείβω

ἔλιβον. δεῖ προcθεῖναι, χωρὶc τῶν διcυλλάβων τῆc ε΄ cυζυγίαc· ἐπ᾽ ἐκείνων γὰρ τὸ ῑ ἀποβάλλεται κατὸ τὸν δεύτερον ἀόριcτον, ἐπειδὴ καὶ ἐν τῷ μέλλοντι τὸ ῑ ἀποβάλλεται καὶ τὸ ε̄ εἰc ᾱ τρέπεται οἷον κείρω κερῶ ἔκαρον ἐξ οὗ τὸ ἐκάρην, φθείρω φθερῶ ἔφθαρον ἐξ οὗ τὸ ἐφθάρην, cπείρω cπερῶ ἔcπαρον ἐcπάρην, κτείνω κτενῶ ἔκτανον. πρόcκειται «χωρὶc τῶν διcυλλάβων», ἐπειδὴ ἐπὶ τῶν ὑπὲρ δύο cυλλαβὰc τὸ ῑ μόνον ἀποβάλλεται, σύκέτι δὲ τροπὴ παρηκολούθηcε τοῦ ε̄ εἰc τὸ ᾱ ἐν τῷ δευτέρῳ ἀορίcτῳ οἷον ἐγείρω ἤγερον, ὀφείλω ὤφελον.

21.

Choer. 630, 8: ἰcτέον δὲ ὅταν εὑρεθῇ τὸ ε̄ cὺν ἀμεταβόλῳ, ὡc ἐπὶ τὸ πλεῖcτον τρέπεται εἰc τὸ ᾱ κατὰ τὸν δεύτερον ἀόριcτον ἐν τῇ παραληγούcῃ, εἴτε τοῦ ε̄ προηγεῖται τὸ ἀμετάβολον, εἴτε ἐπιφέρεται αὐτῷ· τῆc ε΄ cυζυγίαc τὸ ῑ δηλονότι ἀποβάλλεται οἷον κείρω ἔκαρον, φθείρω ἔφθαρον, cτείλω ἔcταλον ἐξ οὗ τὸ ἐcτάλην καὶ ἀπεcτάλην, δείρω ἔδαρον ἐξ οὗ τὸ ἐδάρην, τέμνω ἔταμον, πέρθω ἔπαρθον καὶ κατὰ ὑπερβιβαcμὸν ἔπραθον, δέρκω ἔδαρκον, πέρδω ἔπαρδον ἐξ οὗ πέρδομαι, δρέμω ἔδραμον· τοῦτο δὲ καὶ προηγούμενον ἔχει τὸ ε̄ καὶ ἐπιφερόμενον ἔχει τὸ ἀμετάβολον· τοῦτο δὲ δύναται, ὥc φηcιν Ἡρωδιανόc, καὶ ἀπὸ περιcπωμένου τοῦ δραμῶ εἶναι ἐξ οὗ ὁ δεδράμηκα παρακείμενοc· καὶ ταῦτα μὲν ἐπιφερομένου τῷ ε̄ τοῦ ἀμεταβόλου· καὶ προηγουμένου δὲ τοῦ ε̄ τοῦ ἀμεταβόλου οἷον κλέπτω ἔκλαπον ἐξ οὗ τὸ ἐκλάπην, πλέκω ἔπλακον ἐξ οὗ τὸ ἐπλάκην, τρέπω ἔτραπον ἐξ οὗ τὸ ἐτράπην, τρέφω ἔτραφον ἐξ οὗ τὸ ἐτράφην, cτρέφω ἔcτραφον ἐξ οὗ τὸ ἐcτράφην, βρέχω ἔβραχον ἐξ οὗ τὸ ἐβράχην. πρόcκειται «ὡc ἐπὶ τὸ πλεῖcτον» διὰ τὸ ἀγείρω ἤγειρον, ἀείρω ἤερον καὶ ὀφείλω ὤφελον καὶ λέγω ἔλεγον ἐξ οὗ τὸ ἐλέγην καὶ κατελέγην· ἐπὶ τούτων γὰρ οὐκ ἐτράπη τὸ ε̄ εἰc ᾱ.

22.

Choer. 631, 24: ἰcτέον ὅτι τὸ ἔπεcον μονῆρέc ἐcτιν, οὐδέποτε γὰρ ὁ δεύτεροc ἀόριcτοc πρὸ τῆc ο̄ν̄ cυλλαβῆc τὸ c̄ ἔχει οἷον ἔτυπον, ἔνυγον, ἔλαβον, ἔμαθον, ἔφαγον, ἔδακον. λέγει δὲ Ἡρωδιανόc, ὅτι ἐcτὶν ὅμοιον αὐτῷ τὸ κακέμφατον, φημὶ δὲ τὸ ἔχεcον, καὶ αὐτὸ πρὸ τῆc ο̄ν̄ cυλλαβῆc τὸ c̄ ἔχει καὶ παρατίθεται τὴν χρῆcιν παρ᾽ Ἀλκαίῳ ἐν Γανυμήδει ἔχουcαν οὕτωc (Com. graec. ed. Mein. II 826)

κατέχεcον τῆc Νηρηΐδοc.

cχηματίζει δὲ ὁ Ἡρωδιανὸc τοῦτον τὸν τρόπον τὸ ἔπεcον· φηcὶν ὅτι ὥcπερ ἀπὸ τοῦ φυcῶ φυcήcω γίνεται φύcημα καὶ ἀπὸ τοῦ νοcῶ νοcήcω νόcημα, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ πεcῶ περιcπωμένου γίνεται πεcήcω καὶ πέcημα, ὄνομα ῥηματικόν, ὡc παρ᾽ Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ (652)

οὗ πεcήματα
πλεῖcθ᾽ Ἑλλάδοc πέπτωκε δορυπετῆ νεκρῶν,

---

l. 16 praeceptum de ἔδραμον ex hoc loco transiit in E. M. 316, 47, E. Gud. 160, 59, Zonar. 618.

καὶ λοιπὸν ὡς ἀπὸ τοῦ πεςῶ περιςπωμένου γέγονεν ἔπεςον ὁ δεύτερος ἀόριςτος ὥςπερ καὶ ἀπὸ τοῦ χραιςμῶ ἔχραιςμον καὶ ἀπὸ τοῦ ὀλιςθῶ ὤλιςθον.

23.

E. M. 472, 13: ὁ Ἡρωδιανὸς λέγει τοῦτο [sc. τὸ ἶξον in «οἱ δ' ἶξον κοίλην Λακεδαίμονα» (δ 1)] καὶ τὰ ὅμοια ἐκ μέλλοντος μετατεθεῖςθαι εἰς ἐνεςτῶτα ἵξω καὶ ὁ παρατατικὸς ἶξον ἶξες ἶξε· τὸ πληθυντικὸν ἴξομεν ἴξετε ἶξον. ὅτι δὲ οὐκ ἔςτι δεύτερος ἀόριςτος, ἀλλὰ παρατατικός, ἐλέγχει καὶ τὰ προςτακτικά. εὑρήςεις γὰρ βῆςε καὶ ἶξε καὶ οἶςε ὡς τύπτε καὶ γράφε. εἰ δὲ ἦν ἀόριςτος, ἦν ἂν βῆςον καὶ ἶξον. ἔςτι δὲ οἴςω μέλλων, οὗ ἄλλο κίνημα οὐχ εὕρηται πλὴν τοῦ μέλλοντος. οὗτος δὲ μετάγεται κατὰ ποιητικὴν ἐξουςίαν εἰς ἐνεςτῶτα, οὗ τὸ προςτακτικὸν οἶςε «οἶςε θέειον γρηῦ» (χ 481) καὶ «οἴςετε πῦρ» (Ο 718).

24.

Choer. 618, 29: εἰ ὁ ἐνεςτὼς διὰ καθαροῦ τοῦ ω ἐκφέρεται, καὶ ὁ δεύτερος ἀόριςτος διὰ καθαροῦ τοῦ ον ἐκφέρεται οἷον κίω ἔκιον ὡς παρὰ τῷ ποιητῇ «ἔκιον μεγάλῳ ἀλαλητῷ» (Μ 138), καίω ἔκαον ἐξ οὗ τὸ ἐκάην, πίω ἔπιον.

E. M. 238, 23 γόον: «οἱ μὲν ἔτι ζωὸν γόον Ἕκτορα δῖον» (Ζ 500) ἀντὶ τοῦ ἐγόων. ὁ μὲν Ἀπολλώνιος δευτέρας ςυζυγίας αὐτὸ εἶναι λέγει καὶ παρατατικοῦ, ὁ δὲ Ἡρωδιανὸς δευτέρου ἀορίςτου ὥςπερ κτυπῶ ἔκτυπον, οὕτω γοῶ ἔγοον.

25.

Ep. Cr. I 267, 18: λίγξε (Δ 125) τοῦτο δηλοῖ μίμηςιν ἤχου, ὃν ἀφιεμένου τοῦ βέλους ἀποτελεῖ ἡ νευρά. τὰ δὲ κατὰ μίμηςιν φωνῆς λεγόμενα εἰς ἰδιότητα γέγονε· καὶ τοίνυν τὸ λίγξε, εἰ καὶ ἀορίςτου α' χαρακτῆρα ἔχει, ἀλλ' οὖν τὸ θέμα αὐτοῦ μὴ ζητήςεις, ὅθεν τὸν Νίκανδρόν τινες ἐμέμψαντο ἐν τῷ λέγειν «ἐπιλίζοντας οἰςτούς». τοῦ γὰρ λίγξε τὸ θέμα θελήςας εἰπεῖν ἔφθειρε τὴν τοῦ ἤχου μίμηςιν· οὐ γὰρ ἀπὸ θέματος τὰ τοιαῦτα κέκληται, ἀλλ' ἀπὸ τῶν φωνῶν μόνων αὐτῶν ἡ ὀνοματοποιία γέγονε· καὶ τὸ «ςίζ' ὀφθαλμός» (ι 394)· καιόμενος γὰρ ὁ τοῦ Κύκλωπος ὀφθαλμὸς ποιὰν ἀπετέλεςε φωνήν. τοῦ οὖν ςίζω χαρακτῆρα ἔχοντος ἐνεςτῶτος χρόνου μὴ ζήτει μηδένα

---

l. 3 extrema verba καὶ ἀπὸ τοῦ τύπτω ἔτυπον in κτυπῶ ἔκτυπον mutanda, sed Herodiano abiudicanda esse vidit Lehrsius Mon. 24, 12 collato gemino Epimerismorum loco Cr. I 176. l. 12 verba οὗτος δὲ μετάγεται addidi collato Choerob. p. 752. Similia habent Ep. Cr. I 205 et Schol. ad Od. δ 1.

l. 15 Choerobosci praeceptum praeposui, quia γόον ibi protulisse Herodianum arbitror, ubi de aoristis secundis puris disputavit. l. 24 prior pars huius adnotamenti usque ad l. 4 p. seq. τῆς τοῦ ἤχου μιμήςεως exstat etiam in E. M. 712, 30 cum subscriptione οὕτω Ζηνόβιος, altera pars inde ab πάλιν ἔςτι παρὰ τῷ ποιητῇ «κρίκε κτλ. usque ad finem legitur in E. M. 538, 51, E. Gud. 347, 21 cum subscriptione οὕτω Ζηνόδοτος. Zenodotus autem vel Zenobius Herodianum more suo exscripsit cf. quae dixi in Philol. XXI p. 386 seqq. Nicandri versus in E. M. 712, 41 servatus est. l. 25 in codice sunt τὰ δὲ κατὰ μίμηςιν φωνῆς ἡ ἰδιότητα λεγόμενα γεγόναςιν.

χρόνον ἕτερον μηδὲ ἔγκλιϲιν ἑτέραν μηδὲ ὡϲ τὸ ἵζω κλίνηϲ τὸ ϲίζω, ἵνα μὴ καὶ τὸ ϲημαινόμενον διαφθείρηϲ. πάλιν ἔϲτι τὸ «κύματα παφλάζοντα» (Ν 798). μὴ οὖν ὥϲπερ τὸ θαυμάζω κλίνηϲ παφλάϲω ἢ πεπάφλακα, ἀφαιρήϲειϲ γὰρ τὴν λέξιν τῆϲ ἐμφάϲεωϲ, τῆϲ τοῦ ἤχου μιμήϲεωϲ. πάλιν ἔϲτι παρὰ τῷ ποιητῇ «κρίκε δὲ ζυγόν» (Π 470) μιμητικῶϲ εἰρημένον, ἐφ' οὗ τινεϲ οὐ προϲεϲχηκότεϲ τῇ μιμήϲει τῆϲ φωνῆϲ ἠπόρηϲαν, ὡϲ Ἡρωδιανόϲ φηϲι, πῶϲ ἀπὸ θέματοϲ τοῦ κρίζω ὢν ὁ δεύτεροϲ ἀόριϲτοϲ οὔτε διὰ τοῦ $\bar{\gamma}$ ἐϲτὶν οὔτε διὰ τοῦ δ ὡϲ τὸ φράζω ἔφραδον καὶ ϲτίζω ἔϲτιγον, ἀλλὰ διὰ τοῦ κ· ὅτι δέ ἐϲτι τὸ κρίζω θέμα, δῆλον ἐκ τῶν κινημάτων· ὁ γὰρ ποιητήϲ φηϲιν «αἱ κεκριγυῖαι» (ω 9) καὶ ῥηματικὸν ὄνομα κριγή ὡϲ παρ' Ἱππώνακτι «κριγὴ δὲ νεκρῶν ἄγγελόϲ τε καὶ κῆρυξ». ϲχηματίζει δὲ τὸ κρίζω Ἡρωδιανὸϲ οὕτωϲ· ἔϲτι μονοϲύλλαβον κρῶ, ἀφ' οὗ τὸ κράζω ἕτερον ῥῆμα καὶ κρώζω· ἀπὸ δὲ τοῦ κράζω γίνεται κρίζω ὡϲ ϲτάζω ϲτίζω, ϲεβάζω ϲεβίζω. τούτου δὲ τοῦ κρίζω ἡμαρτημένον ἀόριϲτον παραλαμβάνει τὸ κρίκε. ἡμεῖϲ δὲ οὔ φαμεν ἡμαρτῆϲθαι, ἀλλὰ πεποιῆϲθαι.

(Περὶ πρώτου μέλλοντοϲ).

Choer. 638, 25: ἄξιόν ἐϲτι ζητῆϲαι διὰ ποίαν αἰτίαν ὁ μέλλων ϲυνάρχεϲθαι θέλει τῷ ἰδίῳ ἐνεϲτῶτι οἷον τύπτω τύψω, λέγω λέξω, ἄγω ἄξω, οἰκῶ οἰκήϲω. καὶ ἔϲτιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· ἰϲτέον ὅτι ἀναλογεῖ ὁ μέλλων τῇ εὐθείᾳ, ὁ δὲ ἐνεϲτὼϲ τῇ γενικῇ· πάντα γὰρ τὰ ὄντα ἐν τῇ εὐθείᾳ ἐϲτὶ καὶ ἐν τῷ μέλλοντι, καὶ πάντα τὰ ὄντα ἐν τῇ γενικῇ ἐϲτὶ καὶ ἐν τῷ ἐνεϲτῶτι οἷον τὸ $\bar{\nu}$, $\bar{\xi}$, $\bar{\rho}$, $\bar{ϲ}$, $\bar{\psi}$ ἐϲτὶν ἐν τῇ εὐθείᾳ ὡϲ ἐν τῷ Δίων, Φοῖνιξ, Νέϲτωρ, Πάριϲ, Πέλοψ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντί ἐϲτιν οἷον τύψω, λέξω, ποιήϲω, κερῶ, ῥανῶ· καὶ πάλιν διὰ τοῦ $\bar{\gamma}$, $\bar{\kappa}$, $\bar{\chi}$, $\bar{\beta}$, $\bar{\pi}$, $\bar{\varphi}$, $\bar{\delta}$, $\bar{\theta}$, $\bar{\tau}$, καὶ διὰ καθαροῦ τοῦ οϲ ἐκφέρεται ἡ γενικὴ οἷον Φοίνικοϲ, τέττιγοϲ, ὄνυχοϲ, Πέλοποϲ, Ἄραβοϲ, κίνυφοϲ, Πύριδοϲ, ὄρνιθοϲ, Λάχητοϲ, βότρυοϲ· ἀλλὰ καὶ ὁ ἐνεϲτὼϲ ἐκφέρεται διὰ τούτων τῶν ϲυμφώνων καὶ διὰ καθαροῦ τοῦ $\bar{\omega}$ οἷον λέγω, πλέκω, τρέχω, τέρπω, λείβω, γράφω, δίδω, πείθω, ἀνύτω, ἀκούω, οὐκ ἀντιϲτρέφοντοϲ τοῦ κανόνοϲ· οὐδὲ γὰρ πάντα τὰ ὄντα ἐν τῷ μέλλοντί ἐϲτι καὶ ἐν τῇ εὐθείᾳ, οὐδὲ πάντα τὰ ὄντα ἐν τῷ ἐνεϲτῶτι καὶ ἐν τῇ γενικῇ· ἰδοὺ γὰρ τὸ $\bar{\mu}$ καὶ τὸ $\bar{\lambda}$ ἔϲτιν ἐν τῷ μέλλοντι οἷον τιλῶ, νεμῶ, καὶ ὅμωϲ οὐκ ἔϲτιν ἐν τῇ εὐθείᾳ (τὸ γὰρ Δανιὴλ καὶ Ἀδὰμ βάρβαρά ἐϲτι)· καὶ πάλιν ὁ ἐνεϲτὼϲ ἔχει πρὸ τοῦ $\bar{\omega}$ τὸ $\bar{\zeta}$ καὶ τὰ δύο ϲϲ οἷον πλήϲϲω, ϲυρίζω, καὶ ὅμωϲ ἡ γενικὴ ἀπὸ κλίϲεωϲ οὐκ ἔχει ταῦτα. πρόϲκειται «ἀπὸ κλίϲεωϲ» διὰ τὸ μαζὸϲ μαζοῦ καὶ Παρναϲϲὸϲ Παρναϲϲοῦ· ἐνταῦθα γὰρ ἀπὸ τῆϲ εὐθείαϲ ἐϲτὶ τὸ $\bar{\zeta}$ καὶ τὰ δύο $\overline{ϲϲ}$. ἐπειδὴ οὖν ὁ μέλλων ἀναλογεῖ τῇ εὐθείᾳ, ὁ δὲ ἐνεϲτὼϲ τῇ γενικῇ, ἡ δὲ γενικὴ ϲυνάρχεται τῇ εὐθείᾳ οἷον λέβητοϲ λέβηϲ, Λάχητοϲ Λάχηϲ, Τρωόϲ Τρώϲ, Πηλέωϲ Πηλεύϲ, Αἴαντοϲ Αἴαϲ, ἔρωτοϲ ἔρωϲ· τὸ γὰρ Ζεὺϲ Διόϲ Βοιωτικόν ἐϲτι καὶ τό

l. 10 in loco Odysseae vulgata scriptura est τετριγυῖαι cf. Bekk. ad h. l. l. 14 Lob. Rhemat. 87 adnotat.: ϲτίζω a ϲτάζω ortum esse hariolatio est Herodiano indigna: in E. M. 727, 25 ϲτίζω a ϲτῶ ut φοιτίζω a φοιτῶ repetitur, quod tamen nostro loco non adversatur, ubi et ϲτάζω et ϲτίζω a ϲτῶ provenire dicuntur ut a κρῶ κράζω et κρίζω. De κρίκε cf. Lob. Parall. 408 not. 19. — Breviter summa nostri adnotamenti refertur ab Eustath. 1119 extr. ϲεϲίγηται τὸ λίζω καθὰ καὶ ἄλλοι τοιοῦτοι ἐνεϲτῶτεϲ. καὶ γοῦν οὐδὲ τοῦ ἔκλαγξαν ἔϲτιν εὑρεῖν ἐνεϲτῶτα κλάγγω οὐδὲ τοῦ λίγξε βιόϲ τὸ λίγγω οὐδὲ μὴν τὸ κρίζω τοῦ κρίκε ζυγὸϲ ἢ κρίγεν. l. 18 cf. p. 481, 19 et 613, 27.

θρίξ τριχὸς τροπὴν πέπονθε τοῦ θ εἰς τὸ τ, τούτου χάριν ὁ ἐνεστὼς συνάρχεται τῷ μέλλοντι.

Choer. 640, 1: περὶ τῆς ποσότητος τῶν συλλαβῶν ἰστέον ὅτι ἐπὶ μὲν βαρυτόνων θεμάτων ἰσοσυλλαβεῖ ὁ μέλλων τῷ ἐνεστῶτι οἷον τύπτω τύψω· τὸ γὰρ παρ' Ἀριστοφάνει τυπτήσω ἐν Πλούτῳ (21)

οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε

ὡς ἀπὸ περισπωμένου ἐστί· λέγω λέξω, πλέκω πλέξω, γράφω γράψω, πείθω πείσω, ἀκούω ἀκούσω, βαδίζω βαδίσω, κείρω κερῶ, φθείρω φθερῶ, μιαίνω μιανῶ. δεῖ προσθεῖναι χωρὶς τῶν ἐχόντων ἐν λ, ἐπὶ τούτων μιᾷ συλλαβῇ περιττεύει ὁ μέλλων τοῦ ἐνεστῶτος, οἷον θέλω θελήσω, μέλω μελήσω,

μελήσουσιν δέ μοι ἵπποι (Ε 228),

ὀφείλω ὀφειλήσω· ἐπὶ δὲ περισπωμένων μιᾷ συλλαβῇ περιττεύει ὁ μέλλων τοῦ ἐνεστῶτος οἷον ποιῶ ποιήσω, νοῶ νοήσω, γελῶ γελάσω, περῶ περάσω, στεφανῶ στεφανώσω, γυψῶ γυψώσω, καὶ ἐπὶ τούτων δὲ ἐὰν λάβῃ τις τὴν ἐντέλειαν, εὑρίσκει τὸν μέλλοντα ἰσοσύλλαβον τῷ ἐνεστῶτι οἷον ποιέω ποιήσω, βοάω βοήσω, χρυσόω χρυσώσω, ἀλλὰ λοιπὸν ὁ ἐνεστὼς συναιρούμενος ἔνδειαν πάσχει συλλαβῆς οἷον ποιέω ποιῶ, βοάω βοῶ, χρυσόω χρυσῶ, καὶ τούτου χάριν εὑρίσκεται ὁ μέλλων μιᾷ συλλαβῇ περιττεύων τοῦ ἐνεστῶτος. καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί τὰ δι' ἑνὸς λ ἐκφερόμενα περιττοσυλλάβους ἔχει τοὺς μέλλοντας οἷον θέλω θελήσω, μέλω μελήσω (τὸ ἐν φροντίδι εἰμί), ὀφείλω ὀφειλήσω. καὶ λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν αἰτίαν, ὅτι πολλά ἐστι ῥήματα καὶ ὡς ἀπὸ βαρυτόνων καὶ ἀπὸ περισπωμένων ποιεῖται τὴν κλίσιν οἷον τύπτω τύψω καὶ τυπτῶ τυπτήσω,

οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε,

Ἀριστοφάνης ἐν Πλούτῳ (21)· εἴδω εἴσω, ἐξ οὗ καὶ τὸ εἴσομαι

εἴσομαι αἴ κε μ' ὁ Τυδείδης κρατερὸς Διομήδης (Θ 532),

καὶ εἰδῶ εἰδήσω, ἐξ οὗ τὸ

εἰδῆς δὲ καὶ αὐτός,

ῥίπτω ἔρριπτον καὶ ῥιπτῶ ἐρρίπτουν, ὡς παρὰ τῷ ποιητῇ (ν 78) «ἀνερρίπτουν», κύω ἔκυον καὶ κυῶ ἐκύουν

ἣ δ' ἐκύει φίλον υἱόν (Τ 117)

γράφω γράψω καὶ γραφῶ γραφήσω, ἐξ οὗ ὁ γεγράφηκα παρακείμενος. οὕτως οὖν καὶ τὰ ἔχοντα ἐν λ ἕως μὲν τοῦ παρατατικοῦ ὡς ἀπὸ βαρυτόνων ποιεῖται τὴν κλίσιν, ἀπὸ δὲ τοῦ μέλλοντος ὡς ἀπὸ περισπωμένων οἷον θέλω θελήσω τεθέληκα ἐθέλησα, μελῶ μελήσω μεμέληκα ἐμέλησα, ὀφείλω ὀφειλήσω ὠφείληκα ὠφείλησα, ὥσπερ νοῶ νοήσω νενόηκα ἐνόησα. ταῦτα μὲν Ἀπολλώνιος.

26.

Choer. 641, 12: ὁ δὲ Ἡρωδιανὸς ἀνατρέπει αὐτὸν λέγων, ὅτι κακῶς λέγεις, τὰ γὰρ ὡς ἀπὸ βαρυτόνων καὶ ὡς ἀπὸ περισπωμένων ποιοῦντα τὴν κλίσιν ἐν τῷ αὐτῷ χρόνῳ καὶ ὡς ἀπὸ περισπωμένων καὶ ὡς ἀπὸ βαρυτόνων ποιεῖται τὴν κλίσιν οἷον τύπτω τύψω τυπτῶ τυπτήσω, ῥίπτω ἔρριπτον καὶ ῥιπτῶ ἐρρίπτουν, εἴδω εἴσω καὶ εἰδῶ εἰδήσω· τὰ δὲ ἔχοντα ἐν λ οὐ ποιεῖται κατὰ τὸν αὐτὸν χρόνον καὶ ὡς ἀπὸ βαρυτόνων θεμάτων καὶ ὡς ἀπὸ περισπωμένων τὴν κλίσιν· ἀλλ' ἕως μὲν τοῦ παρατατικοῦ, ὡς εἴρηται, ἀπὸ βαρυτόνων ποιεῖται τὴν κλίσιν, οὐδέποτε δὲ ὡς ἀπὸ περισπωμένων· κρεῖττον οὖν ἐστιν εἰπεῖν, φημί, τὴν ἀπολογίαν ταύτην· ἐν τοῖς ῥήμασι τὸ σ καὶ τὸ λ πέφυκε διπλασιάζεσθαι οἷον πλήσσω, τινάσσω, πάλλω, τίλλω· καὶ τὰ μὲν ἔχοντα δύο σσ ἢ δύο λλ χαίρει τῇ βαρείᾳ τάσει οἷον νύσσω, πλήσσω, τινάσσω,

ἐρύccω, τίλλω, ποικίλλω, cτέλλω, cφάλλω, χωρὶc εἰ μὴ ἔχῃ ὀνόματα προϋποκείμενα· ἐκεῖνα γὰρ περιcπᾶται οἷον [κύκλοc κυκλῶ,] ἅμιλλα ἁμιλλῶ (ἐξ οὗ ἁμιλλῶμαι), λύccα λυccῶ, τὸ γὰρ νύccω οὐκ ἀπὸ τοῦ νύccα ἐcτίν, ἐπεὶ εἶχε περιcπᾶcθαι, ἀλλὰ τοὐναντίον, νύccα γὰρ λέγεται ὁ καμπτὸc παρὰ τὸ νύccεcθαι τοὺc ἵππουc· τὰ δὲ εἰc ἓν c ἢ ἓν λ χαίρει τῇ περιcπωμένῃ τάcει οἷον φιλῶ, χρυcῶ, γελῶ, λαλῶ, ἐλῶ (cημαίνει δὲ τὸ ἐλαύνω), ὀφειλῶ (leg. ὠφελῶ), πωλῶ, ἀμελῶ. ταῦτα οὖν ἔχοντα ἓν λ καὶ μὴ περιcπαcθέντα, λέγω δὲ τὸ μέλω καὶ θέλω καὶ ὀφείλω, ἀνεμερίcατο τὴν κλίcιν, καὶ ἕωc μὲν τοῦ παρατατικοῦ, ὡc εἴρηται, ἀπὸ βαρυτόνων κλίνεται, μετὰ δὲ τὸν παρατατικὸν ἐν τοῖc ἐφεξῆc χρόνοιc ὡc ἀπὸ τῶν περιcπωμένων ποιεῖται τὴν κλίcιν. τούτου οὖν χάριν τὰ δι' ἑνὸc λ ἐκφερόμενα ἔχει τὸν μέλλοντα μιᾷ cυλλαβῇ περιττεύοντα τοῦ ἐνεcτῶτοc.

Choer. 643, 27: ἰcτέον ὅτι ἀναλογίαν ἔχει ὁ μέλλων τῇ εὐθείᾳ, ὁ δέ ἐνεcτὼc τῇ γενικῇ· ἐπειδὴ οὖν ὅτε ἡ εὐθεῖα διὰ τοῦ ψ ἐκφέρεται, τότε ἡ γενικὴ διὰ τοῦ β ἢ π ἢ φ ἐκφέρεται οἷον Ἄραψ Ἄραβοc, Κύκλωψ Κύκλωποc, Κίνυψ Κίνυφοc (ἔcτι δέ ὄνομα ποταμοῦ), τούτου χάριν καὶ ὅτε ὁ ἐνεcτὼc διὰ τοῦ β ἢ π ἢ φ ἢ πτ ἐκφέρεται, τότε ὁ μέλλων διὰ τοῦ ψ ἐκφέρεται οἷον λείβω λείψω, γράφω γράψω, τέρπω τέρψω· καὶ πάλιν ἐπειδὴ ὅτε ἡ εὐθεῖα διὰ τοῦ ξ ἐκφέρεται τότε ἡ γενικὴ διὰ τοῦ γ ἢ κ ἢ χ ἢ κτ ἐκφέρεται οἷον Φοίνιξ Φοίνικοc, τέττιξ τέττιγοc, ὄνυξ ὄνυχοc, ἄναξ ἄνακτοc, τούτου χάριν καὶ ὅτε ὁ ἐνεcτὼc ἢ διὰ τοῦ γ ἢ κ ἢ χ ἢ κτ, τότε ὁ μέλλων διὰ τοῦ ξ ἐκφέρεται οἷον λέγω λέξω, πλέκω πλέξω, τρέχω θρέξω, πέκω (an πέκτω?) πέξω· καὶ πάλιν ἐπειδὴ ὅτε ἡ εὐθεῖα διὰ τοῦ c ἐκφέρεται καὶ περιττοcυλλάβωc κλίνεται, τότε ἡ γενικὴ διὰ τοῦ θ ἢ τ ἢ διὰ καθαροῦ τοῦ oc ἐκφέρεται οἷον Πάριc Πάριδοc, ὄρνιc ὄρνιθοc, Λάχηc Λάχητοc, βότρυc βότρυοc· τούτου οὖν χάριν ὅτε ὁ ἐνεcτὼc διὰ τοῦ δ ἢ θ ἢ τ ἢ διὰ καθαροῦ τοῦ ω ἐκφέρεται, τότε ὁ μέλλων διὰ τοῦ c ἐκφέρεται οἷον ᾄδω ᾄcω, πείθω πείcω, ἀνύτω ἀνύcω, ἀκούω ἀκούcω. καὶ πάλιν ἐπειδὴ ἡ εὐθεῖα δι' ἀμεταβόλου ἐκφέρεται, τότε ἡ γενικὴ διὰ τοῦ αὐτοῦ ἀμεταβόλου ἐκφέρεται οἷον Ἕκτωρ Ἕκτοροc, Νέcτωρ Νέcτοροc, Πλάτων Πλάτωνοc, Θέων Θέωνοc (τό γὰρ ἧπαρ ἥπατοc καὶ δέλεαρ δελέατοc ἑτερόκλιτα λέγουcιν εἶναι, ὡc ἀπό τῆc εἰc αc καταλήξεωc, ὁμοίωc δέ καὶ ἡ ὕδατοc γενικὴ ὡc ἀπό τοῦ ὕδαc ἐcτί)· τούτου χάριν καὶ ὅτε ὁ ἐνεcτὼc δι' ἀμεταβόλου ἐκφέρεται, τότε καὶ ὁ μέλλων διὰ τοῦ αὐτοῦ ἀμεταβόλου ἐκφέρεται οἷον κείρω κερῶ, ῥαίνω ῥανῶ, τίλλω τιλῶ, νέμω νεμῶ.

27.

Choer. 644, 30: ἡ τετάρτη cυζυγία τῶν βαρυτόνων διαφορεῖται κατὰ τὸν μέλλοντα· πῇ γὰρ διὰ τοῦ c ἐκφέρεται οἷον cυρίζω cυρίcω, ἐλπίζω ἐλπίcω, φράζω φράcω· πῇ δὲ διὰ τοῦ ξ οἷον πλήccω πλήξω, cφάζω cφάξω. καὶ λέγει ὁ Ἡρωδιανόc, ὅτι εἰκότωc ἀτακτεῖ ὁ μέλλων τῆc τετάρτηc cυζυγίαc τῶν βαρυτόνων, καὶ πῇ μὲν διὰ τοῦδε cυμφώνου ἐκφέρεται, πῇ δὲ διὰ τοῦδε, ἐπειδὴ καὶ ὁ ἐνεcτὼc ἀτακτεῖ. ποία δὲ cυγγένεια ἐπὶ τῶν β' cc πρὸc τὸ ξ; οὐ γάρ ἐcτι τὰ β' cc διπλοῦν cύμφωνον, ὡc πρὸc τὸ ξ, διπλᾶ γάρ ἐcτι τρία, ζ ξ ψ.

28.

Choer. 645, 30: δύναται ὁ ἐρέcω μέλλων, ἐξ οὗ ὁ ἀόριcτοc α'

ἤρεcα «ἤρεcα χερcὶν ἐμῇcιν», ὥc φηcιν ὁ Ἡρωδιανόc, καὶ ὡc ἀπὸ περιcπωμένου τοῦ ἐρῶ ὥcπερ τελῶ τελέcω.

29.

Il. Pr. Λ 454: ἡ τοιαύτη ὕφεcιc τοῦ c̄ (sc. qualis exstat in v. 455 «αὐτὰρ ἐπεί κε θάνω, κτεριοῦcί με δῖοι Ἀχαιοί») Ἀττική ἐcτι καὶ περιcπᾷ τοὺc μέλλονταc διά τι αἴτιον, εἰ παραλήγεται τῷ ῑ cυνεcταλμένῳ, ὅπερ καὶ ἐπὶ τοῦ «τόνδε δ᾽ ἐγὼ κομιῶ» (ο 546). τὸ μέντοι ἐρύω οὐ δύναται ἔχεcθαι ταύτηc τῆc φύcεωc, ἀλλ᾽ ἐcτὶν ἐνεcτὼc ἀντὶ μέλλοντοc.

Causa autem perispaseos, quam significat Herodianus h. l., explicate exponitur ap. Choer. 647, 3: ἰcτέον ὅτι ἐπὶ τῶν διά τοῦ ιζω ὑπερδιcυλλάβων διά τοῦ ῑ γραφομένων εἰώθαcιν οἱ Ἀθηναῖοι ἀποβάλλειν τὸ c̄ κατά τὸν μέλλοντα καὶ περιcπᾶν οἷον γεμίζω γεμίcω γεμιῶ, ἐλπίζω ἐλπίcω ἐλπιῶ, cυρίζω cυρίcω cυριῶ, λακτίζω λακτίcω λακτιῶ, βαδίζω βαδίcω βαδιῶ, κουφίζω κουφίcω κουφιῶ. ἀποβάλλουcι δὲ τὸ c̄ πρῶτον καὶ οὕτωc περιcπῶcιν, ἐπειδὴ τὸ c̄ χαρακτηριcτικόν ἐcτι βαρυτόνου μέλλοντοc οἷον ποιήcω, νοήcω, λαλήcω· ἀποβάλλουcι γὰρ πρῶτον τό αἴτιον τῆc βαρείαc τάcεωc καὶ οὕτωc περιcπῶcι· τοῦτο δὲ ποιοῦcι κατὰ τόν μέλλοντα διά ταύτην τὴν αἰτίαν· κανών ἐcτιν ὁ λέγων, ὅτι ἡ παραλήγουcα τοῦ βαρυτόνου μέλλοντοc ἢ ἴcη θέλει εἶναι πρόc τὴν παραλήγουcαν τοῦ βαρυτόνου ἐνεcτῶτοc, ἢ μείζων, οὐδέποτε δὲ ἐλάττων, χωρὶc τοῦ πνίγω πνίξω, ἐρείκω ἐρείξω, ψύχω ψύξω· ἴcη μὲν οἷον λείπω λείψω, πείθω πείcω, λείβω λείψω, τύπτω τύψω, ῥάπτω ῥάψω, βλάπτω βλάψω· μείζων δὲ οἷον λέγω λέξω, πλέκω πλέξω, γράφω γράψω, τρέχω θρέξω, ἔχω ἕξω. πρόcκειται «βαρυτόνου ἐνεcτῶτοc» διά τὸ ἀρκῶ ἀρκέcω· ἐνταῦθα γὰρ ἡ παραλήγουcα τοῦ βαρυτόνου μέλλοντοc ἐλάττων ἐcτὶ τῆc παραληγούcηc τοῦ ἐνεcτῶτοc· ἀλλ᾽ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔcτι βαρύτονοc ἐνεcτώc. πρόcκειται «βαρυτόνου μέλλοντοc», διὰ τὸ κείρω κερῶ· ἐνταῦθα γὰρ ἡ παραλήγουcα τοῦ μέλλοντοc ἐλάττων ἐcτὶ τῆc παραληγούcηc τοῦ ἐνεcτῶτοc· ἀλλ᾽ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔcτι βαρύτονοc μέλλων. ἐπειδὴ οὖν ἐν τῇ τετάρτῃ cυζυγίᾳ παρεβιάcθη ὁ κανών, ὁ γὰρ cυρίζω καὶ δεcπόζω καὶ γεμίζω καὶ ἑτοιμάζω θέcει μακρᾷ παραλήγονται, τὸ δὲ θέcει μακρόν τοῦ φύcει βραχέοc μεῖζόν ἐcτι, τούτου χάριν ταύτην τὴν παραλογίαν φεύγοντεc οἱ Ἀθηναῖοι περιcπῶcι τὸν μέλλοντα. κανὼν γάρ ἐcτιν ὁ λέγων, ὅτι ἡνίκα ὁ μέλλων ἐλάττονα ἔχει τὴν ἰδίαν παραλήγουcαν τῆc παραληγούcηc τοῦ βαρυτόνου ἐνεcτῶτοc, περιcπᾶται οἷον κείρω κερῶ, cπείρω cπερῶ, φθείρω φθερῶ. καὶ ἄξιόν ἐcτι ζητῆcαι, διά τί ἐπὶ τῶν ἄλλων τοῦτο οὐ ποιοῦcι· ἐπὶ γὰρ τῶν διὰ τοῦ αζω καὶ οζω οὐκ ἀποβάλλουcι τὸ c̄ κατὰ τὸν μέλλοντα καὶ περιcπῶcιν οἷον δεcπόζω δεcπόcω, ἁρμόζω ἁρμόcω, ἀγοράζω ἀγοράcω, ἑτοιμάζω ἑτοιμάcω. καὶ ἔcτιν εἰπεῖν, ὅτι ἐπὶ τῶν διὰ τοῦ αζω καὶ ἐπὶ τῶν διὰ τοῦ οζω τοῦτο οὐ ποιοῦcιν, ἵνα μὴ φεύγοντεc τὸ ἓν ἄτοπον μείζονι ἀτόπῳ περιπέcωcι· οἱ γὰρ Ἀθηναῖοι ὅπου εὕρωcι ἀλλεπάλληλα φωνήεντα δυνάμενα cυναιρεθῆναι cυναιροῦcιν αὐτὰ οἷον Ἐρετριέωc Ἐρετριῶc, Πειραιέωc Πειραιῶc, Δημοcθένεοc Δημοcθένουc, Διομήδεοc Διομήδουc. εἰ ἀπέβαλλον οὖν ἐπὶ τούτων τὸ c̄ κατὰ τὸν μέλλοντα καὶ περιέcπαcαν, ἤμελλον cυναίρεcιν ποιῆcαι ἀλλεπαλλήλων τῶν αὐτοῦ φωνηέντων οἷον ἑτοιμάζω ἑτοιμάcω καὶ ἑτοιμῶ ὡc τὸ βοῶ· καὶ πάλιν δεcπόζω δεcπόcω δεcπῶ, ὥcπερ χρυcόω χρυcῶ. εἰ ἐποίηcαν δὲ cυναίρεcιν, ἤμελλεν ὁ μέλλων ἐλάττοναc cυλλαβὰc ἔχειν τοῦ ἐνεcτῶτοc, ὅπερ ἐcτὶν ἀδύνατον. ὁ μέλλων γὰρ ἰcοcυλλαβεῖν

l. 1 voluit sine dubio Ξ 351 afferre. l. 2 scribendum videtur τοῦ ἐρῶ εἶναι ὥcπερ τελῶ τελέcω, οὕτω καὶ ἐρῶ ἐρέcω. l. 8 cf. Il. Pr. Λ 365, Ο 351, Υ 452.

θέλει τῷ ἐνεϲτῶτι οἷον τύπτω τύψω, ἢ περιττοϲυλλαβεῖν θέλει οἷον ποιῶ ποιήϲω βοῶ βοήϲω, θέλω θελήϲω, ὀφείλω ὀφειλήϲω. διὰ ταύτην οὖν τὴν αἰτίαν οὔτε ἐπὶ τῶν διὰ τοῦ ᾱζω οὔτε ἐπὶ τῶν διὰ τοῦ ο̄ζω ἀποβάλλουϲιν οἱ Ἀθηναῖοι τὸ ϲ̄ κατὰ τὸν μέλλοντα καὶ περιϲπῶϲι· ἐπὶ γὰρ τῶν διὰ τοῦ ιζω ὑπὲρ β′ ϲυλλαβὰϲ διὰ τοῦτο ἀποβάλλουϲι τὸ ϲ̄ κατὰ τὸν μέλλοντα καὶ περιϲπῶϲιν, ἐπειδὴ τὸ ῑ καὶ τὸ ω̄ οὐδέποτε κιρνᾶται οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖϲ Ἀθηναίοιϲ οὔτε παρ' ἄλλῃ τινὶ διαλέκτῳ οἷον μειδιῶ, ἐρυθριῶ, ἀξιῶ, κοπιῶ.

Cur a verbis in υζω futurum Atticum non formatum sit, id a technicis non traditum esse dicit Choer.

Futuri Dorici mentionem inicit Herod. Il. Pr. Β 393 ἐϲϲεῖται, Choeroboscus Herodiano duce quaestionem instituit de perispasi futuri Dorici: ἄξιόν ἐϲτι ζητῆϲαι, διατί οἱ Δωριεῖϲ πάνταϲ τοὺϲ ὁριϲτικοὺϲ μέλλονταϲ περιϲπῶϲι; p. 651, 13, quem locum iam attuli ad Prooemium Catholicae.

Futurum Aeolicum tangit Herod. in Il. Pr. Λ 413 ἔλϲαν Αἰολικωτέρα κλίϲιϲ· Choer. 515, 1 τὸ φθερῶ οἱ Αἰολεῖϲ θέλοντεϲ βαρύνειν ἅτε δὴ βαρυντικοὶ ὄντεϲ φθέρϲω λέγουϲι τὸ ϲ̄ προϲτιθέντεϲ. τὸ γὰρ ϲ̄ χαρακτηριϲτικόν ἐϲτι βαρυτόνου μέλλοντοϲ οἷον ποιήϲω, νοήϲω. καὶ πάλιν τὸ κερῶ κέρϲω λέγουϲιν ἐξ οὗ τὸ «ἀπέκερϲε τένονταϲ» (Κ 456).

Choer. 652, 29: ἔϲτι δὲ κανονίϲαι τὴν παραλήγουϲαν τοῦ μέλλοντοϲ τῆϲ πρώτηϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων οὕτωϲ· ὅτε γὰρ μακρᾷ παραλήγεται ὁ ἐνεϲτώϲ, τότε ὁ μέλλων διὰ τοῦ η̄ ἐκφέρεται οἷον ποιῶ ποιήϲω, εὑρῶ εὑρήϲω, τηρῶ τηρήϲω, ἀθλῶ ἀθλήϲω, πενθῶ πενθήϲω, ὀλιϲθῶ ὀλιϲθήϲω· δεῖ προϲθεῖναι χωρὶϲ τοῦ ἀρκῶ ἀρκέϲω, τοῦτο γὰρ μακρᾷ παραληγόμενον κατὰ τὸν ἐνεϲτῶτα διὰ τοῦ ε̄ ἐξηνέχθη κατὰ τὸν μέλλοντα, καὶ χωρὶϲ τοῦ νεικῶ νεικέϲω, οἷον

> ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον
> νεικέϲω (Κ 114).

τὸ δὲ αἰνῶ αἰνέϲω ὀναλογώτερόν ἐϲτι παρὰ τοῖϲ ποιηταῖϲ λεγόμενον αἰνήϲω διὰ τοῦ η̄ οἷον

> μῦθον ἐπαινήϲαντεϲ Ὀδυϲϲῆοϲ θείοιο (Β 335),

ἐπειδὴ μακρᾷ παραλήγεται κατὰ τὸν ἐνεϲτῶτα, τοῦ παρὰ τοῖϲ ἰαμβογράφοιϲ διὰ τοῦ ε̄ λεγομένου οἷον αἰνέϲω καὶ ἐπαινέϲω, ὡϲ παρὰ Σοφοκλεῖ (Ai. 536)

> ἐπῄνεϲ' ἔργον (ἔργα Cod. M) καὶ πρόνοιαν ἣν ἔθου·

καὶ πάλιν παρ' Εὐριπίδῃ ἐν Μηδείᾳ (707)

> ἐᾷ δ' Ἰάϲων, οὐδὲ ταῦτ' ἐπῄνεϲα,

καὶ τὸ αἰδῶ αἰδήϲω, ἐξ οὗ τὸ αἰδήμων, ἀναλογώτερόν ἐϲτι τοῦ αἰδέϲω οἷον

> αἰδεϲθεὶϲ βαϲιλῆοϲ ἐνιπὴν αἰδοίοιο (Δ 402).

εἰ δὲ βραχείᾳ παραλήγεται ὁ ἐνεϲτὼϲ τῆϲ πρώτηϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων, τότε ὁ μέλλων πῆ μὲν τῷ η παραλήγεται, πῆ δὲ τῷ ε̄ οἷον φιλῶ φιλήϲω, νοῶ νοήϲω, τελέω τελέϲω, πατῶ πατήϲω, πῆ δὲ διφορεῖται οἷον φορῶ φορέϲω καὶ φορήϲω, πονῶ πονέϲω καὶ πονήϲω, τοῦτο δὲ πρὸϲ διάφορον ϲημαινόμενον διάφορον καὶ τὴν παραλήγουϲαν ἔχει· ὁ γὰρ πονῶν ἢ ψυχικῶϲ ἢ ϲωματικῶϲ πονεῖ· καὶ εἰ μὲν ϲωματικῶϲ, διὰ τοῦ ε πονέϲω δεῖ λέγειν, εἰ δὲ ψυχικῶϲ πονήϲω διὰ τοῦ η· διὰ τοῦτο ϲεϲημειούμεθα παρ' Ἀριϲτοφάνει (Pac. 820)

> ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὼ ϲκέλη·

ἐπειδὴ ϲωματικῶϲ λεχθὲν διὰ τοῦ ε ἐξηνέχθη.

Choer. 651, 18: περὶ δὲ τῆϲ παραληγούϲηϲ τοῦ μέλλοντοϲ τῆϲ δευτέραϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων ἔϲτιν εἰπεῖν ταῦτα· ἰϲτέον ὅτι ὁ μέλλων τῆϲ δευτέραϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων ἢ τῷ η παραλήγεται ἢ τῷ ᾱ οἷον βοήϲω, ἐάϲω, καὶ τῷ α ἢ μακρῷ ἢ βραχεῖ· ἡνίκα μὲν τὸ λ̄ πρὸ τοῦ ᾱ κατὰ τὸν μέλ-

λοντα, cυνεcταλμένον ἐcτὶν οἷον γελῶ γελάcω, κλῶ κλάcω, θλῶ θλάcω, ἡνίκα δὲ πρὸ τοῦ ᾱ τὸ ρ̄ ἢ καθαρὸν τὸ ᾱ, τότε τὸ ᾱ μακρόν ἐcτιν οἷον γηρῶ γηράcω, φυρῶ φυράcω, περῶ περάcω (ἐπὶ τοῦ παρελθεῖν· τὸ γὰρ περάcω ἐπὶ τοῦ πωλήcω βραχὺ ἔχει τὸ α οἷον

Τρώων καὶ πολλοὺc ζωοὺc ἔλον ἠδ' ἐπέροccα [Φ 102],

ἐπλεονάcθη γὰρ τὸ c̄ διὰ τὴν βραχεῖαν, καὶ μήποτε ὡc ἀπὸ τοῦ περάζω ἐcτὶν ὥcπερ ἀγοράζω ἀγοράcω)· τὸ κεράcω ἔχον πρὸ τοῦ ᾱ τὸ ρ̄ καὶ cυcτέλλον τὸ ᾱ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔcτιν ἀπὸ τοῦ κερῶ κερᾷc, ἀλλ' ὡc ἀπὸ τοῦ κεράζω, ὥcπερ ἀπὸ τοῦ ἀγοράζω ἀγοράcω. ταῦτα μὲν ἐπὶ τῶν ἐχόντων πρὸ τοῦ ᾱ τὸ ρ̄· τῶν δὲ ἐχόντων τὸ ᾱ καθαρὸν ἔcτωcαν παροδείγματα ταῦτα· ἀνιῶ ἀνιάcω, κοπιῶ κοπιάcω, ἀγωνιῶ ἀγωνιάcω, μειδιῶ μειδιάcω, ἀροτριῶ ἀροτριάcω, ἐρυθριῶ ἐρυθριάcω, ἐῶ ἐάcω· τὸ γὰρ

οὐκ ἐάcουcιν ἐμοὶ δόμεναι βιὸν (φ 233)

ποιητικῶc cυνεcτάλη· τὸ πεινάcω καὶ διψάcω μακρὸν ἔχοντα τὸ ᾱ καὶ μὴ ἔχοντα πρὸ τοῦ ᾱ μήτε ρ̄ μήτε φωνῆεν οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἀπὸ τοῦ πεινήcω καὶ διψήcω γέγονε κατὰ τροπὴν Δωρικὴν τοῦ η̄ εἰc ᾱ μακρόν.

Choer. 659, 11: περὶ δὲ τῆc παρολην(?)ούcηc τοῦ μέλλοντοc τῆc τρίτηc cυζυγίαc τῶν περιcπωμένων ἔcτιν εἰπεῖν ταῦτα· ὅτι ἡ τρίτη cυζυγία τῶν περιcπωμένων κατὰ τὸν μέλλοντα ἢ τῷ ω̄ παραλήγεται οἷον χρυcῶ χρυcώcω ἢ τῷ ο̄ οἷον ὀμῶ ὀμόcω. καὶ ἔcτιν εἰπεῖν, διὰ τί; ἢ ὅτι ὅcα μὲν ἔχει ὀνόματα παροκείμενα διὰ τοῦ ω̄ ἐκφέρεται κατὰ τὸν μέλλοντα οἷον χρυcὸc χρυcῶ χρυcώcω, ἄργυροc ἀργυρῶ ἀργυρώcω, γύψοc γυψῶ γυψώcω, χείρ χειρῶ χειρώcω (ἐξ οὗ τὸ χειροῦμαι καὶ χειρώcομαι), πῦρ πυρὸc πυρῶ πυρώcω, cτέφανοc cτεφανῶ cτεφανώcω, ὀρθόc ὀρθῶ ὀρθώcω, cτρεβλόc cτρεβλῶ cτρεβλώcω, κακόc κακῶ κακώcω, ταπεινόc ταπεινῶ ταπεινώcω· ὅcα δ' οὐκ ἔχει ὄνομα προϋποκείμενον, διὰ τοῦ ο̄ ἐκφέρεται κατὰ τὸν μέλλοντα οἷον ὀμῶ ὀμόcω, ὀνῶ ὀνόcω (cημαίνει δὲ τὸ μέμφομαι) καὶ ἀρῶ ἀρόcω (cημαίνει δὲ τὸ ἀροτριῶ), τοῦτο δὲ διφορεῖται· τινὲc μὲν γὰρ διὰ τοῦ ο̄ γράφουcιν αὐτὸ ὡc δοξάζοντεc μὴ ἔχειν αὐτὸ ὄνομα προϋποκείμενον, τινὲc δὲ διὰ τοῦ ω γράφουcιν αὐτὸ λέγοντεc ὅτι ἔχει ὄνομα προϋποκείμενον τὸ Ἄρηc, Ἄρηc γάρ ἐcτιν ὁ cίδηροc.

(Περὶ δευτέρου μέλλοντοc).

30.

Choer. 662, 23: ἰcτέον ὅτι λέγει ὁ Ἡρωδιανόc, ὡc οὐδέποτε εὑρίcκεται δεύτεροc μέλλων ἐνεργητικὸc ὁριcτικὸc ἐν χρήcει· ἃc γάρ, φηcί, παρέθετο χρήcειc ὁ Ἀπολλώνιοc, ἢ πεπλαcμέναι αὐτῷ εἰcιν ὡc τὸ φυγῶ, δραμῶ (οὐδέτεροι γὰρ μέλλοντεc· οὐδεὶc γὰρ τῶν παλαιῶν, φηcί, τούτοιc ἐχρήcατο) ἢ ἐνεcτῶτέc εἰcιν ἀντὶ μελλόντων, ὡc τὸ

κούρην δ' οὐ γαμέω Ἀγαμέμνονοc Ἀτρείδαο (I 388)

καὶ ὡc τὸ

πάντα γὰρ ἤδη τοι τελέω (Ψ 20),

l. 16 quae sequuntur usque ad p. 657, 22 Apollonii esse iure ex iis, quae statim sequuntur, ἰcτέον δὲ ὅτι ὁ Ἀπολλώνιοc ἐν ἄλλοιc διδάcκει ἡμᾶc Uhligius Mus. Rhen. XIX p. 39 concludit. l. 36 φυγῶ δραμῶ scripsi pro φυγῶν δρομῶν τυπῶν omisso τυπῶ, quia sequens οὐδέτεροι de duabus tantum formis sermonem esse indicat et quia diserte in canone ὁριcτικὸc memoratur. pro φυγῶ potius scribendum videtur νυγῶ: cf. infra p. 812, 9.

ἐνταῦθα γὰρ οἱ ἐνεστῶτές εἰσιν ἀντὶ μελλόντων, ἀντὶ γὰρ τοῦ γαμήσω καὶ τελέσω, ὥσπερ καὶ ἐν τῷ

ἐγὼ δέ κ᾽ ἄγω Βρισηΐδα καλλιπάρηον (Α 184),

ἐνεστώς ἐστιν ἀντὶ μέλλοντος τοῦ ἄξω· ἄλλως τε δὲ οὐδέποτε ὁ μέλλων ὁ ὁριστικὸς διαλύεται, πῶς οὖν τὸ γαμέω καὶ τελέω, εἴ γε μέλλοντες ὑπῆρχον, ἐν διαλύσει παραλαμβάνονται; ἄρα οὖν ἐντέλειαί εἰσιν ἐνεστῶτος τοῦ γαμῶ καὶ τελῶ. πρόσκειται «ὁριστικός», ἐπειδὴ τὸ εὐφρανεῖν ἀπαρέμφατον γίνεται κατὰ διάλυσιν,

εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν (Ε 688)·

σημειοῦται δὲ τὸ ἐκχεῶ δευτέρου μέλλοντος, οἷον καὶ τὸ κατακλιεῖ παρ᾽ Εὐπόλιδι ἐν Χρυσῷ Γένει οἷον

εἰ μή τις αὐτὴν κατακλιεῖ.

(Περὶ παθητικῶν).

(Περὶ ἐνεστῶτος καὶ παρατατικοῦ).

Choer. 665, 32: πᾶς ἐνεστὼς ὁριστικὸς καὶ πᾶς μέλλων ὁριστικὸς εἰς ω λήγων προσθήκῃ τῆς μαι ἢ παθητικὸν ἢ μέσον ποιοῦσι, καὶ ὁ μὲν ἐνεστὼς προσλαμβάνων τὴν μαι συλλαβὴν παθητικὸν καὶ μέσον ποιεῖ οἷον τύπτω τύπτομαι ὑπ᾽ αὐτοῦ καὶ τύπτομαι αὐτόν, καὶ πάλιν βιάζω βιάζομαι ὑπ᾽ αὐτοῦ καὶ βιάζομαι αὐτόν. ὁ δὲ μέλλων προσθήκῃ τῆς μαι μέσον ποιεῖ μέλλοντα οἷον τύψω τύψομαι· ὁ δὲ δεύτερος ἐνεργητικὸς μέλλων δεύτερον μέσον μέλλοντα ποιεῖ οἷον τυπῶ τυποῦμαι, νυγῶ νυγοῦμαι, καρῶ καροῦμαι, σταλῶ σταλοῦμαι. ἰστέον δ᾽ ὅτι προσερχομένης τῆς μαι συλλαβῆς ἢ φυλάττεται τὸ ω ἢ τρέπεται εἰς τὸ ο ἢ εἰς τὴν ου δίφθογγον· καὶ φυλάττεται μὲν τὸ ω τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐν μόνῳ ἐνεστῶτι οἷον βοῶ βοῶμαι, περῶ περῶμαι, γελῶ γελῶμαι. πρόσκειται «ἐν μόνῳ τῷ ἐνεστῶτι», ἐπειδὴ ἐν τῷ μέλλοντι τρέπεται ἡ δευτέρα συζυγία τῶν περισπωμένων τὸ ω εἰς τὸ ο οἷον βοῶ βοήσομαι, ἀκροάσω ἀκροάσομαι, καὶ ὅλοις δὲ τοῖς ὑποτακτικοῖς ὁποίας ἂν εἴη συζυγίας τὸ ῥῆμα ἢ ὁποίου χρόνου φυλάττεται τὸ ω οἷον ἐὰν τύπτωμαι, ἐὰν βοῶμαι, ἐὰν περῶ ἐὰν περῶμαι, ἐὰν χρυσῶ ἐὰν χρυσῶμαι· τρέπεται δὲ τὸ ω εἰς τὸ ο ἐπὶ ὅλων τῶν βαρυτόνων εἴτε ἐνεστῶτες ὦσιν εἴτε μέλλοντες, χωρὶς τῶν ὑποτακτικῶν δηλονότι, οἷον τύπτω τύπτομαι, λέγω λέγομαι, λέξω λέξομαι, ποιήσω ποιήσομαι· ἐπὶ δὲ τῶν περισπωμένων, ὑπεσταλμένων τῶν τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, τρέπεται τὸ ω εἰς τὴν ου δίφθογγον εἴτε ἐνεστῶτές εἰσιν εἴτε μέλλοντες οἷον ποιῶ ποιοῦμαι, στεφανῶ στεφανοῦμαι, κουφιῶ κουφιοῦμαι.

Τὰ δὲ εἰς μι λήγοντα ῥήματα τροπῇ τῆς μι εἰς μαι τὸ παθητικὸν ποιεῖ οἷον τίθημι τίθεμαι, καὶ συστέλλει τὴν παραλήγουσαν· καὶ εἰ μὲν ἔχει ἡ πρώτη συζυγία τὴν εἰς μι, συστέλλει τὴν παραλήγουσαν εἰς τὸ ε οἷον τίθημι τίθεμαι, ἵημι ἵεμαι· ἡ δὲ δευτέρα εἰς τὸ α συστέλλει τὴν παραλήγουσαν οἷον ἵστημι ἵσταμαι· ἡ δὲ τρίτη εἰς τὸ ο συστέλλει τὴν παραλήγουσαν οἷον δίδωμι δίδομαι· ἡ δὲ τετάρτη τὸ δίχρονον μόνον οἷον πήγνυμι πήγνυμαι, ὄλλυμι ὄλλυμαι, ζεύγνυμι ζεύγνυμαι. τούτων οὕτως ἐχόντων, τὸ ἧμαι τὸ σημαῖνον κάθημαι καὶ τὸ κεῖμαι δοκεῖ μήτε ἀπὸ τῶν εἰς ω εἶναι μήτε ἀπὸ τῶν εἰς μι· καὶ ἀπὸ τῶν εἰς ω δοκεῖ μὴ εἶναι, ἐπειδὴ τὰ ἀπὸ τῶν εἰς ω ἢ τῷ ο παραλήγεται ἐν τῷ εἰς μαι παθητικῷ ἐνεστῶτι οἷον τύ-

---

l. 4 ἐνεστώς ἐστιν scripsi pro ἐνεστῶτος δὲ et l. 5 τὸ γαμέω pro τοῦ γαμέω et l. 10 ἐκχεῶ pro ἐκχέω.

πτομαι, λέγομαι, ἢ τῷ ω̅ οἷον βοῶμαι περῶμαι, ἢ τῇ ου̅ διφθόγγῳ οἷον ποιοῦμαι, φανοῦμαι, χρυσοῦμαι· ἐπὰν οὖν ταῦτα οὐδενὶ ἐκ τούτων παραλήγεται, ἄρα οὐκ ἔστιν ἐκ τῶν εἰς ω̅· ἀλλ' οὔτε ἀπὸ τῶν εἰς μι̅ ἐστί· τὰ γὰρ εἰς μι̅ ἢ τῷ ε̆ παραλήγεται ἐν τοῖς παθητικοῖς οἷον τίθεμαι, ἢ τῷ α̅ συνεσταλμένῳ οἷον ἵσταμαι, ἢ τῷ ο̅ οἷον δίδομαι, ἢ διχρόνῳ συνεσταλμένῳ οἷον ζεύγνυμαι· ταῦτα δὲ οὐδενὶ ἐκ τούτων παραλήγεται, ἄρα οὐκ ἔστιν οὔτε παρὰ τῶν εἰς μι̅. τί οὖν ἔστιν εἰπεῖν; λέγομεν ὅτι ἀπὸ τῶν εἰς μι̅ ἐστίν· ἐλέγχεται γὰρ ταῦτα ἀπὸ τῶν δευτέρων προσώπων ὄντα ἀπὸ τῶν εἰς μι̅, λέγω δὴ ἀπὸ τοῦ ἧμαι ἧσαι καὶ ἀπὸ τοῦ κεῖσαι οἷον ὡς παρὰ τῷ ποιητῇ (Υ 389)

κεῖσαι Ὀτρυντείδη πάντων ἐκπαγλότατ' ἀνδρῶν,

πᾶς γὰρ ἐνεστὼς εἰς μαι̅ λῆγον καὶ ἔχων εἰς αι̅ τὸ δεύτερον πρόσωπον ἀπὸ τῶν εἰς μι̅ ἐστὶν οἷον τίθεμαι τίθεσαι, ἵσταμαι ἵστασαι, δίδομαι δίδοσαι, ζεύγνυμαι ζεύγνυσαι. εἰ οὖν ἐστι τὸ δεύτερον πρόσωπον ἧσαι καὶ κεῖσαι, δηλονότι ἀπὸ τῶν εἰς μι̅ ἐστίν.

31.

Περὶ μον. 45, 9 ἐδάμην: οὐδὲν εἰς μην λῆγον ῥῆμα τρέψαν τὸ ν̅ εἰς σ̅ δεύτερον πρόσωπον ἀποτελεῖ. ἀλλὰ μόνον τὸ ἐδάμην ἐποίησε τὸ ἐδάμης καὶ ἀποβολῇ τοῦ σ̅ τρίτον ἐδάμη. τὸ δὲ αἴτιον λέγεται ἐν τοῖς περὶ ῥημάτων.

(Περὶ παρακειμένου).

32.

Eustath. 1436, 53: ὅτι ὥσπερ τὸ ὕφασμα διὰ τοῦ σ̅ οὕτω καὶ μετοχή ἐστιν ὑφασμένος Ἡρωδιανὸς δηλοῖ, ὃς καὶ Ἀττικῶν αὐτό φησιν εἶναι, οἳ καὶ μεμολυσμένος φασὶ καὶ μεμαρασμένος· εἰ καὶ ἄλλως ὥσπερ

---

l. 14 quae sequuntur ἔστι δὲ σχηματίσαι αὐτὰ οὕτως· ἔστιν ἕω καὶ κέω κτλ. proposui in libro περὶ παθῶν. l. 19 causa autem nulla alia est nisi quod μ̅ non terminationis, sed stirpis est. Choeroboscus, qui pluribus locis 533, 13 et 604, 25 de declinatione aoristi ἐδάμην loquens μ̅ non κλιτικόν, sed θεματικὸν esse dicit, etiam haec ex Herodiano petivisse videtur: p. 668, 6 πᾶν πρῶτον πρόσωπον ἔχον τὸ μ κλιτικόν, τοῦ τρίτου προσώπου τὸ τ ἢ τρέπον εἰς σ̅ τὸ δεύτερον πρόσωπον ποιεῖ, ἢ ἀποβάλλον τὸ τ τοῦ τρίτου, καὶ κρᾶσιν ποιούμενον τῶν φωνηέντων· καὶ ὅσα μὲν ἔχει τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ̅ μετ' ὀξείας τάσεως, ἐκεῖνα τροπῇ τοῦ τ̅ εἰς τὸ σ̅ ποιεῖ τὸ δεύτερον πρόσωπον οἷον πεποίημαι πεποίηται πεποίησαι ἐπεποιήμην ἐπεποίητο ἐπεποίησο· πεποιηκώς γὰρ ἐνεργητικὴ μετοχὴ εἰς σ̅ μετ' ὀξείας τάσεως. καὶ πάλιν τίθεμαι τίθεσαι ἐτιθέμην ἐτίθετο ἐτίθεσο· τιθεὶς γὰρ ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ̅ μετ' ὀξείας τάσεως· ὅσα δὲ οὐκ ἔχει τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως, ἐκεῖνα ἀποβολῇ τοῦ τ καὶ κράσει τῶν φωνηέντων ποιεῖ τὸ β' πρόσωπον οἷον τύπτομαι τύπτεται, καὶ κατ' ἀποβολὴν τοῦ τ τύπτεαι, καὶ κράσει τοῦ ε̅ καὶ α̅ εἰς η τύπτῃ, ὥσπερ βέλεα βέλη καὶ μένει τὸ ι̅ προσγεγραμμένον καὶ ἀνεκφώνητον διὰ τὸ μέγεθος τοῦ η· καὶ πάλιν ἐτυπτόμην ἐτύπτετο καὶ κατὰ ἀποβολὴν τοῦ τ ἐτύπτεο καὶ κατὰ κρᾶσιν τοῦ εο εἰς τὴν ου δίφθογγον ἐτύπτου, ὥσπερ χάλκεος χαλκοῦς· οὐδὲ γὰρ ἔχει ταῦτα τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ̅ μετ' ὀξείας τάσεως· τύπτων γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχή· καὶ πάλιν ἐτυψάμην ἐτύψατο καὶ κατὰ ἀποβολὴν τοῦ τ ἐτύψαο, καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ο εἰς τὸ ω ἐτύψω, ὥσπερ βοάομεν βοῶμεν· οὐδὲ γὰρ ἔχει τοῦτο τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ̅ μετ' ὀξείας τάσεως· τύψας γάρ ἐστιν ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ̅ μέν, ἀλλ' οὐκ ὀξύτονος. 670, 7 πρόσκειται ἐν τῷ κανόνι «πᾶν πρῶτον πρόσωπον ἔχον τὸ μ̅ κλιτικὸν» διὰ τὸ ἐδάμην· τοῦτο γὰρ οὐ ποιεῖ τὸ δεύτερον πρόσωπον ἀπὸ τοῦ τρίτου ἢ τροπῇ τοῦ τ εἰς τὸ σ̅ ἢ ἀποβολῇ τοῦ τ καὶ κράσει τῶν φωνηέντων, ἐπειδὴ οὐκ ἔχει τὸ τ̅ κατὰ τὸ τρίτον πρόσωπον· τὸ γὰρ μ τὸ ὂν ἐν τῷ πρώτῳ προσώπῳ οὐκ ἔστι κλιτικὸν ἀλλὰ θεματικόν, ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· δάμνω γάρ ἐστιν ὁ ἐνεστώς.

αἰςχύνω ἠςχυμμένος, οὕτως ὤφειλε εἶναι καὶ μολύνω μεμολυμμένος καὶ μαραίνω μεμαραμμένος.

(Περὶ ὑπερςυντελικοῦ).

(Περὶ πρώτου ἀορίςτου).

(Περὶ δευτέρου ἀορίςτου).

(Περὶ μέςου ἀορίςτου πρώτου).

(Περὶ μέςου ἀορίςτου δευτέρου).

(Περὶ μέλλοντος πρώτου).

(Περὶ μέλλοντος δευτέρου).

(Περὶ μέςου μέλλοντος πρώτου).

33.

Il. Pr. B 393: προπεριςπαςτέον τὸ ἐςςεῖται. οὐ γὰρ προπαροξυντέον, ὥς τινες, ἐπεὶ Δώριον. ἤδη γὰρ πολλὴ χρῆςις τῶν τοιούτων παρὰ Ἀττικοῖς.

l. 2 hoc sumptum videtur ex eo loco, ubi Herodianus de prima persona perfecti passivi disputavit in eum modum, quo Choeroboscus 682, 21: ἱςτέον ὅτι ὁ παθητικὸς παρακείμενος ἐκ τοῦ ἐνεργητικοῦ γίνεται τροπῇ τοῦ τέλους εἰς μαι οἷον πεποίηκα πεποίημαι· καθόλου γὰρ πᾶς παθητικὸς παρακείμενος εἰς μαι λήγει οἷον νενόημαι, τετέλεςμαι, λέλεγμαι. καὶ δεῖ γινώςκειν, ὅτι οἱ μὲν εἰς φα ἐνεργητικοὶ παρακείμενοι τρέπουςι τὴν φα εἰς $\overline{μαι}$ καὶ ἕτερον μ προςλαμβάνουςι, τέτυφα τέτυμμαι, γέγραφα γέγραμμαι, κέκοφα κέκομμαι, νένηφα νένημμαι, ἔρραφα ἔρραμμαι· καὶ λέγομεν ὅτι τρέπουςι τὸ $\overline{α}$ εἰς μαι καὶ τὸ φ εἰς μ· οἱ δὲ εἰς χα παρακείμενοι ἐνεργητικοὶ τρέπουςι τὴν χα εἰς μαι καὶ προςλαμβάνουςι τὸ $\overline{γ}$ οἷον νένηχα νένηγμαι, πέπληχα πέπληγμαι, ὤρυχα ὤρυγμαι, πέπηχα πέπηγμαι, τετίναχα τετίναγμαι, πέπλεχα πέπλεγμαι, ἢ λέγομεν ὅτι τρέπουςι τὸ α εἰς μαι καὶ τὸ χ εἰς $\overline{γ}$, οἱ δὲ εἰς κα ἐνεργητικοὶ παρακείμενοι εἰ μὲν ὦςιν ἀπὸ περιςπωμένων θεμάτων πρὸς τὴν παραλήγουςαν κανονίζονται· εἰ μὲν γὰρ μακρᾷ παραλήγονται, τρέπουςι τὸ κα εἰς μαι καὶ ποιοῦςι τὸν παθητικὸν παρακείμενον οἷον πεποίηκα πεποίημαι, νενόηκα νενόημαι, νένηκα νένηςμαι (aut νένημαι scribendum, aut νένηκα νένηςμαι hic delenda sunt), κεχρύςωκα κεχρύςωμαι, ἴυρθωκα ὤρθωμαι· εἰ δὲ βραχείᾳ παραλήγονται, καὶ τὸ $\overline{c}$ προςλαμβάνουςιν ἐν τῷ παθητικῷ παρακειμένῳ μετὰ τὴν τροπὴν τοῦ κα εἰς $\overline{μαι}$ οἷον τετέλεκα τετέλεςμαι, γεγέλακα γεγέλαςμαι, κεχάλακα κεχάλαςμαι, κέκλακα κέκλαςμαι, τέθλακα τέθλαςμαι, ἤρκεκα ἤρκεςμαι· εἰ δὲ ἀπὸ τῶν εἰς μι, τρέπουςι τὴν κα εἰς $\overline{μαι}$ καὶ ςυςτέλλουςι τὴν παραλήγουςαν καὶ ποιοῦςι τὸν παθητικὸν παρακείμενον οἷον τέθεικα τέθεμαι καὶ κατὰ πλεοναςμὸν τοῦ ι τέθειμαι γίνεται· ἕςτηκα ἕςταμαι, πέπωκα πέπομαι, δέδωκα δέδομαι. ταῦτα περὶ τῶν ἀπὸ τῶν εἰς ω περιςπωμένων καὶ περὶ τῶν ἀπὸ τῶν εἰς μι· εἰ δὲ εἰςιν ἀπὸ βαρυτόνων θεμάτων οἱ εἰς κα ἐνεργητικοὶ παρακείμενοι εἴτε βραχείᾳ εἴτε μακρᾷ παραλήγονται, τρέπουςι τὴν κα εἰς μαι καὶ προςλαμβάνουςι τὸ $\overline{c}$ καὶ ποιοῦςι τὸν παθητικὸν παρακείμενον οἷον νένηκα νένηςμαι, πέπεικα πέπειςμαι, ἐρράπικα ἐρράπιςμαι, λελέπικα λελέπιςμαι, λελάκτικα λελάκτιςμαι, πέφρακα πέφραςμαι, ἥρπακα ἥρπαςμαι, χωρὶς τῆς ε´ ςυζυγίας· ταῦτα γὰρ παρ᾽ ἡμῖν τροπῇ τῆς κα εἰς μαι ποιεῖ τὸν παθητικὸν παρακείμενον οἷον τέτιλκα τέτιλμαι, ἔςπαρκα ἔςπαρμαι, ἔςταλκα ἔςταλμαι, ἔφθαρκα ἔφθαρμαι, κέκαρκα κέκαρμαι, κέκλικα κέκλιμαι, πέπλυκα πέπλυμαι, κέκρικα κέκριμαι, τέτακα τέταμαι· καὶ ταῦτα τῆς ε´ ςυζυγίας τῶν βαρυτόνων ἐςτίν, εἰ καὶ ἀπέβαλον τὸ ν ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ. πρόςκειται «παρ᾽ ἡμῖν», ἐπειδὴ οἱ Ἀθηναῖοι πολλάκις τὸ μ εἰς $\overline{c}$ τρέπουςι κατὰ τὸν παθητικὸν παρακείμενον ἐπὶ τῆς πέμπτης καὶ ἕκτης ςυζυγίας, μεμόλυμμαι μεμόλυςμαι, ὕφαμμαι ὕφαςμαι, μεμίαμμαι μεμίαςμαι. δεῖ προςθεῖναι, χωρὶς ὀλίγων τῆς ἕκτης ςυζυγίας· καὶ γὰρ τὰ τῆς ἕκτης ςυζυγίας πῇ μὲν προςλαμβάνει τὸ c κατὰ τὸν παθητικὸν παρακείμενον, πῇ δὲ οὐ προςλαμβάνει αὐτὸ οἷον ςβέω ςβέςω ἔςβεκα ἔςβεςμαι, ζέω ζέςω ἔζεκα ἔζεςμαι, κελεύω κελεύςω κεκέλευκα κεκέλευςμαι· κλείω κέκλειμαι, δέον δὲ κέκλειςμαι, ἀφ᾽ οὗ τὸ ἐκλείςθην· κρούω κρούςω κέκρουκα κέκρουςμαι, ἱππεύω ἱππεύςω ἵππευκα ἵππευμαι, βαςιλεύω βαςιλεύςω βεβαςίλευκα βεβαςίλευμαι, τοξεύω τοξεύςω τετόξευκα τετόξευμαι. Hic fortasse etiam πεπάλαςθε commemoratum fuit H 171, ad quem locum Schol. πεπάλαςθε: οὕτως Ἀρίςταρχος καὶ Ἡρωδιανὸς διὰ τοῦ c, οὐ διὰ τοῦ $\overline{χ}$.

Choer. 707, 35: οἱ μέσοι μέλλοντες ἐκ τῶν ἐνεργητικῶν μελλόντων γίνονται, ὁ α' ἀπὸ τοῦ πρώτου καὶ ὁ δεύτερος ἀπὸ τοῦ δευτέρου τοῦτον τὸν τρόπον· πᾶς μέλλων ἐνεργητικὸς προσλαβὼν τὴν μαι γίνεται, ὁ μὲν πρῶτος μέλλων ἐνεργητικὸς πρῶτος μέσος μέλλων γίνεται, ὁ δὲ δεύτερος ἐνεργητικὸς β' μέσος μέλλων γίνεται, καὶ εἰ μὲν βαρύνεται ὁ ἐνεργητικὸς μέλλων, τρέπει τὸ ω̅ εἰς τὸ ο̅ ἐν τῷ μέσῳ μέλλοντι, τύψω τύψομαι, γράψω γράψομαι, λέξω λέξομαι, ποιήσω ποιήσομαι, ἀκούσω ἀκούσομαι, εἰ δὲ περισπᾶται ὁ μέλλων ὁ ἐνεργητικός, τρέπει τὸ ω̅ εἰς τὴν ου̅ δίφθογγον ἐν τῷ μέσῳ μέλλοντι οἷον κερῶ κεροῦμαι, φθερῶ φθεροῦμαι, εὐφρανῶ εὐφρανοῦμαι, τυπῶ τυποῦμαι, νυγῶ νυγοῦμαι, δραμῶ δραμοῦμαι, πεσῶ πεσοῦμαι· ἀμέλει οἱ Ἀθηναῖοι λακτιῶ καὶ κουφιῶ καὶ βαδιῶ λέγοντες περισπωμένως τοὺς μέσους τούτων μελλόντων διὰ τῆς ου̅ διφθόγγου προφέρονται οἷον λακτιοῦμαι, βαδιοῦμαι, κουφιοῦμαι, καὶ οἱ Δωριεῖς δὲ πάντας τοὺς μέλλοντας περισπῶντες καὶ λέγοντες τυψῶ, γραψῶ, ποιησῶ, κλαυσῶ, φευξῶ, καὶ τοὺς μέσους αὐτῶν διὰ τῆς ου̅ διφθόγγου προφέρονται οἷον ποιησοῦμαι, τυψοῦμαι, γραψοῦμαι, κλαυσοῦμαι, πλευσοῦμαι. ταῦτα δὲ οὐ μόνον παρὰ τοῖς Δωριεῦσιν ἀλλὰ καὶ παρὰ τοῖς Ἀττικοῖς οὕτως ἐπεκράτησε λέγεσθαι. ἰστέον δ' ὅτι εἰ μὲν ἀπὸ περισπωμένων μελλόντων μέσοι μέλλοντες κλίσιν ἀναδέχονται, ὁμοίως τοῖς ἐνεστῶσι καὶ παθητικοῖς τῆς α' συζυγίας τῶν περισπωμένων· ὥσπερ γὰρ ποιοῦμαι ποιῇ ποιεῖται ποιούμεθον ποιεῖσθον ποιεῖσθον ποιούμεθα ποιεῖσθε ποιοῦνται, οὕτως καὶ τυποῦμαι τυπῇ τυπεῖται τυπούμεθον τυπεῖσθον τυπούμεθα τυπεῖσθε τυποῦνται. πλὴν εἰ καὶ τὴν αὐτὴν ἔχουσι κλίσιν οἱ παθητικοὶ ἐνεστῶτες τῆς α' συζυγίας τῶν περισπωμένων καὶ οἱ ἀπὸ περισπωμένων μέσοι μέλλοντες. ἀλλ' οὖν χρὴ γινώσκειν ὅτι οἱ μὲν παθητικοὶ ἐνεστῶτες τῆς πρώτης συζυγίας τῶν περισπωμένων, λέγω δὴ ὁ ποιοῦμαι καὶ νοοῦμαι καὶ οἱ ὅμοιοι, ἀπὸ τῶν ἐντελῶν συναιρεθέντες, λέγω δὴ τοῦ ποιέομαι καὶ τοῦ νοέομαι, πρὸς τὴν συναίρεσιν ποιοῦνται τὴν κλίσιν· οἱ δὲ ἀπὸ περισπωμένων μελλόντων μέσοι μέλλοντες, λέγω δὴ ὁ τυποῦμαι καὶ ὁ καροῦμαι καὶ οἱ ὅμοιοι, οὐκ ἀπὸ συναιρέσεως ποιοῦνται τὴν κλίσιν, οὐδὲ γάρ εἰσιν ἀπὸ τῶν ἐντελῶν συνῃρημένοι.

(Περὶ μέσου μέλλοντος δευτέρου).

34.

Choer. 709, 5: ἰστέον ὅτι ὁ α' μέλλων ὁ ἐνεργητικὸς πῇ μὲν τὸ ω εἰς τὸ ο̅ τρέπει ἐν τῷ πρώτῳ μέσῳ μέλλοντι οἷον τύψω τύψομαι, πῇ δὲ εἰς τὴν ου̅ δίφθογγον, καρῶ καροῦμαι. ὁ δὲ β' μέλλων ὁ ἐνεργητικὸς ἀεὶ τὸ ω εἰς τὴν ου δίφθογγον τρέπει ἐν τῷ α' μέσῳ μέλλοντι. καὶ ὁ μὲν α' μέλλων ὁ ἐνεργητικός, ἐπειδὴ πῇ μὲν βαρύνεται, πῇ δὲ περισπᾶται οἷον τύψω, εὐφρανῶ, τούτου χάριν ἡνίκα βαρύνεται τρέπει τὸ ω εἰς τὸ ο̅, ἡνίκα δὲ περισπᾶται, τρέπει τὸ ω̅ εἰς τὴν ου̅ δίφθογγον· ὁ β' μέλλων ὁ ἐνεργητικός, ἐπειδὴ ἀεὶ περισπᾶται, τούτου χάριν ἀεὶ εἰς τὴν ου̅ δίφθογγον τρέπει τὸ ω̅ ἐν τῷ β' μέλλοντι. δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι εἰ καί φησιν Ἡρωδιανὸς μήποτε εὑρίσκεσθαι ἐν χρήσει β' μέλλοντα ἐνεργητικὸν ὁριστικόν, ἀλλ' οὖν ἀπὸ τοῦ β' μέλλοντος μέσου εὑρίσκεται ἐν χρήσει· ὥσπερ καὶ ὁ δραμοῦμαι ἀπὸ τοῦ δραμῶ καὶ ὁ κατθανοῦμαι ἀπὸ τοῦ κατθανῶ.

(Περὶ τοῦ μετ' ὀλίγον μέλλοντος).

(Περὶ ἀπαρεμφάτων).

Choer. 720, 7: δύο τελικά ἐστι τῶν ἀπαρεμφάτων, τὸ ν̅ καὶ ἡ αι δίφθογγος οἷον τύπτειν τύπτεσθαι. καὶ τοῦτο εἰκότως. ἐπειδὴ γὰρ τὰ ἀπαρέμφατα ἐν μιᾷ

φωνῇ δοκεῖ τὰ τρία πρόσωπα ἔχειν οἷον τύπτειν θέλω, τύπτειν θέλεις, τύπτειν θέλει, τούτου χάριν καὶ τελικὰ ἔλαβεν ἁρμόζοντα τοῖς τρισὶ προσώποις, καὶ διὰ τοῦτο τὸ ν̄ καὶ τὴν αι δίφθογγον ἔχει τελικὰ τὰ ἀπαρέμφατα· καὶ γὰρ καὶ τὸ ν̄ καὶ ἡ αι̅ δίφθογγος εὑρίσκεται καὶ ἐν πρώτῳ καὶ ἐν δευτέρῳ καὶ ἐν τρίτῳ προσώπῳ οἷον τυπτόμεθον τύπτεσθον τύπτεσθον, πεποίημαι πεποίησαι πεποίηται· τὸ γὰρ ἐνταῦθα τελικὸν ὑπάρχον τῶν ῥημάτων οἷον ἔτυψας οὐκ ἔστι τελικὸν τῶν ἀπαρεμφάτων, ἐπειδὴ τὸ ς̄ τελικὸν ἐστι μόνου δευτέρου προσώπου παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις οἷον τέτυφας. πρόσκειται «παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις», ἐπειδὴ παρὰ ταῖς διαλέκτοις εὑρίσκεται τὸ ς̄ καὶ α' προσώπου τελικὸν καὶ γ', ὡς παρὰ Θεοκρίτῳ (7, 2)

εἵρπομες ἐκ πόλιος.

ἀντὶ τοῦ εἵρπομεν ἐκ πόλεως· καὶ πάλιν ἐπὶ γ', ἀντὶ τοῦ ἦν (7, 1),

ἧς χρόνος ἀνίκ' ἐγώ τε καὶ Εὔκριτος ἐς τὸν Ἄλεντα,

ἀντὶ τοῦ ἦν.

Choer. 720, 32: κανονίζεται τὰ ἀπὸ βαρυτόνων γινόμενα ἀπαρέμφατα ἀπὸ τοῦ ἐνεστῶτος· πᾶς ἐνεστὼς ἀπὸ βαρυτόνων θεμάτων κατὰ τὸ τρίτον πρόσωπον προσλαμβάνων τὸ ν̄ τὸ ἀπαρέμφατον ποιεῖ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ οἷον τύπτει τύπτειν, λέγει λέγειν, γράφει γράφειν, κόπτει κόπτειν, πλήττει πλήττειν, ᾄδει ᾄδειν, πλέκει πλέκειν· τὰ δὲ ἀπὸ περισπωμένων γινόμενα ἀπαρέμφατα κανονίζεται ἀπὸ τοῦ παρατατικοῦ τοῦτον τὸν τρόπον· πᾶς παρατατικὸς ἀπὸ περισπωμένων κατὰ τὸ γ' πρόσωπον προσλαμβάνων τὸ ν̄ μετὰ περισπωμένου τόνου καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλων τὸ ἀπαρέμφατον ποιεῖ οἷον ἐποίει ποιεῖν, ἐνόει νοεῖν, ἐτέλει τελεῖν, ἐβόα βοᾶν, ἐγέλα γελᾶν, ἐπέρα περᾶν, ἐχρύσου χρυσοῦν, ἐστεφάνου στεφανοῦν, ὤρθου ὀρθοῦν, ἵδρου ἱδροῦν· ὅτι γὰρ καὶ ἐπὶ τῶν περισπωμένων τὰ ἀπαρέμφατα τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ ἀπὸ τοῦ παρατατικοῦ κανονίζεται καὶ οὐκ ἀπὸ τοῦ ἐνεστῶτος, δῆλον ἐκ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων καὶ ἐκ τῆς γ'· καὶ ἐκ μὲν τῆς γ', ὅτι χρυσοῦν καὶ στεφανοῦν λέγομεν διὰ τῆς ου διφθόγγου τὰ ἀπαρέμφατα, ἐπειδὴ καὶ ὁ παρατατικὸς ἐχρύσου καὶ ἐστεφάνου ἐστὶ διὰ τῆς ου̅ διφθόγγου· εἰ δὲ ἐγένετο ἀπὸ τοῦ ἐνεστῶτος, χρυσοῖν καὶ στεφανοῖν εἴχομεν λέγειν, χρυσῶ γὰρ χρυσοῖς χρυσοῖ καὶ στεφανῶ στεφανοῖς στεφανοῖ ἐστιν ὁ ἐνεστώς· ἀπὸ δὲ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων δῆλόν ἐστιν, ὅτι ἐπὶ τῶν περισπωμένων τὰ ἀπαρέμφατα ἀπὸ τοῦ παρατατικοῦ γίνεται καὶ οὐκ ἀπὸ τοῦ ἐνεστῶτος, ὅτι βοᾶν καὶ γελᾶν λέγομεν χωρὶς τοῦ ῑ· εἰ δὲ ἐκανονίζετο ἐκ τοῦ ἐνεστῶτος, βοᾷν καὶ γελᾷν εἶχεν εἶναι σὺν τῷ ῑ, ἐπειδὴ καὶ ὁ ἐνεστὼς βοῶ βοᾷς βοᾷ, γελῶ γελᾷς γελᾷ ἐστι σὺν τῷ ῑ. εἰ δέ τις εἴποι, διὰ τί γὰρ τὸ βοᾶν καὶ γελᾶν οὐκ ἔχει τὸ ῑ προσγεγραμμένον, λέγομεν ὅτι τὰ εἰς ν̄ λήγοντα ῥήματα οὐδέποτε ἔχει πρὸ τοῦ ν̄ τί ποτε ἀνεκφώνητον οἷον ἐτύφθην, ἐδάρην, ἐβόων, ἐγέλων, ἐπέρων· οὕτως οὖν καὶ βοᾶν καὶ γελᾶν χωρὶς τοῦ ῑ· ἄλλως τε δὲ διὰ τοῦτο τὸ βοᾶν καὶ γελᾶν οὐκ ἔχει τὸ ῑ προσγεγραμμένον, ἐπειδὴ οὐδὲ τὸ βοᾶσθαι, καὶ γελᾶσθαι ἔχει τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν· καθόλου δὲ τὰ εἰς σθαι̅ ἀπαρέμφατα προπερισπώμενα χρόνου ἐνεστῶτος τὴν ἰδίαν παραλήγουσαν ἔχει ἐπὶ τῶν ἐνεργητικῶν· ὁ δὲ λόγος ἐπὶ τῶν φωνηέντων οἷον ποιεῖσθαι ποιεῖν, νοεῖσθαι νοεῖν, χρυσοῦσθαι χρυσοῦν, στεφανοῦσθαι στεφανοῦν· εἰ οὖν τὸ βοᾶσθαι καὶ γελᾶσθαι οὐκ ἔχει τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, ἄρα οὐδὲ τὸ βοᾶν καὶ γελᾶν ἔχει τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν.

Choer. 724, 12: εὐλόγως τὰ ἀπαρέμφατα τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ καὶ τοῦ μέσου παρακειμένου εἰς ναι ἐστίν, ἐπειδὴ καὶ ἡ μετοχὴ αὐτῶν εἰς ς̄ μετ' ὀξείας τάσεως ἐστιν οἷον τετυφώς, πεποιηκώς, δεδουπώς· τὰ δὲ ἔχοντα τὴν μετοχὴν εἰς ς̄ μετ' ὀξείας τάσεως εἰς ναί ἔχει τὸ ἀπαρέμφατον οἷον τυφθεὶς τυφθῆναι, τυπεὶς τυπῆναι, ἱστὰς ἱστάναι, διδοὺς διδόναι, ζευγνύς

ζευγνύναι· οὕτως οὖν καὶ τετυφὼς τετυφέναι καὶ τετυπὼς τετυπέναι. τὰ δὲ λοιπὰ τὰ ἔχοντα τὴν μετοχὴν εἰς ς̄ μετ' ὀξείας τάσεως κανονίζεται τοῦτον τὸν τρόπον· τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τρέπον τὴν μ̄ε̄ν̄ συλλαβὴν εἰς ναι καὶ ἀποβάλλον τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν τὸ ἀπαρέμφατον ποιεῖ μετὰ τοῦ φυλάττεσθαι, δηλονότι ἐν τοῖς ἀπαρεμφάτοις, τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν ἐξ οὗ κανονίζεται οἷον τυφθεὶς ἐτύφθημεν τυφθῆναι, τυπεὶς ἐτύπημεν τυπῆναι, τιθεὶς τίθεμεν τιθέναι, ἱστὰς ἵσταμεν ἱστάναι, διδοὺς δίδομεν διδόναι, ζευγνὺς ζεύγνυμεν ζευγνύναι, στὰς ἔστημεν στῆναι, γνοὺς ἔγνωμεν γνῶναι, βιοὺς ἐβίωμεν βιῶναι, ὁλοὺς ἥλωμεν ὁλῶναι· σεσημείωται τὸ δοῦναι, θεῖναι, εἶναι· ταῦτα γὰρ ἀπαρέμφατα ὄντα δευτέρου ἀορίστου ἐνεργητικοῦ οὐκ ἐφύλαξε τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν, ἐξ οὗ κανονίζεται· ἔδομεν γὰρ καὶ ἔθεμεν καὶ ἕμεν ἐστὶ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν· οὐ μόνον δὲ κατὰ τοῦτο σεσημείωται τὸ δοῦναι, θεῖναι, εἶναι, ἀλλὰ καὶ κατὰ ἄλλο· τὸ γὰρ εἰς ν̄ᾱῑ ἀπαρέμφατα ἔχοντα τὸ ν̄ κλιτικὸν οὐ θέλει διφθόγγῳ παραλήγεσθαι οἷον τυφθῆναι τυπῆναι τετυφέναι. πρόσκειται «ἔχοντα τὸ ν̄ κλιτικὸν» διὸ τὸ μεῖναι· τοῦτο γὰρ διφθόγγῳ παραλήγεται, ἀλλ' οὐκ ἔχει τὸ ν̄ κλιτικὸν ἀλλὰ θεματικόν· ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· μένω γάρ ἐστιν ὁ ἐνεστὼς καὶ ἔχει τὸ ν̄· παράλογα οὖν ἐστι ταῦτα, φημὶ δὴ τὸ θεῖναι, δοῦναι, εἶναι, ὡς διφθόγγῳ παραληγόμενα ἔχοντα τὸ ν̄ κλιτικόν. ἀλλ' ἔστιν ἀπολογήσασθαι περὶ αὐτῶν οὕτως· ἰστέον ὅτι διὰ τὴν τοιαύτην αἰτίαν ταῦτα διφθόγγῳ παραλήγεται· ἀπὸ τοῦ ἔδομεν γὰρ γέγονε δόναι καὶ ἀπὸ τοῦ ἔθεμεν θέναι καὶ ἀπὸ τοῦ ἕμεν ἕναι· καὶ ἐπεὶ τὰ εἰς ναι ἀπαρέμφατα ἀορίστου ὄντα μακρᾷ θέλει παραλήγεσθαι οἷον τυφθῆναι, τυπῆναι, στῆναι, βῆναι, γνῶναι, βιῶναι, ἀναγνῶναι, δαρῆναι, νυγῆναι, ἀναγκάζεται καὶ ταῦτα μακρᾷ παραλήγεσθαι, ὡς ἀορίστου ὄντα· καὶ ἐπειδὴ τὸ μὲν ο μεγεθυνόμενον διὰ τῆς προσθήκης τοῦ υ μεγεθύνεται οἷον τύπτοντες τύπτουσα, λέγοντες λέγουσα, τὸ ε̄ διὰ τῆς προσθήκης τοῦ ῑ μεγεθύνεται οἷον τυφθέντος τυφθεῖσα, νυγέντος νυγεῖσα, τούτου χάριν τὸ μὲν δόναι ἐμεγεθύνθη διὰ τῆς προσθήκης τοῦ υ καὶ γέγονε δοῦναι, τὸ δὲ θέναι καὶ ἕναι διὰ τῆς προσθήκης τοῦ ῑ ἐμεγεθύνθη καὶ γέγονε θεῖναι καὶ εἶναι· τούτου χάριν ταῦτα διφθόγγῳ παραλήγεται. πρόσκειται δὲ ἀνωτέρω «τὰ εἰς ναι ἀπαρέμφατα», ἐπειδὴ τὰ εἰς σαι ἀπαρέμφατα ἀορίστου ὄντα οὐ πάντως μακρᾷ παραλήγεται οἷον τελέσαι, συρίσαι, λεπίσαι. πρόσκειται δὲ ἐν τῷ κανόνι «ἀορίστου ὄντα» διὰ τὸ τετυφέναι, τετυπέναι, τιθέναι, διδόναι· ταῦτα γὰρ εἰς ν̄ᾱῑ ἀπαρέμφατα ὄντα οὐ παραλήγεται μακρᾷ, ἀλλ' οὐκ ἔστιν ἀορίστου χρόνου. ἄξιον δέ ἐστι ζητῆσαι εἰ ἄρα τὸ θεῖναι καὶ δοῦναι καὶ εἶναι διὰ τοῦτο προσέλαβε τὸ υ καὶ ῑ, ἐπειδὴ ἠναγκάζετο, ὡς εἴρηται, μακρᾷ παραλήγεσθαι ὡς ἀορίστου ὄντα, διὸ τί μὴ μᾶλλον τὸ μὲν δόναι γέγονε δῶναι κατὰ ἔκτασιν τοῦ ῡ εἰς ω, ὥσπερ ὀμνύω ὤμνυον, τὸ δὲ θέναι καὶ ἕναι θῆναι καὶ ἧναι διὰ τοῦ η̄ κατὰ ἔκτασιν τοῦ ε̄ εἰς τὸ η, ὥσπερ ἐλέγχω ἤλεγχον· οὕτω γὰρ εἰ ἐγένετο καὶ μακρᾷ εὑρίσκετο παραληγόμενα καὶ οὐκέτι παράλογα ὡς διφθόγγῳ παραληγόμενα. ἔστιν οὖν εἰπεῖν, ὅτι εἰ ἐγένετο ταῦτα οὕτως κατὰ ἔκτασιν τῶν φωνηέντων, οὐδὲ ὅλως ἐφυλάττετό τι τῆς παραληγούσης τοῦ α' προσώπου τῶν πληθυντικῶν, φημὶ δὴ τοῦ ἔδομεν, ἔθεμεν, ἕμεν (ὅπερ σημαίνει τὸ ἀπελύσαμεν)· τούτου οὖν χάριν τὸ μὲν δοῦναι τὸ υ προσέλαβε, τὸ δὲ θεῖναι καὶ εἶναι τὸ ῑ, ἵνα εὑρεθῇ ἐν ταὐτῷ καὶ φυλάττοντα τὸ φωνῆεν τῆς παραληγούσης τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, καὶ μακρὸν ποιοῦντα τὴν παραλήγουσαν. τούτων οὕτως ἐχόντων, ζητοῦμεν διὰ τί ὁ παρακείμενος ὁ ἐνεργητικὸς καὶ ὁ μέσος ἔχοντες τὴν μετοχὴν εἰς ς̄ μετ' ὀξείας τάσεως οὐ φυλάττουσι τὴν παραλήγουσαν τοῦ ἰδίου πρώτου προσώπου τῶν πληθυντικῶν ἐν τοῖς ἀπαρεμφάτοις· οὐδὲ γὰρ λέγομεν τετύφαμεν τετυφάναι καὶ τετύπαμεν τετυπάναι, ὥσπερ ἐτύφθημεν τυφθῆναι, καὶ ἐτύπημεν τυπῆναι ἀλλὰ τετυφέναι καὶ τετυπέναι διὰ τοῦ ε̄ καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· τῷ λόγῳ τῆς παραληγούσης τοῦ α' προσώπου τῶν πληθυντικῶν τοῦ παρακειμένου διὰ τοῦ πρώτου (leg. ᾱ) βραχέος ὤφειλεν εἶναι τὸ

ἀπαρέμφατον οἷον τετυφάναι, τετύφαμεν γάρ ἐστι τό πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ παρακειμένου, τῷ δέ λόγῳ τῆς παραληγούσης τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ὑπερσυντελικοῦ τετυφεῖναι ὤφειλεν εἶναι τό ἀπαρέμφατον διὰ τῆς ει διφθόγγου, ἐτετύφειμεν γάρ ἐστι τό πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ὑπερσυντελικοῦ· ἐπειδὴ δέ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς συνεζευγμένην ἔχουσι τὴν μετοχήν, ἀναγκάζονται καὶ τὰ ἀπαρέμφατα συνεζευγμένα ἔχειν, ὧν γὰρ αἱ μετοχαὶ συνεζευγμέναι εἰσί, τούτων καὶ τὰ ἀπαρέμφατα συνεζευγμένα ἐστί· συνεζευγμένου δὲ ὄντος τοῦ ἀπαρεμφάτου τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, οὐ δύναται τὰ ἀπαρέμφατα τὴν ει δίφθογγον ἔχειν κατὰ τὴν παραλήγουσαν καὶ τό πρῶτον συνεσταλμένον. τῶν οὖν δύο κανόνων μαχομένων καὶ τοῦ μὲν ἑνός ἀπαιτοῦντος τὴν ει δίφθογγον, τοῦ δὲ ἑτέρου τό α συνεσταλμένον, τὰ τῆς ἀναλογίας ἀνεμερίσαντο, καὶ ὁ μὲν βραχὺς χρόνος ἐφυλάχθη τοῦ παρακειμένου, καὶ γὰρ τὸ ε̄ βραχύ ἐστιν ὁμοίως τῷ α συνεσταλμένῳ, τό δὲ φωνῆεν τοῦ ὑπερσυντελικοῦ ἐφυλάχθη, λέγω δὴ τό ε̄, καὶ γὰρ ὁ ὑπερσυντελικός τὴν ει δίφθογγον ἔχει. εἰ δέ τις εἴποι, διὰ τί γὰρ μὴ ἐκ τοῦ ἐναντίου γέγονε τετυφᾶναι διὰ μακροῦ τοῦ α, ἵνα ἡ μὲν ποιότης τῆς παραληγούσης τοῦ τετύφαμεν παρακειμένου φυλαχθῇ, τουτέστι τό α, ὁ δὲ χρόνος τοῦ ἐτετύφειμεν ὑπερσυντελικοῦ, τουτέστιν ὁ μακρός, λέγομεν ὅτι εὐλόγως μᾶλλον τῇ παραληγούσῃ τοῦ ὑπερσυντελικοῦ ἀκολουθεῖ τὸ ἀπαρέμφατον τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, καὶ δῆλον ἐκ τοῦ εἰδέναι ἀπαρεμφάτου παρακειμένου καὶ ὑπερσυντελικοῦ τοῦ σημαίνοντος τό γινώσκειν, οὗ ἡ μετοχὴ ὁ εἰδώς. τοῦτο γὰρ οὐ τῇ ἀρχούσῃ τοῦ οἶδα μέσου παρακειμένου ἠκολούθησεν, ἀλλὰ τῇ ἀρχούσῃ τοῦ εἴδειν ὑπερσυντελικοῦ, ὅστις καὶ κατ' ἔκτασιν Ἀττικὴν διὰ τοῦ η̄ καὶ ῑ γίνεται ᾔδειν

35.

Il. Pr. Γ 236 ἰδέειν: οὐκ ἔστιν ἐντελὲς τὸ ἰδέειν, ἀλλὰ τοὐναντίον ἀπὸ τοῦ ἰδεῖν γέγονε κατὰ διάλυσιν ὥσπερ ἀπὸ τοῦ εὐφρανεῖν τὸ εὐφρανέειν· οἱ γὰρ δεύτεροι ἀόριστοι καὶ μέλλοντες οὐκ ἔχουσι τὴν περισπωμένην ἀπὸ ἐντελείας ὥσπερ οἱ περισπώμενοι ἐνεστῶτες.

Il. Pr. Ξ 221 ἄπρηκτόν γε νέεσθαι: τούτεστι πορεύεσθαι. οὕτως Ἀρίσταρχος. Δημήτριος δὲ γενέεσθαι ἀντὶ τοῦ γενήσεσθαι, βιαίως πάνυ. οὐδὲ γὰρ τὸ πυθέσθαι πυθέεσθαι γίνεται οὐδὲ λαβέσθαι λαβέεσθαι, ἵνα καὶ γενέσθαι γενέεσθαι γένηται.

Choer. 728, 32: ὤφειλε τό ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος διακεχωρισμένον εἶναι, ἐπειδὴ καὶ ἡ μετοχὴ τούτων διακεχωρισμένη ἐστίν, ὅτι ἡ μετοχὴ τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος τῇ μὲν φωνῇ συνέπεσον, τόνῳ δὲ διεστάλησαν· ἡ μὲν γὰρ τοῦ δευτέρου ἀορίστου μετοχὴ ὀξύνεται, ἡ δὲ τοῦ δευτέρου μέλλοντος περισπᾶται οἷον τυπών ἡ τοῦ δευτέρου ἀορίστου καὶ τυπῶν ἡ τοῦ δευτέρου μέλλοντος· ὤφειλεν οὖν καὶ τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος τῇ μὲν φωνῇ συμπεσεῖν, τῷ δὲ τόνῳ διιστάναι, καὶ ὤφειλεν τό μὲν ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου ὀξυνθῆναι ὁμοίως τῇ ἰδίᾳ μετοχῇ, τὸ δὲ ἀπαρέμφατον τοῦ β' μέλλοντος περισπασθῆναι παραπλησίως τῇ οἰκείᾳ μετοχῇ· ἀλλ' ἐπειδή, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, τά ῥήματα ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν, ἐξ ἀνάγκης περισπᾶται. περιεσπάσθη οὖν τό ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου, καὶ συνέπεσε τῷ ἀπαρεμφάτῳ τοῦ δευτέρου μέλλοντος, καὶ λοιπὸν εὑρίσκεται τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος ἓν οἷον τυπεῖν· ὅτι δὲ τοῦτο ἀληθές ἐστι, καὶ ἡ τοῦ τόνου χρεία τὴν συνέμπτωσιν ἐποίησε γενέσθαι,

l. 47 τόνου χρεία scripsi pro ἡ τούτων εὐθεία.

δῆλον, εἴ γε καί ἐν τοῖς παθητικοῖς καί ἐν τοῖς μέσοις διάφορόν ἐστι τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος· τό μὲν γὰρ τοῦ δευτέρου μέσου ἀορίστου ἀπαρέμφατον τυπέσθαι καὶ νυγέσθαι ἐστί, τὸ δέ τοῦ δευτέρου μέσου μέλλοντος τυπεῖσθαι καὶ νυγεῖσθαι. καὶ πάλιν τὸ μέν τοῦ δευτέρου ἀορίστου παθητικοῦ ἀπαρέμφατον τυπῆναι καί νυγῆναί ἐστι, τὸ δὲ τοῦ δευτέρου μέλλοντος τυπήσεσθαι καὶ νυγήσεσθαι.

(Περὶ προστακτικῶν).

36.

Herod. περὶ παθῶν in E. M. 478, 5: οὐ μόνον ἐπὶ τῶν εἰς ω̅ ῥημάτων, ἀλλὰ καὶ ἐπὶ τῶν εἰς μ̅ι̅ τὰ τρίτα πρόσωπα τῶν παρατατικῶν δεύτερα γίνεται τῶν προστακτικῶν οἷον νόει, φίλει, βόα.

Choer. 740, 33: τό προστακτικὸν τοῦ ἐνεστῶτος καὶ τοῦ παρατατικοῦ κανονίζεται τοῦτον τόν τρόπον· πᾶν τρίτον πρόσωπον ἑνικὸν τοῦ ἐνεργητικοῦ παρατατικοῦ τοῦ ὁριστικοῦ, τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλόν, τό προστακτικόν ποιεῖ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ, τῆς βαρείας τάσεως φυλαττομένης οἷον ἔτυπτε τύπτε, ἔλεγε λέγε, ἔγραφε γράφε, ἔκοπτε κόπτε, ἐποίει ποίει, ἐνόει νόει, ἐβόα βόα, ἐγέλα γέλα, ἐχρύσου χρύσου, ἐστεφάνου στεφάνου.

37.

Apollonius ap. Choerobosc. 746, 4 ex duobus perfecti imperativis in ε̅ et θ̅ι̅ hunc posteriorem in θ̅ι̅ reiecit et solum exitum ε̅ perfecto assignavit: ὁ Ἀπολλώνιος λέγει ὅτι εἰς ε̅ λήγει τὸ προστακτικόν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ ὁμοφώνως τῷ τρίτῳ προσώπῳ τῶν ἑνικῶν τοῦ ὁριστικοῦ παρακειμένου καί ὑπερσυντελικοῦ οἷον τέτυφε ἐκεῖνος τέτυφε σύ, τέτυπε ἐκεῖνος τέτυπε σύ· τότε γάρ, φησίν, εἰς θ̅ι̅ ἐστὶ τό προστακτικόν, ἡνίκα ἐστίν οὐ μόνον εἰς ς̅ καὶ ὀξύτονος ἡ μετοχή, ἀλλὰ καὶ διὰ τοῦ ν̅τ̅ κλινομένη οἷον τυπείς τυπέντος τύπηθι, νυγείς νυγέντος νύγηθι, δαρείς δαρέντος δάρηθι, σταλείς σταλέντος στάληθι, γνούς γνόντος γνῶθι· εἰ οὖν ἄρα ὁ ἐνεργητικός καὶ μέσος παρακείμενος οὐκ ἔχουσι τὴν μετοχὴν διὰ τοῦ ν̅τ̅ κλινομένην, εἰ καὶ ἔχουσιν αὐτὴν εἰς ς̅ μετ' ὀξείας τάσεως οἷον τετυφώς τετυφότος, τετυπώς τετυπότος, δηλονότι οὐδὲ τὸ προστακτικόν δύναται ἔχειν εἰς θ̅ι̅.

Herodianus contra finem θ̅ι̅ solum comprobavit propter eas, ut videtur, causas, quas Choerob. profert 745, 25: ἰστέον ὅτι λέγουσί τινες, ὡς εἰς θ̅ι̅ ἐστὶ τὰ προστακτικὰ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, ἐπειδὴ πᾶσα μετοχὴ εἰς ς̅ λήγουσα μετ' ὀξείας τάσεως εἰς θ̅ι̅ ἔχει τὸ προστακτικὸν οἷον τυπείς τύπηθι, νυγείς νύγηθι, δαρείς δάρηθι· εἰ οὖν τετυφώς ἡ μετοχὴ εἰς ς̅ μετ' ὀξείας τάσεως, δηλονότι καὶ τέτυφθι τὸ προστακτικὸν εἰς θ̅ι̅· προστιθέασι δὲ καὶ τοῦτο, ὅτι ἐπειδὴ τὸ τρίτον πρόσωπον τὸ ὁριστικὸν τοῦ παρακειμένου τὸ ἑνικὸν διὰ τοῦ α̅ ὤφειλεν εἶναι οἷον τέτυφας τέτυφα ἐκεῖνος, οὐκ ἐγένετο δὲ οὕτως, ἀλλ' ἔτρεψε τὸ α̅ εἰς τὸ ε̅, ἵνα μὴ ὁμοφωνήσῃ τῷ ἰδίῳ πρώτῳ, τέτυφα ἐγώ, τούτου χάριν ὡς μὴ γνησίαν κατάληξιν ἔχοντος τοῦ γ' προσώπου, οὐκ ἐγένετο ἐξ αὐτοῦ τὸ προστακτικόν, ἀλλ' εἰς θι.

Imperativum vero in ε̅ perfecto prorsus abrogavit: Choer. 746, 20: λέγει ὁ Ἡρωδιανός, ὅτι ταῦτα τὰ εἰς ε̅ προστακτικὰ οὐκ ἔστι παρακειμένου ἀλλ' ἐνεστῶτός ἐστι καὶ παρατατικοῦ, τοῦ παρακειμένου εἰς

ἐνεστῶτα μετενεχθέντος, οἷον ἀπὸ τοῦ εὕρηκα γίνεται ὁ ἐνεστὼς εὑρήκω, καὶ ἐκ τούτου ὁ παρατατικὸς εὕρηκον εὕρηκες εὕρηκε καὶ λοιπὸν τὸ προστακτικὸν εὕρηκε σύ.

38.

Choer. 747, 17: λέγει ὁ Ἡρωδιανὸς ὅτι εἰκότως εἰς ον ἐγένετο τὸ προστακτικὸν τοῦ α΄ ἀορίστου καὶ μέλλοντος· εἰς ε γάρ, φησίν, οὐκ ἠδύνατο γενέσθαι, ἐπειδὴ τὸ ε οὐκ ἔστιν ἐνταῦθα γνήσιον τοῦ γ΄ προσώπου τοῦ ὁριστικοῦ ἑνικοῦ· πᾶν γὰρ δεύτερον πρόσωπον εἰς ς λῆγον ἀποβολῇ τοῦ ς τὸ γ΄ ποιεῖ οἷον τύπτεις τύπτει ἔτυπτες ἔτυπτε, ἔλεγες ἔλεγε, ἔμαθες ἔμαθε, χωρὶς τοῦ ἐνεστῶτος τῶν εἰς μι· ἐπ᾽ ἐκείνων γὰρ οὐκ ἀποβάλλεται τὸ ς, ἀλλὰ τοὐναντίον καὶ τὸ ι προσέρχεται οἷον τίθημι τίθης τίθησι, ἵστημι ἵστης ἵστησι, δίδωμι δίδως δίδωσι, ζεύγνυμι ζεύγνυς ζεύγνυσι· εἰ οὖν εἰς ας ἐστὶ τὸ δεύτερον πρόσωπον δηλονότι καὶ τὸ γ΄ ὤφειλεν εἶναι ἔτυψα ἐκεῖνος κατὰ ἀποβολὴν τοῦ ς, ἀλλ᾽ ἐπειδὴ οὐκ ἐνεδέχετο κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ κατὰ τὴν αὐτὴν διάλεκτον ὁμοφωνεῖν τὸ γ΄ τῷ πρώτῳ, τούτου χάριν καὶ τροπὴ παρηκολούθησε τοῦ α εἰς ε καὶ ἐγένετο ἔτυψε. ἐπειδὴ οὖν τὸ ε οὐκ ἔστι γνήσιον τοῦ γ΄ προσώπου τοῦ ἑνικοῦ τοῦ α΄ ἀορίστου, ἐμάθομεν γὰρ ὅτι διὰ τοῦ α ὤφειλεν εἶναι, τούτου χάριν οὐκ ἐκφέρεται δι᾽ αὐτοῦ, φημὶ δὲ διὰ τοῦ ε, τὸ προστακτικὸν τοῦ α΄ ἀορίστου καὶ μέλλοντος. λέγει δὲ πάλιν ὁ Ἡρωδιανός, ὅτι μὴ δυνάμενον γενέσθαι εἰς ε διατί οὐκ ἐγένετο εἰς α, ἵνα τὸ κεχρεωστημένον τῷ γ΄ προσώπῳ τῶν ἑνικῶν τοῦ α΄ ἀορίστου ἀναδέξηται τὸ προστακτικόν· οὐδὲ γὰρ ἔχει πρῶτον ἵνα αὐτῷ συνεμπέσῃ, ὥσπερ ἐν τοῖς ὁριστικοῖς. καὶ λέγει, ὅτι οὔτε εἰς α ἠδύνατο γενέσθαι τὸ προστακτικὸν τοῦ α΄ ἀορίστου καὶ μέλλοντος, ἐπειδὴ τὸ α τοῦ α΄ ἀορίστου συνεσταλμένον ἐστὶν οἷον ἔτυψα, ἐποίησα, ἐνόησα. οὐ δύναται δὲ τὸ προστακτικὸν διὰ τοῦ α συνεσταλμένου ἐκφέρεσθαι, ἐπειδὴ τὰ εἰς α λήγοντα προστακτικὰ μὴ ὄντα κατὰ ἀποκοπὴν μακροκαταληκτεῖν θέλει οἷον βόα, πέρα, γέλα, ὅρα, φύρα, σίγα, σιώπα, τίμα, κυβέρνα. εἰ οὖν ἐξηνέχθη τὸ προστακτικὸν τοῦ α΄ ἀορίστου καὶ μέλλοντος διὰ τοῦ α, συνεσταλμένον ἤμελλεν ἔχειν τὸ α· ὡς γὰρ εἴρηται τὸ α τοῦ α΄ ἀορίστου συνεσταλμένον ἐστίν, ὅπερ ἄτοπον. μὴ δυνάμενον οὖν τὸ προστακτικὸν τοῦ α΄ ἀορίστου καὶ μέλλοντος μήτε εἰς ε εἶναι, μήτε εἰς α, ὡς δέδεικται, μήτε εἰς θι, ἐπειδὴ οὐκ ἔχει τὴν μετοχὴν εἰς ς μετ᾽ ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην (εἰ γὰρ καὶ εἰς ς καὶ διὰ τοῦ ντ κλινομένην αὐτὴν ἔχει, ἀλλ᾽ οὐκ ὀξύτονον οἷον τύψας τύψαντος, ἐκεῖνα δὲ ἔχει προστακτικὸν εἰς θι, ὅσα ἔχει τὴν μετοχὴν εἰς ς μετ᾽ ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην οἷον τυπείς τυπέντος τύπηθι, νυγείς νυγέντος νύγηθι, δαρείς δαρέντος δάρηθι, γνούς γνόντος γνῶθι), ἐξ ἀνάγκης γέγονεν εἰς ον κατὰ μίμησιν τῶν Συρα-

l. 32 quae post ὅπερ ἄτοπον in Choerob. de voce οὗτα tamquam imperativo in α συνεσταλμένον exeunte sequuntur, mira quadam confusione ex Choer. 563, 27 huc translata videntur.

κουςίων προςτακτικῶν τοῦ β΄ ἀορίςτου. οἱ γὰρ Cυρακούςιοι τὰ προςτακτικὰ τοῦ β΄ ἀορίςτου εἰς ον μεταποιοῦςι τὸ λάβε λάβον λέγοντες καὶ τὸ ἄνελε ἄνελον καὶ τὸ νύγε νύγον, οὕτως οὖν καὶ τύψε τύψον.

39.

Choer. 753, 18: τὸ γ΄ πρόςωπον τῶν προςτακτικῶν τοῦ α΄ ἀορίςτου καὶ μέλλοντος διὰ τοῦ α ἐγένετο οἷον τυψάτω. ἔςτι δὲ εἰπεῖν ὅτι τὸ α τὸ κεχρεωςτημένον τῷ γ΄ προςώπῳ τοῦ ἀορίςτου τοῦ ὁριςτικοῦ τὸ προςτακτικὸν γ΄ πρόςωπον ἀνεδέξατο. ἐκεῖ μὲν γάρ, φημὶ δὲ ἐν τῷ ὁριςτικῷ, διὰ τὴν ςυνέμπτωςιν τὴν πρὸς τὸ α΄ πρόςωπον τροπὴ παρηκολούθηςε τοῦ α εἰς ε, ὡς ἐν τῷ προςτακτικῷ ἀποςταλείςης τῆς ςυμπτώςεως τὸ κεχρεωςτημένον α προςῆλθε. τούτων οὕτως ἐχόντων δεῖ γινώςκειν ὅτι εὑρίςκονται παρὰ τῷ ποιητῇ τινες κινήςεις ὡς ἀπὸ τῆς διὰ τοῦ ετω κλίςεως· τὸ γὰρ «ἄξετε δὲ Πριάμοιο βίαν» (Γ 105) καὶ «οἴςετε πῦρ (Ο 718)» ὡς ἀπὸ τοῦ ἀξέτω καὶ οἰςέτω ποιεῖ. ἀπὸ γὰρ τοῦ ἀξάτω ἄξατε εἶχεν εἶναι καὶ ἀπὸ τοῦ οἰςάτω οἴςατε. ταῦτα ὁ Ἡρωδιανὸς πάντα οὐ λέγει εἶναι προςτακτικὰ α΄ ἀορίςτου καὶ μέλλοντος, ἀλλ' ἐνεςτῶτος καὶ παρατατικοῦ, τοῦ μέλλοντος κατὰ ποιητικὴν ἄδειαν μετενεχθέντος εἰς ἐνεςτῶτα, καὶ λοιπὸν τοῦ ἐνεςτῶτος κλιθέντος εἰς παρατατικὸν καὶ ἀπὸ τοῦ παρατατικοῦ ἀκολούθως προενεχθέντος τοῦ προςτακτικοῦ.

40.

An. Par. III 332, 6 (Ep. Cr. I 262, 19, E. M. 562, 8): λεύςετε: Ἀρίςταρχος ἓν ς γράφει· ἐγὼ δὲ ἐνεςτῶτα αὐτὸ λέγω ὡς ἀπὸ τοῦ μέλλοντος ὥςπερ καὶ τὸ «ἄξετε» καὶ «οἴςετε» καὶ «καταβήςεο δίφρου» (Ε 109).

41.

E. M. 646, 20: τὸ «ὄψεςθε Τρῶες καὶ Τρῳάδες» (Ω 704) ἐνεςτῶτα εἶναί φηςιν Ἡρωδιανὸς ἀπὸ τοῦ ὄψομαι γενόμενον μέλλοντος· οὐ γὰρ μαντεύεται αὐτοῖς, φηςίν, ἀλλ' ἀντὶ τοῦ ἴδετε καὶ πάλιν «ἀλλ' ὄψεςθ' ἵνα τώγε καθεύδετον» (θ 313).

Choer. 755, 34: τὰ εἰς μην ἔχοντα τὸ μ κλιτικὸν εἴτε παθητικὰ εἴτε μέςα τοῦ ἰδίου β΄ προςώπου ἀποβάλλοντα τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκταςιν τὸ προςτακτικὸν ποιεῖ, τοῦ αὐτοῦ δηλονότι τόνου φυλαττομένου οἷον ἐτυπτόμην ἐτύπτου τύπτου, ἐγραφόμην ἐγράφου γράφου, ἐποιούμην ἐποιοῦ ποιοῦ, ἐβοώμην ἐβοῶ βοῶ, ἐχρυςούμην ἐχρυςοῦ χρυςοῦ, ἐτετύμμην ἐτέτυψο τέτυψο, ἐπεποιήμην ἐπεποίηςο πεποίηςο, ἐτυπόμην ἐτύπου τύπου, ἐνυγόμην ἐνύγου νύγου, ἐπυθόμην ἐπύθου πύθου, ἐλαβόμην ἐλάβου λάβου. ταῦτα δέ, φημὶ τὰ προςτακτικὰ τοῦ β΄ μέςου ἀορίςτου, οἱ Ἀθηναῖοι περιςπῶςιν οἷον τυποῦ καὶ λαβοῦ καὶ νυγοῦ καὶ πυθοῦ. ὑπεξαιρείςθω δὲ ὁ πρῶτος μέςος ἀόριςτος. ἐκεῖνος γὰρ εἰς μην λήγει καὶ

l. 20 cf. E. M. 619, 1: οἴςετε ῥῆμα προςτακτικὸν ἐνεςτῶτος καὶ παρατατικοῦ. ἔςτι γὰρ οἴςω μέλλων καὶ μετάγεται εἰς ἐνεςτῶτα. τοῦτο μεταγόμενον μέλλοντα οὐκ ἔχει. τὰ γὰρ ποιητικὰ ἀπὸ μέλλοντος εἰς ἐνεςτῶτα μεταγόμενα ἄχρι τοῦ παρατατικοῦ κλίνεται· τούτου τὸ προςτακτικὸν οἶςε οἰςέτω καὶ οἴςετε ἀντὶ τοῦ ἄγετε. ἰςτέον ὅτι τοῦ φέρω μέλλων οὐκ ἔςτι. τοῦ δὲ οἴςω ἐνεςτὼς οὐκ ἔςτι· πλὴν ἔθος τῷ ποιητῇ μετάγειν ἀπὸ μέλλοντος εἰς ἐνεςτῶτα. οὕτως ἔχει καὶ τὸ ἄξετε ἀντὶ τοῦ φέρετε. v. praeterea E. M. 472, 15.

ἔχει τὸ μ κλιτικόν, καὶ ὅμως οὐκ ἀποβάλλει τοῦ ἰδίου β΄ προςώπου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκταςιν καὶ ποιεῖ τὸ προςτακτικὸν οἷον ἐτυψάμην ἐτύψω. οὐ λέγομεν τὸ προςτακτικὸν τύψω ἀλλὰ τύψαι, καὶ πάλιν ἐποιηςάμην ἐποιήςω, οὐ λέγομεν τὸ προςτακτικὸν ποιήςω ποίηςα, καὶ πάλιν ἐλουςάμην ἐλούςω, οὐ λέγομεν τὸ προςτακτικὸν λούςω ἀλλὰ λοῦςαι. πρόςκειται ἐν τῷ κανόνι «ἔχον τὸ μ κλιτικὸν» διὰ τὸ ἐδάμην. τοῦτο γὰρ εἰς μην λήγει καὶ ὅμως εἰς θι ἔχει τὸ προςτακτικὸν οἷον δάμηθι, καὶ οὐκ ἀπὸ τοῦ ἰδίου β΄ προςώπου ποιεῖ αὐτὸ κατὰ ἀποβολὴν τῆς κατ᾽ ἀρχὴν κλιτικῆς ἐκτάςεως· ἐδάμης γάρ ἐςτι τὸ β΄ πρόςωπον καὶ οὐ γίνεται τὸ β΄ πρόςωπον δάμης· ἀλλ᾽ οὐκ ἀντίκειται ἡμῖν τοῦτο, ἐπειδὴ οὐκ ἔχει τὸ μ κλιτικὸν ἀλλὰ θεματικόν, ἀπὸ γὰρ τοῦ ἐνεςτῶτος ἔχει αὐτό. δάμνω γάρ ἐςτιν ὁ ἐνεςτὼς καί ἔχει τὸ μ.

Choer. 758, 7: πᾶν β΄ πρόςωπον πληθυντικὸν ὁριςτικὸν εἴτε ἐνεργητικὸν εἴτε παθητικὸν εἴτε μέςον τροπῇ τοῦ ε εἰς ω προςτακτικὸν τρίτον ἑνικὸν γίνεται ἐνεργητικὸν ἢ παθητικὸν ἢ μέςον, δηλονότι καὶ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάςεως ἀποβαλλομένης χωρὶς τοῦ παρακειμένου· καί ἐπὶ τῶν ἐνεργητικῶν ἁρμόζει ὁ αὐτὸς λόγος οἷον ἐτύπτετε τυπτέτω, ἐγράφετε γραφέτω, ἐποιεῖτε ποιείτω, ἐβοᾶτε βοάτω, ἐχρυςοῦτε ἐχρυςούτω, ἐτύψατε τυψάτω, ποιήςατε ἐποιηςάτω, ἐλάβετε λαβέτω, ἐτύπετε τυπέτω, ἐνύγετε νυγέτω. δεῖ προςθεῖναι, χωρὶς τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ τοῦ μέςου, τετύφατε γὰρ καὶ τετύπατε τὸ ὁριςτικὸν διὰ τοῦ α, τὸ δὲ προςτακτικὸν τετυφέτω καὶ τετυπέτω διὰ τοῦ ε· ἀπὸ γὰρ τοῦ τέτυφε ςύ καὶ τέτυπε ςύ γέγονε ταῦτα προςθέςει τῆς τω.

Choer. 760, 17: οἱ δύο ἀόριςτοι οἱ παθητικοί, φημὶ δέ ὁ α΄ καί ὁ β΄, κατὰ τὸ γ΄ ἑαυτῶν πρόςωπον προςλαμβάνοντες τὴν θι ςυλλαβήν, ἀλλὰ καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκταςιν ἀποβάλλοντες, τὸ προςτακτικὸν ποιοῦςιν ἑαυτῶν τε καὶ τῶν μελλόντων· ὁ α΄ ἀόριςτος τοῦ α΄ ἀορίςτου καὶ μέλλοντος α΄ καὶ ὁ β΄ ἀόριςτος τοῦ β΄ ἀορίςτου καὶ μέλλοντος οἷον ἐτύφθη τύφθηθι, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δαςέων κατὰ μετάθεςιν τοῦ θ εἰς τ τύφθητι, ἐλέχθη λέχθηθι, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δαςέων κατὰ μετάθεςιν τοῦ θ εἰς τ λέχθητι, ἐνύγη νύγηθι, ἐςτάλθη ςτάλθητι, ἐδάρη δάρηθι· εἰς θι δὲ ταῦτα ἔχει τὸ προςτακτικόν, ἐπειδὴ εἰς ς μετ᾽ ὀξείας τάςεως ἔχει τὴν μετοχὴν οἷον τυφθεὶς τυφθέντος, δαρεὶς δαρέντος· τὰ δὲ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ᾽ ὀξείας τάςεως οἷον ἱςτὰς ἱςτάντος ἵςταθι, διδοὺς διδόντος δίδοθι, ζευγνὺς ζευνύντος ζεύγνυθι, πηγνὺς πηγνύντος πήγνυθι, ςτὰς ςτάντος ςτῆθι, βὰς βάντος βῆθι, γνοὺς γνόντος γνῶθι, οὕτως οὖν καὶ τυπεὶς τυπέντος τύπηθι, τυφθεὶς τυφθέντος τύφθηθι, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δαςέων τύφθητι κατὰ μετάθεςιν τοῦ θ εἰς τ. δεῖ δὲ γινώςκειν, ὅτι τότε τρέπεται τὸ θ εἰς τ ἐν τοῖς εἰς θι προςτακτικοῖς ἡνίκα προηγεῖται ἕτερον θ οἷον τύφθηθι τύφθητι, λέχθηθι λέχθητι, νύχθηθι νύχθητι, ἡνίκα δὲ μὴ προηγεῖται ἕτερον θ, οὐ τρέπεται τὸ θ εἰς τ οἷον φάθι ἀντὶ τοῦ εἰπέ, ὡς παρ᾽ Ἀριςτοφάνει ἐν Ἱππεῦςι (23) «αὐτὸ φάθι». ςεςημείωται ἐν τῷ κανόνι τῷ λέγοντι, ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ᾽ ὀξείας τάςεως εἰς θι ποιεῖ τὸ προςτακτικόν, τὸ δός, θές, ἕς, ςημαίνει δὲ τὸ πέμψον, ἐξ οὗ ἐν ςυνθέςει τὸ ἄφες καὶ πρόες καὶ πάρες καὶ μέθες· ταῦτα γὰρ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ᾽ ὀξείας τάςεως οἷον δοὺς δόντος, θεὶς θέντος, εἷς ἕντος, ἐξ οὗ καὶ τὸ ἀφεὶς ἀφέντος, οὐκ ἐγένετο εἰς θι ἐν τοῖς προςτακτικοῖς, δὸς γὰρ καὶ θὲς καὶ ἓς τὰ προςτακτικά. πρόςκειται ἐν τῷ κανόνι, «μετ᾽ ὀξείας τάςεως οἷον τὰ ἔχοντα τὴν μετοχὴν εἰς ς μετ᾽ ὀξείας τάςεως», διὰ τὸ τύψας τύψαντος· αὕτη γὰρ εἰς ς λήγει, καὶ ἐπειδὴ οὐκ ἔςτιν ὀξυνομένη, οὐ ποιεῖ τὸ προςτακτικὸν εἰς θι, τύψον γὰρ τὸ προςτακτικόν.

l. 30 sqq. omisi ubique post τὴν μετοχὴν μετ᾽ ὀξείας τάςεως verba διὰ τοῦ ντ κλινομένην, quae a Choerobosco ex Apollonii sententia perfecto exitum ε tribuentis apposita sunt.

42.

Choer. 765, 13: ἄξιόν ἐστι ζητῆσαι τοῦτο, εἰ ἄρα τὰ εἰς μην ἔχοντα τὸ μ κλιτικὸν εἴτε παθητικὰ εἴτε μέσα τοῦ ἰδίου δευτέρου προσώπου ἀποβάλλοντα τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν τὸ προστακτικὸν ποιεῖ οἷον ἐτυπτόμην ἐτύπτου τύπτου καὶ ἐπὶ τοῖς ὁμοίοις, διατί ὁ α΄ μέσος ἀόριστος εἰς μην λήγων καὶ ἔχων τὸ μ κλιτικὸν οὐκ ἀποβάλλει τοῦ ἰδίου δευτέρου προσώπου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν καὶ ποιεῖ τὸ προστακτικὸν οἷον ἐτυψάμην ἐτύψω, καὶ οὐ λέγομεν τὸ προστακτικὸν τύψω ἀλλὰ τύψαι, καὶ πάλιν ἐποιησάμην ἐποιήσω, καὶ οὐ λέγομεν τὸ προστακτικὸν ποιήσω ἀλλὰ ποίησαι; ἐν ταὐτῷ δὲ ζητοῦμεν καὶ διὰ ποίαν αἰτίαν εἰς τὴν αι δίφθογγον λήγει τὸ προστακτικὸν τοῦ α΄ μέσου ἀορίστου καὶ μέλλοντος οἷον ποίησαι, λοῦσαι, κτῆσαι, ἄσπασαι, κατάδεξαι, ἁμίλλησαι, λόγισαι. καὶ λέγει ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν· ὅτι διὰ τοῦτο β΄ πρόσωπον τοῦ μέσου ἀορίστου πρώτου καὶ μέλλοντος ἀποβάλλων τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν οὐ ποιεῖ τὸ προστακτικὸν οἷον ἐτυψάμην ἐτύψω οὐ γίνεται τύψω, ἐπειδὴ τὰ εἰς μην ἔχοντα τὸ μ κλιτικὸν τότε ἔχει τὰ ἴδια προστακτικὰ ὁμοιοκατάληκτα τοῖς ἰδίοις δευτέροις προσώποις, ἡνίκα καὶ τὸ προστακτικὸν τὸ ἐνεργητικὸν ἢ ὁμοιοκαταληκτεῖ τῷ ἰδίῳ ὁριστικῷ ἢ εἰς θι λήγει οἷον ἔτυπτον ἔτυπτες ἔτυπτε τύπτε ὁμοιοκαταλήκτως, ἀλλὰ καὶ ἐτυπτόμην ἐτύπτου τύπτου ὁμοιοκαταλήκτως. πάλιν ἔστιν ἔτυπον ἔτυπες τύπε ὁμοιοκαταλήκτως καὶ ἐτυπόμην ἐτύπου τύπου καὶ τυποῦ Ἀττικῶς ὁμοιοκαταλήκτως. πάλιν ἔστιν τέτυφα ὅθεν τετύφω ἐτέτυφον ἐτέτυφε καὶ τέτυφε σύ τὸ προστακτικὸν ὁμοιοκαταλήκτως, ἀλλὰ καὶ ἐτετύμμην ἐτέτυψο τέτυψο ὁμοιοκαταλήκτως. καὶ πάλιν ἐδίδων ἐδίδως ἐδίδω καὶ τὸ προστακτικὸν δίδοθι εἰς θι λήγει, ἀλλὰ καὶ ἐδιδόμην ἐδίδοσο δίδοσο ὁμοιοκαταλήκτως. καὶ πάλιν ἵστην ἵστης ἵστη καὶ τὸ προστακτικὸν ἵσταθι εἰς θι λήγει, καὶ ἱστάμην ἵστασο τὸ προστακτικὸν ὁμοιοκαταλήκτως. καὶ πάλιν ἐπήγνυν ἐπήγνυς ἐπήγνυ καὶ τὸ προστακτικὸν πήγνυθι εἰς θι λήγει, ἀλλὰ καὶ ἐπηγνύμην ἐπήγνυσο πήγνυσο ὁμοιοκαταλήκτως. εἰ οὖν τὸ προστακτικὸν τοῦ α΄ ἀορίστου ἐνεργητικοῦ οὔτε ὁμοιοκαταληκτεῖ τῷ ἰδίῳ ὁριστικῷ, οὔτε εἰς θι λήγει, ἔτυψε γὰρ τὸ ὁριστικὸν καὶ τύψον τὸ προστακτικόν, δηλονότι εἰκότως οὐ δύναται τὸ προστακτικὸν τοῦ α΄ μέσου ἀορίστου ὁμοιοκαταληκτεῖν τῷ β΄ προσώπῳ τοῦ μέσου α΄ ἀορίστου ὁριστικοῦ. διατί δὲ εἰς τὴν αι δίφθογγον λήγει τὸ προστακτικὸν τοῦ α΄ μέσου ἀορίστου, λέγει ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν· ἡ αι δίφθογγος εὑρίσκεται ἐν πάσαις ταῖς λοιπαῖς ἐγκλίσεσι· καὶ γὰρ ἐν τοῖς ἀπαρεμφάτοις εὑρίσκεται οἷον τύψαι ποιῆσαι, καὶ ἐν τοῖς εὐκτικοῖς οἷον ποιήσαιμι ποιήσαις ποιήσαι, καὶ ἐν τοῖς ὑποτακτικοῖς οἷον ἐὰν τύπτωμαι, καὶ ἐν τοῖς ὁριστικοῖς οἷον τύπτομαι. ἐπειδὴ οὖν ἐν πάσαις

---

l. 23 ex Herodiani sententia τέτυφα ὅθεν τετύφω ἐτέτυφον ἐτέτυφε scripsi pro τέτυφα τέτυφας τέτυφε.

ταῖς ἐγκλίσεσιν εὑρίσκεται ἡ αι δίφθογγος, εἰκότως καὶ τὸ προστακτικὸν τοῦ α΄ μέσου ἀορίστου εἰς τὴν αι δίφθογγον λήγει οἷον ποίησαι κατάδεξαι ἄσπασαι, ἵνα εὑρεθῇ καὶ ἐν τοῖς προστακτικοῖς ἡ αι δίφθογγος.

(Περὶ εὐκτικῶν).

Choer. 771, 25: ἰστέον ὅτι πολλὴν ὁμοιότητα ἔχει τὰ εὐκτικὰ πρὸς τὴν δοτικήν· ὥσπερ γὰρ τὸ ῑ χαρακτηριστικόν ἐστι τῆς δοτικῆς οἷον τῷ καλῷ, τῷ Αἴαντι, τὸν αὐτὸν τρόπον τὸ ῑ χαρακτηριστικόν ἐστι τῶν εὐκτικῶν οἷον τύπτοιμι τυπτοίμην τυφθείην. ἀλλ' ἐν μὲν τῇ δοτικῇ κατὰ τὸ τέλος εὑρίσκεται τὸ ῑ οἷον τῷ σοφῷ, ἐν δὲ τοῖς εὐκτικοῖς κατὰ τὴν παραλήγουσαν οἷον τύπτοιμι τυπτοίμην τυφθείην. ἄλλως τε δὲ ἐν μὲν τῇ δοτικῇ οὐ πάντως εὑρίσκεται τὸ ῑ ἐν διφθόγγῳ οἷον Αἴαντι, βότρυϊ, ἐν δὲ τοῖς εὐκτικοῖς πάντως ἐν διφθόγγῳ εὑρίσκεται τὸ ῑ οἷον τύπτοιμι τυφθείη. πλησιάζει δὲ καὶ κατ' ἄλλο τὰ εὐκτικὰ τῇ δοτικῇ· ὥσπερ γὰρ ἐν ταῖς εἰς ω ληγούσαις δοτικαῖς οὐ προσγράφουσιν οἱ Αἰολεῖς τὸ ῑ οἷον Ὁμήρω, ἀνθρώπω, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν εὐκτικῶν πολλάκις ἀποβάλλουσι τὸ ῑ. ἔστι γὰρ λάχοιμι, λάχοις, λάχοι· τοῦτο γίνεται Ἀττικῶς λαχοίην λαχοίης λαχοίη, ὥσπερ ἐτύφθην ἐτύφθης ἐτύφθη, καὶ ἀποβάλλουσιν οἱ Αἰολεῖς τὸ ῑ καὶ λέγουσι λαχόης.

Δεῖ δὲ γινώσκειν ὅτι τὰ εὐκτικὰ ἢ εἰς μι λήγει ἢ εἰς μην ἢ εἰς ην καθαρὸν οἷον τύπτοιμι τυπτοίμην τυφθείην. καὶ τὰ μὲν εἰς μι ἐνεργητικά ἐστιν ἢ μέσα, οὐδέποτε δὲ παθητικά· ἐνεργητικὰ μὲν οἷον τύπτοιμι, βοῷμι, χρυσοῖμι, τετύφοιμι, μέσα δὲ οἷον τετύποιμι, δεδούποιμι, πεποίθοιμι. τὰ δὲ εἰς μην παθητικά ἐστιν ἢ μέσα, οὐδέποτε δὲ ἐνεργητικά· παθητικὰ μὲν οἷον τυπτοίμην, λεγοίμην, χρυσοίμην, μέσα δὲ οἷον τυψαίμην λαβοίμην. τὰ δὲ εἰς ην καθαρὸν ἢ παθητικά ἐστιν ἢ ἐνεργητικά, οὐδέποτε δὲ μέσα· ἐνεργητικὰ μὲν οἷον τιθείην, ἱσταίην, γνοίην, δοίην, παθητικὰ δὲ οἷον τυφθείην, δαρείην, νυγείην. καὶ ἰστέον ὅτι ὅσα μὲν ἔχει εἰς μενος τὴν μετοχήν, εἰς μην ἔχει τὸ εὐκτικὸν οἷον τυπτόμενος τυπτοίμην, τυφθησόμενος τυφθησοίμην, τυψάμενος τυψαίμην· ὅσα δὲ ἔχει τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, εἰς ην καθαρὸν ἔχει τὸ εὐκτικὸν οἷον τυφθείς τυφθέντος τυφθείην, δαρείς δαρέντος δαρείην, ἱστάς ἱστάντος ἱσταίην, δούς δόντος δοίην, γνούς γνόντος γνοίην. τὰ δὲ μηδὲν τούτων ἔχοντα [τουτέστι μήτε εἰς μενος ἔχοντα τὴν μετοχὴν μήτε εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην] εἰς μι ἔχει τὸ εὐκτικὸν οἷον τύπτων τύπτοντος τύπτοιμι, βοῶν βοῶντος βοῷμι, τετυφώς τετυφότος τετύφοιμι. τοῦτο γὰρ ἔχει τὴν μετοχὴν εἰς ς μετ' ὀξείας τάσεως, ἀλλ' οὐκ ἔχει αὐτὴν διὰ τοῦ ντ κλινομένην, ἵνα ποιήσωμεν εἰς ην τὸ εὐκτικόν. δεῖ δὲ γινώσκειν ὅτι πολλάκις εὑρίσκομεν εἰς ην καθαρὸν εὐκτικὰ μὴ οὔσης τῆς μετοχῆς εἰς ς μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένης, περιπατοίην, περιπατῶν γὰρ περιπατοῦντός ἐστιν ἡ μετοχὴ [διὰ τοῦ ντ κλινομένη, μὴ οὔσης τῆς μετοχῆς, ἤγουν τῆς εὐθείας, εἰς ς μετ' ὀξείας τάσεως]. τοῦτο δὲ ὁ μὲν Ἀπολλώνιος σχηματίζει οὕτως, λέγων, ὅτι ἔστι περιπατοῖμι περιπατοῖς περιπατοῖ καὶ Ἀττικῶς γίνεται περιπατοίη κατὰ πλεονασμὸν τοῦ η· καὶ ἐπειδὴ πᾶν τρίτον πρόσωπον εἰς η καταλῆγον προσθέσει τοῦ ς ποιεῖ τὸ β΄ πρόσωπον, καὶ τροπῇ τοῦ ς εἰς ν ποιεῖ τὸ α΄ οἷον ἐτύφθη ἐτύφθης ἐτύφθην, ἐδάρη ἐδάρης ἐδάρην, ἐνύγη ἐνύγης ἐνύγην, τούτου χάριν ἐγένετο τὸ β΄ πρόσωπον προσθέσει τοῦ ς περιπατοίης καὶ τροπῇ τοῦ ς εἰς τὸ ν περιπατοίην τὸ πρῶτον.

43.

Choer. 773, 13: ὁ δὲ Ἡρωδιανὸς ἀλλοίως σχηματίζει αὐτὸ λέγων, ὅτι ἀπὸ τοῦ περιπατοῖμι τροπῇ τῆς μι εἰς ην καὶ ἐκ τούτου τὸ

l. 15 pro Apollonii sententia: λαχοίη κατὰ πλεονασμὸν τοῦ η καὶ προσθήκη τοῦ ς τὸ β΄ λαχοίης καὶ τροπῇ τοῦ ς εἰς τὸ ν λαχοίην ὥσπερ ἐτύφθη ἐτύφθης ἐτύφθην Herodianeam posui.

β' πρόσωπον περιπατοίης τροπῇ τοῦ ν εἰς c καὶ τὸ γ' περιπατοίη ἀποβολῇ τοῦ c, ὥσπερ ἐτύφθην ἐτύφθης ἐτύφθη, ἐδάρην ἐδάρης ἐδάρη· τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν ὅτι τὸ τρέφοιν, ὡς παρ' Εὐριπίδῃ (fr. 152 Dind.)

ἄφρων ἂν εἴην εἰ τρέφοιν τὰ τῶν πέλας

γέγονε τοῦτον τὸν τρόπον· ἔcτι τρεφοίην ὡς περιπατοίην καὶ λοιπὸν ἀπὸ τοῦ τρεφοίην κατὰ cυγκοπὴν τοῦ η γέγονε τρέφοιν.

Choer. 773, 33 et 774, 10: πάντα τὰ εὐκτικὰ εἴτε εἰς μι λήγει εἴτε εἰς μην εἴτε εἰς ην καθαρὸν διφθόγγῳ θέλει παραλήγεcθαι τῇ μετὰ τοῦ ι· οἷον τύπτοιμι πεποιήμην τυπτοίμην τυψαίμην τυφθηcοίμην τυφθείης νυγοίην γνοίην δοίην. καὶ φυλάττει τὴν δίφθογγον καὶ ἐν τοῖς ἑνικοῖς καὶ ἐν τοῖς δυϊκοῖς καὶ ἐν τοῖς πληθυντικοῖς. δεῖ δὲ προcθεῖναι, χωρὶς τῆς δ' cυζυγίας τῶν εἰς μι· ταῦτα γὰρ οὐ παραλήγεται τῇ διφθόγγῳ· ζευγνύην γὰρ καὶ ὀμνύην χωρὶς τοῦ ι.

Formas ὀμνύην, ζευγνύην, πηγνύην ι destitutas eodem modo quo ab Apollonio, de quo cf. Skrzeczka Apollon. Lehre vom Verbum I 6, ab Herodiano explicatas arbitror: Choer. 774, 13: καὶ λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν ἀπολογίαν, ὅτι τὸ ζευγνύην καὶ τὸ πηγνύην καὶ τὸ ὀμνύην προcθέcει τοῦ μ παθητικὰ γίνεται οἷον ζευγνύμην, πηγνύμην, ὀμνύμην. εἰ εἶχον τὸ ι κατὰ τὴν παραλήγουcαν, ἤμελλον ἀποβάλλειν αὐτὸ ἐν τοῖς παθητικοῖς, ἐπειδὴ μετὰ τὴν υι δίφθογγον cύμφωνον οὐχ εὑρίcκεται ἐπιφερόμενον οἷον ἅρπυια, μυῖα, υἱός· ὃ οὖν εἶχον ἀποβάλλειν ἐν τοῖς παθητικοῖς, προαπέβαλον ἐν τοῖς ἐνεργητικοῖς. τούτου οὖν χάριν τὰ εὐκτικὰ ἐπὶ τῆς δ' cυζυγίας τῶν εἰς μι οὐ παραλήγεται διφθόγγῳ.

Choer. 777, 12: ἰcτέον ὅτι τὰ εἰς μεν εὐκτικά, εἰ μὲν διφθόγγῳ παραλήγεται, ἀποβολῇ τοῦ μ τὸ γ' πρόcωπον τῶν πληθυντικῶν ποιεῖ οἷον τύπτοιμεν τύπτοιεν, λέγοιμεν λέγοιεν, τύψαιμεν τύψαιεν, τύψοιμεν τύψοιεν, τετύφοιμεν τετύφοιεν, ποιοῖμεν ποιοῖεν, βοῷμεν βοῷεν, γελῷμεν γελῷεν, τρυγῷμεν τρυγῷεν, χρυcοῖμεν χρυcοῖεν. εἰ δὲ ἑνὶ φωνήεντι παραλήγεται, τροπῇ τῆς μεν εἰς cαν τὸ γ' πρόcωπον τῶν πληθυντικῶν ποιεῖ οἷον τυφθείημεν τυφθείηcαν, δαρείημεν δαρείηcαν, νυγείημεν νυγείηcαν. ἀμέλει ἀπὸ τοῦ δοίημεν καὶ τὸ γ' πρόcωπον τῶν πληθυντικῶν δοίηcαν γίνεται, ἐπειδὴ ἑνὶ φωνήεντι παραλήγεται· ἡνίκα δὲ γένηται κατὰ cυγκοπὴν τοῦ η

δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίcτην (Ν 378),

τότε τὸ γ' τῶν πληθυντικῶν δοῖεν γίνεται κατὰ ἀποβολὴν τοῦ μ, ἐπειδὴ διφθόγγῳ παραλήγεται οἷον

ὑμῖν μὲν θεοὶ δοῖεν (Α 18).

Choer. 777, 29: κανονίζεται τὸ εὐκτικὸν τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερcυντελικοῦ καὶ τοῦ μέcου παρακειμένου καὶ ὑπερcυντελικοῦ τοῦτον τὸν τρόπον· ἡ γενικὴ τῆς μετοχῆς τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερcυντελικοῦ καὶ ἡ γενικὴ τῆς μετοχῆς τοῦ μέcου παρακειμένου καὶ ὑπερcυντελικοῦ τρέπουcαι τὴν τελευταίαν cυλλαβὴν εἰς μι καὶ πρὸ τοῦ μι δεχόμεναι τὸ ι τὸ εὐκτικὸν ποιοῦcιν ἡ ἐνεργητικὴ τὸ ἐνεργητικὸν καὶ ἡ μέcη τὸ μέcον οἷον τετυφότοc τετύφοιμι, πεποιηκότοc πεποιήκοιμι, τετυπότοc τετύποιμι, δεδουπότοc δεδούποιμι, πεποιθότοc πεποίθοιμι. ἰcτέον δὲ ὅτι ταῦτα, εἰ καὶ ἔχει τὴν μετοχὴν εἰς c μετ' ὀξείας τάcεωc, ἀλλ' οὖν οὐκ ἔχει αὐτὴν διὰ τοῦ ντ κλινομένην οἷον τετυφὼc τετυφότοc, πεποιθὼc πεποιθότοc, καὶ τούτου χάριν οὐκ ἔχει εἰς ην καθαρὸν τὸ εὐκτι-

---

l. 6 omisi verba τρέφοιμι τρέφοις τρέφοι καὶ κατὰ πλεοναcμὸν τοῦ η γέγονε τρεφοίη Ἀττικῶς ὡς περιπατοίη καὶ προcθέcει τοῦ c τὸ β' τρεφοίης καὶ τροπῇ τοῦ c εἰς τὸ ν τὸ α', quibus Apollonii sententia repetitur. cf. Lob. El. I 331 et II 140. l. 31 cf. Herod. Il. Pr. Γ 102.

κόν· ἐκεῖνα γὰρ εἰϲ η̅ν̅ καθαρὸν ἔχει τὸ εὐκτικὸν ὅϲα ἔχει μετ᾽ ὀξείαϲ τάϲεωϲ τὴν μετοχὴν εἰϲ ϲ̅ καὶ διὰ τοῦ ν̅τ̅ κλινομένην οἷον τυφθείϲ τυφθέντοϲ τυφθείην, δαρείϲ δαρέντοϲ δαρείην, νυγείϲ νυγέντοϲ νυγείην, γνούϲ γνόντοϲ γνοίην. ϲεϲημείωται τὸ εἰδείην, τοῦτο γὰρ εἰ καὶ ἔχει τὴν μετοχὴν εἰϲ ϲ̅ μετ᾽ ὀξείαϲ τάϲεωϲ οἷον εἰδώϲ εἰδότοϲ, ἀλλ᾽ οὐκ ἔχει αὐτὴν διὰ τοῦ ντ κλινομένην, καὶ οὐκ ὤφειλεν εἰϲ η̅ν̅ καθαρὸν ἔχειν τὸ εὐκτικόν. ἀλλ᾽ ἔϲτιν εἰπεῖν ὅτι ὥϲπερ ἀπὸ τοῦ περιπατοῖμι γέγονε περιπατοίην Ἀττικῶϲ κατὰ τροπὴν τῆϲ μ̅ι̅ εἰϲ η̅ν̅, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ εἰδώϲ εἰδότοϲ γέγονεν εἴδοιμι, ὥϲπερ τετυφώϲ τετυφότοϲ τετύφοιμι, καὶ ἀπὸ τοῦ εἴδοιμι γέγονεν εἰδοίην κατὰ τροπὴν Ἀττικὴν τῆϲ μι εἰϲ ην καὶ κατὰ τροπὴν τοῦ ο̅ εἰϲ τὸ ε̅ εἰδείην.

Choer. 778, 28: ἰϲτέον ὅτι τύψαντοϲ ἔϲτιν ἡ γενικὴ τῆϲ μετοχῆϲ, καὶ λοιπὸν τρέπουϲα τὴν τελευταίαν ϲυλλαβὴν εἰϲ μ̅ι̅ καὶ πρὸ τοῦ μ̅ δεχομένη τὸ ι̅ καὶ ἀποβάλλουϲα τὰ μὴ δυνάμενα ϲυνεκφωνηθῆναι ϲτοιχεῖα, φημὶ δὲ τὸ ν̅, τὸ εὐκτικὸν ποιεῖ οἷον τύψαιμι· εἰ γὰρ καὶ εἶχε τὴν μετοχὴν τούτου εἰϲ ϲ̅ καὶ διὰ τοῦ ν̅τ̅ κλινομένην, ἀλλ᾽ οὐκ ἔχει αὐτὴν ὀξύτονον, καὶ τούτου χάριν οὐκ ἔχει εἰϲ η̅ν̅ καθαρὸν τὸ εὐκτικόν. δεῖ δὲ γινώϲκειν ὅτι τὰ εὐκτικὰ τοῦ α′ ἀορίϲτου ἐνεργητικοῦ οἱ Αἰολεῖϲ διὰ τοῦ ε̅ι̅α̅ προφέρονται οἷον τύψαιμι τύψεια, ὑποϲτρέψαιμι ὑποϲτρέψεια. καὶ τῷ μὲν α′ προϲώπῳ οἱ Αἰολεῖϲ μόνοι κέχρηνται, τῷ δὲ δευτέρῳ καὶ τρίτῳ καὶ οἱ Ἀθηναῖοι οἷον τύψειαϲ τύψειε, καὶ τύψειαν τὸ γ′ τῶν πληθυντικῶν· τίϲειαϲ τίϲειε καὶ τίϲειαν τὸ γ′ τῶν πληθυντικῶν, ὡϲ παρὰ τῷ ποιητῇ (Α 42)

τίϲειαν Δαναοὶ ἐμὰ δάκρυα ϲοῖϲι βέλεϲι

καὶ πάλιν ὑποϲτρέψειαϲ

μηδέτι ϲοῖϲι πόδεϲϲι ὑποϲτρέψειαϲ (Γ 407)

καὶ ὑποϲτρέψειαν τὸ πληθυντικόν.

44.

Il. Pr. Ψ 361: προπαροξυτονητέον τὸ μεμνέῳτο· γράφεται δὲ καὶ ϲὺν τῷ ι̅ τὸ ω̅. οὕτω δὲ καὶ ὁ Ἀϲκαλωνίτηϲ, ἐκ τοῦ μεμνέοιτο ἡγούμενοϲ αὐτὸ εἶναι. παρὰ μέντοι Ξενοφῶντι ἄνευ τοῦ ε̅ ἐϲτὶν ὁ ϲχηματιϲμὸϲ καὶ προπεριϲπᾶται ἐν Κύρου παιδείαϲ πρώτῳ (6, 3) «ἀλλ᾽ ὅτε τὰ ἄριϲτα πράττοι, τότε μάλιϲτα τὸν θεὸν μεμνῷτο». τὸ δὲ ἀνάλογον διὰ τοῦ η προϲκειμένου τοῦ ι̅ παρ᾽ Ἀριϲτοφάνει ἐν Πλούτῳ δευτέρῳ (992) «ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου» καὶ πάλιν προπεριϲπαϲτέον. ἐν ἑτέροιϲ μέντοι ἐντελῶϲ περὶ τοῦ ϲχηματιϲμοῦ διέλαβον.

(Περὶ ὑποτακτικῶν).

Choer. 794, 17: πᾶν ἐνεργητικὸν ἢ μέϲον ἢ παθητικὸν ὑποτακτικὸν μὴ ἔχοντοϲ τὸ μ̅ κλιτικὸν τοῦ ἰδίου ὁριϲτικοῦ παρῳχημένου τοῦτον τὸν τρόπον κανονίζεται· πᾶϲ παρῳχημένοϲ ὁριϲτικὸϲ εἴτε ἐνεργητικὸϲ εἴτε μέϲοϲ εἴτε παθητικὸϲ μὴ ἔχων τὸ μ̅ κλιτικὸν τρέπων τὴν τελευταίαν ϲυλλαβὴν εἰϲ ω̅ μετὰ τοῦ ἀποβάλλειν τὴν ἐν ἀρχαῖϲ αὐτοῦ κλιτικὴν ἔκταϲιν τὸ ὑποτακτικὸν ποιεῖ οἷον ἔτυπτον ἐὰν τύπτω, ἔλεγον ἐὰν λέγω, ἔγραφον ἐὰν γράφω, ἐποίουν ἐὰν ποιῶ, ἐβόων ἐὰν βοῶ, ἐχρύϲουν ἐὰν χρυϲῶ, ἔμαθον ἐὰν μάθω, ἔλαβον ἐὰν λάβω, ἔτυπον ἐὰν τύπω, ἔφαγον ἐὰν φάγω, ἔτυψα ἐὰν τύψω, ἐποίηϲα ἐὰν ποιήϲω, ἐνόηϲα ἐὰν νοήϲω, ἐλάληϲα ἐὰν λαλήϲω, ἐτετύφειν ἐὰν τετύφω, ἐπεποιήκειν ἐὰν πεποιήκω, ἐτετύπειν ἐὰν τετύπω, ἐδεδούπειν ἐὰν δεδούπω, ἐϲτάλκειν ἐὰν ἐϲτάλκω, ἐφθάρκειν ἐὰν ἐφθάρκω· ἐπὶ

---

l. 33 verbis ἐν ἑτέροιϲ hic περὶ ῥημάτων libor significatus videtur. Schol. ad Aristoph. l. (cf. Suid. s. v.): μεμνῇτο ὁ Ἡρωδιανόϲ φηϲι ἐν τῇ Ὁμηρικῇ προϲῳδίᾳ. cf. Lob. El. II 42.

τούτων δέ, φημὶ δὴ ἐπὶ τοῦ ἐὰν ἐστάλκω καὶ ἐὰν ἐφθάρκω, ἐφυλάχθη ἡ ἐν ἀρχῇ κλιτικὴ ἔκτασις, ἐπειδὴ ἡ ἄρχουσά ἐστι τοῦ παρακειμένου [ἔφθαρκα καὶ ἔσταλκα]. ὁ δὲ παρακείμενος οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν. εἰ οὖν ἀπεβλήθη ἐπὶ τούτων ἡ ἐν ἀρχῇ κλιτικὴ ἔκτασις, ηὑρίσκετο ἡ ἄρχουσα τοῦ παρακειμένου ἀποβαλλομένη, ὅπερ ἐστὶν ἀδύνατον. πάλιν ἐτύφθην ἐὰν τυφθῶ, ἐτύπην ἐὰν τυπῶ, ἐνύγην ἐὰν νυγῶ, ἐδάμην ἐὰν δαμῶ· τοῦτο γὰρ οὐκ ἔχει τὸ μ̄ κλιτικὸν ἀλλὰ θεματικόν.

Choer. 806, 5: πᾶς παρῳχημένος ὁριστικὸς ἔχων τὸ μ̄ κλιτικόν, εἴτε παθητικὸς εἴτε μέσος, τρέπων τὴν τελευταίαν συλλαβὴν εἰς μαι̅ καὶ τὸ παραλῆγον φωνῆεν εἰς ω̄ μετὰ τὸ ἀποβαλεῖν τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, δηλονότι χωρὶς τοῦ παρακειμένου, οὗτος γὰρ οὐδαμοῦ ἀποβάλλει τὴν ἐν ἀρχαῖς αὐτοῦ κλιτικὴν ἔκτασιν, οὔτε ἐν ταῖς μετοχαῖς οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι, τὸ ὑποτακτικὸν ποιεῖ· οἷον ἐτυπτόμην ἐὰν τύπτωμαι, ἐλεγόμην ἐὰν λέγωμαι, ἐποιούμην ἐὰν ποιῶμαι, ἐβοώμην ἐὰν βοῶμαι, ἐχρυσούμην ἐὰν χρυσῶμαι, ἐτυψάμην ἐὰν τύψωμαι ἐποιησάμην ἐὰν ποιήσωμαι, ἐτυπόμην ἐὰν τύπωμαι, ἐλαβόμην ἐὰν λάβωμαι, ἐτιθέμην ἐὰν τιθῶμαι, ἱστάμην ἐὰν ἱστῶμαι, ἐδιδόμην ἐὰν διδῶμαι, ἐδυνάμην ἐὰν δύνωμαι, ἐκρεμάμην ἐὰν κρέμωμαι, ἐπιστάμην ἐὰν ἐπίστωμαι, ἐπεποιήμην ἐὰν πεποιῶμαι, ἐκεκτήμην ἐὰν κεκτῶμαι, ἐμεμνήμην ἐὰν μεμνῶμαι. ἐὰν δὲ εὑρεθῇ ἐν τῷ παθητικῷ παρακειμένῳ πρὸ τοῦ μ̄ ἕτερον σύμφωνον, τότε τὸ ὑποτακτικὸν διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος οἷον τέτυμμαι ἐὰν τετυμμένος ὦ, λέλεγμαι ἐὰν λελεγμένος ὦ, ἔσπαρμαι ἐὰν ἐσπαρμένος ὦ, ἔφθαρμαι ἐὰν ἐφθαρμένος ὦ. πρόσκειται ἐν τῷ κανόνι «ἔχον τὸ μ̄ κλιτικὸν» διὰ τὸ ἐδάμην. τούτου γὰρ τὸ ὑποτακτικὸν οὐκ ἔστιν εἰς μαι̅, ἀλλ' εἰς ω̄ οἷον δαμῶ, ἀλλ' οὐκ ἔχει τὸ μ̄ κλιτικόν, ἀλλὰ θεματικόν, ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· δάμνω γάρ ἐστιν ὁ ἐνεστὼς καὶ ἔχει τὸ μ̄ κλιτικόν.

(Περὶ μετοχῶν).

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΤΩΝ ΕΙC μι.

Choer. 842, 24: τὰ εἰς μι ὑπέλαβον τινὲς Αἰολικὰ εἶναι, ἐπειδὴ πολλὰ παρ' αὐτῶν εὑρίςκεται εἰς $\overline{\mu\iota}$, τὸ γὰρ γελῶ γέλαιμι λέγουςι καὶ τὸ δοκιμῶ δοκίμωμι· ἐπειδὴ γὰρ οἱ Αἰολεῖς βαρυντικοί εἰςι (τὸ γὰρ Ἀτρεύς Ἄτρευς λέγουςι), τὰ δὲ εἰς μι ἀποςτρέφεται τὴν ὀξεῖαν τάςιν, εἶμι ὃ ςημαίνει τὸ πορεύομαι, χωρὶς τοῦ εἰμί τοῦ ςημαίνοντος τὸ ὑπάρχω καὶ τοῦ φημί καὶ τοῦ ἠμί τοῦ ςημαίνοντος τὸ λέγω, ὅπερ ἀπὸ τοῦ φημί γέγονε κατὰ ἀποβολὴν τοῦ $\overline{\varphi}$, τούτου χάριν οἱ Αἰολεῖς τὰ εἰς $\overline{\omega}$ περιςπώμενα μεταποιοῦςιν εἰς $\overline{\mu\iota}$, ἵνα μεταδιώξωςι χαρακτῆρα ἀποςτρεφόμενον τὴν ὀξεῖαν τάςιν. ἰςτέον δὲ ὅτι ἐλέγχεται ἀπὸ πλείςτων μὴ ὄντα Αἰολικά· καὶ γὰρ ἀπὸ τόνου καὶ ἀπὸ κλίςεως καὶ ἀπὸ γραφῆς καὶ ἀπὸ πνεύματος καὶ ἀπὸ ποςότητος ςυλλαβῶν καὶ ἀπὸ τῶν πρωτοτύπων. καὶ ἀπὸ μὲν τοῦ τόνου, ὅτι πᾶςαν λέξιν ὑπὲρ μίαν ςυλλαβὴν παρ' ἡμῖν ὀξύτονον βαρύνουςι, χωρὶς τῶν προθέςεων καὶ τῶν ςυνδέςμων οἷον Ἀχιλλεύς, ςοφός, Ἀχίλλευς, ςόφος· τὸ δὲ ἠμί καὶ τὸ φημί ὀξύνεται, δῆλον οὖν ὅτι οὐκ ἔςτι Αἰολικά. πρόςκειται «χωρὶς τῶν προθέςεων καὶ τῶν ςυνδέςμων», ἐπειδὴ ἐπὶ τούτων οἱ Αἰολεῖς φυλάττουςι τὴν ὀξεῖαν τάςιν οἷον ἀνά, κατά, ἀτάρ, αὐτάρ. ἀπὸ δέ κλίςεως δείκνυται μὴ ὄντα Αἰολικὰ τὰ εἰς μι, ὅτι τὰ εἰς μι ἐν τῷ δευτέρῳ προςώπῳ παρ' ἡμῖν προςλαμβάνοντα τὸ $\overline{\varsigma}$ τὸ τρίτον ποιεῖ οἷον τίθημι τίθης τίθηςι· τὰ δὲ Αἰολικὰ ἀποβολῇ τοῦ $\overline{\varsigma}$ ποιεῖ τὰ τρίτα οἷον γέλαιμι γέλαις γέλαι· δῆλον οὖν ὅτι οὐκ ἔςτιν Αἰολικά. ἀπὸ γραφῆς δέ, ὅτι τὰ εἰς μι οὐ θέλει παρ' ἡμῖν διφθόγγῳ παραλήγεςθαι οἷον τίθημι, δίδωμι· ςεςημειωμένου τοῦ εἰμί τοῦ ςημαίνοντος τὸ ὑπάρχω καὶ τοῦ εἶμι τοῦ ςημαίνοντος τὸ πορεύομαι· παρὰ δὲ τοῖς Αἰολεῦςι πολλὰ εὑρίςκεται διφθόγγῳ παραληγόμενα οἷον ἵςταιμι, κίχραιμι, γέλαιμι διὰ τῆς $\overline{\alpha\iota}$ διφθόγγου· δῆλον οὖν ὅτι οὐκ ἔςτιν Αἰολικά. ἀπὸ πνεύματος δέ, ὅτι οἱ Αἰολεῖς ψιλωτικοί ἐςτιν οἷον ὔμμες, ἄμμιν· τὸ δὲ ἵημι καὶ ἵςτημι δαςύνεται· ἄρα οὐκ ἔςτι τὰ εἰς μι Αἰολικά. ἀπὸ ποςότητος δὲ ςυλλαβῶν, ὅτι οὐδέποτε παρ' ἡμῖν τὰ εἰς $\overline{\mu\iota}$ ἁπλᾶ ὄντα ὑπερβαίνει τὰς τρεῖς ςυλλαβὰς οἷον τίθημι, δίδωμι, ὄμνυμι, χωρὶς τοῦ ὀρέγνυμι καὶ κορέννυμι καὶ πετάννυμι καὶ ὀμόργνυμι καὶ ὀνίνημι ὃ ςημαίνει τὸ ὠφελῶ· παρὰ δὲ τοῖς Αἰολεῦςι πολλάκις εὑρίςκεται εἰς $\overline{\mu\iota}$ ὑπερβαίνοντα τὰς τρεῖς ςυλλαβὰς οἷον ἐλευθέρωμι, δοκίμωμι· δῆλον οὖν οὐκ ἔςτιν Αἰολικὰ τὰ εἰς $\overline{\mu\iota}$. πρόςκειται «ἁπλᾶ ὄντα» διὰ τὸ ἀποδίδωμι καὶ ςυνίςτημι καὶ ἀποτίθημι· ταῦτα γὰρ ὑπερβαίνει τὰς τρεῖς ςυλλαβὰς ἀλλ' οὐκ ἔςτιν ἁπλᾶ. ἀπὸ τῶν πρωτοτύπων δείκνυται, ὅτι οὐδέποτε παρὰ τοῖς Αἰολεῦςιν ἀπὸ βαρυτόνων γίνεται τὰ εἰς $\overline{\mu\iota}$, ἀλλ' ἀπὸ τῶν περιςπωμένων οἷον ἐλευθερῶ ἐλευθέρωμι, δοκιμῶ δοκίμωμι, γελῶ γέλαιμι· καὶ ἡ αἰτία δήλη ἐςτίν· ἐπειδὴ γάρ, ὡς προείρηται, οἱ Αἰολεῖς βαρυντικοί εἰςι, τὰ δὲ εἰς μι ἀποςτρέφεται τὴν ὀξεῖαν τάςιν, χωρὶς τοῦ φημί καὶ ἠμί καὶ εἰμί τὸ ὑπάρχω, τούτου χάριν τὰ εἰς $\overline{\omega}$ περιςπώμενα μεταποιοῦςιν εἰς $\overline{\mu\iota}$, ἵνα μεταδιώξωςι χαρα-

κτῆρα ἀποϲτρεφόμενον τὴν ὀξεῖαν τάϲιν· ἐπὶ γὰρ τῶν βαρυτόνων οὐδὲν τοιοῦτον ποιοῦϲιν, ἐπειδὴ καὶ χωρὶϲ τοῦ ποιῆϲαι ταῦτα εἰϲ μ̅ι̅ τὸ ϲπουδαζόμενον ἔχουϲι, φημὶ δὴ τὴν βαρεῖαν τάϲιν· παρ' ἡμῖν δὲ καὶ ἀπὸ βαρυτόνων γίνεται τὰ εἰϲ μ̅ι̅ ὡϲ τὸ ἀπὸ τῆϲ ἕκτηϲ ϲυζυγίαϲ οἷον ζευγνύω ζεύγνυμι· ἄρα οὖν οὐκ ἔϲτιν Αἰολικά. δέδεικται οὖν διὰ πάντων, ὅτι τὰ εἰϲ μ̅ι̅ οὐκ ἔϲτιν Αἰολικά.

Ἰϲτέον δὲ ὅτι τὰ εἰϲ μι παραγωγά ἐϲτι. δεῖ δὲ γινώϲκειν, ὅτι τὸ δίδωμι ἐπὶ τοῦ παρέχω τρίτηϲ ἐϲτὶ ϲυζυγίαϲ τῶν εἰϲ μ̅ι̅· ἐπὶ γὰρ τοῦ δεϲμεύω πρώτηϲ ἐϲτὶ ϲυζυγίαϲ οἷον διδῶ διδεῖϲ δίδημι, ἀντὶ τοῦ δεϲμεύω, ὅθεν δήϲω ὁ μέλλων, ὡϲ θήϲω, καὶ ἔδηϲα ἀόριϲτοϲ, καὶ δέδεκα ὁ ἐνεργητικὸϲ παρακείμενοϲ, καὶ δέδεμαι ὁ παθητικὸϲ καὶ ἐδέθην ὁ πρῶτοϲ ἀόριϲτοϲ. ἰϲτέον ὅτι τῆϲ τρίτηϲ ἐϲτὶ ϲυζυγίαϲ οὐδαμοῦ ὁ ἐνεϲτώϲ, πλὴν τοῦ δίδωμι. πρόϲκειται «ἐνεϲτῶτοϲ» διὰ τὸ ἐβίων καὶ ἥλων δευτέρου ἀορίϲτου· ταῦτα τρίτηϲ ϲυζυγίαϲ ἐϲτὶ τῶν εἰϲ μ̅ι̅, ὡϲ ἀπὸ τοῦ βίωμι καὶ ἅλωμι, ἀλλ' οἱ ἐνεϲτῶτεϲ οὗτοι, φημὶ δὴ ὁ βίωμι καὶ ἅλωμι, οὐχ εὑρίϲκονται ἐν χρήϲει· ὡϲαύτωϲ δὲ καὶ τοῦ ἔγνων δευτέρου ἀορίϲτου οὐχ εὕρηται ἐν χρήϲει ὁ ἐνεϲτὼϲ ὁ γνῶμι. ἡ δὲ τετάρτη ϲυζυγία τῶν εἰϲ μ̅ι̅ μὴ ἔχουϲα τετάρτην ϲυζυγίαν τῶν περιϲπωμένων, ἐξ ἧϲ ὤφειλε παραχθῆναι, ἀπὸ τῆϲ ἕκτηϲ τῶν βαρυτόνων παράγεται, οἷον ἀπὸ τοῦ πηγνύω πήγνυμι· καὶ εὐλόγωϲ ἀπὸ τῆϲ ἕκτηϲ ϲυζυγίαϲ τῶν βαρυτόνων ἡ τετάρτη ϲυζυγία τῶν εἰϲ μ̅ι̅, ἐπειδὴ καὶ αἱ τρεῖϲ ϲυζυγίαι τῶν περιϲπωμένων ὅϲον κατὰ τὴν ἐντέλειαν τῆϲ ἕκτηϲ ϲυζυγίαϲ τῶν βαρυτόνων εἰϲί. τὸ γὰρ τιθῶ ἀπὸ τοῦ τιθέω ἐϲτὶ καὶ τὸ ἱϲτῶ ἀπὸ τοῦ ἱϲτάω καὶ τὸ διδῶ ἀπὸ τοῦ διδόω· τὸ δὲ τιθέω καὶ ἱϲτάω καὶ διδόω ἕκτηϲ ϲυζυγίαϲ τῶν βαρυτόνων ἐϲτί. παράγεται δὲ ἐκ τῶν τριῶν ϲυζυγιῶν τῶν περιϲπωμένων τὰ εἰϲ μ̅ι̅ καὶ τούτου χάριν καὶ ἀπὸ τῆϲ ἕκτηϲ ϲυζυγίαϲ τῶν βαρυτόνων ἡ τετάρτη ϲυζυγία τῶν εἰϲ μ̅ι̅· ἐπειδὴ γὰρ τὰ εἰϲ μι οὐ θέλει ϲυμφώνῳ παραλήγεϲθαι οἷον τίθημι, πλὴν τοῦ ἐϲμὶ τοῦ ϲημαίνοντοϲ τὸ ὑπάρχω, ὅπερ οὐδὲ εὑρίϲκεται ἐν χρήϲει, ἀλλ' ὑπόμνηϲιν αὐτοῦ ἔχομεν τὸ ἐϲϲί. ἐπειδὴ οὖν ἡ μὲν ἕκτη ϲυζυγία τῶν βαρυτόνων διὰ καθαροῦ τοῦ ω̅ ἐκφέρεται, αἱ δὲ ἄλλαι ϲυζυγίαι τῶν βαρυτόνων διὰ ϲυμφώνων, εἰκότωϲ ἀπὸ τῆϲ ἕκτηϲ ϲυζυγίαϲ τῶν βαρυτόνων παράγεται τὰ εἰϲ μι οἷον ὀλλύω, ὄλλυμι καὶ οὐκ ἀπὸ τῶν λοιπῶν ϲυζυγιῶν τῶν βαρυτόνων, οἷον ἀπὸ τοῦ λέγω καὶ φέρω τροπῇ τοῦ ω̅ εἰϲ μ̅ι̅ λέγμι καὶ φέρμι· ἤμελλε γὰρ ϲυμφώνῳ παραλήγεϲθαι, ὅπερ ἐϲτὶν ἀδύνατον. Εἰ δέ τιϲ εἴποι, διὰ τί γὰρ μὴ ὡϲ ἐκ τοῦ τιθῶ καὶ διδῶ καὶ ἱϲτῶ γέγονε τίθημι καὶ δίδωμι καὶ ἵϲτημι, οὕτωϲ καὶ ἀπὸ τοῦ λέγω λέγημι, φέρω φέρημι, οὕτω γὰρ ἐὰν γένηται, οὐκέτι εὑρίϲκηται ϲυμφώνῳ παραληγόμενα; λέγομεν, ὅτι οὐ δύναται οὕτω γενέϲθαι, ἐπειδὴ τὰ εἰϲ μ̅ι̅, ἐὰν μὲν ἀπὸ βαρυτόνων παραχθῇ, ἰϲοϲυλλαβεῖν θέλει τοῖϲ ἰδίοιϲ πρωτοτύποιϲ οἷον ζευγνύω ζεύγνυμι· εἰ δὲ ἀπὸ περιϲπωμένων, μιᾷ ϲυλλαβῇ περιττεύει τῶν ἰδίων πρωτοτύπων οἷον τιθῶ τίθημι, ἱϲτῶ ἵϲτημι· ἐὰν οὖν ταῦτα γένηται λέγημι καὶ φέρημι, μέλλει περιττοϲυλλαβεῖν τῶν ἰδίων πρωτοτύπων τοῦ λέγω καὶ φέρω, ἀπὸ βαρυτόνων παραχθέντα.

Choer. 846, 27: θέλει δὲ τὰ εἰϲ μ̅ι̅ φύϲει μακρᾷ παραλήγεϲθαι. καὶ παραλήγονται ἡ μὲν α' καὶ β' ϲυζυγία τῶν εἰϲ μι τῷ η̅ οἷον τιθῶ τιθεῖϲ τίθημι, ἱϲτῶ ἱϲτᾷϲ ἵϲτημι, ἀλλ' ἐν τῇ ϲυϲτολῇ διαφέρουϲιν· ἡ μὲν γὰρ πρώτη ϲυζυγία τῶν εἰϲ μι διὰ τοῦ ε̅ ϲυϲτέλλεται ἐν τοῖϲ πληθυντικοῖϲ οἷον τίθεμεν, ἀφίεμεν· ἡ δὲ δευτέρα διὰ τοῦ α̅ ϲυνεϲταλμένου, ἵϲταμεν, κίχραμεν· ἡ δὲ γ' παραλήγεται τῷ ω̅ οἷον δίδωμι, ὅπερ ϲυϲτελλόμενον διὰ τοῦ ο̅ ϲυϲτέλλεται ἐν τοῖϲ πληθυντικοῖϲ οἷον δίδομεν· ἡ δὲ δ' διχρόνῳ ἐκτεταμένῳ παραλήγεται οἷον ζευγνύω ζεύγνυμι, ὄλλυμι· ϲυϲτελλομένη δὲ τὸ δίχρονον μόνον ϲυϲτέλλει οἷον ζεύγνυμεν, πήγνυμεν, διὰ ϲυνεϲταλμένου τοῦ ῠ. εὐλόγωϲ δὲ ἡ μὲν α' ϲυζυγία τῶν εἰϲ μ̅ι̅ τῷ η̅ παρα-

l. 25 posui ἐϲμὶ pro εἰμί, ϲαὶ Gaisf. substituere vult ἐμμί. l. 45 οὐ post ὅπερ eieci.

λήγεται οἷον τίθημι, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τό ε̅ ἔχει οἷον τιθέω τιθῶ· τό δὲ ε̅ μεγεθυνόμενον ἐν τοῖς ῥήμασι διχῶς μεγεθύνεται· ἢ γὰρ διὰ τῆς προςθήκης τοῦ ι̅ μεγεθύνεται οἷον ἔχω εἶχον, ἢ διὰ τοῦ τρέπεσθαι εἰς τό η̅, ἐλέγχω ἤλεγχον· καὶ ἐπειδὴ ἐπὶ τῶν εἰς μ̅ι̅ οὐ δύναται τό ε̅ διὰ τῆς προςθήκης τοῦ ι̅ μεγεθύνεσθαι, ὡς γὰρ μετ' ὀλίγον μαθησόμεθα, οὐ θέλει τὰ εἰς μ̅ι̅ ὁριστικὰ διφθόγγῳ παραλήγεσθαι, εὐλόγως διὰ τοῦ τρέπεσθαι εἰς η̅ μεγεθύνεται· ὡσαύτως δὲ καὶ ἡ β' συζυγία τῶν εἰς μ̅ι̅ εὐλόγως τῷ η̅ παραλήγεται οἷον ἵστημι, ἐπειδὴ τό ἐντελὲς τοῦ πρωτοτύπου τὸ α̅ ἔχει οἷον ἱστάω ἱστῶ, τὸ δὲ α̅ μεγεθυνόμενον ἐν τοῖς ῥήμασιν εἰς η̅ τρέπεται οἷον ἀκούω, ἤκουον· ἡ δὲ γ' τῷ ω̅ παραλήγεται οἷον δίδωμι, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τό ο̅ ἔχει οἷον διδόω, διδῶ, τό δὲ ο̅ μεγεθυνόμενον εἰς ω̅ τρέπεται οἷον ὀμνύω ὤμνυον· ἡ δὲ δ' συζυγία τῶν εἰς μ̅ι̅ διχρόνῳ ἐκτεταμένῳ παραλήγεται οἷον ζεύγνυμι, ἐπειδὴ καὶ τό πρωτότυπον τὸ υ̅ ἔχει οἷον ζευγνύω, τό δὲ υ̅ μεγεθυνόμενον ἐν τοῖς ῥήμασιν εἰς ἑαυτό μεγεθύνεται, τουτέστι φύσει μακρόν γίνεται, καὶ οὐ τρέπεται εἰς ἄλλο φωνῆεν οἷον ὑδρεύω ὕδρευον, ὑφαίνω ὕφαινον.

1.

Choer. 847, 24: ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί τὰ εἰς μ̅ι̅ ἀεὶ φύσει μακρᾷ παραλήγεται οἷον τίθημι. λέγει δὲ ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν· ἐπειδὴ ἡ τελευταία συλλαβὴ τὸν μακρὸν χρόνον ἔτρεψεν εἰς βραχύν (τροπὴ γὰρ τοῦ ω εἰς μι γίνεται) τούτου χάριν ὑπερβιβασμὸν ἀνεδέξατο τοῦ χρόνου, καὶ ἐποίησαν τὴν παραλήγουσαν φύσει μακράν, ἵνα τὸν μακρὸν χρόνον τὸν κεχρεωστημένον τῇ ληγούσῃ ἀναδέξηται ἡ παραλήγουσα.

Choer. 847, 32: ἰστέον δὲ ὅτι οὐ θέλει τὰ εἰς μ̅ι̅ ὁριστικὰ διφθόγγῳ παραλήγεσθαι οἷον τίθημι, ὄλλυμι, ὅθεν σεσημείωται τό εἰμί τὸ σημαῖνον τό ὑπάρχω καὶ τό εἶμι τό σημαῖνον τό πορεύομαι διφθόγγῳ παραληγόμενα. πρόσκειται «ὁριστικὰ» διὰ τὰ εὐκτικὰ οἷον τύπτοιμι, λέγοιμι. καὶ περὶ τοῦ εἰμί τοῦ σημαίνοντος τό ὑπάρχω ἀπολογούμεθα οὕτως· ἔστιν ἔω τό σημαῖνον τό ὑπάρχω· τοῦτο τροπῇ τοῦ ω̅ εἰς μ̅ι̅ γέγονεν ἐμί, ὥσπερ ζευγνύω ζεύγνυμι, καὶ ἐπειδὴ τὰ εἰς μ̅ι̅ φύσει μακρᾷ παραλήγεσθαι θέλει οἷον τίθημι, ἠναγκάζετο δὲ τοῦτο φύσει μακρᾷ παραλήγεσθαι, καὶ λοιπὸν ἠναγκάζετο ἢ τρέψαι τό ε̅ εἰς η̅ ἢ παραλαβεῖν τό ι̅, καὶ μᾶλλον ὤφειλε τρέψαι τό ε̅ εἰς η ἤπερ προςλαμβάνειν τό ι̅, ἐπειδή, ὡς εἴρηται, τὰ εἰς μ̅ι̅ ὁριστικὰ οὐ θέλει διφθόγγῳ παραλήγεσθαι οἷον τίθημι, ἵστημι· ἀλλ' ἐπειδὴ αἱ παραγωγοὶ λέξεις θέλουσι φυλάττειν λείψανόν τι τῆς φωνῆς τοῦ πρωτοτύπου οἷον τιθῶ τίθημι, ἄρδω ἀρδεύω, τούτου χάριν, ἵνα καὶ αὐτὴ ἡ λέξις ἡ ἐμί φυλάξῃ λείψανόν τι τῆς φωνῆς τοῦ πρωτοτύπου, προςέλαβε τό ι̅ καὶ γέγονεν εἰμί διὰ τῆς ε̅ι̅ διφθόγγου, καὶ ἐφύλαξε τὸ ε̅ τοῦ πρωτοτύπου, φημὶ δὲ τοῦ ἔω· εἰ γὰρ ἔτρεψε τό ε̅ εἰς η̅, οὐκ ἐφυλάττετο τῆς φωνῆς τό πρωτότυπον. τὸ δὲ εἶμι τό σημαῖνον τὸ πορεύομαι διὰ τοῦτο τῇ διφθόγγῳ παραλήγεται, ἐπειδὴ ἀπό τοῦ εἴω ἐστίν· ἔστι γὰρ εἴω διὰ τῆς ε̅ι̅ διφθόγγου, ὃ σημαίνει τὸ πορεύομαι· ἐκ τούτου οὖν τοῦ εἴω γέγονε τὸ εἶμι, τροπῇ τοῦ ω̅ εἰς μι, ὥσπερ τό ζευγνύω ζεύγνυμι, καὶ λοιπόν ἐκ τοῦ πρωτοτύπου ἔχει τὴν ε̅ι̅ δίφθογγον.

2.

Choer. 848, 24: δεῖ δὲ γινώσκειν, ὅτι ὁ Ἀπολλώνιος τὸ εἶμι διὰ μακροῦ τοῦ ι̅ γράφει, ἐκ τοῦ καὶ τὰ δυϊκὰ καὶ τὰ πληθυντικὰ διὰ συνεσταλμένου τοῦ ι̅ εἶναι οἷον ἴτον ἴτον ἴμεν ἴτε καὶ ἐν συνθέσει ἔξιτον

---

1. 34 παραγωγοὶ pro παράλογοι posui.

καὶ τὸ γ´ τῶν πληθυντικῶν ἴϲι καὶ ἴαϲιν οἷον «καί τ᾽ ἀγεληδὸν ἴαϲιν» (Π 160). οὐ ϲυνᾴδει δὲ αὐτῷ ἡ παράδοϲιϲ· φηϲὶ γὰρ ὁ Ἡρωδιανὸϲ ἀεὶ τὴν παράδοϲιν γινώϲκειν τὸ εἶμι ἐν τοῖϲ ἑνικοῖϲ διὰ τῆϲ ε̅ι̅ διφθόγγου οἷον «εἶμι μέν, οὐδ᾽ ἁλίη ὁδὸϲ ἔϲϲεται» (β 318) καὶ τὸ δεύτερον εἶϲ οἷον «τῇ δ᾽ εἶϲ, ᾗ ϲ᾽ ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦϲαν» (Hesiod. op. 206) καὶ τὸ τρίτον τῶν ἑνικῶν εἶϲιν οἷον

μαχηϲόμενοϲ — εἶϲι περὶ πτόλιοϲ (Ρ 147).

τὰ μέντοι δυϊκὰ καὶ τὰ πληθυντικά, ὡϲ εἴρηται, διὰ ϲυνεϲταλμένου τοῦ ῑ ἐϲτί. καὶ ἔϲτιν εἰπεῖν, ὅτι τὸ εἴω διὰ τῆϲ ε̅ι̅ διφθόγγου τὸ ϲημαῖνον τὸ πορεύομαι καὶ ἴω διὰ τοῦ ῑ κατὰ μὲν τὰ ἑνικὰ διὰ τῆϲ ε̅ι̅ διφθόγγου ἐϲτί· τὰ δὲ δυϊκὰ καὶ τὰ πληθυντικὰ ἀπὸ τοῦ ἴω τοῦ διὰ τοῦ ῑ. δεῖ δὲ γινώϲκειν, ὅτι τὸ ἴϲι τρίτον πληθυντικῶν διὰ τοῦτο ἐκτεταμένον ἔχει τὸ ῑ, τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ϲυϲτελλόντων αὐτό, ἐπειδὴ τὰ εἰϲ ῑ λήγοντα ῥήματα μακρᾷ θέλει παραλήγεϲθαι οἷον τετύφαϲιν, ἱϲτᾶϲι, διδοῦϲι· ἀμέλει τὸ ἴαϲι «καί τ᾽ ἀγεληδὸν ἴαϲιν» (Π 160), ἐπειδὴ τὸ ῑ οὐκ ἔϲτι κατὰ τὴν παραλήγουϲαν, ϲυϲτέλλεται.

Choer. 849, 19: ἰϲτέον δέ ὅτι τὰ εἰϲ μι ἀποϲτρέφεται τὴν ὀξεῖαν τάϲιν οἷον τίθημι, εἶμι δ ϲημαίνει τὸ πορεύομαι, χωρὶϲ τοῦ εἰμί τοῦ ϲημαίνοντοϲ τὸ ὑπὸρχω καὶ τοῦ φημί καὶ τοῦ ἡμί τοῦ ϲημαίνοντοϲ τὸ λέγω. ἔϲτι δέ ἀπολογήϲαϲθαι περὶ τοῦ εἰμί καὶ φημί, ὅτι διὰ τοῦτο ταῦτα ὀξύνεται, ἐπειδὴ ἐγκλιτικά ἐϲτι οἷον ἄνθρωπόϲ εἰμι, αἰδεῖϲθαί φηϲι· τὰ δέ ἐγκλιτικὰ αὐτὰ καθ᾽ ἑαυτὰ ὄντα ἐν τῇ τελευταίᾳ ϲυλλαβῇ θέλει ἔχειν τὸν τόνον οἷον ἐϲτί, τινῶν, πῶϲ, τέ. πρόϲκειται «αὐτὰ καθ᾽ ἑαυτὰ ὄντα», ἐπειδὴ ἐν τῇ ϲυντάξει ἀναπέμπει τὸν ἴδιον τόνον ἢ τῇ προηγουμένῃ λέξει οἷον ἄνθρωπόϲ ἐϲτιν, ὑπέρ τινων, καί πωϲ, Ἀρκεϲίλαόϲ τε, ἢ τῇ προηγουμένῃ ϲυλλαβῇ οἷον ἤκουϲαν ἥμων, δέδωκεν ἧμιν· οὕτωϲ οὖν καὶ τὸ εἰμί καὶ τὸ φημί ἐγκλιτικὰ ὄντα οἷον ἄνθρωπόϲ εἰμι, ἐγώ φημι, εἰκότωϲ ἐν τῇ τελευταίᾳ ϲυλλαβῇ ἔχει τὸν τόνον αὐτὰ καθ᾽ ἑαυτὰ ὄντα· ἐν δέ τῇ τελευταίᾳ ἔχοντα τὸν τόνον εὐλόγωϲ ὀξύνεται καὶ οὐ περιϲπᾶται, ἐπειδὴ βραχυκαταληκτεῖ· περιϲπωμένη οὔτε ἐπάνω βραχείαϲ τίθεται, οὔτε ἐπάνω θέϲει μακρᾶϲ· τὸ δέ εἶμι τὸ ϲημαῖνον τὸ πορεύομαι οὐκ ἔϲτιν ἐγκλιτικόν, ὡϲ δηλοῖ ὁ τόνοϲ· βαρύνεται γάρ.

Ἰϲτέον, ὅτι τὰ εἰϲ μ̅ι̅ οὐ θέλει ϲυμφώνῳ παραλήγεϲθαι οἷον τίθημι, ἵϲτημι, ὅθεν ἡμάρτηται ϲυμφώνῳ παραληγόμενον τὸ ἐϲμί, ϲημαίνει δὲ τὸ ὑπάρχω· τούτου χάριν, ὡϲ ἀνωτέρω εἴρηται, τὰ παραγόμενα εἰϲ μ̅ι̅ ἀπὸ βαρυτόνων ἀπὸ τῆϲ ἕκτηϲ ϲυζυγίαϲ παράγεται οἷον ζευγνύω ζεύγνυμι, καὶ οὐκ ἀπὸ τῶν ἄλλων ϲυζυγιῶν τῶν βαρυτόνων· εἰ γὰρ ἐγένετο ἀπὸ τῶν ἄλλων ϲυζυγιῶν τῶν βαρυτόνων, ἔμελλε παραλήγεϲθαι ϲυμφώνῳ, ἅτε δὴ τῶν ἄλλων ϲυζυγιῶν τῶν βαρυτόνων διὰ ϲυμφώνου ἐκφερομένων, ὅπερ ἐϲτὶν ἀδύνατον. ἰϲτέον δέ ὅτι οὐ μόνον κατὰ τοῦτο ἡμάρτηται τὸ ἐϲμί, ἀλλὰ καὶ ὅτι θέϲει μακρᾷ παραλήγεται, τῶν εἰϲ μ̅ι̅, ὥϲπερ εἴρηται, φύϲει μακρᾷ παραλήγεϲθαι θελόντων οἷον τίθημι, δίδωμι, ζεύγνυμι· τοῦτο δέ τὸ ἐϲμί οὔτε ἔϲτιν ἐν χρήϲει, ἀλλ᾽ ἐν ὑπομνήϲει. ἔχομεν ἐξ αὐτοῦ τὸ ἐϲϲί καὶ τὸ ἐϲτί.

Ἰϲτέον δέ ὅτι τὰ εἰϲ μ̅ι̅ ἀναδιπλαϲιαζόμενα κατὰ τὸν ἐνεϲτῶτα τούτῳ τῷ τρόπῳ ἀναδιπλαϲιάζεται· εἰ μέν τὸ πρωτότυπον ἀπὸ φωνήεντοϲ ἄρχεται, διὰ τοῦ

l. 2 cf. Orthogr. fr. 27. l. 22 τινῶν ex cod. Barocc. inserui, l. 24 ὑπέρ τινων scripsi pro ὑπέρ ἦν, caeterum in καὶ πῶϲ, ἤκουϲαν ἡμῶν, δέδωκεν ἡμῖν accentum mutavi et l. 28 οὐ ante περιϲπᾶται inserui.

ῑ γίνεται μόνου ὁ ἀναδιπλαϲιαϲμὸϲ ὥ, ἱῶ, ἵημι τὸ πέμπω· εἰ δὲ τὸ πρωτότυπον ἀπὸ ϲυμφώνου ἄρχεται ἑνόϲ, τότε δι᾽ αὐτοῦ τοῦ ϲυμφώνου καὶ τοῦ ῑ γίνεται ὁ ἀναδιπλαϲιαϲμὸϲ οἷον δῶ διδῶ δίδωμι, βῶ βιβῶ βίβημι, θῶ τιθῶ τίθημι, τοῦ δαϲέωϲ θ̄ διὰ τὴν κακοφωνίαν τραπέντοϲ εἰϲ τὸ ἀντίϲτοιχον τὸ ψιλόν, φημὶ δὴ εἰϲ τὸ τ̄· εἰ δὲ τὸ πρωτότυπον διὰ ϲυμφώνων ἄρχεται, εἰ μὲν μή ἐϲτιν ἄφωνον πρὸ ἀμεταβόλου, διὰ τοῦ ῑ μόνου γίνεται ὁ ἀναδιπλαϲιαϲμὸϲ οἷον ϲτῶ ἱϲτῶ ἵϲτημι, εἰ δέ ἐϲτιν ἄφωνον πρὸ ἀμεταβόλου, τότε δι᾽ αὐτοῦ τοῦ ϲυμφώνου, φημὶ δὴ τοῦ ἀφώνου, γίνεται ὁ ἀναδιπλαϲιαϲμὸϲ τοῦ ῑ οἷον πρῶ πιπρῶ πίπρημι, καὶ πίμπρημι κατὰ πλεοναϲμὸν τοῦ μ̄, πλῶ πιπλῶ πίπλημι καὶ κατὰ πλεοναϲμὸν τοῦ μ̄ πίμπλημι, χρῶ κιχρῶ κίχρημι, τοῦ δαϲέωϲ χ̄ διὰ τὴν κακοφωνίαν τραπέντοϲ εἰϲ τὸ ἀνίϲτοιχον τὸ ψιλόν, φημὶ δὴ εἰϲ τὸ κ̄. τούτων οὕτιυϲ ἐχόντων, ἀποροῦϲί τινεϲ λέγοντεϲ, διὰ ποίαν αἰτίαν, ὥϲπερ ἀπὸ τοῦ θῶ γίνεται κατὰ πλεοναϲμὸν τιθῶ τίθημι καὶ ἀπὸ τοῦ δῶ διδῶ δίδωμι, μὴ τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ φῶ γίνεται μετὰ ἀναδιπλαϲιαϲμοῦ πιφῶ καὶ πίφημι, ἀλλὰ φημὶ γίνεται ἄνευ διπλαϲιαϲμοῦ. ἔϲτιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται τὸ φημὶ ἀναδιπλαϲιαϲθῆναι, ἐπειδὴ ἐγκλιτικόν ἐϲτιν οἷον αἰδεῖϲθαί φημι· κανὼν δέ ἐϲτιν ὁ λέγων, ὅτι τὰ ἐγκλιτικὰ οὐ θέλει ὑπερβαίνειν τὴν διϲυλλαβίαν οἷον εἰμί τιϲ, πῶϲ ἐϲτε, ἡμῖν ἐϲτι· εἰ οὖν ἀνεδιπλαϲιάϲθη τὸ φημί, ἤμελλε τριϲυλλαβεῖν ἐγκλιτικὸν ὄν, ὅπερ ἀδύνατον.

3.

Anecd. Ox. IV 338, 29:

περὶ τῶν εἰϲ μ̄ι̅.

Τῶν εἰϲ μ̄ι̅ ληγόντων ἡ πρώτη ϲυζυγία ῥήματα οὐκ ἔχει πολλά. τό τε γὰρ τίθημι ἐϲτὶ καὶ τὸ ἵημι κτλ.

Ἔϲτι δέ τινα δυνάμενα κατὰ ϲυζυγίαν εἰϲ δευτέραν χωρεῖν ὡϲ τὸ πίπλημι καὶ πίπρημι. καὶ τὸ γηράϲ δὲ γηράντοϲ καὶ τὸ γηράναι τὸ ἀπαρέμφατον ἀπὸ δευτέραϲ τῶν εἰϲ μ̄ι̅. τὸ δὲ γήρηϲε (an γήρηϲι?) καὶ ἀνδρὸϲ γηρέντοϲ ἀπὸ πρώτηϲ. καὶ ἄλλα πολλὰ τοιαῦτα ἐνδείκνυται ϲχήματα τὴν ἀπὸ τῶν εἰϲ μ̄ι̅ κίνηϲιν ὥϲπερ καὶ τὸ κεῖμαι καὶ τὸ ἧμαι. ἀλλὰ καὶ ἀπὸ δευτέραϲ ϲυζυγίαϲ· τὸ γὰρ ἔραμαι καὶ ἄγαμαι καὶ δύναμαι καὶ τὸ παρὰ Δωριεῦϲι πέταμαι.

Τοιαύτη δὲ καὶ ἡ τρίτη τῶν εἰϲ μ̄ι̅. καὶ γὰρ τὸ ἔγνων καὶ ἐβίων ἐξ αὐτῆϲ εἰϲι κινήματα, ἀλλ᾽ οὐ καὶ τὰ θέματα.

* Ep. Cr. I 101, 27: γνώτην (φ 36) ῥήματοϲ β′ ἀόριϲτοϲ· τὸ θέμα ἄδηλον. οὐ γὰρ εὑρέθη ἐπὶ τρίτηϲ ϲυζυγίαϲ εἰ μὴ τὸ δίδωμι, τὰ δ᾽ ἄλλα καθ᾽ ὑπόϲταϲιν λαμβάνομεν· ἅλωμι, βίωμι, τίτρωμί τε καὶ

l. 17 πῶϲ ἐϲτε scripsi pro πῶϲ τε [ὑμῶν]. l. 27 γηρέντοϲ scripsi pro γηρόντοϲ collat. E. M. 230, 50, qui locus fluxit ex Herodiani libro περὶ παθῶν; ibi Xenophanes pro teste participii γηρέντοϲ citatur: ἀνδρὸϲ γηρέντοϲ πολλὸν ἀφαυρότεροϲ. Alterum participium γηράϲ ἀπὸ τοῦ γήρημι δευτέραϲ ϲυζυγίαϲ ibidem profertur. cf. Buttm. II p. 138. — l. 29 ἔραμαι scripsi pro ῥέραμαι. inclinamentis secundae coniugationis accedunt et δίδη E. M. 273, 4: ἀπὸ τοῦ δέω διδῶ παραγωγὸν δίδημι τὸ δεϲμῶ. ὁ παρατατικὸϲ ἐδίδην ἐδίδηϲ ἐδίδη. ὅθεν καὶ «δίδη μόϲχοιϲι λύγοιϲιν» Ἰλιάδοϲ Λ (105) et γέλαν E. M. 225, 7. l. 31 cf. Mon. 23, 15 δίδωμι: οὐδὲν τῶν εἰϲ μ̄ι̅ ληγόντων ῥημάτων τῆϲ τρίτηϲ ϲυζυγίαϲ κατὰ χρῆϲίν ἐϲτιν Ἑλλήνων ἐπὶ ἐνεϲτῶτοϲ χρόνον, ἀλλὰ μόνον τὸ δίδωμι. νῦν γὰρ τοὺϲ Αἰολεῖϲ παραιτούμεθα (de quibus Choer. 844). l. 35—l. 4 pag. seq. inserui, quum

γίγνωμι. οὕτω Φιλόξενος καὶ Τρύφων. ἡμεῖς δὲ τὰ θέματα αὐτῶν καθ' ὑπόστασιν λαμβάνομεν. οἱ μέντοι δεύτεροι ἀόριστοι αὐτῶν εἰσιν ἐν χρήσει κατὰ πᾶσαν ἔγκλισιν, ἔγνων γνῶναι γνῶθι καὶ γνῴην καὶ ἂν γνῶ καὶ γνούς.

Ἡ δὲ τετάρτη ὑπομνήσεις ἔσχεν ὥσπερ ἔχει ἔφυν ἔφυς ἔφυ κτλ. καὶ τὸ ἔδυν ἔδυς ἔδυ. τοιοῦτον δέ ἐστι καὶ τὸ χύντο ἐκχύμενοι καὶ ὅσα ἄλλα τοιαῦτα ὑπόμνησιν ποιούμενα οὐ κλίσεις δὲ διηνεκεῖς. — καὶ ὑπερσυντελικοὶ εὑρέθησάν τινες ὡς τὸ πέπεισθι καὶ κέκραχθι καὶ ἄλλα πολλά. ἀπὸ μέντοι παρακειμένων οὐχ εὕρομεν χρῆσιν αὐτῶν εἰς ε. αὐταῖς δὲ φωναῖς μετατιθέντες τὸ νοηθὲν εἰώθασιν οἱ παρακείμενοι τρέπειν τὸ α εἰς ω καὶ ποιεῖν ἐνεστῶτα. πολὺ δὲ τοιοῦτον ἔθος παρὰ Συρακουσίοις· ὄλωλα ὀλώλω, δέδοικα δεδοίκω καὶ τὸ κέκλυκε δὲ παρ' Ἐπιχάρμῳ ἀπὸ θέματος τοῦ κεκλύκω καὶ εὕρηκε ἀπὸ τοῦ εὑρήκω.

4.

Cram. III 269, 28: σημείωσαι ὅτι τὸ ἐσσί σχηματίζεται ὁ Τρύφων καὶ ὁ τούτου μαθητὴς Ἀπολλώνιος καὶ ὁ τοῦ Ἀπολλωνίου υἱὸς ὁ Ἡρωδιανὸς ἀπὸ τοῦ ἐσμί.

5.

Choer. 851, 14: ἰστέον ὅτι τὰ εἰς μι λήγοντα τροπῇ τῆς μι εἰς ς τὰ δεύτερα πρόσωπα ποιεῖ οἷον τίθημι τίθης, ἵημι ἵης, κίχρημι κίχρης, δίδωμι δίδως, ζεύγνυμι ζεύγνυς, ὄμνυμι ὄμνυς, δείκνυμι δείκνυς, εἰμί εἶς ὀξυτόνως οἷον

αἵματός εἰς ἀγαθοῖο, φίλον τέκος (δ 611),

εἶμι εἶς περισπωμένως, ὡς παρ' Ἡσιόδῳ (Op. 206)·

τῇδ' εἶς ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν.

καὶ ἀπὸ τοῦ φημί δὲ τὸ β' πρόσωπον φής ὤφειλεν εἶναι χωρὶς τοῦ ι,

---

origo Herodianea non dubia sit cf. Lehrs Herodian. p. 78. l. 6 de ἔδυν cf. E. M. 290, 1. ἐκχύμενοι scripsi pro ἐκχυνόμενοι, l. 8 πέπεισθι exhibui pro πέπειθι cf. Hermann. ad Aeschyl. Eum. 589 et Buttm. II 24. κέκραχθι pro κέχραθι scr., verbis καὶ ἄλλα πολλὰ intelleguntur κέκλυθι ἄνωχθι τέθναθι δείδιθι (E. M. 260, 25). — In cod. sunt: ἀπὸ μέντοι περισπωμένων οὐχ εὕρομεν χρῆσιν αὐτῶν· ἑαυτοῖς δὲ φωνὰς περιτιθέντες τὸ νενοηθέν, emendavi ex Herodiani sententia, qui perfecti et plusquamperfecti imperativum in θι exire existimavit, in ε finiri negat cf. περὶ ῥημάτων fr. 37. l. 11 Ahrensii emendationem πάθος pro ἔθος non necessariam arbitror, caeterum idem pro κέκλυσε et κεκλύκῳ scribendum esse κέκλυκε et κεκλύκω vidit de dial. Dor. p. 328. Ex hoc loco fluxerunt E. M. 253, 27 οἷον δέδοικα δεδοίκω ὡς ὄλωλα ὀλώλω; Zon. 186, ubi βέβρωθα βεβρώθω pro ὄλωλα ponitur; Epim. cod. Coisl. 387 in An. Par. III 295, 1 μεταβάλλει τὸ τέλος Σικελικῶς (sc. μέμονα μενοινῶ) ὡς τὸ λήθω λέληθα καὶ Ἰακῶς λέλαθα· τὸν οὖν λέλαθα παρακείμενον οὗτοι λελάθω λέγουσιν ὡς τὸ πεποίηκα πεποιήκω, ἀφ' οὗ καὶ «ἐκλέλαθον κιθαριστύν» (B 600) καὶ ἀπὸ τοῦ βρώθω βέβρωθα μεταβάλλοντες λέγουσι βεβρώθω «ὠμὸν βεβρώθοις Πρίαμον» (Δ 35); Ep. Cr. I 374, 23 ταῦτα συνεχῶς Συρακουσίοις, ἀλλὰ καὶ παρ' ἡμῖν ἕστηκα καὶ ἑστήκω, ὁ μέλλων ἑστήξω «ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις» (Callim. hymn. in Apoll. 15) καὶ ἀπὸ τοῦ ἐγρήγορα ἐγρηγορῶ. περὶ μον. 43, 33 δειδίω non a δίω duplicatum, sed ex δείδια transformatum dicitur; κεκλήγω, πεπλήγω affert Arcad. 151, 1. Il. Pr. M 125.

l. 22 de εἶς cf. Mon. 44, 23, de ἐσσί Mon. 44, 16; accuratissime forma ἐσσί explicatur in An. Paris. III 338, 37.

τροπῇ τῆϲ μι εἰϲ ϲ, ἀλλ' ἡ παράδοϲιϲ καὶ ὁ Ἡρωδιανὸϲ ϲὺν τῷ ι οἶδεν αὐτὸ γεγραμμένον οἷον φήϲ.

6.

Choer. 852, 33: δεῖ δὲ ζητῆϲαι, πόθεν ἐγένετο τὸ εἶ. ἔνιοι λέγουϲιν, ὅτι ἐκ τοῦ εἶϲ κατὰ ἀποβολὴν τοῦ ϲ ἐγένετο εἶ· πρὸϲ οὓϲ λέγει ὁ Ἀπολλώνιοϲ, ὅτι πρῶτον μέν, εἰ ἐγένετο ἐκ τοῦ εἶϲ κατὰ ἀποβολὴν τοῦ ϲ, ὤφειλε τρίτον πρόϲωπον εἶναι τὸ εἶ· τὰ γὰρ β' πρόϲωπα ἀποβάλλοντα τὸ ϲ τρίτα γίνεται· πῶϲ οὖν τὸ εἶϲ ἀποβάλλον τὸ ϲ καὶ γινόμενον εἶ δεύτερον ἔμεινεν; δεύτερον, εἰ ἐγένετο τὸ εἶ ἐκ τοῦ εἶϲ, ὤφειλε φυλάξαι τὸν αὐτὸν τόνον, τουτέϲτιν ὁμοίωϲ τῷ εἶϲ· τὰ γὰρ ἀποβάλλοντα τὸ ϲ ἐὰν φυλάξῃ τὸ αὐτὸ ϲημαινόμενον, τὸν αὐτὸν τόνον φυλάττει οἷον πολλάκιϲ πολλάκι, μέχριϲ μέχρι· δεῖ προϲθεῖναι, εἰ μὴ χαρακτὴρ κωλύϲῃ, διὰ τὸ χωρίϲ χῶρι· τὸ γὰρ χῶρι βαρύνεται πρὸϲ τὸν χαρακτῆρα τοῦ νόϲφι, αὖθι, ἶφι, ἦχι. πρόϲκειται «ἐὰν φυλάξῃ τὸ αὐτὸ ϲημαινόμενον, φυλάττει καὶ τὸν αὐτὸν τόνον» διὰ τὸ ἄντικρυϲ ἀντικρύ· ἐνταῦθα, ἐπειδὴ οὐκ ἐφυλάχθη τὸ αὐτὸ ϲημαινόμενον (τὸ μὲν γὰρ ἄντικρυϲ τὸ φανερῶϲ ϲημαίνει, τὸ δὲ ἀντικρύ τὸ ἐξ ἐναντίαϲ), τούτου χάριν οὔτε ὁ αὐτὸϲ τόνοϲ ἐφυλάχθη· καὶ πάλιν βαϲιλεύϲ βαϲιλεῦ· ἰδοὺ γὰρ οὔτε ἐνταῦθα ἐφυλάχθη ὁ αὐτὸϲ τόνοϲ (τὸ μὲν γὰρ βαϲιλεύϲ ὀξύνεται, τὸ δὲ βαϲιλεῦ περιϲπᾶται), ἀλλ' οὐκ ἐφυλάχθη τὸ αὐτὸ ϲημαινόμενον· τὸ μὲν γὰρ εὐθείαϲ ἐϲτί, τὸ δὲ κλητικῆϲ. ἀλλ' οὐκ ἀντιϲτρέφοντοϲ τοῦ λόγου· οὐδὲ γὰρ ἐὰν τοῦ ϲημαινομένου γένηται ἐναλλαγὴ μετὰ τὴν ἀποβολὴν τοῦ ϲ πάντωϲ καὶ ὁ τόνοϲ ἐναλλάϲϲεται· ἰδοὺ γὰρ λέγειϲ λέγει, ὁ Χρύϲηϲ τῷ Χρύϲῃ, ὁ Φιλητᾶϲ τοῦ Φιλητᾶ· ἰδοὺ ταῦτα μὴ φυλάξαντα τὸ αὐτὸ ϲημαινόμενον (τὸ μὲν γὰρ δευτέρου προϲώπου ἐϲτί, τὸ δὲ τρίτου, καὶ τὰ μὲν εὐθείαϲ, τὰ δὲ γενικῆϲ καὶ δοτικῆϲ), ὅμωϲ τὸν αὐτὸν τόνον ἐφύλαξε· τοῦτο οὖν τὸ εἶ φυλάξαν τὸ ϲημαινόμενον τοῦ εἶϲ, ἀμφότερα γὰρ τὸ ὑπάρχειϲ δηλοῖ καὶ ἀμφότερα δευτέρου προϲώπου ἐϲτὶ καὶ μὴ φυλάξαν τὸν αὐτὸν τόνον· τὸ μὲν γὰρ εἶ περιϲπᾶται, τὸ δὲ εἶϲ ὀξύνεται· δηλονότι οὐ γέγονεν ἀπὸ τοῦ εἶϲ κατὰ ἀποβολὴν τοῦ ϲ. ϲχηματίζει οὖν ὁ Ἀπολλώνιοϲ τὸ εἶ τοῦτον τὸν τρόπον· ἔϲτιν ἔω τὸ ϲημαῖνον τὸ ὑπάρχω· ἐκ τούτου γίνεται παθητικὸν ἢ μέϲον ἔομαι. ἐκ τούτου λοιπὸν τοῦ ἔομαι τὸ δεύτερον πρόϲωπον γίνεται κοινῶϲ μὲν ἔῃ διὰ τοῦ η καὶ ι, ὥϲπερ βούλῃ, Ἀττικῶϲ δὲ ἔει, διὰ τῆϲ ει διφθόγγου, ὥϲπερ βούλει, ὡϲ παρὰ Μενάνδρῳ (frg. com. ed. Meinek. IV 457)

βούλει τι, Κνήμων; εἰπέ μοι,

καὶ λοιπὸν τοῦτο τὸ ἔει τὸ Ἀττικὸν τὸ διὰ τῆϲ ει διφθόγγου γίνεται κατὰ κρᾶϲιν τοῦ ε καὶ τῆϲ ει διφθόγγου εἰϲ τὴν ει δίφθογγον εἶ, ὥϲπερ ποιέειϲ ποιεῖϲ, καὶ εὐλόγωϲ περιϲπᾶται, ἐπειδὴ καὶ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα

l. 1 καὶ ὁ Ἡρωδιανὸϲ huc retuli ex p. 857, 19, ubi eadem leguntur; cf. περὶ ὀρθογραφίαϲ fr. 49. l. 4 in Choer. p. 852, 33 post τὸ εἶ nonnulla deesse mihi videntur; ἔνιοι λέγουϲιν, ὅτι ἐκ τοῦ εἶϲ inserui.

εἰϲ περιϲπωμένην ϲυνέρχονται οἷον ποιέειϲ ποιεῖϲ, πάϊϲ παῖϲ, Πηλέϊ Πηλεῖ, Ἡρακλέα Ἡρακλῆ. εἶτα μετὰ τὸ οὕτω ϲχηματίϲαι τὸν Ἀπολλώνιον λέγειν, λέγει πάλιν ὁ αὐτόϲ, ὅτι ἄμεινον λέγειν τὴν φωνὴν παρεφθάρθαι, τουτέϲτι παράλογον, ἢ μείζονι ἐγκλήματι περιπεϲεῖν, φημὶ δὴ τὸ λέγειν ὅτι ἀπὸ τοῦ ἕω τὸ ὑπάρχω γίνεται τὸ παθητικὸν ἔομαι· οὐδέποτε γάρ, φηϲί, τὰ ὑπαρκτικὰ εἰϲ πάθοϲ λαμβάνεται, ἤγουν οὐκ ἔχει παθητικόν· οὐδὲ γὰρ τὸ ὑπάρχω γίνεται ὑπάρχομαι· πῶϲ γὰρ δύναται ἔχειν τὰ παθητικά, ὅπου οὔτε ἐνέργειαν ϲημαίνει; τὸ γὰρ ζῶ, πλουτῶ, ὑπάρχω, οὐδέτερα καλοῦϲι διὰ τὸ μήτε ἐνέργειαν ϲημαίνειν μήτε πάθοϲ.

Choer. 854, 33: πᾶν δεύτερον πρόϲωπον τῶν εἰϲ μι, ἐπὶ ἐνεϲτῶτοϲ δηλονότι χρόνου, προϲθέϲει τοῦ ῑ τὸ τρίτον ποιεῖ οἷον τίθηϲ τίθηϲι. ἀπὸ τοῦ εἰμί, τοῦ ϲημαίνοντοϲ τὸ ὑπάρχω, τὸ τρίτον τῶν ἑνικῶν ὀφείλει γενέϲθαι εἰϲίν· ἵνα δὲ μὴ ϲυνεμπέϲῃ τῷ τρίτῳ τῶν πληθυντικῶν, λέγω δὲ τῷ εἰϲὶν ἐκεῖνοι, καὶ κατὰ τὴν γραφὴν καὶ κατὰ τὸν τόνον, τούτου χάριν ἐπιλέλοιπε. τούτων οὕτωϲ ἐχόντων, καὶ ἀπὸ τῆϲ ἐϲμὶ τροπῇ τοῦ μ̄ εἰϲ ϲ̄ ὤφειλε γενέϲθαι τὸ τρίτον τῶν ἑνικῶν ἐϲϲί, ἀλλ' ἐπειδὴ προελήφθη ἡ φωνὴ ἐπὶ τοῦ ἰδίου δευτέρου προϲώπου, καὶ γὰρ τὸ δεύτερον πρόϲωπον ἐϲϲί, τούτου χάριν τροπὴ Δωρικὴ παρηκολούθηϲε τοῦ ϲ̄ εἰϲ τὸ τ̄, καὶ ἐγένετο ἐϲτί, ὥϲπερ ϲύ τύ, εἴκοϲι εἴκοτι. δεῖ δὲ γινώϲκειν ὅτι οὐκ ἔϲτιν αὕτη ἡ τροπὴ ἡ ἐν τῷ ἐϲτί κυρίωϲ Δωρική· οἱ γὰρ Δωριεῖϲ τὸ τρίτον πρόϲωπον τῶν ἑνικῶν εἰϲ τ̄ι̅ ποιοῦϲι, μὴ προηγουμένου ϲυμφώνου οἷον φηϲί φατί, δίδωϲι δίδωτι· εἰ οὖν ἐν τῷ ἐϲϲί προηγεῖται ϲύμφωνον, οὐκ ἐτράπη τοῦτο Δωρικῶϲ τὸ ϲ̄ εἰϲ τὸ τ, ἀλλὰ κατὰ μίμηϲιν Δωρικήν· τὸ δὲ τρίτον τῶν πληθυντικῶν εἰϲ τι ποιοῦϲιν οἱ Δωριεῖϲ προηγουμένου ϲυμφώνου τοῦ ν οἷον δίδοντι, φάντι. ὅτι δὲ δυνάμει ἐν τῷ ἐϲτί ὑπάρχει τὸ ϲ̄, δηλοῖ τὸ ν προϲερχόμενον αὐτῷ οἷον ἐϲτίν, ὅτε γὰρ ἐϲτι τὸ ϲ πρὸ τοῦ ῑ ἢ δυνάμει ἢ ἐνεργείᾳ, τότε τοῦ ν ἐφελκυϲτικὸν γίνεται τὸ ῑ· οὕτωϲ οὖν καὶ ἐϲτί· ἐνταῦθα γὰρ δυνάμει τὸ ϲ ἐϲτί· πολλάκιϲ δὲ καὶ τοῦ φ̄ προηγουμένου γίνεται τὸ ῑ ἐφελκυϲτικὸν τοῦ ν οἷον ναῦφιν, «ναῦφιν ἀμυνόμενοι» (N 700).

Ἄξιον δὲ ἐϲτι ζητῆϲαι τοῦτο, πάντων τῶν δευτέρων προϲώπων τῶν εἰϲ ϲ̄ ληγόντων ἀποβαλλόντων τὸ ϲ καὶ ποιούντων τὸ τρίτον πρόϲωπον οἷον τύπτειϲ τύπτει, ἐτύφθηϲ ἐτύφθη (περὶ γὰρ τοῦ παρακειμένου καὶ τοῦ ἀορίϲτου α' ἐμάθομεν, ὅτι καὶ τροπὴ παρηκολούθηϲε τοῦ α εἰϲ ε διὰ τὴν ὁμοφωνίαν τὴν πρὸϲ τὸ πρῶτον πρόϲωπον), διὰ τί μόνα τὰ εἰϲ μ̄ῑ κατὰ τὸν ἐνεϲτῶτα οὐκ ἀποβάλλει τὸ ϲ̄ ἐν τῷ τρίτῳ προϲώπῳ, ἀλλὰ τοὐναντίον καὶ τὸ ῑ προϲλαμβάνει. καὶ ἔϲτιν εἰπεῖν, ὅτι ἀναλογώτεροί εἰϲιν οἱ Αἰολεῖϲ, ἀποβολῇ τοῦ ϲ τὰ τρίτα ἐπὶ τούτων ποιοῦντεϲ οἷον τίθημι τίθηϲ τίθη, ζεύγνυμι ζεύγνυϲ ζεύγνυ, δίδωμι δίδωϲ δίδω.

Choer. 857, 20: ἰϲτέον ὅτι τὰ εἰϲ μι ὁριϲτικὰ τροπῇ τῆϲ μ̄ῑ εἰϲ μεν ποιεῖ τὸ πρῶτον πρόϲωπον τῶν πληθυντικῶν, μετὰ τοῦ ϲυϲτέλλειν τὴν παραλήγουϲαν εἰϲ τὴν παραλήγουϲαν τὴν ἐν τέλει τοῦ πρωτοτύπου· καὶ ἡ μὲν πρώτη ϲυζυγία εἰϲ τὸ ε̄ ϲυϲτέλλει τὴν παραλήγουϲαν οἷον τίθημι τίθεμεν, ἵημι ἵεμεν καὶ ἀφίεμεν, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου ἔχει τὸ ε̄ οἷον τιθέω, ἱέω· ἡ δὲ δευτέρα εἰϲ τὸ α ϲυνεϲταλμένον ϲυϲτέλλει τὴν παραλήγουϲαν οἷον ἵϲτημι ἵϲτα-

l. 3 λέγειν ante λέγει inserui, ita ut ὁ αὐτόϲ non ad Apolloniam referendum sit, sed ad Herodianum, qui Apollonii sententiam attulerat eique suam etiam ex Il. Pr. Z 336 notam opposuerat; sed nomen Herodiani in praecedentibus sive Choerobosci neglegentia, qui Herodianum in mente habens eius nomen ponere oblitus est, sive librarii intercidit. Sed licet ὁ αὐτόϲ ad Apollonium pertineat, non dubito, quin idem senserit Herodianus. l. 11 de ἐϲτί cf. Mon. 23, 29.

μεν, κίχρημι κίχραμεν, φημί φαμέν, ἐπειδὴ καὶ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ ᾱ ϲυνεϲταλμένον ἔχει οἷον ἱϲτάω, κιχράω, φάω· ἡ δὲ τρίτη εἰϲ τὸ ο̄ ϲυϲτέλλει τὴν παραλήγουϲαν οἷον δίδωμι δίδομεν, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ ο̄ ἔχει οἷον διδόω· ἡ δὲ τετάρτη τὸ δίχρονον ϲυϲτέλλει οἷον ζεύγνυμι ζεύγνυμεν, ἐπειδὴ καὶ τὸ πρωτότυπον ϲυνεϲταλμένῳ τῷ ῡ παραλήγεται οἷον ζευγνύω. τούτων οὕτωϲ ἐχόντων, καὶ ἀπὸ τοῦ εἰμί τοῦ ϲημαίνοντοϲ τὸ ὑπάρχω γίνεται τὸ πρῶτον πρόϲωπον τῶν πληθυντικῶν ἐμέν, ἐπειδὴ τὸ πρωτότυπον τῷ ε παραλήγεται, ἔω γάρ, ὅπερ ἐμέν κατὰ πλεοναϲμὸν τοῦ ϲ̄ γίνεται ἐϲμέν· δύναται δέ τὸ ἐϲμέν ἀπὸ τοῦ ἐϲμί εἶναι. τοῦ δὲ εἶμι τοῦ ϲημαίνοντοϲ τὸ πορεύομαι τὸ πρῶτον πρόϲωπον τῶν πληθυντικῶν ἴμεν ἐϲτί διὰ ϲυνεϲταλμένου τοῦ ῑ, περί οὗ ἐν τοῖϲ προλαβοῦϲιν ἐμάθομεν, ὅτι τοῦτο ἐν μέν τοῖϲ ἑνικοῖϲ διὰ τῆϲ ει διφθόγγου γράφεται ἀπὸ τοῦ εἴω, τοῦ διὰ τῆϲ ε̄ι διφθόγγου γραφομένου καὶ ϲημαίνοντοϲ τὸ πορεύομαι, ἐν δὲ τοῖϲ δυικοῖϲ καὶ πληθυντικοῖϲ διὰ ϲυνεϲταλμένου τοῦ ῑ, ἀπὸ τοῦ ἴω τοῦ διὰ τοῦ ῑ γραφομένου καὶ ϲημαίνοντοϲ τὸ πορεύομαι. πρόϲκειται ἐν τῷ κανόνι «ὁριϲτικά» οἷον «τὰ εἰϲ μ̄ι ὁριϲτικὰ τροπῇ τῆϲ μ̄ι εἰϲ μ̄εν ποιεῖ τὸ πρῶτον πρόϲωπον τῶν πληθυντικῶν μετὰ τοῦ ϲυϲτέλλειν τὴν παραλήγουϲαν» διὰ τὰ εἰϲ μ̄ι εὐκτικά· ταῦτα γὰρ τροπῇ τῆϲ μ̄ι εἰϲ μεν ποιεῖ τὸ πρῶτον πρόϲωπον τῶν πληθυντικῶν, οὐ ϲυϲτέλλει δὲ τὴν παραλήγουϲαν οἷον τύπτοιμι τύπτοιμεν.

7.

Choer. 859, 10: εἴρηται ὅτι ἐπὶ ἐνεϲτώτων [καὶ μελλόντων] τὸ τρίτον πρόϲωπον τῶν πληθυντικῶν ὁμόφωνον γίνεται τῇ δοτικῇ τῶν πληθυντικῶν τῆϲ ἰδίαϲ μετοχῆϲ οἷον οἱ τύπτοντεϲ τῶν τυπτόντων τοῖϲ τύπτουϲι καὶ τύπτουϲιν ἐκεῖνοι, οὕτωϲ οὖν καὶ ἐν τοῖϲ τιθεῖϲι καὶ τιθεῖϲιν ἐκεῖνοι, καὶ τοῖϲ ἱϲτᾶϲι καὶ ἱϲτᾶϲιν ἐκεῖνοι, καὶ τοῖϲ διδοῦϲι καὶ διδοῦϲιν ἐκεῖνοι, καὶ τοῖϲ ζευγνῦϲι καὶ ζευγνῦϲιν ἐκεῖνοι. ϲεϲημείωται τὸ φαϲί καὶ εἰϲίν, ὅτι τῆϲ μετοχῆϲ βαρυνομένηϲ τὸ ῥῆμα ὠξυτονήθη· ἔϲτι γὰρ ἡ μετοχὴ τῶν φάντων τοῖϲ φᾶϲι βαρυτόνωϲ καὶ τὸ ῥῆμα φαμέν φατέ φαϲίν ὀξυτόνωϲ· καὶ πάλιν ὁ εἶϲ τοῦ ἔντοϲ τῷ ἔντι τὸν ἔντα ἀντὶ τοῦ ὑπάρχοντα, ὡϲ καὶ ἡ χρῆϲιϲ δηλοῖ οὕτωϲ ἔχουϲα «παῖδα ἔντα» ἀντὶ τοῦ παῖδα ὑπάρχοντα· καὶ λοιπὸν τὰ πληθυντικὰ οἱ ἔντεϲ τῶν ἔντων τοῖϲ εἶϲι βαρυτόνωϲ καὶ τὸ ῥῆμα ἐϲμέν ἐϲτέ εἰϲίν ὀξυτόνωϲ.

Choer. 859, 26: ἰϲτέον δὲ ὅτι ταῦτα, φημὶ δὴ τὰ τρίτα πρόϲωπα τῶν πληθυντικῶν τοῦ ἐνεϲτῶτοϲ τῶν εἰϲ μι, οἱ Ἀττικοὶ προϲόδῳ τοῦ α καὶ ϲυϲτολῇ τῆϲ παραληγούϲηϲ προφέρονται οἷον τιθεῖϲι τιθέαϲι, διδοῦϲι διδόαϲι, ζευγνῦϲι ζευγνύαϲιν· ἐπὶ δὲ τῆϲ δευτέραϲ ϲυζυγίαϲ οὐδὲν τοιοῦτον ποιοῦϲι διὰ τὴν κακοφωνίαν· ἀπὸ τοῦ ἱϲτᾶϲι γὰρ εἰ ἐποίηϲαν προϲόδῳ τοῦ ᾱ ἱϲτάαϲιν, ἀλλεπαλληλία τοῦ ᾱ ηὑρίϲκετο, καὶ ἐκ τούτου κακοφωνία ἐγένετο.

Ἰϲτέον δὲ ὅτι τὸ τιθέαϲι καὶ διδόαϲι καὶ ζευγνύαϲι μακρὸν ἔχουϲι τὸ ᾱ, ἐπειδὴ τὰ εἰϲ ῑ λήγοντα ῥήματα μακρᾷ θέλει παραλήγεϲθαι οἷον τετύφαϲι. τούτων οὕτωϲ ἐχόντων, τὸ ἱεῖϲιν ὃ ϲημαίνει τὸ πέμπουϲι γίνεται ἱέαϲι προϲόδῳ τοῦ ᾱ καὶ ϲυϲτολῇ τῆϲ παραληγούϲηϲ, καὶ κατὰ κρᾶϲιν Ἀττικὴν τοῦ ε̄ καὶ α εἰϲ α μακρὸν ἱᾶϲι προπεριϲπωμένωϲ, καὶ ἐν ϲυνθέϲει ἀφιᾶϲιν.

8.

Choer. 861, 15: ἰϲτέον δέ, ὁ μὲν Ἡρωδιανὸϲ φηϲίν, ὅτι κυρίωϲ

l. 8 de ἐϲμέν et ἐμέν cf. Mon. 23, 32. l. 20 cf. περὶ ῥημάτων fr. 5.
l. 30 de «παῖδα ἔντα» v. Ahrens dial. dor. p. 324, qui propter παρέντων, quod apud Alcmanem erat, hoc fortasse eidem Alcmani tribuendum conicit.

διαίρεϲίϲ ἐϲτιν αὕτη ἡ ἐν τῷ τιθεῖϲι τιθέαϲι καὶ διδοῦϲι διδόαϲι καὶ ζευγνῦϲι ζευγνύαϲι, καὶ πιϲτοῦται τοῦτο ἐκ τῶν πληθυντικῶν αἰτιατικῶν. ἰδοὺ γάρ, φηϲίν, ἐν τῷ Δημοϲθένεαϲ Δημοϲθένειϲ τὸ εα εἰϲ τὴν ε̅ι̅ δίφθογγον ϲυναιρεῖται, καὶ πάλιν ἐν τῷ ἰχθύαϲ ἰχθῦϲ τὸ υ̅ καὶ τὸ α̅ εἰϲ τὸ υ ϲυναιρεῖται, καὶ πάλιν ἐν τῷ βόαϲ βοῦϲ τὸ ο καὶ α̅ εἰϲ τὴν ο̅υ̅ δίφθογγον ϲυναιρεῖται· οὐκοῦν καὶ ἐν τῷ τιθεῖϲι τιθέαϲιν ἡ ε̅ι̅ δίφθογγοϲ εἰϲ τὸ ε̅ καὶ α διῃρέθη, καὶ ἐν τῷ ζευγνῦϲι καὶ ζευγνύαϲι τὸ υ̅ εἰϲ τὸ υ̅ καὶ α διῃρέθη, καὶ ἐν τῷ διδοῦϲι διδόαϲιν ἡ ο̅υ̅ δίφθογγοϲ εἰϲ τὸ ο̅ καὶ α διῃρέθη.

9.

Choer. 863, 20: ἰϲτέον δὲ ὅτι ὁ Ἡρωδιανὸϲ ἄλλην ἀπολογίαν ἔχει. ἔχει δὲ οὕτωϲ· καθόλου τὸ τρίτον πρόϲωπον τῶν πληθυντικῶν τοῦ ἐνεϲτῶτοϲ πρὸϲ τὸ τρίτον πρόϲωπον τῶν πληθυντικῶν τοῦ παρατατικοῦ ἢ ἰϲοϲυλλαβεῖν θέλει ἢ πλεονοϲυλλαβεῖν· καὶ ἰϲοϲυλλαβεῖν μέν, ὅταν ἄρχηται ἀπὸ ϲυμφώνου οἷον τύπτουϲιν ἔτυπτον, βοῶϲιν ἐβόων, δῆλον ὅτι χωρὶϲ τῶν ἀπὸ προθέϲεωϲ ἀρχομένων, καταγράφουϲι γὰρ πενταϲυλλάβωϲ, καὶ κατέγραφον τετραϲυλλάβωϲ· πλεονοϲυλλαβεῖν δέ, ὅταν ἀπὸ φωνήεντοϲ ἄρχηται, οἷον ἄγουϲιν ἦγον, ἑρμηνεύουϲιν ἡρμήνευον· ἐνταῦθα οὖν ἐν τοῖϲ εἰϲ μ̅ι̅ εἰ μὴ ἐγένετο αὕτη ἡ δοκοῦϲα διαίρεϲιϲ κατὰ τὸ τρίτον πρόϲωπον τῶν πληθυντικῶν τοῦ ἐνεϲτῶτοϲ, τὸ ἐναντίον ϲυνέβαινεν, ὅπερ ἐϲτὶν ἄτοπον· ἤμελλε γὰρ ἀπὸ ϲυμφώνου ἄρχεϲθαι τὰ τρίτα πρόϲωπα τῶν πληθυντικῶν τοῦ ἐνεϲτῶτοϲ καὶ μὴ ἰϲοϲυλλαβεῖν τοῖϲ τρίτοιϲ προϲώποιϲ τῶν πληθυντικῶν τοῦ παρατατικοῦ, ὅπερ ἐϲτὶν ἄτοπον, οἷον τιθεῖϲιν ἐτίθεϲαν, διδοῦϲιν ἐδίδοϲαν, ζευγνῦϲιν ἐζεύγνυϲαν· καὶ πάλιν ἤμελλεν ἀπὸ φωνήεντοϲ ἄρχεϲθαι τὰ τρίτα πρόϲωπα τῶν πληθυντικῶν τοῦ ἐνεϲτῶτοϲ καὶ ἰϲοϲυλλαβεῖν τοῖϲ τρίτοιϲ προϲώποιϲ τῶν πληθυντικῶν τοῦ παρατατικοῦ, ὅπερ ἐϲτὶν ἄτοπον, οἷον ἱεῖϲι τὸ πέμπουϲιν ἵεϲαν καὶ ἀφίεϲαν ἐν ϲυνθέϲει. τούτου οὖν χάριν γίνεται αὕτη ἡ δοκοῦϲα διαίρεϲιϲ, ἵνα φυλαχθῇ ἡ ἀκολουθία οἷον τιθέαϲιν ἐτίθεϲαν, διδόαϲιν ἐδίδοϲαν, ζευγνύαϲιν ἐζεύγνυϲαν, ὀλλύαϲιν ὤλλυϲαν. [ἰδοὺ γὰρ εὑρίϲκεται ἀπὸ ϲυμφώνου ἀρχόμενα τὰ τρίτα πρόϲωπα τῶν πληθυντικῶν τοῦ ἐνεϲτῶτοϲ ἰϲοϲυλλαβοῦντα τοῖϲ τρίτοιϲ προϲώποιϲ τῶν πληθυντικῶν τοῦ παρατατικοῦ ἀπὸ φωνήεντοϲ ἀρχομένων, δῆλον ὅτι τῶν τρίτων προϲώπων τῶν πληθυντικῶν τοῦ παρατατικοῦ, ὡϲ ἡ ἀκολουθία ἀπαιτεῖ].

---

l. 9 quod contra Choeroboscus dicit in illis accusativis non synaeresin locum habere, sed homophoniam cum nominativis et Apollonius citatur docens diphthongos non dissolvi nisi in eas vocales, ex quibus constarent, neque ε̅ι̅ in τιθεῖϲι in ε̅α̅ dissolvi posse, quia ε̅ι̅ non ex his contractum sit. Tum Choerob. 862, 22 περὶ γὰρ τῆϲ αἰτιατικῆϲ τῶν πληθυντικῶν ὧν παρέθετο ὁ Ἡρωδιανὸϲ εἰρήκαμεν, ὡϲ οὐκ ἐγένετο κατὰ ϲυναίρεϲιν, ἀλλ' ὁμοφωνία ἐϲτὶ τῆϲ εὐθείαϲ πληθυντικῶν. Sed Herodianus etiam aliam tuendarum distractarum specierum τιθέαϲι διδόαϲι ζευγνύαϲι rationem iniit.

10.

Choer. 865, 32: πᾶϲ ἐνεϲτὼϲ ὁριϲτικὸϲ εἰϲ μι λήγων τρέπων τὴν μι εἰϲ ν καὶ τὴν ἄρχουϲαν ἐκτείνων χρονικῶϲ ἢ ϲυλλαβικῶϲ τὸν παρατατικὸν ποιεῖ· ἵημι τὸ πέμπω ἵην, δίδωμι ἐδίδων, ὄλλυμι ὤλλυν, ὀμόργνυμι ὠμόργνυν. ἰϲτέον δὲ ὅτι, ὡϲ ὁ Ἡρωδιανὸϲ λέγει, τὸ ἐδίδων ἡ παράδοϲιϲ διὰ τῆϲ ου διφθόγγου οἶδεν οἷον ἐδίδουν, ὡϲ ἀπὸ τοῦ διδῶ διδοῖϲ ὥϲπερ χρυϲῶ χρυϲοῖϲ ἐχρύϲουν· τὸ δὲ ἐτίθην καὶ ἵην, ϲημαίνει δὲ τὸ ἔπεμπον, διὰ τῆϲ ει διφθόγγου οἷον ἐτίθειν καὶ ἵειν, ἐξ οὗ τὸ ἐτίθει καὶ ἵει, ὡϲ παρὰ τῷ ποιητῇ (Α 25) «ἀλλὰ κακῶϲ ἀφίει»· τὸ δὲ «ἦν ἐγώ» ὃ ϲημαίνει τὸ ὑπῆρχον γέγονεν οὕτωϲ· ἔϲτιν εἰμί ὃ ϲημαίνει τὸ ὑπάρχω, τούτου ὁ παρατατικὸϲ εἶν διὰ τῆϲ ει διφθόγγου τροπῇ τῆϲ μι εἰϲ ν καὶ λοιπὸν Ἀττικῶϲ ἐπεκτείνεται τὸ ε εἰϲ τὸ η ὥϲπερ ἔμελλον ἤμελλον, ἐβουλόμην ἠβουλόμην, ἐδυνάμην ἠδυνάμην, τὸ δὲ ι ἀπεβλήθη, ἐπειδὴ τὰ εἰϲ ην ῥήματα οὐ θέλει ἔχειν πρὸ τοῦ ν τί ποτε ἀνεκφώνητον οἷον ἐτύφθην, καὶ καθόλου τὰ εἰϲ ν λήγοντα ῥήματα οὐ θέλει ἔχειν πρὸ τοῦ ν τί ποτε ἀνεκφώνητον οἷον βοῶν, γελῶν, περῶν. ἔχομεν δὲ τὴν χρῆϲιν τοῦ «ἦν ἐγώ» παρὰ Ἀριϲτοφάνει ἐν Πλούτῳ (28)

ἐγὼ θεοϲεβὴϲ καὶ δίκαιοϲ ὢν ἀνὴρ
κακῶϲ ἔπραττον καὶ πένηϲ ἦν,

καὶ παρὰ Μενάνδρῳ ἐν τῷ Γεωργῷ (Com. ed. Mein. IV 98)

ἦν δὲ οὐ πονηρόϲ, οὐδ' ἐδόκουν,

ἀντὶ τοῦ ὑπῆρχον. τοῦτο δὲ τὸ ἦν κατὰ διάλυϲιν Ἰωνικὴν τοῦ η εἰϲ ε καὶ α γίνεται ἔα ὥϲπερ Ξέρξην Ξέρξεα, ὡϲ παρὰ τῷ ποιητῇ (ξ 222) «τοῖοϲ ἔ' ἐν πολέμῳ» καὶ πάλιν (Ε 887) «ἤ κεν ζὼϲ ἀμενηνὸϲ ἔα». τὸ δὲ ν ἀπεβλήθη τοῦ ἦν ἐν τῷ ἔα, ἐπειδὴ τὸ α ἀποβλητικόν ἐϲτι τοῦ ν οἷον Ξέρξην Ξέρξεα, ἐτετύφειν ἐτετύφεα· τὸ γὰρ μοῦϲα μοῦϲαν καὶ ἔτυψα ἔτυψαν ἀπὸ κλίϲεωϲ ἔχει τὸ ν καὶ οὐ κατὰ πάθοϲ ἐϲτὶν ὥϲπερ ταῦτα. καὶ λοιπὸν ἀπὸ τοῦ ἔα κατὰ κρᾶϲιν ποιοῦνται οἱ Ἀττικοὶ τοῦ ε καὶ α εἰϲ η ὥϲπερ τείχεα τείχη καὶ λέγουϲιν ἦ, ὡϲ παρ' Ἀριϲτοφάνει ἐν Ὄρνιϲιν (97)

ἦ γάρ, ὦ ξένοι,
ἄνθρωποϲ,

ἀντὶ τοῦ ὑπῆρχον. ταῦτα περὶ τοῦ ἦν ἐγώ· τὸ δὲ «ἦν ἐκεῖνοϲ» οὐκ ἔϲτιν ἀπὸ τῶν εἰϲ μι ἀλλ' ἀπὸ τῶν εἰϲ ω· ὅϲον γὰρ κατὰ ἀναλογίαν τοῦ ἦν πρώτου προϲώπου καὶ τοῦ ἦϲ δευτέρου ὤφειλε τὸ τρίτον κατὰ ἀποβολὴν τοῦ ϲ εἶναι ἦ, ὥϲπερ ἐτύφθηϲ ἐτύφθη. ἀλλ' ἔτι τὸ «ἦν ἐκεῖνοϲ», ὥϲπερ εἴρηται, ἀπὸ τῶν εἰϲ ω γέγονεν οὕτωϲ· ἔϲτιν ἔω τὸ ϲημαῖνον τὸ ὑπάρχω, τούτου ὁ μέϲοϲ παρακείμενοϲ ἦα, ὡϲ παρὰ τῷ ποιητῇ (ξ 212)

---

l. 5 praeceptum de ἐδίδουν transiit in E. M. 316, 20 cf. etiam An. Paris. III 312, 10 ἰϲτέον ὅτι τοῦ τίθημι καὶ ἵημι καὶ δίδωμι οἱ παρῳχημένοι μᾶλλον ἀπὸ τῶν εἰϲ ω εἰϲὶν ἐν χρήϲει ἤπερ ἀπὸ τῶν εἰϲ μι οἷον «ὥϲ εἰπὼν ἐν χερϲὶ τίθει» (γ 51) καὶ «ἐδίδουν αὐτῷ ῥαπίϲματα» (Ev. Joh. 19, 3) l. 24 de ἦα et ἔα Ionicis

«ἦα φυγοπτόλεμος», ὁ δεύτερος ἀόριστος ἦον ἦες ἦε· τὸ δὲ ε γίνεται πολλάκις ἐφελκυστικὸν τοῦ ν οἷον ἔλαβε ἔλαβεν· οὕτως οὖν ἦε καὶ ἦεν μετὰ τοῦ ν, ὡς παρὰ τῷ ποιητῇ (θ 232)

ἐπεὶ οὐ κομιδὴ κατὰ νῆας
ἦεν ἐπηετανόν.

καὶ λοιπὸν κρᾶσις παρακολουθεῖ τοῦ η καὶ τοῦ ε εἰς τὸ η καὶ γίνεται ἦν· τὸ γὰρ ἦον δευτέρου ἀορίστου ἐστίν, ὡς δηλοῖ ἡ μετοχὴ ἐὼν οὖσα ὀξύτονος· αἱ γὰρ εἰς ων ὀξύτονοι μετοχαὶ δευτέρου ἀορίστου εἰσὶν οἷον ἔτυπον τυπών, ἔλαβον λαβών.

Choer. 867, 29: πᾶν πρῶτον πρόσωπον εἰς ν λῆγον μετὰ φυσικῆς μακρᾶς μὴ ἔχον τὸ μ κλιτικὸν τροπῇ τοῦ ν εἰς ς ποιεῖ τὸ δεύτερον πρόσωπον οἷον ἐτύπην ἐτύπης, ἐτύφθην ἐτύφθης, ἐδάμην ἐδάμης· τὸ γὰρ μ οὐκ ἔστι κλιτικὸν ἀλλὰ θεματικόν· ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό· δαμνῶ γάρ ἐστιν ὁ ἐνεστώς [καὶ ἔχει τὸ μ]· οὕτως οὖν καὶ ἐτίθην ἐτίθης τροπῇ τοῦ ν εἰς ς καὶ ἵστην ἵστης καὶ ἐδίδων ἐδίδως καὶ ἐζεύγνυν ἐζεύγνυς καὶ ἦν ἀντὶ τοῦ ὑπῆρχον ἧς καὶ κατ' ἐπέκτασιν τῆς θα συλλαβῆς ἦσθα, ὥσπερ ἔφην ἔφης ἔφησθα· τοιοῦτόν ἐστι καὶ τὸ οἶσθα, τὸ γὰρ οἶδα οἴδημι φασιν οἱ Αἰολεῖς, εἶτα τούτου τὸ δεύτερον οἴδης καὶ κατ' ἐπέκτασιν τῆς θα συλλαβῆς οἴδησθα καὶ κατὰ συγκοπὴν οἶσθα.

Choer. 868, 17: πᾶν πρῶτον ἑνικὸν εἰς ν λῆγον μὴ ἔχον τὸ μ κλιτικὸν πρὸ τοῦ ν λαμβάνον τὸ με τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ οἷον ἔτυπτον ἐτύπτομεν, ἐχρύσουν ἐχρυσοῦμεν, ἐβόων ἐβοῶμεν, ἐτύφθην ἐτύφθημεν, ἔγνων ἔγνωμεν· ἐπὶ δὲ τοῦ παρατατικοῦ τῶν εἰς μι καὶ συστολὴ παρακολουθεῖ τῆς παραληγούσης ἐν τοῖς πληθυντικοῖς οἷον ἐτίθην ἐτίθεμεν, ἵστην ἵσταμεν, ἐδίδων ἐδίδομεν, ἐζεύγνυν ἐζεύγνυμεν, ἔφην ἔφαμεν· τὸ γὰρ ἔφημεν δευτέρου ἀορίστου ἐστὶν ὥσπερ ἔστην ἔστημεν καὶ ἔβην ἔβημεν· τὸ ἦν ἦμεν λόγῳ ἀρχούσης ἐφύλαξε τὸ η, ἐπειδὴ γὰρ τοῦτο δισύλλαβόν ἐστι καὶ τὴν αὐτὴν ἔχει ἄρχουσαν καὶ παραλήγουσαν, τούτου χάριν τῷ λόγῳ τῆς ἀρχούσης ἐφύλαξε τὸ η καὶ οὐ τῷ λόγῳ τῆς παραληγούσης συνέστειλεν αὐτό. διὰ τοῦτο δὲ ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι καὶ συστολὴ παρακολουθεῖ τῆς παραληγούσης ἐν τοῖς πληθυντικοῖς, ἐπειδὴ ὁ παρατατικὸς συγγένειαν ἔχει πρὸς τὸν ἐνεστῶτα· παρῳχημένος γάρ ἐστιν αὐτοῦ, καὶ διὰ τοῦτο δὲ ἐξ αὐτοῦ κανονίζεται. ἐπειδὴ οὖν ἐπὶ τῶν εἰς μι ὁ ἐνεστὼς συστέλλει τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς οἷον τίθημι τίθεμεν, ἵστημι ἵσταμεν, δίδωμι δίδομεν, ζεύγνυμι ζεύγνυμεν, καὶ ἡ αἰτία προείρηται, ὅτι τοῦτο γίνεται πρὸς τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς (ταῦτα γὰρ βραχεῖαν ἔχει τὴν παραλήγουσαν, ἤγουν θέσει μακράν), τούτου χάριν καὶ ὁ παρατατικὸς ἐπὶ τῶν εἰς μι πρὸς ἀναλογίαν τοῦ ἐνεστῶτος συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς. ἰστέον δὲ ὅτι ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἐπὶ τῶν εἰς μι οὐ συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς οἷον ἔστην ἔστημεν, ἔβην ἔβημεν, ἔγνων ἔγνωμεν, ἥλων ἥλωμεν, ἐβίων ἐβίωμεν, ἔφην ἔφημεν· τὸ γὰρ ἔφαμεν παρατατικός ἐστι. σεσημείωται τὸ ἔδων ἔδομεν καὶ ἔθην ἔθεμεν καὶ ἧν ἕμεν, ὅτι δευτέρου ἀορίστου ὄντα συνέστειλε τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς.

Choer. 870, 5: ἐπὶ τῶν εἰς μι ἐκ τοῦ μέλλοντος κανονίζεται ἡ ἄρχουσα τοῦ παρακειμένου. ἔστιν οὖν θήσω ὁ μέλλων καὶ τέθηκα ὁ παρακείμενος διὰ τοῦ η ὥσπερ ποιήσω πεποίηκα καὶ κατὰ τροπὴν Βοιωτικὴν τοῦ η εἰς τὴν ει δίφθογγον

---

imperfecti formis cf. Il. Pros. Ε 887 τὸ ἔα Ἰωνικόν ἐστιν ἐκ τοῦ ἦν γεγονός. διὸ συσταλτέον τὸ α ὁμοίως τῷ «τοῖος ἔα ἐν πολέμῳ» (Ξ 222) ὃ καὶ διὰ τοῦ η λέγεται «οὐκ ἀποφώλιος ἦα οὐδὲ φυγοπτόλεμος» (Ξ 213). l. 33 supra Choer. 670, 14 = περὶ ῥημ. fragm. 31, not. δάμνω scriptum est l. 19 cf. περὶ ῥημάτων fr. 6.

γέγονε τέθεικα διὰ τῆϲ ει διφθόγγου ὥϲπερ ἥρωεϲ, εἴρωεϲ· οὕτωϲ δὲ καὶ ἐπεκράτηϲε γράφεϲθαι· ὁ μέντοι τέθειμαι παρακείμενοϲ παθητικὸϲ οὐ κατὰ Βοιωτοὺϲ ἔχει τὴν ει δίφθογγον, ὥϲπερ ὁ τέθεικα ἐνεργητικὸϲ παρακείμενοϲ· οὐδὲ γὰρ ἔχει ἐν τῇ παραληγούϲῃ τὸ η, ἵνα τραπῇ Βοιωτικῶϲ τὸ η εἰϲ τὴν ει δίφθογγον, ὥϲπερ ἐπὶ τοῦ τέθεικα, ἀλλ' ἀπὸ τοῦ τέθεμαι ἀναλόγωϲ κατὰ πλεοναϲμὸν τοῦ ι γέγονε τέθειμαι. τούτων οὕτωϲ ἐχόντων, ἀπὸ τοῦ ἵϲτημι ϲτήϲω ὤφειλεν εἶναι ὁ ἐνεργητικὸϲ παρακείμενοϲ ἕϲτηκα διὰ τοῦ η, ἐπειδὴ καὶ ὁ μέλλων τὸ η ἔχει οἷον ϲτήϲω ὥϲπερ ποιήϲω πεποίηκα· οὐ λέγομεν δὲ οὕτωϲ ἀλλὰ ἕϲτακα διὰ τοῦ α. ἔϲτι δὲ εἰπεῖν τὴν ἀπολογίαν ταύτην· ἔϲτιν ἑϲτήκω ὁ ἐνεϲτώϲ, ὅϲτιϲ φωνὴν μὲν ἔχει ἐνεργητικήν, πάθοϲ δὲ ϲημαίνει (οὐδὲν γὰρ ϲημαίνει τὸ ἑϲτήκω ἄλλο ἀλλὰ τὸ ἵϲταμαι ἐγώ), ἐξ οὗ ὁ μέλλων ἑϲτήξω καὶ τὸ ἀπαρέμφατον ἑϲτήξειν, ὡϲ παρὰ Καλλιμάχῳ (H. Ap. 15)

ἑϲτήξειν δὲ τὸ τεῖχοϲ ἐπ' ἀρχαίοιϲι θεμέθλοιϲ.

τούτου τοῦ ἑϲτήκω ὁ μέϲοϲ παρακείμενοϲ ἕϲτηκά ἐϲτι, διὰ μὲν ϲυμφώνου τοῦ ἐνεϲτῶτοϲ ἀναλόγωϲ ἐκφερόμενοϲ (τοῦτο γὰρ ἴδιον τῶν μέϲων παρακειμένων), ἡμαρτημένοϲ δὲ κατὰ τὴν ἄρχουϲαν, καθὸ οὐκ ἐμεγεθύνθη χρονικῶϲ· τὸ γὰρ ε διχῶϲ πέφυκε μεγεθύνεϲθαι· ἢ γὰρ διὰ τῆϲ προϲθήκηϲ τοῦ ι οἷον ἔχω εἶχον, ἕλκω εἷλκον, ἢ διὰ τοῦ τρέπεϲθαι εἰϲ η οἷον ἐλεῶ ἠλέουν. ἵνα οὖν μὴ ϲυνεμπέϲῃ τῷ ἕϲτηκα μέϲῳ παρακειμένῳ, τῷ ὄντι ἀπὸ τοῦ ἑϲτήκω ἐνεϲτῶτοϲ, ὁ ἕϲτηκα ὁ ἐνεργητικὸϲ παρακείμενοϲ ὁ ὢν ἀπὸ τοῦ ἵϲτημι ἐνεϲτῶτοϲ τούτου χάριν πρὸϲ ἀντιδιαϲτολὴν ἐκείνου διὰ τοῦ α ἐξενέχθη κατὰ τὴν παραλήγουϲαν.

Choer. 871, 9: ἰϲτέον ὅτι ἐν τοῖϲ εἰϲ μι οὐκ ἔϲτι μέϲοϲ παρακείμενοϲ, καὶ ἡ αἰτία ἐϲτὶν αὕτη· ἡνίκα ὁ πρῶτοϲ ἀόριϲτοϲ ὁ ἐνεργητικὸϲ περιττοϲυλλαβεῖ τοῦ δευτέρου ἀορίϲτου τοῦ ἐνεργητικοῦ, τότε καὶ ὁ ἐνεργητικὸϲ παρακείμενοϲ περιττοϲυλλαβεῖ τοῦ μέϲου παρακειμένου οἷον κτυπῶ κτυπήϲω ἐκτύπηϲα ἔκτυπον ἐκτύπηκα ἔκτυπα, δουπῶ δουπήϲω ἐδούπηϲα ἔδουπον καὶ δεδούπηκα δέδουπα· ὅτε δὲ ὁ α' ἀόριϲτοϲ ὁ ἐνεργητικὸϲ ἰϲοϲυλλαβεῖ τῷ δευτέρῳ ἀορίϲτῳ τῷ ἐνεργητικῷ, τότε καὶ ὁ ἐνεργητικὸϲ παρακείμενοϲ ἰϲοϲυλλαβεῖ τῷ μέϲῳ παρακειμένῳ, ἔϲτειλα ἔϲταλον ἔϲταλκα ἔϲτολα. ἐνταῦθα οὖν ἐν τοῖϲ εἰϲ μι, ἐπειδὴ ἀεὶ περιττοϲυλλαβεῖ ὁ πρῶτοϲ ἀόριϲτοϲ ὁ ἐνεργητικὸϲ τοῦ δευτέρου ἀορίϲτου τοῦ ἐνεργητικοῦ, ἔϲτηϲα γὰρ καὶ ἔϲτην, ἔδωκα ἔδων, ἔθηκα ἔθην, ἧκα ἧν, εἰ ἐγένετο ὁ μέϲοϲ παρακείμενοϲ, ἤμελλε περιττοϲυλλαβεῖϲθαι ἐκ τοῦ ἐνεργητικοῦ παρακειμένου, τοῦ βέβηκα τοῦ δέδωκα καὶ τοῦ ἔγνωκα καὶ τοῦ ἕϲτακα τριϲυλλαβούντων, αὐτόϲ, φημὶ δὴ ὁ μέϲοϲ παρακείμενοϲ, εἰϲ διϲυλλαβίαν περιπίπτων· ὅπερ ἐϲτὶν ἀδύνατον· οὐδέποτε γὰρ ὁ μέϲοϲ παρακείμενοϲ διϲύλλαβοϲ εὑρίϲκεται ἐν χρήϲει, χωρὶϲ τοῦ οἶδα καὶ τοῦ εἶκα ὃ ϲημαίνει τὸ ὁμοιῶ, ὡϲ παρὰ Ἀλκμᾶνι

εἶκαϲ μὲν ὡραίῳ λίνῳ

ἀντὶ τοῦ ὡμοίωϲαι· καὶ χωρὶϲ τοῦ ἦα, ὃ ϲημαίνει τὸ ἐπορευόμην, ὅπερ κατὰ διάλυϲιν γίνεται ἤϊα, ὡϲ παρὰ τῷ ποιητῇ (δ 433)

ἤϊα πολλὰ θεοὺϲ γουνούμενοϲ,

ἀντὶ τοῦ ἐπορευόμην, ἐξ οὗ ὁ ὑπερϲυντελικὸϲ ἤϊειν διὰ τοῦ η καὶ ι κατὰ τὴν ἄρχουϲαν καὶ ἐν ϲυνθέϲει παρήειν καὶ ἐξήειν, ὡϲ παρὰ Μενάνδρῳ (Com. ed. Mein. IV 322)

ἀπήειν τῶν τόκων τόκουϲ ἔχων.

τούτου οὖν χάριν ἐν τοῖϲ εἰϲ μι οὐκ ἔϲτι μέϲοϲ παρακείμενοϲ· μέϲου δὲ παρακειμένου μὴ ὄντοϲ, εἰκότωϲ οὔτε μέϲοϲ ὑπερϲυντελικόϲ ἐϲτιν, ἐπειδὴ ἐκ τοῦ μέϲου παρακειμένου κανονίζεται ὁ μέϲοϲ ὑπερϲυντελικόϲ.

Choer. 872, 33: ἰϲτέον ὅτι πᾶϲ μέλλων ἀπὸ τῶν εἰϲ μι τρέπων τὴν ϲω εἰϲ

---

l. 10 ἄλλο ante ἀλλὰ inserui, potui etiam scribere ἄλλο τοῦ. l. 37 potius οἶκαϲ; cf. Bergk, frg. Alcm. 76, Lehrs ad Hdn. Mon. 24, 9. l. 44 Bekker. Anecd. p. 1294 edidit τόκων ἔχων τόκουϲ.

ν̅ καὶ τὴν ἄρχουϲαν ἐκτείνων χρονικῶϲ ἢ ϲυλλαβικῶϲ τὸν δεύτερον ἀόριϲτον ποιεῖ οἷον θήϲω ἔθην, βήϲω ἔβην, φήϲω ἔφην, δώϲω ἔδων, γνώϲω ἔγνων, βιώϲω ἐβίων, ἥϲω ἧν, φύϲω ἔφυν, δύϲω ἔδυν, κλῦμι κλύϲω ἔκλυν, ἐξ οὗ τὸ προϲτακτικόν κλῦθι, ἅλωμι ἁλώϲω ἥλων ἥλω καί κατὰ διάλυϲιν τοῦ η εἰϲ ε̅ καὶ α̅ ἑάλων καὶ ἑάλω, ὥϲπερ καὶ ἀπὸ τοῦ ἥγη γίνεται ἑάγη κατὰ διάλυϲιν τοῦ η̅ εἰϲ ε̅ καὶ α̅. πάλιν ἵϲτημι ϲτήϲω καὶ ὁ δεύτερος ἀόριϲτος ὁ ἐνεργητικὸϲ ἔϲτην· οὗτοϲ ἐνεργητικὴν μὲν ἔχει φωνήν, παθητικὴν δὲ ϲημαϲίαν καὶ ϲύνταξιν· οὔτε γάρ λέγομεν ἔϲτην ϲε, ἀλλ' ἔϲτην ὑπὸ ϲοῦ, ὥϲπερ ἐϲτάθην ὑπὸ ϲοῦ.

11.

An. Ox. III 269: ϲημείωϲαι, ὅτι ἐπὶ τῶν εἰϲ μ̅ι̅ ἐπὶ δευτέρου ἀορίϲτου φυλάττεται ἡ λήγουϲα αὐτοῦ, ἤγουν τοῦ δευτέρου ἀορίϲτου, ἐν τοῖϲ πληθυντικοῖϲ παραλήγουϲα ἡ αὐτὴ οἷον ἵϲτημι· ὁ β' ἀόριϲτοϲ ἔϲτην ἔϲτημεν ἔϲτητε. γνῶμι· ὁ β' ἀόριϲτοϲ ἔγνων ἔγνωμεν ἔγνωτε. πλὴν τοῦ ἔθην ἔθεμεν ἔθετε, ἔδων ἔδομεν ἔδοτε, ἧν ἕμεν ἕτε. καὶ διὰ τί πλὴν τούτων; διότι, φηϲὶν ὁ τεχνικόϲ, τὰ ἑνικὰ οἷον ἔθην ἔδων ἧν οὐχ εὑρίϲκεται ἐν χρήϲει· τούτου χάριν τὰ πληθυντικὰ αὐτῶν εὑριϲκόμενα ἐν χρήϲει ἐναλλάϲϲεται κείμενα ὡϲ ἔτυχεν.

Choer. 875, 12: πᾶϲ ἐνεϲτὼϲ εἰϲ μ̅ι̅ λήγων τρέπων τὴν μ̅ι̅ εἰϲ ω̅ καί τὴν ἄρχουϲαν ἀποβάλλων, ἐάν ἔχῃ ὥϲπερ ἀναδιπλαϲιαϲμὸν διὰ τοῦ ι̅, μέλλων γίνεται οἷον κίχρημι χρήϲω, πίμπλημι πλήϲω, βίβημι βήϲω (τὸ πορεύομαι)· ἐὰν δὲ μὴ ἔχῃ διπλαϲιαϲμὸν διὰ τοῦ ι̅, οὐκ ἀποβάλλει τὴν ἄρχουϲαν ἐν τῷ μέλλοντι, ἀλλὰ μόνον τροπῇ τῆϲ μ̅ι̅ εἰϲ ω γίνεται οἷον φημί φήϲω, δῦμι δύϲω, φῦμι φύϲω, ἐξ οὗ τὸ ἔφυν, κλῦμι κλύϲω, ἐξ οὗ τὸ ἔκλυν, καὶ τὸ προϲτακτικὸν κλῦθι, βίωμι βιώϲω, ἡ γὰρ β̅ι̅ ϲυλλαβὴ ἐνταῦθα οὐκ ἔϲτιν ἀπὸ διπλαϲιαϲμοῦ, ἀπὸ γὰρ τοῦ βιῶ βιοῖϲ γέγονε.

Ἰϲτέον δὲ ὅτι τὰ τῆϲ δ' ϲυζυγίαϲ τῶν εἰϲ μ̅ι̅ οὐ κλίνεται, εἰ μὴ ἄχρι τοῦ παρατατικοῦ· ὁ δὲ λόγοϲ περὶ τῶν ὑπὲρ δύο ϲυλλαβὰϲ οἷον ζεύγνυμι, ὄμνυμι· τὰ γὰρ διϲύλλαβα κλίνεται καὶ μετὰ τὸν παρατατικὸν οἷον δῦμι δύϲω ἔδυν.

Choer. 875, 28: ἰϲτέον ὅτι ὥϲπερ ἐν τοῖϲ εἰϲ μ̅ι̅ καθόλου ὁ μέϲοϲ παρακείμενοϲ ἐπιλιμπάνει δι' ἣν εἰρήκαμεν αἰτίαν, οὕτω καὶ ὁ δεύτεροϲ μέλλων ὁ ἐνεργητικὸϲ ὁριϲτικὸϲ καθόλου ἐπιλιμπάνει ἐπὶ τῶν εἰϲ μ̅ι̅ διὰ ταύτην τὴν αἰτίαν· ἡνίκα ὁ δεύτεροϲ ἀόριϲτοϲ ἐνδεῖ τοῦ πρώτου ἀορίϲτου, τότε καὶ ὁ δεύτεροϲ μέλλων ἐνδεῖ τοῦ δευτέρου ἀορίϲτου οἷον ἐμύκηϲα ἔμυκον μυκήϲω μυκῶ, ἐβλάϲτηϲα ἔβλαϲτον βλαϲτήϲω βλαϲτῶ· ἰδοὺ ἐπὶ τούτων ἐπειδὴ ὁ δεύτεροϲ ἀόριϲτοϲ ἐνδεῖ τοῦ α' ἀορίϲτου, τούτου χάριν ὁ β' μέλλων ἐνδεῖ τοῦ β' ἀορίϲτου. τούτων οὕτωϲ ἐχόντων, ἐν τοῖϲ εἰϲ μ̅ι̅ ἀεὶ ὁ β' ἀόριϲτοϲ ἐνδεῖ τοῦ α' ἀορίϲτου οἷον ἔϲτηϲα ἔϲτην, ἔγνωϲα ἔγνων, ἔδωκα ἔδων. ἀναγκάζεται οὖν ὁ δεύτεροϲ μέλλων ἐνδεῖν τοῦ δευτέρου ἀορίϲτου· καὶ ἐπειδὴ ἐν τοῖϲ εἰϲ μ̅ι̅ ὡϲ ἐπί τὸ πλεῖϲτον ὁ δεύτεροϲ ἀόριϲτοϲ οὐχ ὑπερβαίνει τὴν διϲυλλαβίαν οἷον ἔϲτην, ἔγνων, (πρόϲκειται «ὡϲ ἐπὶ τὸ πλεῖϲτον» διὰ τὸ ἐβίων δευτέρου ἀορίϲτου, ὁ γὰρ ἑάλων ἀπὸ τοῦ ἥλων διϲυλλάβου ἐϲτίν) ὁ δεύτεροϲ μέλλων εὑρεθήϲεται εἰϲ μονοϲυλλαβίαν περιϲπώμενοϲ, ὅπερ ἐϲτὶν ἀδύνατον· οὐδέποτε γὰρ δύναται μέλλων μονοϲύλλαβοϲ εὑρίϲκεϲθαι. καὶ καθόλου δὲ οὐδέποτε μονοϲύλλαβον ῥῆμα ὁριϲτικὸν εἰϲ ω̅ λῆγον εὑρίϲκεται ἐν χρήϲει, χωρὶϲ εἰ μὴ εὑρεθῇ δευτέραϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων οἷον δρῶ, θλῶ, κλῶ, ϲμῶ. πρόϲκειται «ὁριϲτικόν» διὰ τὸ ἐὰν θῶ, ἐὰν δῶ. πρόϲκειται «εἰϲ ω̅ λῆγον» διὰ τὸ κλεῖϲ καί χεῖϲ καὶ ῥεῖϲ· διὰ τοῦτο γὰρ ταῦτα κατὰ τὸ τρίτον

---

l. 8 cf. Il. Pr. Δ 222 πᾶϲ δεύτεροϲ ἀόριϲτοϲ ἐπὶ τῶν εἰϲ μ̅ι̅ μακροκατάληκτόϲ ἐϲτιν ἔγνων ἑάλων ἐξέτρων ἔτλην ἔϲτην ἔδην ἔφην· ἔφυν ἄρα καί ἔδυν. de ἔκτην cf. Il. Pr. Δ 319. l. 10 cf. Choer. 873, 21 seqq.

πρόϲωπον καὶ δεύτερον ϲυναιρούμενα κατὰ τὸ πρῶτον οὐ ϲυναιρεῖται, ἵνα μὴ εὑρεθῇ εἰϲ ω̅ λήγοντα καὶ μονοϲυλλαβοῦντα ὁριϲτικὰ ὄντα καὶ μὴ ὄντα δευτέραϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων.

Choer. 876, 28: ἰϲτέον ὅτι πᾶϲ ἐνεϲτὼϲ ὁριϲτικὸϲ εἰϲ μ̅ι̅ λήγων, τροπῇ τῆϲ μ̅ι̅ εἰϲ μαι παθητικὸϲ γίνεται μετὰ τοῦ ϲυϲτέλλειν τὴν παραλήγουϲαν πρὸϲ τὴν παραλήγουϲαν τοῦ πρώτου προϲώπου τῶν πληθυντικῶν τῶν ἐνεργητικῶν. καὶ δεῖ γινώϲκειν, ὅτι ἡ μὲν πρώτη ϲυζυγία τῶν εἰϲ μ̅ι̅ ϲυϲτέλλει τὴν παραλήγουϲαν διὰ τοῦ ε̅ οἷον τίθεμαι, ἡ δὲ δευτέρα διὰ τοῦ α̅ ϲυνεϲταλμένου, ἡ δὲ τρίτη διὰ τοῦ ο̅, ἡ δὲ δʹ τὸ δίχρονον μόνον ϲυϲτέλλει· εὐλόγωϲ ἡ μὲν πρώτη ϲυζυγία διὰ τοῦ ε̅ ϲυϲτέλλει τὴν παραλήγουϲαν οἷον τίθημι τίθεμαι, ἐπειδὴ καὶ τὸ πρωτότυπον τὸ ε̅ ἔχει· ἡ δὲ δευτέρα διὰ τοῦ α̅, ἐπειδὴ καὶ τὸ πρωτότυπον ἔχει τὸ α̅· καὶ ἡ τρίτη διὰ τοῦ ο̅, ἐπειδὴ καὶ τὸ πρωτότυπον τὸ υ̅ ἔχει· ἡ δὲ τετάρτη τὸ δίχρονον μόνον ϲυϲτέλλει, ἐπειδὴ καὶ τὸ πρωτότυπον διὰ διχρόνου ϲυνεϲταλμένου ἐϲτί. τούτων οὕτωϲ ἐχόντων, τοῦ εἶμι τοῦ ϲημαίνοντοϲ τὸ πορεύομαι τὸ παθητικὸν ὤφειλεν εἶναι ἵμαι διὰ τοῦ ι̅, ἐπειδὴ καὶ τὸ πληθυντικὸν τὸ ἐνεργητικὸν ἵμεν ἐϲτὶ διὰ τοῦ ι̅· ἀλλ' ἐπειδὴ ἐνταῦθα οὐδὲν πλέον ἤμελλε ϲημαίνειν τὸ παθητικὸν τοῦ ἐνεργητικοῦ (καὶ τὸ παθητικὸν γὰρ ὁμοίωϲ τὸ εἶμι τὸ πορεύομαι ἤμελλε δηλοῦν), τούτου χάριν ἐπιλέλοιπε τὸ παθητικόν, ὡϲ τὴν αὐτὴν τῷ ἐνεργητικῷ μέλλον ἔχειν ϲημαϲίαν· καὶ ἀπὸ τοῦ εἰμὶ τοῦ ϲημαίνοντοϲ τὸ ὑπάρχω τὸ παθητικὸν ἕμαι ὤφειλεν εἶναι διὰ τοῦ ε̅, ἐπειδὴ καὶ τὸ πληθυντικὸν τὸ ἐνεργητικὸν ἕμεν ἐϲτὶ διὰ τοῦ ε̅, ὅπερ κατὰ πλεοναϲμὸν τοῦ ϲ̅ γίνεται ἐϲμέν· ἀλλ' ἐπειδὴ τὰ ὑπαρκτικὰ οὐκ ἔχει παθητικά, τὸ γὰρ ὑπάρχω οὐ κλίνεται εἰϲ παθητικὸν καὶ γίνεται ὑπάρχομαι, τούτου χάριν ἐπιλέλοιπε τὸ ἕμαι.

Choer. 877, 29: Ζητεῖται δὲ περὶ τοῦ ἐπίϲταμαι, ὅτι πόθεν γέγονε; καὶ λέγει ὁ Ἀπολλώνιοϲ, ὅτι ἀπὸ τοῦ ἵϲτημι γίνεται ἵϲταμαι, καὶ προϲερχομένη ἡ ἐπὶ πρόθεϲιϲ ὤφειλε τρέψαι τὸ π̅ εἰϲ φ̅, ἵνα ᾖ ἐφίϲταμαι, καὶ γὰρ τὸ ἵϲταμαι δαϲύνεται οἷον καθίϲταμαι, ὑφίϲταμαι, ἀλλὰ γέγονεν ἐπίϲταμαι, τοῦ π̅ φυλαχθέντοϲ Ἰωνικῶϲ· καὶ γὸρ τὸ ἥλιοϲ δαϲύνεται, καὶ ὅμωϲ ἀπηλιώτηϲ Ἰωνικῶϲ ἐπεκράτηϲε λέγεϲθαι διὰ τοῦ π̅ καὶ οὐκ ἀφηλιώτηϲ διὰ τοῦ φ̅· καὶ πάλιν ὁ Ἥφαιϲτοϲ δαϲύνεται, καὶ ὅμωϲ «ἐπ' Ἡφαίϲτοιο θύρηϲιν» Ἰωνικῶϲ εἶπεν ὁ ποιητήϲ· οὕτωϲ οὖν, ὡϲ εἴρηται, καὶ τὸ ἐπίϲταμαι Ἰωνικῶϲ ἐφύλαξε τὸ π, εἰ οὖν οὕτωϲ γέγονεν ἀπὸ τοῦ ἵϲταμαι· ἢ ἀπὸ τοῦ ἰϲῶ ἴϲημι ὃ ϲημαίνει τὸ γινώϲκω γέγονεν ἴϲαμαι καὶ ἐν πλεοναϲμῷ τοῦ τ̅ ἵϲταμαι καὶ ἐκεῖθεν ἐπίϲταμαι, καὶ εὐλόγωϲ ἐφύλαξε τὸ π τῆϲ ἐπὶ προθέϲεωϲ, ἐπειδὴ τὸ ἴϲημι ψιλοῦται. ὁ δὲ Φιλόξενοϲ λέγει, ὅτι ἔϲτιν εἰδῶ εἴϲω ὃ ϲημαίνει τὸ γινώϲκω, ἀφ' οὗ τὸ ἰϲτὸϲ ὃ ϲημαίνει τὸ ἐπιϲτήμων· γράφεται δὲ διὰ τοῦ ι̅ τὸ ἰϲτόϲ, ἐπειδὴ τὸ εἴδω ἐν ταῖϲ ϲυνθέϲεϲι ταῖϲ ὀνοματικαῖϲ καὶ ταῖϲ παραγωγαῖϲ ταῖϲ ὀνοματικαῖϲ ἀποβάλλει τὸ ε̅ οἷον ἴδμων, ἰϲτορία, νῆϊϲ (ὁ ἄπειροϲ, ὁ τοῦ εἰδέναι ἐϲτερημένοϲ), Πολύιδοϲ (ἔϲτι δὲ ὄνομα μάντεωϲ)· τὸ γὰρ εἰδήμων γραφόμενον διὰ τῆϲ ει διφθόγγου οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔϲτιν ἀπὸ τοῦ εἴδω βαρυτόνου, ἀλλ' ἀπὸ περιϲπωμένου τοῦ εἰδῶ εἰδῆϲ εἰδήμων. ἐκ τοῦ οὖν ἰϲτόϲ ὃ ϲημαίνει τὸ ἐπιϲτήμων γέγονεν ἰϲτῶ ἰϲτήϲω ἰϲτήμων καὶ ἐπιϲτήμων, ἐκ τούτου δὲ τοῦ ἰϲτῶ τοῦ ϲημαίνοντοϲ τὸ γινώϲκω γέγονεν ἵϲτημι καὶ ἵϲταμαι καὶ ἐκεῖθεν ἐπίϲταμαι, καὶ εὐλόγωϲ ἐφυλάχθη τὸ π, ἐπειδὴ ψιλοῦται αὕτη ἡ κίνηϲιϲ, ὡϲ ἐκ τοῦ εἴδω γεγενημένη, ὅπερ ψιλοῦται.

Choer. 878, 30: τὰ ἔχοντα τὴν ἐνεργητικὴν μετοχὴν εἰϲ ϲ̅ μετ' ὀξείαϲ τάϲεωϲ τροπῇ τοῦ τ̅ τοῦ ἐν τῷ τρίτῳ προϲώπῳ εἰϲ ϲ̅ ποιεῖ τὰ δεύτερα πρόϲωπα οἷον πεποίηται πεποίηϲαι, πεποιηκὼϲ γὰρ ἡ ἐνεργητικὴ μετοχὴ εἰϲ ϲ̅ μετ' ὀξείαϲ τάϲεωϲ, καὶ δύναται δύναϲαι ὅτι δυνάϲ, καὶ ἐπίϲταται ἐπίϲταϲαι, ὅτι ἐπιϲτάϲ· εἰ

l. 30 ἐπ' Ἡφ. θύρηϲιν etiam ap. Apollon d. adv. p. 562 affertur; homericus quidem locus non est.

καὶ μὴ εὕρηται ἐν χρήϲει τὸ δυνάϲ καὶ ἐπιϲτάϲ· εἰϲὶ δὲ ὡϲ ἀπὸ τοῦ δύνημι καὶ ἐπίϲτημι, καὶ δύναμαι καὶ ἐπίϲταμαι· τὸ δὲ δύνῃ καὶ ἐπίϲτῃ κατὰ πάθοϲ λέγουϲιν, ὡϲ ἀπὸ τοῦ δύναϲαι καὶ ἐπίϲταϲαι, δύνααι ἐπίϲτααι καὶ Ἰωνικῶϲ δύνεαι καὶ ἐπίϲτεαι, καὶ κατὰ κρᾶϲιν τοῦ ε̄ καὶ ᾱ εἰϲ η̄ δύνῃ καὶ ἐπίϲτῃ, καὶ μένει τὸ ῑ προϲγεγραμμένον.

12.

Herod. Il. Pr. Ζ 336: ἤμην τὸ ϲημαντικὸν τοῦ ὑπάρχειν ϲπανίωϲ εὑρίϲκεται κατὰ τὴν χρῆϲιν τῶν Ἑλλήνων, οὗ τὰ ὑποδείγματα δίδομεν ἐν τῷ περὶ τῶν εἰϲ μ̅ι̅. ὁ μέντοι ποιητὴϲ οὐκ ἐχρήϲατο.

Choer. 882, 3: ἰϲτέον ὅτι τὸ ἤμην ἐπὶ τοῦ ὑπῆρχον ἀπηγόρευται· ἀντὶ γὰρ τοῦ ἤμην «ἦν ἐγώ» λέγουϲιν, ὡϲ Ἀριϲτοφάνηϲ (Plut. 28)

ἐγὼ θεοϲεβὴϲ καὶ δίκαιοϲ ὢν ἀνὴρ
κακῶϲ ἔπραττον, καὶ πένηϲ ἦν·

εὕρηται γὰρ τὸ ἤμην τὸ ἐπὶ τοῦ ὑπῆρχον, ὡϲ παρ' Εὐριπίδῃ ἐν Ἑλένηϲ ἀπαιτήϲει (v. Hel. 931)

ἐγὼ δὲ προδότιϲ οὐκ ἤμην τέκνον.

Choer. 883, 17: πᾶϲ ἐνεργητικὸϲ παρακείμενοϲ ἐπὶ τῶν εἰϲ μ̄ι τρέπων τὴν τελευταίαν ϲυλλαβὴν εἰϲ μ̄αι καὶ τὴν παραλήγουϲαν ϲυϲτέλλων παθητικὸϲ γίνεται οἷον δέδωκα δέδομαι, πέπωκα πέπομαι (ἐξ οὗ τὸ ἐπόθην καὶ κατεπόθην), βέβηκα βέβαμαι (ἐξ οὗ τὸ ἐβάθην καὶ παρεβάθην), ἕϲτηκα, ὅϲον κατὰ τὴν ἀναλογίαν, ἀπὸ τοῦ ἵϲτημι ϲτῶ, καὶ ἕϲταμαι ὁ παθητικὸϲ παρακείμενοϲ. πρόϲκειται «ὅϲον κατὰ τὴν ἀναλογίαν», ἐπειδὴ ἕϲτακά ἐϲτιν ὁ ἐνεργητικὸϲ παρακείμενοϲ τοῦ ἵϲτημι πρὸϲ ἀντιδιαϲτολὴν τοῦ ἕϲτηκα μέϲου παρακειμένου τοῦ ὄντοϲ ἀπὸ τοῦ ἑϲτήκω ἐνεϲτῶτοϲ, ὡϲ ἐν τοῖϲ προλαβοῦϲιν εἴρηται. τέθεικα τέθεμαι καὶ κατὰ πλεοναϲμὸν τοῦ ῑ τέθειμαι διὰ τῆϲ ει διφθόγγου· οὐ γὰρ δυνάμεθα τὸ τέθειμαι Βοιωτικὸν λέγειν, ὥϲπερ τὸ ἐνεργητικὸν τὸ τέθεικα τὸ διὰ τῆϲ ε̅ι̅ διφθόγγου, ἐπειδὴ τὸ μὲν τέθεικα ἐνεργητικὸν τὸ διὰ τῆϲ ει διφθόγγου ἀπὸ τοῦ τέθηκα κοινοῦ γέγονε τοῦ διὰ τοῦ η̄ κατὰ τροπὴν Βοιωτικὴν τοῦ η̄ εἰϲ τὴν ε̅ι̅ δίφθογγον ὥϲπερ Λάχηϲ Λάχειϲ· τὸ δὲ παθητικὸν οὐκ ἔϲτι τέθημαι διὰ τοῦ η̄, ἵνα τὸ τέθειμαι τὸ διὰ τῆϲ ε̅ι̅ διφθόγγου Βοιωτικὸν εἴπωμεν κατὰ κρᾶϲιν (leg. τροπὴν) τοῦ η̄ εἰϲ τὴν ει δίφθογγον.

Choer. 884, 11: ἰϲτέον ὅτι ἀπὸ τοῦ τέθειμαι παρακειμένου, ὁ γὰρ τέθειμαι κατὰ πλεοναϲμὸν ἔχει τὸ ῑ, γέγονεν ὁ παθητικὸϲ πρῶτοϲ ἀόριϲτοϲ ἐτέθην τροπῇ τῆϲ μ̅α̅ι̅ εἰϲ θην καὶ ἀποβολῇ τοῦ κατ' ἀρχὴν ϲυμφώνου· δεῖ δὲ γινώϲκειν, ὅτι ἀπὸ τοῦ τέθειμαι παρακειμένου τραπείϲηϲ τῆϲ μ̅α̅ι̅ ϲυλλαβῆϲ εἰϲ θ̅η̅ν̅ ἐθέθην ὤφειλεν εἶναι ὁ παθητικὸϲ πρῶτοϲ ἀόριϲτοϲ· ἀλλὰ διὰ τὴν κακοφωνίαν τῆϲ ἐπαλληλίαϲ τοῦ δαϲέωϲ θ̄ τροπὴ παρηκολούθηϲε τοῦ πρώτου θ̄ εἰϲ τ̄ καὶ γέγονεν ἐτέθην ὥϲπερ τὸ τέθυμαι ἐθύθην καὶ ἐτύθην. εἰ δέ τιϲ εἴποι, διὰ τί γὰρ τὸ πρῶτον θ̄ ἐτράπη, καὶ μὴ τὸ τελευταῖον; λέγομεν ὅτι οὐκ ἠδύνατο τὸ τελευταῖον θ̄ τραπῆναι, ἐπειδὴ ὁ πρῶτοϲ ἀόριϲτοϲ ὁ παθητικὸϲ εἰϲ θ̅η̅ν̅ θέλει λήγειν οἷον ἐτύφθην. τούτων οὕτωϲ ἐχόντων, τὸ ἐγνώϲθην καὶ ἠδυνάϲθην καὶ ἐδυνήθην, μακρᾷ παραληγόμενα, οὐκ ἔϲτιν ἀπὸ τῶν εἰϲ μι ἀλλ' ἀπὸ τῶν εἰϲ ω· εἰ γὰρ ἦϲαν ἀπὸ τῶν εἰϲ μ̅ι̅ οὕτωϲ ἤμελλον εἶναι· γνῶμι γνώϲω ἔγνωκα ἔγνομαι ἐγνόθην διὰ τοῦ ο̄ ὥϲπερ δίδωμι δώϲω δέδωκα δέδομαι ἐδόθην, πῶμι πώϲω πέπωκα πέπομαι ἐπόθην, καὶ πάλιν ἀπὸ τοῦ δύνημι δυνήϲω δεδύνηκα εἶχεν εἶναι δεδύναμαι ἐδυνάθην ὥϲπερ βίβημι βήϲω βέβηκα βέβαμαι καὶ ἐβάθην, ἐξ οὗ τὸ παρεβάθην· ἀλλ', ὡϲ εἴρηται, ἀπὸ τῶν εἰϲ ω ἐϲτίν· καὶ τὸ μὲν ἐγνώϲθην γέγονε τοῦτον τὸν τρόπον· ἔϲτι γνώω τῆϲ ἕκτηϲ ϲυζυγίαϲ, ἐξ οὗ τὸ ὑποτακτικὸν παρὰ τῷ ποιητῇ (Α 302)

ἵνα γνώωϲι καὶ οἵδε·

---

l. 3 codd. habent Ἰωνικῶϲ, καὶ. l. 10 cf. Il. Pr. Ο 10, Ω 84.

καὶ τούτου ὁ μέλλων γνώσω· εἶτα ὁ παρακείμενος ὁ ἐνεργητικὸς ἔγνωκα, ὁ παθητικὸς ἔγνωσμαι, καὶ λοιπὸν ὁ παθητικὸς πρῶτος ἀόριστος ἐγνώσθην. τὸ δὲ ἠδυνάσθην γέγονε τοῦτον τὸν τρόπον· ὡς ἀπὸ τοῦ δυνάζω δυνάσω δεδύνακα δεδύνασμαι ἐδυνάσθην, ὥσπερ φράζω φράσω πέφρακα πέφρασμαι ἐφράσθην καὶ κατὰ ἔκτασιν Ἀττικὴν τοῦ ε̄ εἰς τὸ η̄ ἠδυνάσθην ὥσπερ ἔμελλον ἤμελλον· πάλιν ὡς ἀπὸ τοῦ δυνῶ δυνᾷς περισπωμένου τῆς δευτέρας συζυγίας γίνεται δυνήσω δεδύνηκα δεδύνημαι ἐδυνήθην, καὶ κατὰ ἔκτασιν Ἀττικὴν τοῦ ε̄ εἰς τὸ η̄ ἠδυνήθην.

Choer. 885, 15: ἀόριστος δεύτερος ἐν τοῖς παθητικοῖς τῶν εἰς μι οὐκ ἔστιν, ἐπειδὴ προελήφθη ὁ χρόνος ἐν τοῖς ἐνεργητικοῖς· καὶ γὰρ ὁ δεύτερος ἀόριστος ὁ παθητικὸς μακροκαταληκτεῖν θέλει. ἐπειδὴ οὖν ὁ δεύτερος ἀόριστος ἐνεργητικὸς μακροκαταληκτεῖ ἐν τοῖς εἰς μι οἷον ἔστην, ἔγνων, ἔδων, τούτου χάριν ὡς προληφθέντος τοῦ χρόνου, ἤγουν τῆς μακροκαταληξίας, ἐν τοῖς ἐνεργητικοῖς, ἐπιλέλοιπε τὸ παθητικόν.

13.

Mon. 24, 26 δοῦναι· οὐδὲν εἰς ναῑ λῆγον ἀπαρέμφατον τῇ ο̄ῡ διφθόγγῳ παραλήγεται, ἀλλ' εἰ παραλήγεται διφθόγγῳ, τῇ ει παραλήγεται, εἶναι, εἴτε δασυνόμενον ἀορίστου χρόνου. σημειῶδες ἄρα τὸ δοῦναι. ὅτι γὰρ οὐδέν ἐστι τὸ λέγειν δῶναι ὡς γνῶναι βιῶναι, δῆλον μὲν ἐκ τῆς χρήσεως τῆς Ὁμηρικῆς «κέλεαι δέ με τήνδ' ἀποδοῦναι» (Α 134), δῆλον δὲ ἔσται ἐκ τοῦ κατ' ἀναλογίαν κινήματος ἐν ἑτέροις.

Choer. 888, 33: τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ̄ μετ' ὀξείας τάσεως εἰς ναι ποιεῖ τὸ ἀπαρέμφατον ἐπὶ τῶν εἰς μι καὶ συστολὴ παρακολουθεῖ δηλονότι τῆς παραληγούσης κατὰ τὰ ἀπαρέμφατα ἐν τῷ ἐνεστῶτι καὶ παρατατικῷ οἷον ἐτίθην τιθείς τιθέναι καὶ ἵστην ἱστὰς ἱστάναι, ἐδίδου διδούς διδόναι, ἐζεύγνυ ζευγνὺς ζευγνύναι. πρόσκειται «ἐν τῷ ἐνεστῶτι καὶ παρατατικῷ» διὰ τὸν δεύτερον ἀόριστον, τὰ γὰρ ἀπαρέμφατα τῶν εἰς μι τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ οὐ συστέλλει τὴν παραλήγουσαν· ἔστη στὰς στῆναι, ἔγνων γνοὺς γνῶναι, ἥλω ἁλοὺς ἁλῶναι, βιοὺς βιῶναι· σεσημείωται τὸ δοῦναι, θεῖναι, εἶναι (ὃ σημαίνει τὸ ἀπολῦσαι, ἐξ οὗ τὸ ἀφεῖναι), ὅτι ἀπαρέμφατα ὄντα δευτέρου ἀορίστου ἐνεργητικοῦ οὐκ ἐφύλαξε τὸ φωνῆεν τοῦ ἀορίστου, ἀλλὰ διὰ διφθόγγου ἐγένετο, ἔδων γὰρ διὰ τοῦ ω καὶ δοῦναι διὰ τῆς ου διφθόγγου, καὶ πάλιν ἔθην καὶ ἥν (σημαίνει δὲ τὸ ἀπέλυσα), θεῖναι, εἶναι διὰ τῆς ε̄ῑ διφθόγγου. διὰ τοῦτο δὲ τὰ ἀπαρέμφατα τῶν εἰς μῑ κατὰ μὲν τὸν ἐνεστῶτα καὶ παρατατικὸν συστέλλει τὴν παραλήγουσαν, κατὰ δὲ τὸν β' ἀόριστον τὸν ἐνεργητικὸν οὐ συστέλλει τὴν παραλήγουσαν, ἐπειδὴ καὶ ἐν τοῖς ὁριστικοῖς ὁ μὲν ἐνεστὼς καὶ ὁ παρατατικὸς τῶν εἰς μ̄ῑ συστέλλουσι τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς οἷον τίθημι τίθεμεν, δίδωμι δίδομεν· ὁ δὲ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς οὐ συστέλλει τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς οἷον ἔστην ἔστημεν, ἔγνων ἔγνωμεν, σεσημειωμένου τοῦ ἔδομεν καὶ ἔθεμεν καὶ ἕμεν (ὃ σημαίνει τὸ ἀπελύσαμεν). θέλει δὲ τὰ εἰς ναι ἀπαρέμφατα τὴν παραλήγουσαν φυλάττειν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ οἷον ἐτύφθημεν τυφθῆναι· οὕτως οὖν καὶ ἐτίθεμεν τιθέναι καὶ ἵσταμεν ἱστάναι καὶ ἐδίδομεν διδόναι καὶ ἐζεύγνυμεν ζευγνύναι διὰ συνεσταλμένου τοῦ ῡ καὶ ἔστημεν στῆναι καὶ ἔβημεν βῆναι καὶ ἔγνωμεν γνῶναι καὶ ἥλωμεν ἁλῶναι καὶ ἐβίωμεν βιῶναι· περὶ γὰρ τοῦ ἔδομεν δοῦναι καὶ ἔθεμεν θεῖναι καὶ ἕμεν εἶναι, ὅτι οὐκ ἐφύλαξε τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, ἀλλὰ διὰ διφθόγγου ἐγένετο καὶ ὑπὲρ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, τετύφαμεν γὰρ διὰ τοῦ ᾱ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ὁριστικοῦ καὶ τετυφέναι διὰ τοῦ ε̄, ἐν τοῖς εἰς ω̄ μεμαθήκαμεν.

---

l. 48 cf. περὶ ῥημάτων in sectione περὶ ἀπαρεμφάτων.

Choer. 890, 8: ἰcτέον δὲ ὅτι τό εἶναι τό ἐπί τοῦ ὑπάρχειν ὤφειλεν εἶναι ἔναι διὰ τοῦ ε̄ καὶ οὐ διὰ τῆς ε̄ῑ διφθόγγου, ἐπειδὴ τό πρῶτον πρόcωπον τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριcτικοῦ, φημί δὲ τοῦ εἰμὶ, ἐμὲν ἐcτὶν, ὅπερ κατὰ πλεοναcμόν τοῦ c̄ γίνεται ἐcμέν. ἔcτιν οὖν εἰπεῖν ὅτι εὕρηται καί εἰμὲν διὰ τῆς ει διφθόγγου κατὰ πλεοναcμόν τοῦ ῑ «ἡμεῖc δ' εἰμὲν τοῖοι» (Η 231). οὐκ ἄτοπον οὖν ἐκ τοῦ εἰμὲν τοῦ διὰ τῆς ε̄ῑ διφθόγγου γενέcθαι τό εἶναι ἐπὶ τοῦ ὑπάρχειν διὰ τῆς ε̄ῑ διφθόγγου. τό δὲ εἶναι ἀπαρέμφατον τὸ ἐπί τοῦ πορευθῆναι, ἐξ οὗ τό ἀπεῖναι, καὶ αὐτό διὰ τῆς ει διφθόγγου ἔχει τὴν παραλήγουcαν, ὀφεῖλον διὰ τοῦ ῑ εἶναι πρός τό ἴμεν πρῶτον πρόcωπον τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριcτικοῦ.

Choer. 893, 9: ἰcτέον ὅτι τὰ προcτακτικὰ τῶν εἰc μι τοῦ ἐνεcτῶτοc καί παρατατικοῦ διχῶc κανονίζεται· κανονίζεται γὰρ ἐκ τοῦ παρατατικοῦ τῷ κοινῷ λόγῳ, τουτέcτιν ὥcπερ τό εἰc ω̄ τοῦ τρίτου προcώπου τὴν ἐν ἀρχαῖc κλιτικὴν ἔκταcιν ἀποβάλλοντα οἷον ἐτίθει τίθει cύ, ἵcτη ἵcτη cύ, ἐμπίπλη πίπλη cύ, γίνεται δὲ καί τῷ λόγῳ τῆc μετοχῆc εἰc θι· καθόλου γὰρ πᾶcα μετοχὴ εἰc c̄ λήγουcα μετ' ὀξείαc τάcεωc εἰc θι ποιεῖ τό προcτακτικόν οἷον ἐτύφθη τυφθεὶc τυφθέντοc τύφθηθι καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δαcέων κατὰ μετάθεcιν τοῦ θ̄ εἰc τό τ̄ τύφθητι· τὰ δὲ εἰc μ̄ι κατὰ τόν ἐνεcτῶτα καί παρατατικόν καί cυcτέλλει τὴν παραλήγουcαν ἐν τοῖc προcτακτικοῖc πρὸc τὴν παραλήγουcαν τοῦ πρώτου προcώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριcτικοῦ οἷον ἱcτάc ἱcτάντοc ἵcταμεν ἵcταθι, διδούc διδόντοc δίδομεν δίδοθι· τὸ γὸρ παρὸ τῷ ποιητῇ (γ 380)

δίδωθι δέ μοι κλέοc ἐcθλόν

ποιητικῶc ἐξέτεινε τὸ ο̄ εἰc τό ω̄. πρόcκειται «κατὰ τόν ἐνεcτῶτα καί παρατατικόν» διὰ τὸν δεύτερον ἀόριcτον· τὸ γὸρ προcτακτικὰ τῶν εἰc μ̄ι τοῦ δευτέρου ἀορίcτου οὐ cυcτέλλει τὴν παραλήγουcαν τῶν πληθυντικῶν οἷον cτάc cτάντοc ἔcτημεν cτῆθι, βάc βάντοc ἔβημεν βῆθι, γνούc γνόντοc ἔγνωμεν γνῶθι. cεcημείωται δὲ δόc, θέc, ἕc (ὃ cημαίνει τό πέμψον καὶ ἀπολῦcον, ἐξ οὗ τὸ ἄφεc καί πρόεc), ὅτι ταῦτα ἔχοντα τὴν μετοχὴν εἰc c̄ μετ' ὀξείαc τάcεωc οἷον δούc δόντοc, θεὶc θέντοc, εἷc ἕντοc, ἐξ οὗ τό ἀφεὶc ἀφέντοc, οὐκ ἔχει εἰc θι τὸ προcτακτικόν, δόc γὰρ καὶ θέc καὶ ἕc τὰ προcτακτικὰ [τούτων]· τὸ δὲ ἕc ὡc παρὸ τῷ ποιητῇ (Α 127)

ἀλλὰ cὺ μὲν νῦν τήνδε θεῷ πρόεc.

---

l. 7 de infinitivo εἶναι i. q. ἰέναι, qaem veteres sumpserunt, cf. Hauptium in Herme I p. 251. l. 10 de imperativo ἵcτη cf. Herod. περὶ παθῶν in E. M. 447, 56, de ectasi vocalis in δίδωθι Schol. HMQR ad Od. γ 380: ἵληθι. ἀπὸ τοῦ ἵλημι. διὰ δὲ τὸ μέτρον ἐκτέταται ἡ παραλήγουcα ὡc ἐν τῷ «δίδωθι δέ μοι κλέοc ἐcθλόν». ὑγιῶc οὖν Καλλίμαχοc ἔκλινεν «ἵλαθί μοι, φαλαρῖτι πυλαιμάχε». E. M. 749, 50 ἐκ τοῦ θνῶ γίνεται κατὰ ἀναδιπλαcιαcμόν τεθνῶ, ἐξ οὗ τέθνημι cυζυγίαc δευτέραc τῶν εἰc μ̄ι, ἡ μετοχὴ τεθνάc τεθνάντοc καὶ τὸ εὐκτικὸν τεθναίην τεθναίηc. τὸ προcτακτικὸν ἐνεcτῶτοc τέθναθι. ὅτι δὲ ἐνεcτὼc ἐcτι τὸ τέθναθι, δείκνυται ἐκ τοῦ εἶναι βραχὺ τὸ ᾱ· εἰ γὸρ ἦν δεύτεροc ἀόριcτοc, ὤφειλεν εἶναι μακρόν. — De imperativo ἴθι cf. Schol. BAL ad Il. Β 8 βάcκ' ἴθι: ὁ Ἡρωδιανὸc μὲν φηcι τὸ ἴθι ἐνεcτῶτοc νῦν, Ἐπαφρόδιτοc δὲ ἀορίcτου. — De ἔcθι cf. Ep. Cr. I 207, 15, ubi Hecataeus pro teste huius formae citatur. Verisimile est hoc loco Herodianum etiam alteram imperativi ἴθι formam, εἶ, protulisse eo fere modo, quo in E. M. 347, 57 ἔξει ἀντί τοῦ ἔξιθι. ἐκ τοῦ εἴω τὸ πορεύομαι παραγωγόν εἶμι. ὁ παρατατικὸc εἶν, τὸ δεύτερον εἶc, τὸ τρίτον εἶ. καὶ ὥcπερ ἀπὸ τῶν εἰc ω γίνεται προcτακτικὸν ἐκ τοῦ τρίτου προcώπου τοῦ παρατατικοῦ, οὕτω καὶ ἀπὸ τοῦ εἰc μ̄ῑ cχήματοc Αἰολικὸν καὶ Ἀττικὸν οἷον ἵcτη ἀντὶ τοῦ ἵcταθι καὶ ἐμπίπλη ἀντὶ τοῦ ἐμπίπλαθι. οὕτω καὶ ἐκ τοῦ τρίτου προcώπου τοῦ παρατατικοῦ γίνεται εἶ, ἐν cυνθέcει δεύτερον προcτακτικοῦ «ἔξει τὸν ἀcκάντην λαβών» (Aristoph. Nubb. 633) ἢ ἐκ τοῦ ἔξειμι cυνθέτου cχήματοc τῷ εἰρημένῳ τρόπῳ.
l. 15 διὰ τοῦ ντ κλινομένη verba omisi ut ab Herodiano aliena, qui etiam perfecto, propter quod a Choerobosco haec verba adduntur, exitum θι attribuit.

διά τί δὲ οὐκ ἔχει ταῦτα εἰς θι τὸ προστακτικόν; ἔστιν εἰπεῖν οὕτως· τὸ εἰς θι προστακτικὰ ἀορίστου ὄντα φύσει μακρᾷ θέλει παραλήγεσθαι, στῆθι, γνῶθι, τύπηθι. πρόσκειται «ἀορίστου ὄντα» διὰ τὸ δίδοθι καὶ ζεύγνυθι· ταῦτα γὰρ βραχείᾳ παραλήγεται, ἀλλ' οὐκ ἔστιν ἀορίστου ἀλλ' ἐνεστῶτος καὶ παρατατικοῦ. τούτῳ οὖν τῷ λόγῳ εἰ ἐγένετο εἰς θι τὰ προστακτικὰ τούτων, φύσει μακρᾷ ὤφειλε παραλήγεσθαι ἀορίστου χρόνου ὄντα· ἀλλὰ μὴν φύσει μακρᾷ οὐκ ἠδύνοντο παραλήγεσθαι, ἐπειδὴ ἕτερός ἐστι κανὼν ὁ λέγων, ὅτι τὰ εἰς θι προστακτικὰ παραλήγουσαν ἔχει τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ οἷον ἐτύπημεν τύπηθι, ἔστημεν στῆθι, ἵσταμεν ἵσταθι, ἐδίδομεν δίδοθι, ζεύγνυμι ζεύγνυθι· εἰ οὖν τὰ ὁριστικὰ τούτων κατὰ τὸ α' πρόσωπον βραχεῖαν ἔχει τὴν παραλήγουσαν οἷον ἔδομεν ἔθεμεν ἕμεν, δηλονότι οὐ δύναται τὰ προστακτικὰ τούτων εἰς θι ὄντα φύσει μακρᾷ παραλήγεσθαι. τῶν οὖν δύο κανόνων μαχομένων καὶ τοῦ μὲν ἑνὸς φύσει μακρᾷ ἀπαιτοῦντος παραλήγεσθαι τὰ εἰς θι προστακτικά, τοῦ δὲ ἑτέρου βραχείᾳ, ἐπιλέλοιπε τὰ εἰς θι προστακτικὰ τούτων καὶ οὐκ ἐγένοντο εἰς θι τὰ προστακτικὰ αὐτῶν. τούτων οὕτως ἐχόντων, τὸ ἴθι (ὃ σημαίνει τὸ πορεύου οἷον

ἀλλ' ἴθι, μή μ' ἐρέθιζε, σαώτερος ὥς κε νέηαι (Α 32)

ἀπὸ τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι γέγονεν· ἔστι γὰρ ἴμεν τὸ πληθυντικὸν διὰ τοῦ ι, καὶ λοιπὸν ἐκεῖθεν τὸ προστακτικὸν τροπῇ τῆς μεν εἰς θι γίνεται ἴθι, ὥσπερ ἵσταμεν ἵσταθι, δίδομεν δίδοθι. τὸ δὲ ἴσθι τὸ σημαῖνον τὸ ὕπαρχε γέγονεν οὕτως· ἔστιν εἰμὶ τὸ σημαῖνον τὸ ὑπάρχω, τούτου τὸ πληθυντικὸν ἐμέν, ὅπερ κατὰ πλεονασμὸν τοῦ σ γίνεται ἐσμέν· ἀπὸ τοῦ ἐμὲν ἀναλόγως γέγονε προστακτικὸν ἔθι καὶ πλεονασμῷ τοῦ σ ἐτράπη τὸ ε εἰς τὸ ι καὶ γέγονεν ἴσθι, ἀντὶ τοῦ ὕπαρχε, ὥσπερ ἐπὶ τοῦ ἔχω, καὶ πλεονασμῷ τοῦ σ καὶ τρέπεται τὸ ε εἰς τὸ ι καὶ γίνεται ἴσχω· πολλάκις γὰρ πλεονάζοντος συμφώνου τρέπεται τὸ ε εἰς ι ὥσπερ ἐπὶ τοῦ μένω μίμνω, τέκω τίκτω· τοῦτο δὲ τὸ ἴσθι τὸ σημαῖνον τὸ ὕπαρχε κατὰ τὸ τρίτον πρόσωπον τὸ ὀφειλόμενον ε ἀναδέχεται καὶ γίνεται ἔστω. τὸ δὲ ἴσθι τὸ σημαῖνον τὸ γίνωσκε γέγονεν οὕτως· ὥσπερ ἀπὸ τοῦ ἵστημι γέγονεν ἵσταμαι καὶ ἵσταθι, οὕτω καὶ ἀπὸ τοῦ ἴσημι τοῦ σημαίνοντος τὸ γινώσκω, ὅπερ Δωρικῶς γίνεται ἴσαμι, ὡς δηλοῖ ὁ Θεόκριτος λέγων (5, 119)

καλῶς μάλα τοῦτό γ' ἴσαμι,

καὶ γίνεται τὸ πληθυντικὸν ἴσαμεν καὶ κατὰ συγκοπὴν τοῦ α ἴσμεν· ἐκ δὲ τούτου γίνεται τὸ προστακτικὸν ἴσαθι καὶ κατὰ συγκοπὴν τοῦ α ἴσθι καὶ λοιπὸν τροπῇ τοῦ θι εἰς τὸ τω ἴστω.

14.

Theodos. in Bekk. Anecd. 1059, 2 ἐὰν τεθῶμαι: Ἀπολλώνιος δὲ ἐὰν τεθείκωμαί φησιν αὐτὸ ἀμαρτύρως, ὥς φησιν Ἡρωδιανός.

Choer. 900, 32: ἐλέγχει δὲ αὐτὸν (sc. Apollonium) ὁ Ἡρωδιανός, λέγων, ὅτι οὐ καλῶς δοξάζει· οὐδὲ γάρ, φησίν, εὕρηται παντελῶς ἐν χρήσει τὸ ἐὰν τεθείκωμαι καὶ ἐὰν δεδώκωμαι, ἀλλ' ἐὰν τεθῶμαι καὶ ἐὰν δεδῶμαι· ἄλλως τε εἰ ὑπῆρχεν ἀληθὴς ὁ λόγος τοῦ Ἀπολλωνίου, καὶ ἀπὸ τῶν ὑποτακτικῶν ἐνεργητικῶν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ ἐγίνετο τὸ ὑποτακτικὸν παθητικὸν προσθέσει τῆς μαι, ὤφειλεν ἐὰν τετύφωμαι εἶναι καὶ μὴ ἀναπληροῦσθαι διὰ μετοχῆς, διὰ τὸ τὸν τέτυμμαι παθητικὸν παρακείμενον ἔχειν πρὸ τοῦ μ σύμφωνον·

l. 1 inserui verba διά τί δὲ οὐκ ἔχει — l. 15 καὶ οὐκ ἐγένοντο εἰς θι τὰ προστακτικὰ αὐτῶν ex p. 874, 22—875, 8.

καὶ πάλιν ἐὰν μεμνήκωμαι ὤφειλεν εἶναι καὶ οὐχὶ ἐὰν μεμνῶμαι ἀπὸ τοῦ μέμνημαι.

Choer. 901, 28: ἰϲτέον δὲ ὅτι ἐν τοῖϲ εἰϲ μι κατὰ τὸν ἐνεϲτῶτα καὶ παρατατικὸν καὶ τὸν δεύτερον ἀόριϲτον τὸν ἐνεργητικὸν ἐπὶ μὲν τῆϲ πρώτηϲ ϲυζυγίαϲ διὰ τῆϲ ει διφθόγγου ἐκφέρεται ἡ μετοχὴ οἷον ἐτίθην τιθεὶϲ, ἵην τὸ ἔπεμπον ἱεὶϲ καὶ ἀφιεὶϲ, ἣν ἐπὶ τοῦ αὐτοῦ ϲημαινομένου εἷϲ καὶ ἀφεὶϲ. ἐπὶ δὲ τῆϲ δευτέραϲ ϲυζυγίαϲ εἰϲ αϲ ἐϲτὶν ἡ μετοχὴ διὰ ἐκτεταμένου τοῦ α οἷον ἵϲτην ἱϲτὰϲ, ἔϲτην ϲτὰϲ, ἔπτην πτὰϲ. ἐπὶ δὲ τῆϲ τρίτηϲ ϲυζυγίαϲ εἰϲ ουϲ ἐϲτὶν ἡ μετοχὴ οἷον ἐδίδων διδοὺϲ, ἥλων ἁλοὺϲ. ἐπὶ δὲ τῆϲ δ΄ ϲυζυγίαϲ εἰϲ υϲ ἐϲτὶν ἡ μετοχὴ διὰ ἐκτεταμένου τοῦ υ, ἔδυν δὺϲ καὶ ὑποδὺϲ. εὐλόγωϲ δὲ ἐπὶ τῆϲ πρώτηϲ ϲυζυγίαϲ τῶν εἰϲ μι διὰ διφθόγγου ἐϲτὶν ἡ μετοχὴ, ἐπειδὴ καὶ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ ε ἔχει οἷον τιθέω· τὸ δὲ ε διὰ τῆϲ προϲθήκηϲ τοῦ ι πέφυκε μεγεθύνεϲθαι οἷον τυφθέντοϲ τυφθεῖϲα, οὐκ ἠδύνατο γὰρ τὸ η τοῦ ἰδίου ὁριϲτικοῦ, φημὶ δὴ τοῦ τίθημι, καὶ γενέϲθαι εἰϲ ηϲ διὰ τοῦ η, ἐπειδὴ θέλουϲιν ἔχειν αἱ μετοχαὶ κατάληξιν ἁρμόζουϲαν τριγενείᾳ καὶ κλίϲιν τὴν διὰ τοῦ ντ· εἰϲ ηϲ δὲ οὐκ ἔχομεν ὀνόματα, φημὶ δὲ διὰ τοῦ η κλινόμενα διὰ τοῦ ντ καὶ ποιοῦντα τριγένειαν, ἀλλὰ καὶ αὐτὰ τὰ διὰ τοῦ τοϲ κλινόμενα οὐκ ἔχει τριγένειαν οἷον λέβηϲ λέβητοϲ· τὰ γὰρ εἰϲ ηϲ διὰ τοῦ εοϲ κλινόμενα ἔχει μὲν τριγένειαν οἷον ὁ εὐϲεβὴϲ ἡ εὐϲεβὴϲ τὸ εὐϲεβέϲ· οὐκ ἔχει δὲ κλίϲιν ἁρμόζουϲαν μετοχαῖϲ, φημὶ δὴ τὴν διὰ τοῦ ντ· τὰ γὰρ εἰϲ ηϲ οὐδέποτε κλίνεται διὰ τοῦ ντ· τὸ γὰρ φθογγῆϲ φθογγῆντοϲ καὶ τιμῆϲ τιμῆντοϲ πεπονθότα ἐϲτίν. ἡ δὲ δευτέρα ϲυζυγία εἰκότωϲ διὰ τοῦ α ἔχει τὴν μετοχὴν οἷον ἵϲτημι ἱϲτάϲ, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ α ἔχει· ἔχομεν δὲ καὶ εἰϲ αϲ ὀνόματα κλινόμενα διὰ τοῦ ντ καὶ ποιοῦντα τριγένειαν οἷον ἅπαϲ ἅπαντοϲ ἅπαϲα ἅπαν. περὶ δὲ τῆϲ μετοχῆϲ τῆϲ τρίτηϲ ϲυζυγίαϲ τῶν εἰϲ μι λέγομεν, ὅτι διὰ τοῦτο οὐκ ἐφύλαξε τὸ ω τοῦ δίδωμι, ἐπειδὴ οὐκ ἔχομεν εἰϲ ωϲ ὀνόματα κλινόμενα διὰ τοῦ τοϲ καὶ ποιοῦντα τριγένειαν οἷον ἱδρὼϲ ἱδρῶτοϲ· μὴ δυναμένη οὖν ἡ μετοχὴ τῆϲ τρίτηϲ ϲυζυγίαϲ τῶν εἰϲ μι γενέϲθαι εἰϲ ωϲ, ἐφύλαξε τὸ ο τὸ ὑπάρχον ἐν τῇ ἐντελείᾳ τοῦ πρωτοτύπου, φημὶ δὴ τοῦ διδόω, καὶ προϲέλαβε τὸ υ καὶ ἐγένετο διὰ τῆϲ ου διφθόγγου διδούϲ. τὸ γὰρ ο διὰ τῆϲ προϲθήκηϲ τοῦ υ πέφυκε μεγεθύνεϲθαι οἷον τύπτοντοϲ τύπτουϲα. ἡ δὲ μετοχὴ τῆϲ δ΄ ϲυζυγίαϲ τῶν εἰϲ μι εἰκότωϲ ἔχει τὸ υ ἐκτεταμένον, ἐπειδὴ καὶ τὸ πρωτότυπον ἔχει αὐτό. ἄξιον δέ ἐϲτι ζητῆϲαι, εἰ ἄρα τὰ εἰϲ ουϲ καὶ τὰ εἰϲ υϲ ὀνόματα οὐ κλίνεται διὰ τοῦ ντ, πλὴν τοῦ ὀδοὺϲ ὀδόντοϲ, οἷον βοῦϲ βοόϲ, ἡδὺϲ ἡδέοϲ (τὸ γὰρ πλακοῦϲ πλακοῦντοϲ καὶ Ϲιμοῦϲ Ϲιμοῦντοϲ πεπονθότα ἐϲτίν· ἀπὸ γὰρ τοῦ πλακόειϲ καὶ Ϲιμόειϲ γέγονε)· πῶϲ αἱ εἰϲ ουϲ καὶ εἰϲ υϲ μετοχαὶ ἐκλίθηϲαν διὰ τοῦ ντ οἷον διδοὺϲ διδόντοϲ, πηγνὺϲ πηγνύντοϲ; ἔϲτιν οὖν εἰπεῖν, ὅτι κατὰ ϲυνεκδρομὴν ἐγένοντο τῶν ἄλλων μετοχῶν· ἐπειδὴ πᾶϲα μετοχὴ περιττοϲυλλάβωϲ κλινομένη διὰ τοῦ ντ κλίνεται, χωρὶϲ τῶν εἰϲ ωϲ μετοχῶν τοῦ παρακειμένου καὶ ὑπερϲυντελικοῦ· αὗται γὰρ διὰ καθαροῦ τοῦ τοϲ κλίνονται.

1. 1 μεμνῶμαι scripsi pro μέμνωμαι collato Arcadio 170, 23. cf. Macrob. XVII 5, Uhlig. Mus. Rhen. XIX p. 46.

ΠΕΡΙ ΑΝΤΩΝΥΜΙΩΝ.

1.

Il. Pros. Ε 219: περὶ τῆς τάσεως τοῦ μονοσυλλάβου (sc. νώ), διὰ τί οὐ περιεσπάσθη, ἐν τῷ περὶ ἀντωνυμιῶν δηλοῦται.

2.

Il. Pros. Ι 392 ὅστις οἱ: εἰς ἁπλῆν μεταλαμβάνεται ἡ ἀντωνυμία, ὅστις αὐτῷ, ὅμως δὲ ὠρθοτονήθη. περισπασθήσεται οὖν. δείκνυται ἐν τοῖς περὶ ἀντωνυμιῶν ὡς ὅτι ἡ ἐμοί ἐπὶ δοτικῆς καὶ ἔτι ἡ σοί ὀξύνονται. ἡ δὲ οἷ περιεσπάσθη ἀνακολούθως.

3.

Priscian. I 61, 18 (Hertz) sed incongruum videtur, quum illi antiquorum non recusaverint Graecorum etiam errores imitari, nos Apollonii et Herodiani vestigia linquere et non inter nomina haec (sc. talis tot tantus similia) potius ponere.

*4.

E. M. 496, 18 κατ' ἐμαυτόν: ἰστέον ὅτι ἡ εὐθεῖα ἐμαυτός καὶ ἐγαυτός οὐ δύναται εἶναι· ὅτι πᾶσα σύνθετος ἀντωνυμία θέλει εἶναι καὶ ὁμοιόπτωτος καὶ ὁμοιοπρόσωπος καὶ ἰσάριθμος οἷον τὸ ἐμαυτοῦ καὶ ἰσαριθμόν ἐστι καὶ ὁμοιόπτωτον καὶ ὁμοιοπρόσωπον ἀπὸ τοῦ ἐμοῦ αὐτοῦ. ἀμφότερα γὰρ τό τ' ἐμοῦ καὶ αὐτοῦ ἑνικά ἐστι καὶ τρίτου προσώπου καὶ πτώσεως γενικῆς. ἐὰν οὖν γένηται ἡ εὐθεῖα τούτων ἐμαυτός, ἔμελλεν εἶναι ἀνομοιόπτωτος, ὅπερ ἐστὶν ἀδύνατον ἐπὶ συνθέτου ἀντωνυμίας. τὸ γὰρ αὐτός ἐστιν εὐθεῖα, τὸ δὲ ἐμέ αἰτιατικὴ καὶ οὐκ ἔστιν εὐθεῖα· ἀπὸ γὰρ τοῦ ἐμός οὐκ ἠδύνατο γενέσθαι, ἐπειδὴ οὐδέποτε κτητικὴ ἀντωνυμία ποιεῖ σύνθετον ἀντωνυμίαν. ἀπὸ γὰρ τῶν πρωτοτύπων ἀντωνυμιῶν γίνονται αἱ σύνθετοι ἀντωνυμίαι οἷον ἐμοῦ αὐτοῦ ἐμαυτοῦ, ἐμοὶ αὐτῷ ἐμαυτῷ, ἐμὲ αὐτόν ἐμαυτόν. ἐγαυτός οὐ δύναται εἶναι, ἐπειδὴ αἱ σύνθεται ἀντωνυμίαι πρότερον ἐν τῇ ἁπλότητι τὰς δύο συνθέσεις ἐπιδέχονται, τήν τε αὐτοπαθῆ καὶ τὴν ἀλλοπαθῆ καὶ οὕτω συντίθενται οἷον ἐμοῦ ἤκουσας καὶ ἐμοῦ ἤκουσα. διὰ τοῦτο γὰρ ἐπενοήθησαν αἱ σύνθετοι ἀντωνυμίαι, ἵνα διάκρισιν ποιήσωσι τῆς ἀλλοπαθοῦς καὶ σχῶσι τὸ αὐτοπαθὲς μόνον, αἱ δὲ ἁπλαῖ τὸ ἀλλοπαθές. τὸ οὖν ἐγὼ αὐτός, ἐπειδὴ ἐν τῇ ἁπλότητι οὐκ ἐπιδέχεται τὰς δύο συντάξεις τήν τε ἀλλοπαθῆ καὶ τὴν αὐτοπαθῆ, εἰκότως οὐ δύναται ποιῆσαι σύνθετον ἀντωνυ-

l. 3 cf. Prosod. Cathol. p. 475, et περὶ παθῶν. l. 11 cf. II p. 492, 14; 501, 13.

μίαν. ὅτι γὰρ ἡ ἐγὼ αὐτός τὴν ἀλλοπαθῆ μόνον ἔχει καὶ οὐχὶ τὴν αὐτοπαθῆ, δῆλον ἐντεῦθεν· λεγόντων ἡμῶν ἐγὼ αὐτὸς ἤκουσα, λέγοντος τίνος; ἆρα Cωκράτους; οὐκ, ἀλλὰ Ἀλκιβιάδου· ὥςτε οὖν ἀλλοπαθής ἐςτιν, αὐτοπαθὴς δὲ οὐ δύναται εἶναι ἡ ἐγὼ αὐτός, ἐπειδὴ οὐδέποτε εὐθεῖα εἰς εὐθεῖαν ὁρᾷ ἤγουν ἐνεργεῖ. οὐδεὶς γὰρ λέγει Cωκράτης Πλάτων ἤκουσεν, ἀλλὰ Cωκράτης Πλάτωνος ἤκουσεν. ἐπειδὴ οὖν ἐγὼ αὐτὸς εὐθεῖαί εἰςι δύο, ἡ ἐγὼ καὶ αὐτός, τούτου χάριν οὐ δύναται εἶναι αὐτοπαθής. τοιαῦτα ἔχομεν εἰπεῖν καὶ περὶ τοῦ μὴ δύναςθαι στῆναι τὸ ἐγὼ αὐτός καὶ τὰ δυϊκὰ καὶ τὰ πληθυντικά. Ζήτει.

*5.

Cram. An. Ox. I 399, 31 τευ: «ὥςτε τευ ἢ παρὰ πάμπαν ἀνείμονος ἠὲ πενιχροῦ» (γ 348). τὸ τευ ὄνομα νῦν ἀόριστον· τὸ δὲ «τεῦ δμώς εἰς ἀνδρῶν; τεῦ δ' ὄρχατον» (ω 257) πυςματικόν ἐςτι. τὸ μὲν οὖν πρῶτόν ἐςτι τοῦ, ὅπερ cύνηθες Ἀττικοῖς, ὃ κατὰ διάλυςιν τέο «τέο μέχρις ὀδυρόμενος;» (Ω 128)· cυναλειφόμενον δὲ γίνεται τεῦ ὡς ἐμοῦ ἐμεῦ, cοῦ cεῦ ἐκ τοῦ ἐμέο καὶ cέο. τὸ τέο τετόλμηκεν Ἀρχίλοχος «τεοῦ χολούμενος» εἰπεῖν ἀντὶ τοῦ τίνος. ἡ δοτικὴ τέῳ καὶ τὸ ἀόριστον αὐτοῦ ὅτεῳ καὶ ἐπὶ γενικῆς «ὅττεό cε χρή» (α 124). τοῦτο τὸ ὄνομα αἰτιατικὴν καὶ ὀρθὴν οὐκ ἔχει. ὡςαύτως καὶ ἐπὶ τῶν πληθυντικῶν «ὅτεών τε πόλιν καὶ γαῖαν ἱκάνω» (κ 39) καὶ «ὀτέοιςιν» (Ο 491).

ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΩΝ.

1.

Il. Pros. Ε 100: ἀντικρύ: ὀξύνεται καὶ ἐκτείνεται· ὅταν δὲ ἔχῃ τὸ ῑ, cυστέλλεται καὶ βαρύνεται. τὸ δὲ αἴτιον ἐν τῷ περὶ ἐπιρρήματος ἐροῦμεν.

2.

Mon. 26, 10: ὀψέ: ἤδη μέντοι οἱ Αἰολεῖς καὶ ἐν ἁπλῇ προφορᾷ διὰ τοῦ ῑ ἀποφαίνονται — ἴςως ἀναλογώτερον, ὡς δείκνυται ἐν τῷ περὶ ἐπιρρημάτων.

3.

Mon. 27, 3 χαμαί: τὸ δὲ πάλαι βαρύνεται. λέγεται τὸ αἴτιον ἐν τῷ περὶ ἐπιρρημάτων.

l. 9 subscriptio Ζήτει orta esse videlur ex male intellecio compendio nominis Ζηνόδοτος, quem saepissime Herodianum exscripsisse scimus. Gaisfordius confert MS. Paris. 2638 in Bekk. Anecd. p. 1446: ἰςτέον ὅτι ἡ εὐθεῖα τούτων ἢ ἐμαυτὸς εἶχεν εἶναι ἢ ἐγαυτός. ἀλλ' ἔςτιν ἀςύςτατον· οὔτε γὰρ ἐμαυτὸς δύναται εἶνα ιοῦτε ἐγαυτός. καὶ ἐμαυτὸς μὲν ὅτι πᾶςα c. κτλ.; cf. Apoll. de prou. p. 94 et 114 seqq., Priscian. I p. 554 Kr. ἐμαυτοῦ cαυτοῦ deficiunt nominativo, An. Ox. III 271, 19. l. 14 cod. Ἀττικῆς, em. Lehrsius ad Herod. p. 63. l. 17 cod. τέ χολούμενος, τεοῦ suspicatus est Lehrsins ex E. M. 755, 35 τεῦ ὄνομα ἀόριςτον γενικῆς ἀντὶ τοῦ τίνος. λέγεται καὶ τεοῦ. Nunc ipse integer versus legitur E. M. 752, 15 in cod. Voss. l. 19 καὶ ante ὀρθὴν inseruit Ls. Herodianum τέο non a τίς τίνος derivasse patet ex Mon. 19, 21, sed τοῦ τέο pro vocabulo a τίς diverso hubuit et quidem nominativo destitnto, quare in hoc adnotamento iure Lehrsins sibi visus est Herodianeae doctrinae vestigia habere.

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.

1.

Il. Pros. I 502 παραβλῶπες: προπεριςπαςτέον ὁμοίως τῷ τυφλῶπες· ἀπὸ γὰρ ὀξυνομένης εὐθείας ἐγένετο τῆς παραβλώψ. τὰ δὲ τοιαῦτα καὶ βαρυνόμενα εὑρέθη καὶ ὀξυνόμενα, ὥςπερ τὸ ἑλικῶπες καὶ κύκλωπες, περὶ ὧν ἐντελέςτερον λέγεται ἐν τοῖς περὶ ςχημάτων.

2.

Schol. BL ad Il. Γ 391 δῖνος: ὁ τόρνος, ὃ καὶ διὰ τοῦ ῑ φηςὶν Ἡρωδιανὸς ἐν τῷ περὶ ςχημάτων.

3.

E. M. 137, 32: ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ ςχημάτων λέγει, ὅτι γίνονταί τινες ςυνθέςεις καὶ ἀπὸ μονοςυλλάβου ῥήματος οἷον ἀπὸ τοῦ βῶ κάραβος καὶ ἀπὸ τοῦ θῶ τὸ θηλάζω Αἴγιςθος· καὶ ἀπὸ τοῦ φῶ οὖν τοῦ ςημαίνοντος τὸ φαίνω ἄργυφος καὶ πλεοναςμῷ τοῦ ε̄ ἀργύφεος «αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο» (κ 543), «τῶν δὲ καὶ ἀργύφεον πλῆτο ςπέος» (Ϲ 50), «ἀργυφέῃ ἐςθῆτι» Ἡςίοδος (Theog. 574).

*4.

Ep. Cr. I 59: τινὲς οὐχ ὡς τὸ πρόθυμος καὶ εὔθυμος ἀπὸ τοῦ θυμός, οὕτως ἀπόθυμος, ἀφ' οὗ ἀποθύμιος, ἀλλ' ὥςπερ πολλαχοῦ οἱ παλαιοὶ παρὰ δύο λέξεις διεζευγμένας μίαν παραγωγὴν πεποίηνται οἷον Νέα πόλις Νεαπολίτης, Ἄρειος πάγος Ἀρειοπαγίτης, πρὸ ἔργου προύργιαίτερον, Λεὼ κόραι Λεωκόριον, Διὸς πόλις Διοςπολίτης, παρὰ ποταμὸν Παραποτάμιος, ἐπὶ Ταινάρῳ Ἐπιταινάριος, ἐπὶ γῆς ἐπίγειος, ἐπ' οὐρανοῦ ἐπουράνιος· οὕτως «ἀλλ' ἀπὸ θυμοῦ μᾶλλον ἐμοί» (Α 562) παράγεται ἀποθύμιος· οὕτως ἔχει καὶ τὸ ςκορακίζειν· ἐς κόρακας, ἐςκορακίζειν καὶ ἀποβολὴ τῆς ἀρχῆς ςκορακίζειν.

*5.

E. M. 278, 25: τὸ Διόςκορος οἱ μὲν ἐν παραθέςει λέγουςιν, ὅτι ἡ Διός γενικὴ ἐν τῇ ςυνθέςει ἀποβάλλει τὸ ς̄· εἰ οὖν τὸ Διόςκορος ἐφύλαξε τὸ ς̄, δηλονότι ἐν παραθέςει ἐςτί. δεῖ ςημειώςαςθαι διόςθυος παρὰ Καλλιμάχῳ. ἐν ςυνθέςει γὰρ ὂν ἐφύλαξε τὸ ς̄· ἔςτι δὲ ὄνομα μηνός. οἱ δὲ ἐν ςυνθέςει λέγουςιν, ὅτι ἀπὸ δύο λέξεων εἴτε ἐν ςυνθέςει εἴτε ἐν παραθέςει οὐςῶν γίνονται αἱ παραγωγαί, οἷον Ἱερά-

---

l. 12 μονοςυλλάβου scr. pro μόνου. l. 13 φῶ scr. pro ἀργῶ. l. 14 in codd. ἀμφὶ δ' ἄρ' ἀργύφεον. l. 15 post ςπέος verba ςημαίνει δὲ τὸ μέγα ςπήλαιον ἢ λαμπρὸν ut epitomatoris eieci. Ex Herodiano igitur deprompsit Orion adnotamentum de Αἴγιςθος E. Orion. 24, 14 (E. M. 27, 25) Αἴγιςθος παρὰ τὸ θῶ τὸ θηλάζω καὶ αἶξ Αἴγιθος καὶ πλεοναςμῷ τοῦ ς̄ Αἴγιςθος· ἱςτοροῦςι γὰρ αὐτὸν αἰγείῳ γάλακτι τροφῇ χρήςαςθαι τὸ πρῶτον, nisi, quum in sede etymologiarum Philoxeni reperiatur, cum Philoxeno Herodianus hic ut saepius consentit.
l. 26 cf. Herod. περὶ παθῶν in E. M. 719, 5 ςκορακιςμός. Steph. Byz. 707, 4 ὥςπερ παρὰ τὸν ποταμὸν καὶ Κηφιςόν καὶ παρά γίνεται ἐκ δύο εἰς ἓν παραγωγὴ Παραποτάμιοι καὶ Παρακηφίςιοι, οὕτως καὶ ἐκ τῶν πρὸς Ὠκεανῷ προςωκεάνιοι et 268, 13 Ἑλλήςποντος: Ἑλληςπόντιοί ἐςτι ἀπὸ δύο παρηγμένον ὡς παρ' ὠκεανὸν παρωκεανῖτις, παρὰ ποταμῷ παραποτάμιος.

πολιc Ἱεραπολίτηc, Νεάπολιc Νεαπολίτηc, Ἄρειοc πάγοc Ἀρειοπαγίτηc, οὐδέποτε δὲ ἀπὸ δύο λέξεων ἐν παραθέcει οὐcῶν γίνεται παραγωγὴ τεμενικοῦ οἷον Θέτιδοc Θετίδειον, Ἡρακλῆc Ἡράκλειον, Αἰακόc Αἰακεῖον. εἰ οὖν ἐcτι Διοcκορεῖον τεμενικόν, δῆλον ὅτι οὐ παρήχθη ἀπὸ δύο λέξεων ἐν παραθέcει οὐcῶν. ἆρα οὖν τὸ Διόcκοροc ἐν cυνθέcει ἐcτίν.

*6.

Steph. Byz. s. Παρθένου ἱερόν: ὁ cχηματιcμὸc τοῦ ἐθνικοῦ ἀπὸ δύο ἓν παραγωγόν· ὥcπερ γὰρ ἀπὸ τοῦ «Μόψου» καὶ «ἑcτία» παρήχθη τὸ Μοψεάτηc, ἀπὸ μόνου τοῦ Μόψου, οὕτωc καὶ ἀπὸ τῆc «παρθένου» καὶ «ἱερόν» ἢ «ἄκρα» ἢ «ξόανον» ὁ οἰκήτωρ παρήχθη μόνον τὸ Παρθένιοc ἀπὸ τοῦ παρθένου μόνου ὀνόματοc.

*7.

E. M. 245, 7: τὰ ἐκ δύο τελείων cυγκείμενα ὀνόματα ἢ ἀπὸ εὐθείαc cυντίθεται οἷον ἕωc ἑωcφόροc, ἢ ἀπὸ γενικῆc ὡc τὸ οὐδείc οὐδενόc καὶ τὸ ὥρα ἡ φροντίc οὐδενόcωρα καὶ Ἕλλη Ἑλλήcποντοc. ἢ ἀπὸ δοτικῆc ὡc Ἄρηϊ Ἀρηΐφιλοc καὶ δουρί δουρικλυτόc ἢ ἀπὸ αἰτιατικῆc ὡc τὸ νοῦν νουνεχήc καὶ πόδα Ποδαλείριοc· ἀπὸ δὲ κλητικῆc μόνον οὐ cυντίθεται.

*8.

E. M. 810, 53 χηναλώπηξ: ἰcτέον, ὅτι τὰ εἰc ἀμετάβολον λήγοντα cύνθετα κατὰ τὴν ἀρχὴν οὐδέποτε ἀπὸ εὐθείαc cυντίθεται, ἀλλ' ἢ ἀπὸ γενικῆc ἢ ἀπὸ δοτικῆc ὡc ἐπὶ τοῦ πυρίβλητοc· καὶ εἰ μὲν ἡ ἐπιφερομένη λέξιc ἄρχεται ἀπὸ cυμφώνου, ἀποβάλλει ἡ γενικὴ τὸ c̄ οἷον φρήν φρενόc φρενοβλαβήc, χήν χηνόc χηνοτρόφοc· ἐὰν δὲ ἀπὸ φωνήεντοc ἄρχηται, ἀποβάλλεται καὶ τὸ ō καὶ τὸ c̄ οἷον φρήν φρενόc φρεναπάτηc, χήν χηνόc χηναλώπηξ. δεῖ προcθεῖναι «εἰ μὴ ἄρχηται ἀπὸ τοῦ η ἢ τοῦ ε̄». τότε γὰρ τὸ c̄ μόνον ἀποβάλλεται οἷον χείρ χειρόc χειροήθηc, χειροεργόc καὶ χειρουργόc, λιμήν λιμένοc λιμενοειδήc. δεῖ προcθεῖναι, καὶ χωρὶc τοῦ «χειροάναξ». τοῦτο δὲ γίνεται κατὰ κρᾶcιν χειρῶναξ ὡc Ἱππῶναξ. διὰ γὰρ τὴν κρᾶcιν ἠμαυρώθη τὸ παράλογον.

*9.

An. Ox. IV 329, 31: cύνθετον πολλάκιc καὶ ἀπὸ πλειόνων λέξεων

---

l. 6 hucusque Herodianus aliorum sententiam retulerat cum causis, quibus utrique eam fulserunt; omisit excerptor, quae Herodianus contra dixerat: non recte se habere eam opinionem, quae a duabus vocibus parathetis temenicum derivari neget; nam etiam Λεωκόριον a Λεὼ κόραι propagari atque pronunciandum esse (id quod Apoll. de Syntax. III 1, 298 [303] dixerat), Διόcκοροc si accentum in antepaenultima habeat, esse syntheton, si in paenultima Διὸc κόροc, paratheton. Sic optime procedit haec disputatio, paucis emendatis (l. 32 praec. p. εἴτε ante ἐν cυνθέcει et verba εἴτε ἐν παραθέcει inserui, l. 3 scripsi τεμενικοῦ pro οὔτε τεμένιον), quum Lobeckius El. I 552 ut probam sententiam eliceret, ad atrociorem medelam confugere cogeretur. l. 8 τοῦ ἐθνικοῦ inseruit Meinek. cf. Πιτάου πόλιc. τὸ ἐθνικὸν Πιταεῖc. ἔcτι δὲ οὕτω ἀπὸ δυοῖν ἐθνικὸν ὡc τοῦ Μόψου ἑcτία Μοψεᾶται.

γίνεται, ὡς τὸ χρυσεολευκόλιθος, εὐσυνήγορος. καὶ τὸ σαρκασμοπιτυοκάμπτης (Arist. Ran. 966) καὶ ὅσα ἄλλα παρὰ τοῖς κωμικοῖς πέπαικται.

*10.

E. M. 131, 48 (Choer. Epim. in Psalm. 11, 4, Anecd. Paris. III 298, 26): ἡνίκα ἰσοσυλλαβεῖ τὰ ῥήματα τοῖς ὀνόμασιν, ὀξύνεται δὲ ἢ βαρύνεται τὰ ὀνόματα, τὰ δὲ ῥήματα περισπᾶται, τότε ἐκ τῶν ὀνομάτων παράγεται τὰ ῥήματα οἷον μόνος μονῶ, χρυσός χρυσῶ, ἄπορος ἀπορῶ. ἡνίκα δὲ πάλιν ἰσοσυλλαβεῖ τὰ ῥήματα τοῖς ὀνόμασιν, ὀξύνεται δὲ ἢ βαρύνεται τὰ ὀνόματα, βαρύνεται δὲ καὶ τὰ ῥήματα, τότε ἐκ τῶν ῥημάτων παράγεται τὰ ὀνόματα οἷον λέγω λόγος, φέρω φόρος· εἰ δὲ περιττοσυλλαβεῖ τὰ ῥήματα τοῖς ὀνόμασι καὶ συνάρχεται, τότε ἐκ τῶν ὀνομάτων παράγεται τὰ ῥήματα οἷον ἵππος ἱππεύω, δίφρος διφρεύω. εἰ δὲ περιττοσυλλαβεῖ τὰ ὀνόματα τοῖς ῥήμασι, τότε ἐκ ῥημάτων παράγεται τὰ ὀνόματα οἷον μαρτυρῶ μαρτυρία, εὐδοξῶ εὐδοξία.

ΠΕΡΙ ΠΑΡΩΝΥΜΩΝ.

1.

Il. Pros. N 102 φυζακινῆς: ὁμοίως ἀναγνωστέον τῷ ἐαρινῆς. πῶς δ' ἐσχημάτισται, δεδήλωται ἐν τῷ περὶ παρωνύμων.

2.

Schol. ad Dionys., Bekk. An. 850, 28: τὰ εἰς δης ἀποβάλλοντα τὴν δη ποιεῖ θηλυκόν, Τανταλίδης Ταντελίς, Πηληϊάδης Πηληϊάς, Αἰνειάδης Αἰνειάς — καὶ τὸ μὲν Χρυσηῒς καὶ Νηρηῒς ἀπὸ τοῦ Χρυσεύς Νηρεύς· τὸ δὲ Εὐξαντιάς ἀπὸ τοῦ Εὐξάντιος. τὸ δὲ Εὐξαντίδος παρὰ Καλλιμάχῳ ὕφεσιν ἔχει τοῦ α. τὸ Ἑλικωνιάς πλεονάζει. οὕτως ἀπὸ τῶν εἰς δης ἀρσενικῶν σχηματίζουσι τὰ θηλυκὰ πατρωνυμικὰ οἱ περὶ Ἀπολλώνιον. Ἡρωδιανῷ δὲ τοῦτο οὐ δοκεῖ φάσκοντι μὴ δύνασθαι τοιοῦτον παρασχηματισμὸν εἶναι διὰ τὴν κατάληξιν, διὰ τὸν χρόνον, διὰ τὴν γένεσιν. τὰ γὰρ παρεσχηματισμένα ἀρσενικοῖς ἀπὸ τῆς γενικῆς κανονίζεται. ἐκ μὲν μακροκαταλήκτου γίνεται μακροκατάληκτα οἷον φίλου φίλη καὶ

---

l. 13 post διφρεύω omisi verba χωρὶς τῶν ἀπὸ μελλόντων γινομένων ἀποβολῇ τοῦ ω̅ οἷον ἐλπίζω ἐλπίσω ἐλπίς, ἰσχύω ἰσχύσω ἰσχύς, quae ab Herodiani, qui potius verba ex nominibus propagavit, doctrina abhorrent. Reliqua ab Herodiano profecta esse demonstrari potest, de μόνος μονῶ cf. Arcad. 149 περισπᾶται τὰ ἔχοντα προυπάρχοντα ὀνόματα φόβος φοβῶ, κόπος κοπῶ, κτύπος κτυπῶ, a qua norma declinasse Herodianum in Schol. Dionys. 649 ὅρος ab ὁρῶ ducentem monuit Lobeck. Rhemat. p. 288. De λέγω λόγος, φέρω φόρος cf. Arcad. 68, 17. l. 18 cf. περὶ ποσότητος p. 297, 28 τὰ εἰς νος ὀξύτονα παρώνυμα διὰ τῆς ει̅ διφθόγγου γράφεται εἰ μὴ καιρὸν σημαίνει οἷον ἐλεεινός, ὀρεινός, φωτεινὸς, τὸ δὲ χειμερινὸς θερινός ἐπὶ καιροῦ διὰ τοῦ ι̅ — p. 298, 9 τὸ φυζακινός λεπτακινός διὰ τοῦ ι̅ γραφόμενα οὐκ ἀντίκειται ἡμῖν. ἀπὸ οὖν τοῦ φύζα τοῦ σημαίνοντος τὴν φυγήν γέγονε φυζεινός διὰ τῆς ει̅ διφθόγγου καὶ κατὰ πλεονασμὸν τοῦ α̅κ γέγονε φυζακινός διὰ τοῦ ι̅· τὸ λεπτακινός καὶ αὐτό γέγονεν ἀπό τοῦ λεπτός λεπτεινός διὰ διφθόγγου καὶ κατὰ πλεονασμόν τοῦ ακ λεπτακινός διὰ τοῦ ι̅.
l. 21 cf. Lobeck. Proll. p. 48.

βραχυκαταλήκτου ὁμοίως μέλανος μέλαινα. εἰ οὖν Πριαμίδου, πῶς μὴ εἰς η τὸ θηλυκόν; οὐ γὰρ καθαρὸν ἢ τὸ ρ̅ ἔχει ὡς τὸ ῥοδιά φοβερά. πῶς καὶ εἰς ις καὶ βραχύ; πῶς δὲ καὶ τὸ νοητὸν ἔχει; Πριαμὶς γὰρ οὐχ ἡ Πριαμίδου. οὐκοῦν ἀπὸ γενικῆς τοῦ πρωτοτύπου καὶ τὸ Πριαμίδης καὶ τὸ Πριαμὶς καὶ τὸ Θησηῒς ἡ Θησέως θυγάτηρ.

*3.

Steph. Byz. 3, 12, Mein.: δοκεῖ ἀπὸ τοῦ Ἀβάντιος εἶναι τὸ Ἀβαντιάς ὡς ἀπὸ τοῦ Ἑλικώνιος Ἑλικωνιάς, Ὀλύμπιος Ὀλυμπιάς, Δήλιος Δηλιάς. τὸ δὲ Ἀβαντίς ἀπὸ τῆς Ἄβαντος γενικῆς ὡς Ἑλικωνίς τῆς Ἑλικῶνος, Βίστονος Βιστονίς, Αὔσονος Αὐσονίς. ἴσως δὲ καὶ τὸ Ἀβαντιάς ἀπὸ τοῦ Ἀβαντίς παρήχθη ὡς ἀπὸ τοῦ Λέσβος Λεσβίς Λεσβιάς, Ἀχαΐς Ἀχαιιάς «Ἀχαιιάδων εὐπέπλων» (Ε 424. φ 160). μαρτυρεῖ δὲ τῷ προτέρῳ λόγῳ ἀπὸ τοῦ Ἀβάντιος Ἀβαντιάς τὸ Ἀβαντία θηλυκόν, ὅπερ κατὰ βαρβαρικὴν τροπὴν τοῦ β̅ εἰς μ̅ Ἀμαντία ἐλέχθη παρὰ Ἀντιγόνῳ ἐν Μακεδονικῇ περιηγήσει.

4.

E. M. 175, 30: Ἀφαρεύς: ὁ ἥρως «Ἀφαρῆά τε Δηΐπυρόν τε (I 83). ὁ δὲ Ἀπολλώνιος (I 151) καὶ Πίνδαρος (Nem. 10, 65) Ἀφάρης ὑποτιθέασι τὴν εὐθεῖαν. εἴρηται οὖν παρὰ τὸ φάρος τὸ παρὰ τοῖς Ἀττικοῖς συστελλόμενον καὶ ἐν παραγωγῇ Ἀφαρεύς. ὁ δὲ Ἡρωδιανός φησι τὰ τοιαῦτα τῶν ὀνομάτων παρὰ τῆς Ἄρης συγκεῖσθαι, Τυνδάρης Ἀμφιάρης καὶ Ἀμφιάραος. γέγονεν οὖν καὶ τὸ Ἀφάρης οὕτως. εἶτα παρώνυμον Ἀφαρεύς. ὁ δὲ Κράτης παρὰ τὸ ἄφαρ ἐπίρρημα.

*5.

E. M. 387, 44 ἐτώσιον: ἐκ τοῦ ἔω τὸ ὑπάρχω ἐτός ὁ ἀληθής. μετὰ τοῦ στερητικοῦ α̅ ἄετος, τὸ πληθυντικὸν ἄετοι ἀέτων ἀετώσιός καὶ ἀφαιρέσει ἐτώσιος. κανὼν γάρ ἐστιν ὁ λέγων, αἱ διὰ τοῦ ιος γινόμεναι παραγωγαὶ ἀπὸ γενικῆς τῶν πληθυντικῶν διχῶς σχηματίζονται καὶ διὰ τοῦ ς̅ καὶ διὰ τοῦ ν̅· ἡ μὲν τῶν Ῥηγίνων διάλεκτος διὰ τοῦ ς̅ ὡς ἐτώσιος. ἡ δὲ τῶν Αἰολέων διὰ τοῦ ν̅ ὡς Ἑλικώνιος.

Περὶ τῶν εἰς ν παρωνύμων.

Arcad. 10, 24: τὰ ἀπὸ συνθέτων εἰς ο̅ς̅ παραχθέντα κατὰ τοῦ αὐτοῦ σημαινομένου βαρύνεται ἄπειρος ἀπείρων, ἀγκύλος ἀγκύλων.

---

l. 7 cf. Steph. B. s. Καβειρία· ἔστι ἡ μὲν Καβειρίς παρὰ τὸ Κάβειρος, ἡ δὲ Καβειριάς παρὰ τὸ Καβείριος. l. 17 Apollonius patronymicum Ἀφαρητιάδαι et Pindarus Ἀφαρητίδαι proferunt a nominativo Ἀφάρης Ἀφάρητος. De eo patronymico variae fuerunt sententiae: ap. Favorin. 130, 24 Ἀφαρητιάδαο: ἀπὸ τοῦ Φέρης Φέρητος γίνεται Φερητιάδης καὶ πλεονασμῷ τοῦ α̅ καὶ τροπῇ τοῦ ε̅ εἰς α̅ Ἀφαρητιάδης, ap. Steph. Byz. p. 658, 3 Φαραί, πόλις Μεσσήνης, ὅθεν ἦσαν οἱ Ἀφαρητιάδαι. De nominum ab Ἄρης compositione haec Lobeck, in Proll. 270 not. 37 adnotat: quod de primo et secundo qui dici potuerit non intelligo neque decernam utrum ille ἀπὸ τῆς ἀρῆς (γενικῆς) scripserit an τῆς Ἄρης (εὐθείας).

l. 25 prior pars est Herodiani in Epim. Cr. I 73, altera inde a κανὼν γάρ ἐστιν exstat etiam in Anecd. Ox. IV p. 329.

Theogn. 28, 16: τὰ εἰς ων παραγωγὰ ὑπὲρ δύο cυλλαβὰς ἐκ πρωτοτύπου φωνῆς ἔχοντα τὴν ει δίφθογγον ταύτην φυλάττει καὶ ἐπὶ τοῦ παραγωγοῦ, Καδμεῖος Καδμείων, Βακχεῖος Βακχείων, Ἀργεῖος Ἀργείων.

Theogn. 29, 22: τὰ εἰς ων παρώνυμα μὴ κοινωνοῦντα θηλυκῷ γένει κατὰ τὴν φωνὴν διὰ τοῦ ω κλίνεται, Φίλων, Ἀγάθων, Μελίτων, Νίκων. πρόςκειται «μὴ κοινωνοῦντα κτλ.» διὰ τὸ ἄπειρος ἀπείρων, ἀςχήμων, εὐςχήμων, λευχείμων, μελανείμων, χαιρήμων, p. 31, 21 κατάπυγος καταπύγων, ἔγκυμος ἐγκύμων.

Theogn. 30, 22: Ἄβρων Ἄβρωνος παρώνυμον.

Theogn. 32, 30: Κελάδων παρώνυμον ἀπὸ τοῦ κέλαδος; 33, 1 κόρυδος Κορύδων, κίναδος Κινάδων; 33, 18 καύςων καύςωνος παρώνυμον (sc. ἀπὸ τοῦ καῦςος); 35, 4 Τίμων Cίμων παρώνυμα.

Περὶ τῶν εἰς ρ.

An. Ox. IV 329, 19: τὸ ἐτήρ παρὰ τὸ ἔτος· Cοφοκλῆς

ἐτῆρας ἀμνοὺς θεοῖς ἔρεξ' ἐπακτίοις.

γράφεται καὶ εὔειρας.

Περὶ τῶν εἰς ης.

Choer. 47, 14: τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν εἰς ης γινόμενα βαρύτονα μὴ ἔχοντα οὐδέτερον εἰς ες εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον λέςχη Λέςχης, ἀράχνη ἀράχνης, κόμη ἀκειροκόμης, δίκη ἑλλανοδίκης, γυνή ὁ μιςογύνης, χαίτη κυανοχαίτης, τέχνη κλυτοτέχνης, κόμη Κόμης, γύη γύης. τὸ δὲ Εὐτυχής Εὐτυχοῦς παρὰ τὸ τύχη ἐςτὶν ὀξύτονον, τὸ δὲ τανυήκης τανυήκους παρὰ τὸ ἄκη ἔχει οὐδέτερον εἰς ες.

Choer. 51, 9: τὰ ἀπὸ τῶν εἰς ος εἰς ης γινόμενα βαρύτονα εἴτε ἁπλᾶ εἴτε παραςύνθετα εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον Ἄραξος Ἀράξης Ἀράξου, Λάπιθος Λαπίθης, εἴςπνηλος εἰςπνήλης, ἑπτάπους ἑπτάποδος ἑπταπόδης, εὔπατρις εὐπάτριδος εὐπατρίδης, Οἰδίπους Οἰδίποδος Οἰδιπόδης.

Arcad. 27, 1: τὰ εἰς της ἀρςενικὰ παρώνυμα ὑπὲρ δύο cυλλαβὰς βραχείᾳ παραληγόμενα βαρύνεται ἀγρότης, δημότης καὶ τὰ δὲ φύςει μακρᾷ παραληγόμενα κομήτης, πεδήτης, πλανήτης, ἀλήτης, ὑπηνήτης, κορυνήτης, νικήτης κτλ., πολίτης, τεμενίτης, εὐρρείτης, βαθυρρείτης, πρεςβύτης, Ἀρχύτης.

Arc. 27, 17: τὰ εἰς ης κύρια ἀπὸ τῶν εἰς ος οὐδετέρων cύνθετα βαρύνεται, Δημοςθένης, Διογένης καὶ τὰ ἔχοντα η ἐν τῇ παραληγούςῃ ἀπὸ διςυλλάβου ςυνήθης, κακοήθης. τὰ δὲ μὴ τοιαῦτα ἐπίθετα ὀξύνεται, εὐγενής, ἀγενής, εὐμενής, εὐτυχής.

---

l. 18 cf. St. B. s. Ἀνιαράκη πόλις πρὸς τῇ Καςπίᾳ θαλάςςῃ. τὸ ἐθνικὸν Ἀνιαράκης ὡς λέςχη Λέςχης καὶ ἀράχνη ἀράχνης. l. 24 cf. St. B. s. Ἀςκάλων: λέγεται Ἄςκαλος καὶ ἐξ αὐτοῦ Ἀςκάλης, ὡς δάμαλος «δαμάλης ἔρως» (Anacreon. frg. 2), Ἄραξος Ἀράξης ὡς ἀπὸ τοῦ χαράξω Χάραξος Χαράξης, Λάπιθος Λαπίθης.

Arc. 27, 22: τὰ εἰς ηϲ παρὰ τὸ ἔτοϲ καὶ ἔργον ὀξύνεται διετής, τριετής, λεπτουργής, Ναξιουργής.

Arc. 27, 24: τὰ εἰς ηϲ ἀπὸ τῶν εἰς υϲ ὀξυτόνων μὲν ὀξύνεται, βριθύς ἐμβριθής, βαρύς ἀβαρής, βαρυτόνων δὲ βαρύνεται πῆχος τριπήχης, τετραπήχης.

E. M. 435, 43: τὰ διὰ τοῦ ηθης σύνθετα παρώνυμα βαρύνεται οἷον ἦθος εὐήθης, συνήθης, κακοήθης, ἀληθής φιλαλήθης, παναλήθης.

Περὶ τῶν εἰς ις.

Epim. Cr. I 224, 31: τὰ εἰς ις παρώνυμα ὀξύνεται, δρυμός Δρυμίς, λόγος Λογίς, φορμός φορμίς, Κάδμος Καδμίς· τὸ ἄσις ἀντιπίπτει, ὑπόκειται γὰρ ἑτέρῳ κανόνι· τὰ ἐπὶ τοῦ αὐτοῦ γένους παραλαμβανόμενα καὶ ταὐτὰ σημαίνοντα ὁμοτονεῖ φήμη φῆμις, ἄση ἄσις.

Arc. 28, 24: τὰ εἰς ις πατρωνυμικὰ ἢ τύπον ἔχοντα πατρωνυμικῶν ὀξύνεται Πριαμίς, Τανταλίς, Τυνδαρίς.

Arc. 29, 13: τὰ εἰς βις ὑπερδισύλλαβα παρώνυμα ὀξύνεται Νιοβίς, Λυκαμβίς, Περραιβίς. σεσημείωται τὸ κάνναβις.

Arc. 31, 19: τὸ κάβαλλις ἐπιθετικὸν παρώνυμον ἀπὸ τῶν εἰς ης βαρύνεται τῶν ἄλλων εἰς αλλις ὑπὲρ δύο συλλαβὰς ὀξυνομένων.

Arc. 31, 24: τὰ εἰς λις παρώνυμα τῷ ω ἢ διφθόγγῳ παραληγόμενα ὀξύνεται, Πακτωλίς, Αἰτωλίς, Ἰουλίς.

Arc. 32, 27: τὰ παρώνυμα εἰς ξις ὀξύνεται ἅμαξα ἁμαξίς, πύξος πυξίς, ὄξος ὀξίς.

Arc. 33, 16: τὰ εἰς ρις δισύλλαβα ὑποκοριστικὰ ἢ πατρωνυμικῆς ἐννοίας ἐχόμενα ὀξύνεται, Τευκρίς, χειρίς. — Dichr. 299, 12: καρίς παρὰ τὸ κάρη.

E. M. 476, 46: τὸ θοῦρις παρὰ τὸ θοῦρος γίνεται.

Arc. 34, 5: τὰ εἰς ρις ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῷ α, εἰ εἴη ὡς ὑποκοριστικὰ ἢ πατρωνυμικά, ὀξύνεται, Μεγαρίς, βλεφαρίς, θεαρίς ἡ θεωρίς.

Arc. 34, 22: τὰ εἰς σις παρώνυμα χαίρει τῇ ὀξείᾳ Χρύσης Χρυσίς, νῆσος νησίς. σεσημείωται τὸ ἄσις ὁ ῥύπος ἀπὸ τοῦ ἄση γεγονός.

Arc. 35, 24: τὰ εἰς τις θηλυκὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν γινόμενα πρὸ μιᾶς ἔχει τὸν τόνον ὁ κυνηγέτης ἡ κυνηγέτις, ὁ δεσπότης ἡ δεσπότις, ὁ πολίτης ἡ πολῖτις χωρὶς τῶν ἀπὸ τῆς κοίτης καὶ πωλῶ. ταῦτα γὰρ προπαροξύνεται ἄκοιτις, παράκοιτις, ἀρτόπωλις, λαχανόπωλις. τὸ Σκυθίς δὲ δισυλλαβοῦν ὀξύνεται ὡς τὸ Περσίς.

Περὶ τῶν εἰς ος.

Arc. 38, 14: τὸ γόαος ἐκ τοῦ γόης γέγονε.

E. M. 75, 23: πολὺς ὁ τοιοῦτος χαρακτὴρ sc. in διος: παυρίδιος, νυμφίδιος Arc. 39, 19.

Arc. 40, 5: ὅσα ἀπὸ τῶν εἰς ξ ἢ ρ̄ γίνεται διὰ τοῦ ῐ βραχέος, προπαροξύνεται, Θρήϊκιος, Κιλίκιος, Φαιάκιος, μακάριος, σωτήριος.

Arc. 40, 11: τὰ διὰ τοῦ ιος ἐθνικὰ ἢ τοπικὰ προπαροξύνεται θαλάσσιος, ἐντόπιος, ἐνδάπιος. τὸ δὲ χλωριός ὀξύνεται καὶ θαλαμιός ὁ κωπηλάτης.

Arc. 40, 14: τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος προπαροξύνεται συνεσταλμένου τοῦ ῐ, πολέμιος, ποτάμιος, μίσθιος, ῥύθμιος, δέσμιος. Φρυγίος δὲ τὸ κύριον παροξύνεται.

Arc. 42, 28: πᾶν εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς τῇ αι διφθόγγῳ παραληγόμενον, εἰ ἀπὸ ὀξυτόνου θηλυκοῦ γένοιτο, προπερισπᾶται, ἀρχή ἀρχαῖος, ἀλκή ἀλκαῖος, κορυφή κορυφαῖος.

Il. Pr. Λ 301: τὰ ἀπὸ τῶν εἰς ᾱ ληγόντων μακρᾷ παραληγομένων παραγόμενα διὰ τοῦ αιος προπερισπᾶσθαι θέλει, μοῦσα Μουσαῖος, γενναῖος, Πισαῖος, ἐρσαῖος, Ἀσαῖος. παρὰ γὰρ τὸ αἶσα γέγονεν καὶ ἐξέστη πρότερον τὸ ῑ· οὐ μάχεται τὸ Ἥραιος προπαροξύτονον. πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ προπερισπωμένου ἐπιθετικοῦ ἐγένετο.

Theogn. 52, 22, E. M. 7, 42 et 198, 54: τὰ ἀπὸ τῶν εἰς α ἢ η ἢ εἰς ος παραγόμενα προπερισπᾶται ὥρα ὡραῖος, θύρα θυραῖος, Πέλλα Πελλαῖος, ὕλη ὑλαῖος, πύλη πυλαῖος, ἀγέλη ἀγελαῖος· τὸ δὲ Ἀγέλαιος κύριον προπαροξύνεται· δρόμος δρομαῖος. τὸ δὲ φύλαιος καὶ δείλαιος προπαροξύνονται καὶ τὸ δίκαιος δὲ καὶ βίαιος προπαροξύνονται, ἐπειδὴ τὰ ἀπὸ θηλυκῶν παραγόμενα καὶ τὸ ῐ ἐν τῇ ἀρχῇ ἔχοντα προπαροξύνεσθαι θέλει.

Arc. 44, 3: τὰ παρώνυμα παρ' οὐδετέρων γινόμενα ὀξύνεται, γῆρας γηραιός, κράτος κραταιός, (E. M. 539, 18) εἰ μὴ ἔχοι κτητικὴν σημασίαν ὡς τὸ κνέφας κνεφαῖος, οὖδας οὐδαῖος.

Choer. Orth. 174, 27, Arc. 44, 15, Steph. Byz.: τὰ διὰ τοῦ ειος κτητικὰ προπαροξύνεται, θήρειος, μήλειος, χήνειος, κήλειος ὁ καυστικός, ἄρνειος, ἀνθρώπειος· τὰ δὲ τοπικὴν ἔννοιαν ἔχοντα προπερισπᾶται οἰκεῖος, ἀστεῖος, ἀγρεῖος.

Il. Pr. B 269, Choer. Orth. 173, 26: τὰ εἰς ειος ἐν τῇ πρώτῃ συλλαβῇ ἔχοντα τὸ α μὴ καθαρὸν ἐπιφερομένων δύο συμφώνων μὴ σημαίνοντα μέρος σωματικὸν προπερισπᾶται, ἀνδρεῖος, Ἀργεῖος, Καδμεῖος, Βακχεῖος.

Il. Pr. Φ 471: τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων παραγόμενα διὰ τῆς ει γράφεται καὶ προπαροξύνεται, εἰ μὴ τὸ α παραλήγοι ἐν τῷ εἰς ος λήγοντι οὐδετέρῳ ἢ δύο σύμφωνα, ὧν τὸ μὲν ληκτικὸν εἴη τῆς πρώτης συλλαβῆς, τὸ δὲ ἀρκτικὸν τῆς δευτέρας οἷον ἔλος ἔλειος διὰ τῆς ει διφθόγγου ἡ παραγωγὴ καὶ προπαροξύνεται· οὐ γὰρ ἦν ἐν τῷ οὐδετέρῳ τὸ α. τέλος τέλειος, ὄρος ὄρειος, ὄνειδος ὀνείδειος. παρεφυλαξάμην δὲ τὰ δύο σύμφωνα διὰ τὸ Ἀργεῖος καὶ ἑρκεῖος, καὶ τὸ ᾱ, ἐπεὶ φιλεῖ διὰ τοῦ ῑ γράφεσθαι ἡ παραγωγὴ πελάγιος, ἅγιος, Θάλπιος.

Steph. Byz. 325, 1 coll. Arc. 51, 8; 71, 9; 67, 15; 65, 1 et

l. 4 pro χλωριός supra Cath. p. 119, 25 χαραδριός scriptum est. l. 6 pro Φρυγίος Cath. p. 119, 31 Κλυτίος scriptum est.

Il. Pr. Β 847 et 672: ἀπὸ τῆς Ἴβηρος γενικῆς Ἴβηρος εὐθεῖα ὡς τῆς φύλακος ὁ Φύλακος «αὐτὸς Ἴβηρος τραγοπώγων» (Com. ed. Mein. II 78) ἐν Μαλθακοῖς Κρατίνου. καὶ Ἀπολλώνιος μὲν ἐν τοῖς παρωνύμοις φησίν· «ἀπὸ γενικῶν εὐθεῖαι παράγονται, τῶν μὲν ὑπὲρ δύο συλλαβὰς ὁμοίως τῇ εὐθείᾳ κατὰ τὸν τόνον προπαροξυνόμεναι καὶ ἢ ἐν ἁπλῷ σχήματι ἢ ἐν συνθέτῳ· ἁπλοῦν μὲν οὖν μάρτυρ μάρτυρος ὁ μάρτυρος, Χάροψ Χάροπος ὁ Χάροπος «Χαρόποιό τ' ἄνακτος» (Β 672), Τροίζην Τροίζηνος ὁ Τροίζηνος «υἱὸς Τροιζήνοιο» (Β 847), Ἴβηρ Ἴβηρος ὁ Ἴβηρος». τὸ αὐτὸ καὶ Ἄβρων ἐν παρωνύμοις φησίν· ἀλλὰ τὰ παρὰ γενικῆς ἀναπεμφθέντα κατὰ τὸν τόνον συνομοιοῦται τῷ χαρακτῆρι τῆς εὐθείας. τὸ γὰρ φυλακός προσηγορικὸν ὀξύνεται τῷ χαρακτῆρι τῶν εἰς ακος ὑπερδισυλλάβων προσηγορικῶν, τὸ δὲ μάρτυρος ἠκολούθησε τῷ ἄργυρος, τὸ δὲ Ἴβηρος τῷ Ὅμηρος, σίδηρος, τὸ Χάροπος τῷ Ἄροπος, Ἀστέροπος. τὸ δὲ Τροίζηνος ἀπὸ Τροιζήν ὀξυτόνου εἰς ἰδιότητα βαρύνεται ὡς καὶ τὸ Φύλακος κύριον.

Il. Pr. Ο 705 ὠκυάλου: ἐψίλωσαν τὸ ᾱ παραγωγὴν δεξάμενοι καὶ οὐ σύνθεσιν· καὶ οὕτως ἡ παράδοσις ἐπείσθη. καὶ τάχα ἐπεὶ μηδὲν ἄλλο ἢ τὸ ὠκὺ ἐκ τῆς λέξεως σημαίνεται. ἡ δὲ ἁλός γενικὴ ἐν τῇ συνθέσει ἐπὶ μὲν κυρίων ψιλὸν ἀποφέρεται τὸ πνεῦμα, Εὐρύαλος, Ἀμφίαλος, Ἀστύαλος· ἐπὶ δὲ ἐπιθετικῶν τὸ ἴδιον τηρεῖ πνεῦμα, ἀμφίαλος, ἀγχίαλος, ὕφαλος, ὥστε καὶ κατὰ τοῦτο ἐλέγχεται ψιλούμενον.

Arc. 57, 21: τὸ ἔωλος ὁ χθεσινὸς προπαροξύνεται ὡς παρώνυμον καὶ τὴν τρίτην βραχεῖαν ἔχει.

Il. Pr. Ω 228: τὸ φωριαμός τὸ κιβώτιον ἢ παρὰ τὸ τοὺς φῶρας ἀπείργειν ἢ ἀπὸ τοῦ τὸ φάρη φυλάσσειν παρῆκται. ἔστι φωραμός καὶ πλεονασμῷ τοῦ ῑ φωριαμός.

E. M. 261, 40: δεῖμος ὁ φόβος· ὥσπερ ἀπὸ τοῦ ἄνθος γίνεται ἄνθιμος καὶ ἀπὸ τοῦ κῦδος κύδιμος, οὕτω καὶ ἀπὸ τοῦ δέος δέϊμος καὶ δεῖμος ὁ δέος ἐμποιῶν, ὄνομα πρέπον Ἄρεος παιδί. Ὅμηρος «Δεῖμός τε Φόβος τε» (Λ 37).

E. Orion. 89, 4: ὄρχαμος παρὰ τὴν ἀρχὴν ἄρχαμος καὶ ὄρχαμος.

Arcad. 65, 2, Theogn. 67, Il. Pr. Β 847 et St. B. Γερηνία et p. 203, 22 et 325, 6: τὰ εἰς ηνος παρώνυμα κατὰ τροπὴν γένους θηλυκοῦ εἰς τὴν εἰς ος κατάληξιν γενόμενα προπαροξύνεται, Ὑπήνη Ὕπηνος, Μυκήνη Μύκηνος, Κυλλήνη Κύλληνος καὶ τὰ παρὰ γενικῆς ἀναπεμφθέντα, Τροίζηνος «υἱὸς Τροιζήνοιο». ἀπὸ γὰρ γενικῆς τῆς Τροιζῆνος ἐγένετο εὐθεῖα ἔθει ποιητικῷ. οὕτω καὶ ὁ Γέρην τοῦ Γέρηνος ὁ Γέρηνος. Ἡσίοδος ἐν α' καταλόγων «κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοισι Γερήνοις». καὶ αὖθις «Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ». τὰ δὲ παρὰ Συρακουσίοις παραγόμενα καθ' ὁμοιωματικὴν σημασίαν προπερισπᾶται τοσσῆνος, τοιῆνος.

E. M. 793, 45: τὰ εἰς ινος κύρια ἢ ἐθνικὰ ἢ προσηγορικὰ εἰ ἀπὸ

ὀνόματος παραχθῶςιν, ἢ ἀπὸ εὐθείας ἢ γενικῆς παράγονται, φίλος Φιλῖνος, ἀγαθός Ἀγαθῖνος, πάλλακος Παλλακῖνος.

Arc. 65, 24: τὰ διὰ τοῦ ῑνος ὑπερδιςύλλαβα ἁπλᾶ παρώνυμα ὀξύνεται, φαεινός, σκοτεινός, ἀλγεινός, βορεῖνός, ταπεινός.

Arc. 66, 4: τὸ Μόςυνος ἀπὸ γενικῆς μετήχθη.

E. Orion. 167, 15: παρὰ τὸ ψύχος ψυχρός. — E. Or. 57, 29: παρὰ τὸ ἔχθος ἐχθηρός καὶ ςυγκοπῇ ἐχθρός ἢ ὡς κῦδος κυδρός.

Arc. 76, 14: τὸ γλωςςός ὁ λάλος παρὰ τὸ γλῶςςα γέγονε παρωνύμως.

Arc. 77, 5: τὸ Μάρπηςςος βαρύνεται ὡς παρώνυμον ἀπὸ τοῦ Μάρπηςςα.

Arc. 77, 14: τὰ εἰς ςος ὑπὲρ δύο ςυλλαβὰς ἔχοντα τὴν πρὸ τέλους ςυλλαβὴν εἰς ῑ ἐκτεταμένον λήγουςαν ὀξύνεται· εἰ δέ τι βεβαρυτόνηται, τοῦτο παρώνυμον ὤφθη ἀπὸ θηλυκοῦ. Ἄρνιςος Ἄρνιςα, Λάριςος Λάριςα.

Arc. 80, 20: τὸ πλατάνιςτος ἀπὸ τοῦ πλάτανος βαρύνεται.

Arc. 81, 17: τὰ διὰ τοῦ ετος τριςύλλαβα προςηγορικὰ ἢ ἐπιθετικὰ παρωνύμως τετυπωμένα προπαροξύνεται ἄςχετος, ἄςπετος, γνύπετος ὁ χαῦνος.

E. M. 37, 31: ὡς εὐρύς Εὔρυτος, οὕτως αἰπύς Αἴπυτος coll. St. B. s. Ἐρέτρια et Arc. 82, 19.

Περὶ τῶν εἰς ευς.

Il. Pr. N 246: ὅτι δεῖ κατὰ διάλυςιν ἀναγινώςκειν «θεράπων ἐῦς» καὶ οὐχ ὑφ' ἓν ὡς Ἐτεωνεύς παρωνύμῳ τύπῳ, διδαχθηςόμεθα ἐξ αὐτῆς τῆς φωνῆς. ἐγίνετο γὰρ ἂν θεραποντεύς. ἀπὸ γὰρ γενικῶν φιλεῖ ὁ τοιοῦτος τύπος παράγεςθαι, εἴγε καὶ παρὰ τὴν λέοντος ὁ λεοντεύς, οὐχὶ λεωνεύς, παρά τε τὴν Αἰθίοπος Αἰθιοπεύς.

Steph. Byz. 23, 5: ἔςτιν τὸ ἀγυιεύς ἀπὸ τοῦ ἀγυιά, ὡς Τρύφων φηςὶν ἐν παρωνύμοις «πᾶν εἰς ᾰ θηλυκὸν ἰςοςύλλαβον ἔχει τῇ εὐθείᾳ καὶ τῇ γενικῇ τὸ παρώνυμον, Μοψοπιά Μοψοπιεύς, Ἐρετριεύς, Φωκαιεύς, Θεςπιεύς».

Περὶ τῶν εἰς ους.

St. B. s. Σχοινοῦς Ἀγνοῦς Τρεμιθοῦς: Σχοινοῦς Ἀρκαδίας χωρίον· ἑλώδης ὢν ὁ τόπος ἀπὸ τῶν ἐν αὐτῷ ςχοίνων τὴν προςηγορίαν εἴληφεν. ἐπιπολάζει τοῦτο τὸ εἶδος παρ' Ἕλληςιν ἀπὸ τῶν ἐν τόποις πλεοναζόντων φυτῶν οἷον Σκιλλοῦς πόλις Τριφυλιακή, Τρεμιθοῦς κώμη Κύπρου ἀπὸ τῶν περὶ τὸν τόπον πεφυκυιῶν τερεβίνθων, ἃς Κύπριοι τρεμίθους καλοῦςι, Δαφνοῦς, Σελινοῦς, Φοινικοῦς, Θριοῦς, Μυρικοῦς, Οἰνοῦς, Πυξοῦς, Ῥιζοῦς, Ἀνθεμοῦς. ὁμοίως καὶ τὸ Πιτυώδης, Ἐρικώδης, Κυπάριςςος, Θρύον, Ἐλαία. καὶ τῶν Ἀθηναίων δήμων τινὲς ἀπὸ τῶν ἐν αὐτοῖς φυομένων Ῥαμνοῦς, Φηγοῦς, Μυρρινοῦς, Μαραθοῦς, Ἀγνοῦς.

l. 2 Παλλακῖνος ut E. Gud. testatur apud Sophronem erat.

Περὶ τῶν εἰς α.

Arc. 95, 18: τὰ εἰς εια ἀπὸ τῶν εἰς ευς προπαροξύνεται, βασιλεύς βασίλεια, ἱερεύς ἱέρεια.

Περὶ ποσότητος Cr. II 300, 8 coll. Theogn. 99: τὰ διὰ τοῦ εια παρώνυμα κατὰ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα θηλυκὰ προπαροξύνεται, Πηνελόπη Πηνελόπεια, χαλκοβαρής χαλκοβάρεια, ἠριγενής ἠριγένεια, Τριτογένεια, ἱπποδάσεια, ἀμφιδάσεια.

Arc. 95, 25: τὰ εἰς να συνεσταλμένον ἔχοντα τὸ α ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ σχηματιζόμενα προπαροξύνεται, μέλανος μέλαινα, τάλανος τάλαινα, Λάκων Λάκαινα, δράκων δράκαινα.

Arc. 96, 1: ἔτι τὰ εἰς ρα βραχὺ παρεσχηματισμένα, σωτήρ σώτειρα, μάκαρ μάκαιρα.

Arc. 96, 3: τὰ εἰς σα ὑπερδισύλλαβα παρεσχηματισμένα προπαροξύνεται, εἰ μὴ κατὰ συναλοιφὴν εἴη ἀπὸ ὀξυτόνων εἰς ης δαφνήεσσα, φωνήεσσα, τὸ δὲ τεχνῆσσα ἀπὸ τοῦ τεχνήεσσα. καὶ τὰ ἀπὸ ὀξυτόνων εἰς ησσα χερνής χερνῆσσα.

Theogn. 103, 14, Arc. 98, 6: τὰ διὰ τοῦ αια παρώνυμα προπαροξύνεται, σεληναία, ἀμαξαία, θυραία, εὐναία, γαληναία κτλ.

Theogn. 109, 28: σοφός σοφία, κακός κακία, μωρός μωρία — περὶ ποσότητος p. 304 φιλόσοφος φιλοσοφία, κακοῦργός κακουργία κτλ., βοηθός βοήθεια, εὔερος εὐέρια.

Choer. Orth. 269, 23: ἄλουτος ἀλουσία, ἀθάνατος ἀθανασία.

Choer. Orth. 182, 10: αὐθάδης αὐθαδία αὐθάδεια. — 179, 9: ἀληθής ἀλήθεια, εὐγένεια, εὐπάθεια, ἀμαθία.

St. B.: Καυκώνεια χώρα ἀπὸ τῆς Καύκωνος γενικῆς ὡς Μαρώνεια.

Arcad. 100, 8: τὰ εἰς ια παραγόμενα ἀπὸ τῶν εἰς Ξ ληγόντων βαρύνεται, Φρυγία, Βεβρυκία. σεσημείωται τὸ ἀνθρακιά ὀξυνόμενον.

Περὶ τῶν εἰς η.

E. M. 87, 35: Ἀμυμώνη ἡ θυγάτηρ Δαναοῦ ἀπὸ τῆς ἀμύμονος γενικῆς. πολλὰ γὰρ τῶν θηλυκῶν ὀνομάτων εἰς η λήγοντα γίνεται ἀπὸ τῶν εἰς ος γενικῶν τῶν ἑνικῶν οἷον πέρατος περάτη, κάλυκος Καλύκη, ἅρπαγος ἁρπάγη (βαρύνεται ἐπὶ τοῦ ἐργαλείου, τὸ δὲ ἁρπαγή ὀξύνεται ἀπὸ τοῦ ἁρπάζω Arcad. 102, 7), σώφρονος Σωφρόνη, χιόνος Χιόνη ὄνομα ἡρωΐδος. οὕτω καὶ ἀμύμονος Ἀμυμόνη καὶ κατὰ ἔκτασιν Ἀμυμώνη.

Arc. 102, 9: τὰ εἰς η παρώνυμα βαρύνεται ἀμφίρυτος ἀμφιρύτη, δορύκτητος δορυκτήτη, ἀμφίλυκος ἀμφιλύκη.

l. 26 cf. St. B. τὸ Ἀμβρακία ἡ χώρα ἀπὸ τῆς Ἄμβρακος γενικῆς, οὐκ ἀπὸ τοῦ Ἀμβράκιος. ἦν γὰρ Ἀμβρακιακός. l. 29 cf. St. B. s. v. Καλύκη κύριον ἀπὸ τῆς κάλυκος γενικῆς. l. 31 ἑνικῶν pro ἀρσενικῶν coniecit Lobeck. Parall. p. 140.

Arc. 104, 11: τὰ εἰς βη ἰαμβικὰ παρώνυμα βαρύνεται βλάβη (sc. a βλάβος).

Arc. 104, 23: τὰ εἰς γη ἰαμβικὰ παρώνυμα ὄντα βαρύνετα, πάγη, τρύγη, στέγη.

Eustath. ad Dionys. 566: τὸ παταγή κοινότερον μὲν ὀξύνεται ὡς τὸ ἀλαλαγή, ὁ δὲ Ἡρωδιανὸς βαρύνει αὐτό, λέγων ὅτι οὐκ ἐκ τοῦ πατάσσω γίνεται, ὠξύνετο γὰρ ἂν ὡς τὸ ἀλαλαγή, ἀλλ' ἐκ τοῦ πάταγος, οὗ τὸ θηλυκὸν πατάγη.

E. M. 678, 39: τὰ εἰς ος δισύλλαβα τῷ ο παραληγόμενα ποιοῦντα θηλυκὰ ὀξύτονα αὐτὰ ποιοῦσιν οἷον στρόφος στροφή, νόμος νομή, ῥόος ῥοή, χόλος χολή, πόθος ποθή.

Arc. 106, 17: κρόκη βαρύνεται ἀπὸ τοῦ κροκός.

Arc. 110, 11: τὸ κόμη παρώνυμον παρὰ τὸ κόσμος κόσμη καὶ ἀποβολῇ τοῦ ς κόμη βαρύνεται.

Theogn. 112, 13: γέγονε τὸ εὐνή ἀπὸ τοῦ εἷς ἑνός ἑνή καὶ εὐνή ψιλουμένης τῆς ευ διφθόγγου, ἐπεὶ τὸ υ πλεονάζον ψιλοῖ τὰ πρὸ ἑαυτοῦ φωνήεντα, ἔκηλος εὔκηλος, ἕαδε εὔαδε.

Arcad. 112, 10: τὰ εἰς ονη ὑπερδισύλλαβα παρώνυμα κύρια βαρύνεται, Ἀντιγόνη, Ἠριγόνη. St. B. Ἡγεμόνη ἀπὸ τῆς ἡγεμόνος γενικῆς.

Il. Pr. N 29: τὰ διὰ τοῦ συνη θηλυκὰ εὑρέθη οὐκ ἐπιθετικῶς κατά τινος θηλείας, κατηγορικὰ δὲ πράγματος. οὐ γὰρ ἀγαθοφροσύνη γυνή.

Ep. Hom. 291, 14 coll. Arc. 115, 6: σκάφη τὸ πλοῖον βαρύνεται παρώνυμον ὂν ἀπὸ τοῦ σκάφος ὡς κάρφη ἀπὸ τοῦ κάρφος.

St. B.: παρὰ τὸ Κρής Κρητός Κρήτη ὡς Θράκη καὶ Χιτώνη καὶ εὐφρόνη.

Περὶ τῶν εἰς ον.

E. M. 451, 45: τὰ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον γινόμενα μονογενῆ προπερισπᾶται βαλανεῖον, βαφεῖον πλὴν τοῦ Θησεύς Θήσειον καὶ τὸ Φύτειον πόλις ἀπὸ Φυτέως τοῦ κτίσαντος αὐτήν.

E. M. 230, 25: τὰ ἀπὸ τῶν εἰς ος δισυλλάβων οὐδετέρων διὰ τοῦ ειον γινόμενα οὐδέτερα μόνα διὰ τῆς ει διφθόγγου γράφεται οἷον δάνος δάνειον, γένος γένειον, βρένθος βρένθειον.

Περὶ πατρωνυμικῶν.

Τα εἰς δης πατρωνυμικὰ ἢ τῷ ι παραλήγεται μόνῳ ἢ καὶ ἐν διφθόγγῳ ἢ τῷ α. εἰ μὲν οὖν ἀπὸ τῶν εἰς ος γενικῶν γένηται ἡ πα-

l. 1 cf. περὶ παθῶν E. M. 747, 25. l. 3 cf. Lob. Rhem. 265. l. 11 χόλος — ποθή addidit cod. V. l. 13 Theogn. 112, 8. l. 34 An. Ox. I 346—347. An. Paris. III 300, cf. E. M. 210, 1 (similia E. M. 109, 6 cod. V.), E. Gud. 465. Verba ἢ ἀπὸ τοῦ Δεύκαλος — Ὕλλος Ὑλλίδης addita sunt ex E. M. 109, 7. Verba τὸ δὲ Δημάδης ex Herod. in An. Ox. IV 336, 10 cf. Cathol., Orthogr. et Patholog.

τρωνυμία, τῷ ῑ μόνῳ παραλήγει ἐν βραχείᾳ, ὁποίας ἂν εἴη καταλήξεως, χωρὶς τῶν ἀπὸ τῶν εἰς ευς καὶ ἀπὸ τῶν εἰς ης οἷον Ἀγαμέμνονος Ἀγαμεμνονίδης, Νέστορος Νεστορίδης, Βίαντος Βιαντίδης. τὸ γὰρ Βιαντιάδης πλεονασμῷ τοῦ ᾱ. καὶ παρὰ τὴν Δευκαλίωνος γενικὴν καὶ Ἀνθεμίωνος, ὤφειλε Δευκαλιωνίδης καὶ Ἀνθεμιωνίδης. ἀλλὰ συγκοπὴν πέπονθε ἐν τῷ Δευκαλίδης καὶ Ἀνθεμίδης. ἢ ἀπὸ τοῦ Δεύκαλος Δευκαλίδης καὶ ἀπὸ τοῦ Ἄνθεμος Ἀνθεμίδης ὡς Κρόνος Κρονίδης Ὕλλος Ὑλλίδης. καὶ τὸ Χαλκωδοντιάδης καὶ Τελαμωνιάδης πλεονασμὸν ἔχει τοῦ ᾱ.

Ὁμοίως δὲ καὶ ἀπὸ τῆς εἰς ους γενικῆς διὰ τοῦ ειδης γίνεται ἡ παραγωγὴ οἷον Ἡρακλῆς Ἡρακλεΐδης Ἡρακλείδης καὶ ἀπὸ τῶν εἰς ευς εὐθειῶν διὰ τοῦ ειδης οἷον Πηλεύς Πηλεΐδης Πηλείδης. ἐν τούτοις γὰρ γίνεται ἡ συναίρεσις εἰς τὴν ει δίφθογγον, ἐπείπερ ἀνεφάνη τὸ ε ἐν τῇ γενικῇ τῶν πρωτοτύπων.

Εἰ δὲ ἀπὸ τῶν εἰς ος εὐθειῶν ἐστιν, εἰ μὲν καθαρῶν ὄντων, διὰ τοῦ ᾱ ἐκφέρεται, Ἥλιος Ἡλιάδης, Θέσπιος Θεσπιάδης. τὸ Πάνθοος Πανθοΐδης καὶ Πανθοίδης ἡμάρτηται. εἰ δὲ μὴ καθαρῶν, διὰ τοῦ ῑ, Ὕλλος Ὑλλίδης, Κόδρος Κοδρίδης.

Εἰ δὲ ἀπὸ τῶν εἰς ας ἢ εἰς ης, ὧν ἡ γενικὴ εἰς ου, διὰ τοῦ αδης ποιεῖ τὸ πατρωνυμικόν, Βορέας Βορέου Βορεάδης, Ἱππότης Ἱππότου Ἱπποτάδης. τὸ δὲ Δημάδης ἐκ τοῦ Δημεάδης ἐστίν.

Τὰ εἰς ων πατρωνυμικὰ τὴν παραλήγουσαν τὴν αὐτὴν ἔχει τοῖς εἰς δης πατρωνυμικοῖς οἷον Πριαμίδης Πριαμίων, Κρονίδης Κρονίων, Ἀτρείδης Ἀτρείων, Πηλείδης Πηλείων, Ἡρακλείδης Ἡρακλείων, Χαρικλείδης Χαρικλείων. οὗτος δὲ ὁ εἰς ων τύπος Ἰωνικός.

Τὰ διὰ τοῦ αδιος Αἰολικά. εὔθετος δὲ ὁ διὰ τοῦ αδιος τύπος Αἰολεῦσι καὶ πρὸς τόνον καὶ πρὸς χρόνον· καὶ γὰρ πρὸς τῷ συστέλλεσθαι καὶ προπαροξύνεσθαι, ὅπερ ἐκεῖνοι φιλοῦσιν. Ὑρράδιος δέ ἐστιν ὁ τοῦ Ὕρρα παῖς. Ὕρρας δὲ Μιτυληναίων τύραννος, οὗ υἱὸς Πιττακὸς εἷς τῶν ἑπτὰ φιλοσόφων.

Περιστεριδεύς ὁ υἱὸς τῆς περιστερᾶς.

Περὶ ὑποκοριστικῶν.

Νενόηται τὸ ὑποκοριστικὸν ἢ διὰ παιδιὰν ἢ διὰ κολακείαν ἢ διὰ τὸ πρέπον ὡς παρ' Ἀλκμᾶνι εὕρομεν τὰς παρθένους ὑποκοριστικοῖς

---

l. 22 Theogn. 27, 20 et 46, 26. l. 25 verba οὗτος sqq. ex Bekk. Anecd. 850, 15. An. Ox. IV 326, 27. l. 26 An. Ox. l. c. et Bekk. An. l. c. l. 31 An. Ox. IV 328, 32. cf. Schol. Aristoph. Acharn. 866 Χαιριδεῖς βομβαύλιοι: τὰ τοῦ Χαίριδος πεπαιδευμένοι ἢ μελετῶντες. — Ἀττικὴ δὲ ἡ συνήθεια τὸ οὕτω λέγειν ἀπὸ τοῦ Χαίριδος Χαιριδεῖς καὶ ἀπὸ τῆς περιστερᾶς περιστεριδεῖς. Eustath. 753, 58 ὥσπερ χηνιδεῖς λέγονται καὶ περδικιδεῖς καὶ κορωνιδεῖς καὶ ἱερακιδεῖς καὶ περιστεριδεῖς οἱ χηνῶν καὶ περδίκων καὶ τῶν ἑξῆς γόνοι, οὕτω καὶ χελιδονιδεῖς οἱ τῶν χελιδόνων. De femin. fr. 2. l. 33 Anecd. Ox. IV 329, 9 et Schol. ad Dionys. 857, 20.

χρωμένας. πρέπον γὰρ τοῦτο παρθένοις. εἴρηται δὲ ὑποκοριστικὸν παρὰ τοὺς κόρους ἤγουν τοὺς μικροὺς νέους ἢ τὰς κόρας. τούτους γὰρ ὑποθωπεύοντες τοιούτοις κεχρήμεθα ὀνόμασι ὡς παρὰ Μενάνδρῳ νηττάριον ἢ ὅταν τὸν Πρίαμον Πριαμύλλιον εἴπωμεν καὶ τὸ μικρὸν παιδίον παιδάριον.

Τύπους δὲ ἔχει ἡ φωνὴ τῶν ὑποκοριστικῶν διαφόρους.

Ἔστι γὰρ ὑποκοριστικὰ εἰς $\overline{ων}$ οἷον Βακχυλίδης Βάκχων, Σιμωνίδης Σίμων, Σικελίδης Σίκων, Λακεδαιμόνιος Λάκων, Μιτυληναῖος Μίτων, πίθηκος πίθων, δραπέτης δράπων, Κάλλων.

Καὶ εἰς $\overline{εων}$ ὀξύτονα λυμεών, ἀπατεών.

Καὶ εἰς $\overline{ιων}$ βαρύτονα Ἡφαιστίων, Ξενίων, Μοσχίων, Ἠμαθίων, Μελανίων, Πορφυρίων, Τυραννίων. οὕτω καὶ Ἠετίων ὁ ἥρως ὁ πατὴρ Ἀνδρομάχης· παρὰ τὸ ἀετός Ἀετίων καὶ Ἰωνικῶς Ἠετίων, Ἁρπαλίων ὄνομα κύριον παρ' Ὁμήρῳ· παρὰ τὸ ἁρπάζω ἅρπαλος ὡς ἴξω ἴξαλος καὶ ὡς Ἥφαιστος Ἡφαιστίων, οὕτως Ἅρπαλος Ἁρπαλίων. Γοργυθίων παρὰ τὸ γοργός Γόργυθος καὶ Γοργυθίων.

Ἔστι δὲ καὶ εἰς ας ὑποκοριστικὰ περισπώμενα, Θευδᾶς ὁ Θεόδωρος, Μητρᾶς ὁ Μητρόδωρος, Ζηνᾶς, Πυθᾶς.

Καὶ εἰς $\overline{ις}$ βαρύτονα ὡς Παρθένιος Πάρθις, Χαλδαῖος Χάλδις, λάσταυρος λάστρις, Ἀμφιάραος Ἄμφις, ἀστράγαλος ἄστρις καὶ Ἰφιάνασσα Ἶφις.

Ἔτι καὶ εἰς ισκος παροξύτονα ὡς γραμματίσκος ὁ γραμματεύς καὶ πυργίσκος ὁ πύργος, σατυρίσκος, νεανίσκος, παιδίσκος.

Καὶ εἰς $\overline{υλλος}$ Ἡρακλῆς Ἥρυλλος, Θρασυκλῆς Θράσυλλος, Βαθυκλῆς Βάθυλλος ὄνομα κύριον ὁ ἐρώμενος Ἀνακρέοντος, Ἀριστοκλῆς Ἀρίστυλλος.

Καὶ εἰς $\overline{ινος}$ προπερισπώμενα οἷον Φιλῖνος.

Ἔστι καὶ εἰς $\overline{υς}$ περισπώμενα, [ἃ ἔχει ὑποκοριστικὴν ἔννοιαν οἷον ἀπφῦς, ὅπερ δοκεῖ παρὰ τὸ ἀπφάς παρωνομάσθαι. ἔστι δὲ καὶ Διονῦς παρὰ τοῖς κωμικοῖς ἐπὶ τοῦ ἐκλύτου τασσόμενον, παρηγμένον ἀπὸ τοῦ Διονύσου.

Τῶν δὲ θηλυκῶν τύποι τρεῖς ὁ εἰς $\overline{ω}$ Ὑψιπύλη Ὑψώ, Εἰδόθεα Εἰδώ, κερδαλέα κερδώ ἡ ἀλώπηξ, Τιτανίς Τιτώ.

Καὶ ὁ εἰς ις θεραπαινίς, ἑταιρίς, λυρίς, φωνίς, βλεφαρίς, κιστίς, φυλλίς παρὰ τὸ φύλλον· ὀξύνεται δέ. τὸ δὲ Ἶφις ἡ Ἰφιάνασσα καὶ ὄλπις ἡ ὄλπη βαρύνεται.

l. 7 Choer. Dict. 285, 11 et 289, 10. πίθηκος πίθων Arc. 11, 24, δράπων Choer. Dict. 78, 21. Κάλλων ex Mon. 12, 8. l. 10 Theogn. 28, 27. l. 11 Theogn. 27, 25. Arcad. 17, 25, E. M. 420, 52; 148, 3; 238, 48. l. 17 Arc. 21, 7, E. M. 448, 30 cf. Schol. ad Dionys. 857, 1. l. 19 E. M. 159, 28; 654, 12; 93, 50. l. 22 Schol. ad Dionys. l. c. collato Arcadio p. 52, 13. l. 24 Herod. in E. M. 142, 56. l. 27 Arcad. 65, 20 collato E. M. 793, 45 v. Lob. Proll. p. 210. l. 28 Mon. 31, 8 cf. Schol. ad Dionys. l. c. l. 32 Schol. ad Dionys. l. c. E. M. 263, 48; 505, 34; Choer. Orth. 263, 30, E. M. 760, 52. l. 34 Arc. 29, 3; 30, 18; 34, 7; 35, 15; φυλλίς Herod. in E. M. 802, 40, de Ἶφις cf. supra, de ὄλπις Arc. 33, 10.

Καὶ ὁ εἰς ιcκη λεκανίcκη ἡ λεκάνη, παιδίcκη ἡ παῖc.

Τὰ διὰ τοῦ ιον τριβράχεα ὑποκοριcτικὰ προπαροξύνεται κτένιον, πτύχιον, πόδιον, θρόνιον. εἰ μέντοι ἡ πρώτη τούτων μακρὰ ὑπάρχοι, ὑπεcταλμένων τῶν διὰ τοῦ διον παρηγμένων, παροξύνεται κλειδίον, παιδίον, δᾳδίον. οὐ γὰρ διὰ τοῦ διον, ἀλλὰ διὰ τοῦ ιον. τὸ γὰρ δ τοῦ πρωτοτύπου ἐcτίν. ἔτι cφηκίον, χαρτίον, ὠτίον. τὰ δὲ διὰ τοῦ διον ἀπὸ παραγωγῆc ἔχοντα τὸ δ προπαροξύνεται μύδιον, κώδιον, βοΐδιον, βιβλίδιον.

Περὶ περιεκτικῶν.

Τῶν περιεκτικῶν εἰc ων ὀξύτονοc ἡ κατάληξιc, κροκών, πευκών, χαλκών, χαρακών, ἀνθρακών, φαρμακών, γυναικών, Ἑλικών, Μαραθών, αὐλών, μυλών, ἀμπελών, καμηλών, καλαμών, πλαταμών, κεραμών, δαφνών, πλατανών, ξενών, ἱππών, πεπών, ἀντρών, λουτρών, ἀνδρών, οἰρών, cφαιρών, προθυρών, ἀχυρών, κιccών, κοιτών, ἱcτών, προβατών, ἀγών.

Τὸ πτερύξ Ἀρίcταρχοc ὀξύνει διὰ τὸ περιεκτικῆc ἐννοίαc εἶναι.

Τὸ θηcαυρόc ὡc περιεκτικὸν ὀξύνεται.

Τὸ ἀχυρόc ὁ ἀχυρών παρὰ Ἀττικοῖc ὀξύνεται ὡc περιεκτικόν.

Τὸ ῥοδωνιά καὶ ἰωνιά περιεκτικὴν τοπικὴν ἔννοιαν δηλοῖ. καὶ τὸ Χελιδονιαί ὡc πυρκαϊαί.

Περὶ κτητικῶν ὀνομάτων.

Τύποι τῶν κτητικῶν εἰcὶ δύο ὅ τε εἰc κοc καὶ ὁ εἰc οc ὡc ἀνθρώπειοc, ἄρνειοc, Ἀριcτάρχειοc, Πλατωνικόc, Δημοcθενικόc. παραλήξειc δὲ τῶν εἰc κοc αὗταί εἰcι· ἢ γὰρ τῷ ι παραλήγεται ὡc τὸ Ἑλληνικόc, Ῥωμαικόc, Γαλατικόc, Ἰταλικόc, Πυθαγορικόc, Αἰγινητικόc ὁ τοῦ Αἰγινήτου φόρτοc καὶ δοῦλοc, ἢ τῷ α ὡc τὸ Ῥοδιακόc, Δηλιακόc, Φρυγιακόc, Ἰλιακόc, ἢ τῷ υ ὡc τὸ Λιβυκόc, ἁλυκόc, θηλυκόc, ἢ τῇ ει διφθόγγῳ, Κεραμεικόc, βοεικόc, Δαρεικόc καὶ Δεκελεικόc. τῶν δὲ εἰc οc καθαρὸν αὗται· ἢ τῇ ει διφθόγγῳ παραλήγεται ὡc τὸ Ὁμήρειοc, Ἑκτόρειοc, λεόντειοc, δρακόντειοc, Ἀνακρεόντειοc, Λαομεδόντειοc, Ξενοφώντειοc, Δημοφώντειοc, Θεώνειοc, Τρυφώνειοc, ἢ τῷ ι ὡc Παφλαγόνιοc, Καλυδώνιοc, ἢ τῇ αι διφθόγγῳ ὡc Αἰγιναῖοc ὁ ἔποικοc ἢ κέ-

l. 1 Schol. ad Dionys. Arc. 107, 15. l. 2 Arc. 119, 8 et 120, 12. cf. Catholic. et Orthograph. l. 10 Herod. ap. Eust. 1698, 35. Arc. 12, 11 et 19 et 34; 13, 3 et 19; 14, 8 et 13 et 20 et 21; 15, 9 et 14 et 20 et 18, 9. l. 16 Eustath. 229, 40 cf. Lohrs Arist. 312. l. 17 Arcad. 72, 33. l. 18 Arc. 72, 5. l. 19 Arc. 99, 13, Eust. ad Dionys. 504. l. 22 ex Choer. in E. M. 29, 33 collato Arcadio p. 51 et 52, unde addidi Γαλατικόc — Πυθαγορικόc et Δηλιακόc — Ἰλιακόc et θηλυκόc, Αἰγινητικόc ex St. B.; ex Herod. in E. M. 226, 49 adieci λεόντειοc — Τρυφώνειοc. Exitum ιοc, quem Choer. omisit, explevi consultis An. Ox. II 321, 31, ubi huiuscemodi vocabula diserte κτητικά appellantur: terminationem αιοc habet quidem Choer., sed cum parum apto exemplo ταλαντιαῖοc, pro quo ex St. B. Αἰγιναῖοc posui et ex eodem, ubi Apollonii praeceptum profertur, s.

ραμος ἢ ὀβολὸς ἤ. ἄλλο τι σκεῦος ἀπὸ Αἰγίνης καὶ τὸ θηλυκὸν Αἰγιναία· λέγεται καὶ γυνὴ Αἰγιναία ὡς Δείναρχος ἐν τῷ κατὰ Πυθέου ξενίας· κηπαῖος, Νειλαῖος, ἢ τῇ ῳ διφθόγγῳ ὡς πατρῷος, ἡρῷος. τὰ δὲ εἰς εος κτητικὰ Ἰωνικῶς ἐνδείᾳ τοῦ ῑ γίνεται, τέλεος, κήλεος, δαιδάλεος, κονισάλεος, Ἀγαμεμνόνεος, Ἑκτόρεος, Νεστόρεος, χάλκεος, χρύσεος.

Ἰστέον μέντοι ὅτι τὸ κτητικὸν ἐπὶ τῶν σωματικῶν λαμβανόμενον καὶ ἐπὶ τεθνηκότων θέλει λαμβάνεσθαι οἷον βοεία κεφαλὴ ἡ τοῦ τεθνηκότος βοός, οὐ γὰρ ἂν ἐπὶ ζῶντος εἴποι τις τοῦτο· διὸ καὶ μέμφονται τὸν Ζηνόδοτον, ἐπειδὴ τὸ «ἀρνέων ἐκ κεφαλέων» (Γ 273) κτητικὸν ἔλεγε, καὶ τὸν Καλλίμαχον «χεὶρ ἡ Πολυδευκείη» καὶ «σφυρὸν Ἰφίκλειον» ὅτι ἐπὶ ζώντων ἐχρήσατο κτητικῷ ἐπὶ σωματικοῦ μέρους. περὶ οὗ φαμεν ὅτι περιφράσει ἐχρήσατο ὥσπερ τὸ «βίη Ἡρακληείη».

Περὶ ἐθνικῶν.

Steph. Byzant. s. Αἱμονία: Ἡρωδιανός φησιν, ὅτι τοῖς συνοικισταῖς συνεχῶς ὁμοφωνεῖ τὰ ἐθνικὰ δηλονότι καὶ γραφῇ καὶ τόνῳ. τὸ Τευκρός ὡς τριγενὲς ὠξύνθη. Αἵμων κύριον καὶ ἐθνικὸν ὡς Αὔσων καὶ Ἀρκάς καὶ Μαίων καὶ Ἴων. Κίλιξ τὸ κύριον καὶ τὸ ἐθνικόν, Φρύξ, Ἀχαιός καὶ τὰ ὅμοια (Βερεκύντης, Βισάλτης, Θυνός, Θετταλός, Ἰταλός, Ἴθακος, Μάγνης, Μακεδών, Μῆδος, Πανοπεύς, Πελασγός, Σικελός, Σουματεύς, Τρώς, Δαναός, Φοῖνιξ). — εὑρίσκεται καὶ πόλεσιν ὁμοφωνοῦντα τὰ τῶν κτιστῶν ὀνόματα· Καμικός καὶ ὁ κτιστὴς καὶ ἡ νῆσος, ὁμοίως Τροιζήν, Κολοφών, Κόρινθος, Κῶς, Σικυών, Κύρνος, Λέσβος. ἔσθ' ὅτε καὶ ἐπὶ τῶν τριῶν εὑρίσκεται ἓν ὄνομα, κτιστοῦ, πόλεως καὶ ἔθνους ὡς τὸ Δάρδανος (cf. Φανοτεύς· πόλις Φωκίδος, οἱ πολῖται Φανοτεῖς, ὡς Δελφοί καὶ Θούριοι τῷ οἰκιστῇ παραπλησίως, — Ἀμφίδολοι πόλις τῆς Τριφυλίας καὶ οἱ πολῖται ὁμοίως ὡς Θαύμακοι καὶ Λεοντῖνοι, Γελωνός πόλις Σαρματίας ἀπὸ Γελωνοῦ τοῦ Ἡρακλέους· ὁ οἰκήτωρ ὁμοφώνως, Γόμφοι, Δεντάλιοι, Δίφροι, Ἐπιλευκάδιοι, Ἐρευάτης, Ἐρινιάτης κώμη Μεγαρίδος· ὁ οἰκήτωρ Ἐρινιάτης διὰ τὸ προκατειληφός, Ἐρυθῖνοι, Ἐταιεῖς, Καφηρεύς, Κύρτωνες, Λαμητῖνοι, Λοκροί, Ὀδυσσεῖς, Πατριαργάδαι, Πεδιεῖς, Περραιβός, Πολήσιοι, Σαγγάριος ποταμὸς τῆς κάτω Φρυγίας· τὸ ἐθνικὸν Σαγγάριος· προὔφθη γὰρ ὁ τύπος τοῦ πρωτοτύπου καταληφθείς, Σηκοανός πόλις Μασσαλιωτῶν· ἀφ' οὗ τὸ ἐθνικὸν Σηκοανοί ὡς Ἀρτεμίδωρος ἐν πρώτῃ, Σκάροι, Τάβιοι πόλις Ἰταλίας· τὸ ἐθνικὸν ὁμοίως Τάβιοι διὰ τὴν πρόληψιν τοῦ ἐν τῷ πρωτοτύπῳ ἐθνικοῦ χαρακτῆρος, Τιταρήσιος, Φωρμανοί, Ψυκτήριος τόπος ἐν Θρᾴκῃ· τὸ ἐθνικὸν ὁμωνύμως διὰ τὸ προκατειλῆφθαι τὸ πρωτότυπον ἔχον αὐτοῦ τὸν τύπον).

Steph. Byz. s. Σικελία: τὸ ἐθνικὸν Σικελοί καὶ Σικελιῶται. καὶ οἱ

Νεῖλος, nomina κηπαῖος, Νειλαῖος. Finem οιος cum παντοῖος ἀλλοῖος exemplis ap. Choer. ut a possessiva potestate alienum omisi; sed retinui ῳος. Tum consultis Arc. 38, 19; 39, 3 et Il. Pr. Θ 217, Mon. 4, 14 apposui τὰ δὲ εἰς εος usque ad finem. l. 6 An. Ox. IV 329, 1 cf. Epim. Cr. I 139.

μὲν ἀπὸ τοῦ οἰκιστοῦ καὶ ἀρχηγέτου τῆς χώρας, ἀφ᾽ οὗ καὶ ἡ χώρα, ὡς Κίλικες τοῦ Κίλικος, οὗ καὶ ἡ Κιλικία, ὡς Θετταλοί ἀπὸ Θετταλοῦ, οὗ ἡ Θετταλία, καὶ Φρύγες Φρυγός, οὗ ἡ Φρυγία· οἱ δ᾽ ἐπιγενόμενοι καὶ τὴν χώραν εὑρόντες προκεκλημένην ἐπωνομάσθησαν ὡς ἀπὸ τῆς Φθίας Φθιῶται, οὕτω Ἰταλίας καὶ Σικελίας Ἰταλιῶται καὶ Σικελιῶται.

Steph. Byz. 160, 22: Βατή· δῆμος τῆς Αἰγηΐδος φυλῆς. τὸ ἐθνικὸν ἐπιρρηματικῶς Βατῆθεν. οὐ δεῖ γὰρ ἐν πᾶσι τὸ ἐθνικὸν ζητεῖν, ἀλλ᾽ ἢ τῷ ἐπιρρήματι χρῆσθαι ὡς ἐπὶ τῶν δήμων ἢ τῇ γενικῇ μετὰ προθέσεως ἢ τῷ ἀναλόγῳ ἢ τῷ συνήθει τῆς χώρας.

St. B. 345, 4 Καβησσός: ἐθνικῶς ἀρκεῖ τὸ Ὁμηρικὸν Καβησσόθεν. πολλὰ γὰρ τοιαῦτα, ὡς τὸ Καμειρόθεν, τὰ τοπικὰ ἐθνικῶς.

Περὶ τῶν εἰς αν.

St. B. 51, 2: Αἰνία πόλις Περραιβῶν καὶ Αἰνιᾶνες οἱ οἰκοῦντες καὶ Αἴνιος ὁ ποταμὸς αὐτῆς. — τὸ ἐθνικὸν Αἰνιάν. καὶ εἰ μὲν ἀπὸ τοῦ κυρίου Αἰνιᾶνος γέγονεν, εὔλογος ἡ ὁμοφωνία αὐτοῦ ὡς τὸ Τρώς καὶ Ἀχαιός, μὴ ὁμοφωνοῦντος τοῦ Τευκρός καὶ Γραικός. εἰ δὲ παρὰ τὴν πόλιν, εὑρεθήσεται πρότερον Αἴνιος, ὡς τῆς Λυκίας Λύκιος, εἶτα διὰ τὴν ὁμοφωνίαν τοῦ ποταμοῦ πρὸς διάκρισιν Αἰνιάν γενέσθαι ὡς μέγιστος μεγιστάν.

Περὶ τῶν εἰς ην.

E. M. 586, 40, Eustath. ad Dionys. 431 et ad Hom. 1396, 7: Κεφαλλήν γίνεται παρὰ Κέφαλος ὡς κῶλος κωλήν, μέγιστος μεγιστήν καὶ μεγιστάν.

Περὶ τῶν εἰς ων.

Steph. Byz. 113, 11. Theogn. 29, 11: Ἀργείωνες λέγονται οἱ Ἀργεῖοι ὡς Καδμείωνες παρὰ τὸ Ἀργεῖος.

Περὶ τῶν εἰς ας.

St. B. 113, 6: ὁ Ἀργεῖος λέγεται καὶ Ἀργόλας κτλ.

St. B. 211, 2: Γόννοι πόλις Περραιβίας. τὸ ἐθνικὸν Γονατᾶς, ὃ καὶ παράλογον διὰ τὸν τόνον.

Περὶ τῶν εἰς ης.

St. B. 113, 14: λέγονται καὶ πατρωνυμικῶς οἱ Ἀργεῖοι ὡς οἱ πολλοὶ καὶ Ἡρόδωρος· ἐν μὲν τῷ νῦν χρόνῳ Ἡρακλεῖδαι, πρὸ δ᾽ Ἡρα-

l. 25 cf. Αἰολίωνες St. B. 53, 12 et Βουπρασίωνες 182, 18. l. 29 cf. Σκότινα, τόπος ἐν Λακεδαίμονι, ἐν ᾧ τιμᾶται Ζεὺς Σκοτινᾶς, ὡς Παυσανίας τρίτῳ (10, 6).

κλέους Περσεῖδαι, πρὸ Περσέως δὲ Λυγκεῖδαι καὶ Δαναΐδαι, πρὸ δὲ Δαναοῦ Ἀργειάδαι καὶ Φορωνεῖδαι, ἃς Ἄβρων ποιηταῖς ἀνατίθησιν.

Περὶ τῶν εἰς ᾱτης.

Ἀγκαρία πόλις Ἰταλίας ὡς Ἀντία Ἀδρία. τὸ ἐθνικὸν Ἀγκαριάτης ὡς Πολύβιος ὀγδόῃ.

Αἴπεια πόλις Λακωνικῆς. τὸ ἐθνικὸν Αἰπεάτης ὡς Κορσεάτης Ὑδρεάτης· ἐπὶ δὲ τῶν τοιούτων ἐνίοτε μένοντος τοῦ ῑ ὑφαιρεῖται τὸ ᾱ ὡς Δικαιαρχείτης Σαμαρείτης Ζελείτης, ἔσθ' ὅτε μένοντος τοῦ ε̄ ὑφαιρουμένου τοῦ ῑ τὸ ᾱ εἰς ω ἀμείβεται ὡς Ἡρακλεώτης, Μαρεώτης καὶ Ῥαφεώτης.

Ἀλλαρία πόλις Κρήτης. Πολύβιος τρισκαιδεκάτῃ, τὸ ἐθνικὸν Ἀλλαριάτης ὡς αὐτός φησιν.

Ἀμφιγένεια πόλις Μεσσηνιακή. τὸ ἐθνικὸν Ἀμφιγενειάτης διὰ τὸν Πελοποννήσιον χαρακτῆρα ἢ καὶ Ἀμφιγενεύς.

Βοιαί Κρήτης πόλις. ὁ πολίτης Βοιάτης ὡς Καρύαι Καρυάτης, Πιτάναι Πιτανάτης, Θαλάμαι Θαλαμάτης. λέγεται καὶ Βοιαῖος ὡς Ἔφορος. Ἡρωδιανὸς δὲ Βοιίτης φησίν, ἴσως παρὰ τὸ Βοιόν ὡς λίκνον λικνίτης.

Βρέα πόλις Θράκης. τὸ ἐθνικὸν ἔδει Βρεάτης. ἔστι δὲ Βρεαῖος παρὰ τῷ Θεοπόμπῳ εἰκοστῷ τρίτῳ.

Γαθεαί πόλις Ἀρκαδίας, ἧς οἱ πολῖται Γαθεᾶται. Παυσανίας ὀγδόῳ (34, 6) «Γαθεάτᾳ τῆς Κρωμίτιδος χώρας».

Γεράνθραι πόλις Λακωνικῆς. ὁ πολίτης Γερανθράτης, ὡς Παυσανίας.

Ζέλεια· τὸ ἐθνικὸν Ζελείτης. Ἡρωδιανὸς δὲ Ζελειατῶν φησιν. ἔστι γὰρ Ζελειάτης καὶ Ζελείτης.

Ἰάμνια πολίχνιον Φοινίκης. τὸ ἐθνικὸν ἔδει Ἰαμνιάτης. ἔστι δὲ καὶ Ἰαμνίτης καθ' ὕφεσιν τοῦ ᾱ. τὰ γοῦν καθ' ὕφεσιν τοῦ ᾱ διὰ διφθόγγου ἐστὶ πλὴν τοῦ Ἰαμνίτης καὶ τοῦ Δαυνίτης.

Ἱππώνιον πόλις Βρεττίων. τὸ ἐθνικὸν Ἱππωνιάτης. τοῦτο δὲ τὸ ἐθνικὸν ὡς ἀπὸ τοῦ Ἱππωνία. ἀπὸ γὰρ τοῦ Ἱππώνιον ἔδει Ἱππώνιος ἢ Ἱππωνιεύς.

Κραναή νῆσος Λακωνική. οὕτως ἐκαλεῖτο καὶ ἡ Ἀττική. τὸ ἐθνικόν, εἰ μὲν τῆς Λακωνικῆς, Κραναάτης ὡς Καρυάτης, εἰ δὲ τῆς Ἀττικῆς Κραναῖος ὡς Ἀθηναῖος.

Κράνεια χωρίον Ἀμβρακιωτῶν. τὸ ἐθνικὸν Κρανειάτης ὡς Μαλειάτης, ὥς φησι Σοφοκλῆς Λαρισαίοις.

Μαῖα πόλις Ἑλλησποντία. τὸ ἐθνικὸν Μαιάτης κατὰ πρόσθεσιν τοῦ της.

---

l. 21 Meineck. post Γαθεᾶται excidisse arbitratur ἔστι καὶ ποταμὸς Γαθεάτης.

Μόψου ἑστία πόλις Κιλικίας. ὁ πολίτης Μοψεάτης κατὰ παραγωγὴν μιᾶς τῶν λέξεων.

Οἴνα πόλις Τυρρηνίας. τὸ ἐθνικὸν Οἰνάτης. οὐκ ἀλλότριος γὰρ ὁ τύπος.

Ῥάβεννα πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ῥαβεννάτης, παρὰ τοῖς Ἰταλοῖς Ῥαβεννήσιος.

Ῥέσινα πόλις περὶ τὸν Ἄβορον ποταμόν. καὶ εἰ μὲν ὡς τὸ Αἴγινα τονωθείη, τὸ ἐθνικὸν Ῥεσινάτης, εἰ δὲ ὡς Τερῖνα, Ῥεσιναῖος. Ῥεσινάτης δὲ ἄμεινον.

Ῥόβεια Πιερίης. τὸ ἐθνικὸν Ῥοβειάτης καὶ Ῥοβείτης καὶ κατὰ διάλυσιν Ῥοβεΐτης.

Τύρας πόλις καὶ ποταμὸς ἐν τῷ Εὐξείνῳ πόντῳ. καὶ ἔδει παρὰ τὸν Τύραν Τυράτην εἶναι τὸ ἐθνικόν. ἔστι καὶ Τυρίτης ἀπὸ τοῦ Τύρις. ὁ δὲ πολυίστωρ τὸν ποταμὸν καὶ τὴν πόλιν Τύραν, τοὺς δὲ πολίτας Τυρανούς.

Ὕλη πόλις Κύπρου, ἐν ᾗ Ἀπόλλων τιμᾶται Ὑλάτης. Λυκόφρων (448) «καὶ Κέτραχον βλώξαντες Ὑλάτου τε γῆν».

Φύτειον πόλις Ἤλιδος. τὸ ἐθνικὸν Φυτεάτης ὡς Γυθεάτης. ὁ γὰρ τύπος Ἀρκάσι συνήθης.

Χάλκεια πόλις Καρίας, ἧς τὸ ἐθνικὸν Χαλκεάτης, ὡς Κρατερῷ δοκεῖ.

Περὶ τῶν εἰς ετης.

St. B. s.: Αὐλαί. τὰ ἀπὸ τῶν εἰς η δισυλλάβων θηλυκῶν ὀξυνομένων μὲν διὰ τοῦ ε ὡς τὸ φυλέτης, βαρυνομένων δὲ διὰ τοῦ η ὡς κωμήτης Σιδήτης. ἐπιστατέον τὸ Καρνίτης ἀπὸ τῆς Κάρνης.

Περὶ τῶν εἰς ητης.

Αἴγινα. ὁ πολίτης Αἰγινήτης. σπάνια δὲ τὰ εἰς της ἐθνικὰ τῷ η παραληγόμενα ὑπὲρ τρεῖς συλλαβὰς βαρύτονα. ἔστι δὲ ταῦτα Αἰγινήτης «Μαλειήτης τρύπανον αἰπολικόν». Κεραμήτης. τὸ δὲ πολιήτης πλεονασμὸν ἔχει τοῦ η ὡς τὸ μυθιήτης, ὅπερ οὐδ' ἐθνικόν, καὶ τὸ Ἰουλιήτης ἀπὸ τοῦ Ἰουλίτης, τὸ δὲ Βαργυλιήτης καὶ Μασσαλιήτης τετράπται. τὸ δὲ κωμήτης Σιδήτης λιμνήτης τρισύλλαβα.

Δεκίητον πόλις Ἰταλίας. τὸ ἐθνικὸν Δεκιῆται, ὡς Ἀρτεμίδωρος ἐν α' γεωγραφουμένων.

Διοσκούρων κώμη Λιβύης. ὁ κωμήτης Διοσκουροκωμήτης ὡς Μεγαλοκωμήτης, ἐκ δύο ἓν παραγωγόν.

Μαλέα ἄκρα πρὸς τῇ Πελοποννήσῳ καὶ Μάλεια. Μαλειήτης ὡς Αἰγινήτης λέγεται καὶ Μαλεάτης.

Νινόη ἡ ἐν Καρίᾳ Ἀφροδισιάς. τὸ ἐθνικὸν Νινοήτης ὡς τὸ πύλη πυλήτης, ὅθεν «Πυλάτιδες ἀγοραί» (Sophocl. Trach. 639) καὶ λίμνη λιμνήτης.

l. 28 versus est Callimachi, ut patet ex Schol. Theocr. 7, 103.

Cίδη πόλις Παμφυλίας. ὁ πολίτης Cιδήτης. τὴν δευτέραν συλλαβὴν ἔχει διὰ τοῦ η διὰ τὸν βαρὺν τοῦ πρωτοτύπου τόνον. τὰ γὰρ εἰς η λήγοντα διcύλλαβα πρωτότυπα ὀξυνόμενα μὲν διὰ τοῦ ε τὸ παραγωγὸν ἐκφέρει, φυλή φυλέτης, βαρυνόμενα δὲ διὰ τοῦ η, κώμη κωμήτης, Πύλη Πυλήτης καὶ Πυλάτης.

Περὶ τῶν εἰς ιτης.

Ἄβαρνος: τὰ εἰς ις φιληδεῖ τῷ εἰς ιτης τύπῳ ὡς Μέμφις Μεμφίτης. τὸ δὲ Μακριεύς καὶ Χαλκιεύς καὶ Χαλκιδεύς ἀπὸ γενικῆς προῆλθον.

Ἄβδηρα. ὁ πολίτης Ἀβδηρίτης. καὶ γὰρ τοῦ Δίολκος Διολκίτης καὶ τοῦ Ὀξύρυγχος Ὀξυρυγχίτης. Ἔφορος καὶ τὴν πόλιν Ἀβδηρόν φησιν. καὶ ἀπὸ τῶν εἰς α οὐδετέρων εὑρίσκεται ὡς Γάβαλα Γαβαλίτης. τοῦ Ἀβδηρίτης μέμνηται Εὔδοξος ἐν τετάρτῃ περιόδων καὶ Παυσανίας ἕκτῃ περιηγήσεως (c. 5, 4) καὶ Ἡρόδοτος ἑβδόμῃ (c. 120) καὶ πολλαχοῦ Ἑκαταῖός τε καὶ πολλοί.

Ἄβοτις πόλις Αἰγυπτία. ὁ πολίτης κατὰ μὲν τὸ ἐπιχώριον Ἀβοτίτης ὡς Ναύκρατις Ναυκρατίτης, κατὰ δὲ Ἑκαταῖον Ἀβοτιεύς ὡς Μάκρις Μάκριος Μακριεύς, Χάλκις Χάλκιος Χαλκιεύς, Ἄβοτις Ἀβότιος Ἀβοτιεύς.

Ἀγκυρῶν πόλις Αἰγύπτου. τὸ ἐθνικὸν ἡ τέχνη ἐκ τοῦ Αἰγυπτίων ἔθους. ὡς γὰρ Κυνῶν πόλις Κυνοπολίτης, Λεόντων πόλις Λεοντοπολίτης, Λύκων πόλις Λυκοπολίτης, Λάτων πόλις Λατοπολίτης, οὕτως Ἀγκυρῶν πόλις Ἀγκυροπολίτης.

Ἀδράνη πόλις Θρᾴκης. Πολύβιος δὲ Ἀδρήνη. τὸ ἐθνικὸν Ἀδρηνίτης ὡς Cυήνη Cυηνίτης, Cελήνη Cεληνίτης. δύναται δὲ καὶ Ἀδρηναῖος ὡς Κυρηναῖος Πελληναῖος Μιτυληναῖος. δίδωσιν ἡ τέχνη καὶ τὸ Ἀδρηνεύς ὡς Πελληνεύς.

Ἄζιλις πόλις Λιβύης. Χάραξ δὲ Ἄζιρον λέγει αὐτήν. ὁ πολίτης Ἀζιλίτης, ὅτι πρωτότυπον εἰς ις, τῷ Λιβυκῷ χαρακτῆρι καὶ Αἰγυπτίῳ, καὶ ὡς Κάνωβος Κανωβίτης. εἰ δὲ οὐδετέρως Ἄζιρον, τὸ ἐθνικὸν Ἀζιρεύς ὡς Cουνιεύς.

Αἰγίμορος νῆσος Λιβύης. τὸ ἐθνικὸν Αἰγιμορίτης. δι' ἔθους γὰρ Λίβυσιν ὁ χαρακτήρ.

Ἀκμονία πόλις Φρυγίας. τὸ ἐθνικὸν Ἀκμονίτης λέγεται ἀπὸ τῆς Ἄκμονος γενικῆς. Ἀκμόνεια, ἀφ' ἧς Ἀκμονειάτης. τοῦτο δέ μοι εἴρηται, ἐπειδὴ τὰ εἰς ευς ἀπὸ τῆς ου γενικῆς γίνεται, Ἀλεξάνδρου Ἀλεξανδρεύς, ἢ ἀπὸ ἰσοσυλλάβου γενικῆς Ἀπάμας Ἀπαμεύς, Ὑρίας Ὑριεύς.

Ἄμβασον μητρόπολις τῶν Φρυγῶν. ὁ πολίτης Ἀμβασίτης, ὡς ὁ πολυΐστωρ Ἀλέξανδρος.

Ἀμφάξιον. δύο μέρη λόγου. τὸ ἐξ αὐτοῦ Ἀμφαξίτης. Cτράβων ἑβδόμῃ (p. 330).

ἄντρον. τὸ τοπικὸν ἔδει ἀντρίτης ὡς λίκνον λικνίτης. εὕρηται δὲ ἀντραῖος, ὡς Εὐριπίδης ἐν Αἰγεῖ.

Ἄργιλα πόλις Καρίας. τὸ ἐθνικὸν Ἀργιλίτης, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας β'.

Ἀρσινόη. τὸ ἐθνικὸν Ἀρσινοΐτης καὶ Ἀρσινοεύς ἐπὶ τῆς Αἰτωλικῆς, ὡς Πολύβιος ἐνάτῳ. ἀλλὰ καὶ τῆς ἐν Λιβύῃ Ἀρσινοεύς, ὡς Ἀλέξανδρος ἐν Λιβυκῶν τρίτῳ.

Ἀσκάλων πόλις Συρίας. τὸ ἐθνικὸν Ἀσκαλωνίτης καὶ Ἀσκαλώνιος παρὰ τὸ Ἀσκαλώνιον, ὡς Ξάνθος ὁ Λυδός, καὶ Ἀσκαλωνίς θηλυκόν. παρὰ δ' Εὐδόξῳ διὰ τῆς αι ἐν τῷ α'. καὶ κατὰ τὴν Ἀλεξανδρέων συνήθειαν Ἀσκαλωναῖα κεράμια.

Ἄσκλος πόλις Ἰταλίας. ἔστι καὶ οὐδέτερον. τὸ ἐθνικὸν Ἀσκλίτης ὡς λίκνον λικνίτης καὶ ὁπλίτης.

Ἀσπίς πόλις Λιβύης. τὸ ἐθνικὸν δύναται Ἀσπιδίτης τῷ ἔθει τῶν Αἰθιοπικῶν πόλεων καὶ Λιβυσσῶν.

ἄστυ. ὁ πολίτης ἀστός καὶ ἀστή καὶ ἀστόν. ἀπὸ τοῦ ἀστός ὁ ἀστίτης. Σοφοκλῆς Ἀλεξάνδρῳ «οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει». καὶ «βοτῆρα νικᾶν ἄνδρας ἀστίτας. τί γάρ;» ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ προαστίτης. οὐ γὰρ παρὰ τὸ προάστιον. ἦν γὰρ προαστιεύς ὡς Δουλιχιεύς, ἢ προάστιος ὡς Βυζάντιος. οὕτω γὰρ καὶ τὸ θηλυκὸν εὑρίσκεται προαστία γῆ ἐν Φρίξῳ Σοφοκλέους «ὅρια κελεύθου τῆσδε γῆς προαστίας».

Αὔγιλα οὐδετέρως πόλις Λιβύης. τὸ ἐθνικὸν Αὐγιλίτης διὰ τὸ ἐπιχώριον ὡς Γάβαλα Γαβαλίτης.

Ἀφάκη πόλις Λιβύης. τὸ ἐθνικὸν Ἀφακίτης διὰ τὸ ἴδιον τῆς χώρας.

Βέμβινα κώμη τῆς Νεμέας. ὁ πολίτης Βεμβινίτης ὡς Σταγειρίτης. παρὰ δὲ Ῥιανῷ Βεμβινάτης. ἔοικεν οὖν ὡς Αἰγινάτης καὶ Αἰγινήτης κατὰ τροπήν, ὡς Πανύασις ἐν Ἡρακλείας πρώτῃ «δέρμα τε θήρειον Βεμβινήταο λέοντος». καὶ ἄλλως «καὶ Βεμβινήταο πελώρου δέρμα λέοντος».

Βιθυόπολις. τὸ ἐθνικὸν ὤφειλε Βιθυοπολίτης. εὗρον δὲ Βιθυνιαπολίτης παρὰ Ἀρριανῷ ἐν πέμπτῳ Βιθυνιακῶν. δεῖ δὲ τοῦ Βιθυνόπολις Βιθυνοπολίτης.

Βορυσθένης. ὁ πολίτης Βορυσθενίτης καὶ τὸ θηλυκὸν Βορυσθενῖτις, οὐκ ἀπὸ τῆς πόλεως, ἀλλ' ἀπὸ τοῦ ποταμοῦ. βούλεται δὲ τὴν ει δίφθογγον ἔχειν ἐν τῇ παραληγούσῃ. ἀπὸ γὰρ τῆς εἰς ος εὐθείας ἡ διὰ τοῦ ιτης παραγωγὴ πλεονάζει μιᾷ συλλαβῇ, ὡς τόπος τοπίτης, Κανωπίτης ὁ Ἄδωνις παρὰ Παρθενίῳ. τὸ δὲ Ἰήτης ἀπὸ τῆς Ἴου διὰ τὸ ῑ ἐξηνέχθη διὰ τοῦ η. καὶ ἀπὸ γενικῆς Ἀσκάλωνος Ἀσκαλωνίτης, Ἕλεος Ἑλεῖτης καὶ Ἑλείτης ὁ τὸ Ἕλος οἰκῶν, Ὠρεός Ὠρεῖτης καὶ Ὠρείτης. ἔδει οὖν καὶ Βορυσθενείτης διὰ διφθόγγου· οὐ γὰρ ὅμοιον τῷ τεμενίτης οὐδὲ τῷ ἑρκίτης. οὐ γὰρ ἀπὸ τῆς γενικῆς ἀλλ' ἀπὸ τῆς εἰς ος εὐθείας ταῦτα καὶ εἰκότως ἔχει τὸ ῑ· τὸ δὲ Βορυσθένης οὐκ εἰς ος λήγει. τί οὖν ἐροῦμεν; ὅτι ἠκολούθησε τῷ πλείονι χαρακτῆρι διὰ

τοῦ ῑ. τὰ γὰρ διὰ διφθόγγου ὀλίγα, Ζελείτης, Cαμαρείτης, Δικαιαρχείτης, Μαρωνείτης.

Βούβαστος πόλις Αἰγύπτου. τὸ ἐθνικὸν Βουβαστίτης. λέγεται καὶ Βουβάστιος παρὰ Θεοπόμπῳ.

Βυζακίς χώρα περὶ τὰς Cύρτεις. τὸ ἐθνικὸν τῷ τύπῳ Βυζακίτης ἂν εἴη, νῦν δὲ Βυζακηνοί λέγονται τῷ δυτικῷ χαρακτῆρι καὶ ἱμάτια δ' ἐκεῖθεν Βυζακηνά.

Γάβαλα πόλις Φοινίκης. ὁ οἰκήτωρ Γαβαλίτης, ἀλλὰ καὶ Γαβαλεύς ὡς Μεγαρεύς.

Γάβιοι πόλις Λατίνων. τὸ ἐθνικὸν Γαβῖται. δυνατὸν καὶ Γαβίους, ὡς Διονύσιος ἐν τετάρτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας ἀμφότερα καὶ τὴν πόλιν καὶ τοὺς οἰκήτορας καλεῖ.

Διὸς ἱερόν πολίχνιον Ἰωνίας. τὸ ἐθνικὸν Διοσιερίτης ὡς Φλέγων ἐν πρώτῃ Ὀλυμπιάδων.

Ἔλβονθις πόλις μεταξὺ Αἰγύπτου καὶ Κυρήνης. τὸ ἐθνικὸν Ἐλβονθίτης ὡς Φλέγων.

Ἑλληνικόν καὶ Καρικόν τόποι ἐν Μεμφίδι, ἀφ' ὧν Ἑλληνομεμφῖται καὶ Καρομεμφῖται, ὡς Ἀρισταγόρας.

Ἔλωρος πόλις Cικελίας. ὁ πολίτης Ἑλωρίτης. Θουκυδίδης δὲ ἐν ἑβδόμῃ (c. 80) καὶ Ἐλωρίνην ὁδόν φησιν.

Ἑσπερίς πόλις Λιβύης. ὁ πολίτης Ἑσπερίτης. Καλλίμαχος ἐν τοῖς ἐπιγράμμασιν.

Εὔτρησις κώμη Βοιωτίας. ὁ κωμήτης Εὐτρησίτης. τὸ γὰρ Εὐτρήσιοι πόλις Ἀρκαδίας καὶ οὐκ ἐθνικόν.

Ἠλεκτρίδες νῆσοι. τὸ ἐθνικὸν Ἠλεκτρίτης πρὸς τὸν τόπον τῶν εἰς ῑς, Ἠλεκτρῖνοι δὲ διὰ τὸ ἐπιχώριον.

Θίς πόλις Αἰγυπτία. ὁ πολίτης Θινίτης. Ἀλέξανδρος Αἰγυπτιακῶν πρώτῳ.

Ἰαγξούατις πόλις Λιβύων. ὁ πολίτης Ἰαγξουατίτης. Αἰγυπτίων γὰρ καὶ Αἰθιόπων ὁ χαρακτήρ.

Ἴδυρος πόλις Παμφυλίας, ἣ καὶ Ἰδυρίς. τὸ ἐθνικὸν Ἰδυρίτης τῷ τύπῳ τῶν εἰς ῑς.

Ἰώνη ἡ Ἀντιόχεια ἡ παρὰ Δάφνην. τὸ ἐθνικὸν Ἰωνίτης ἢ Ἰωναῖος ὡς Κλεωναῖος «Κλεωναίοιο χάρωνος».

Καλὴ ἀκτή πόλις Cικελῶν. ἔστι δὲ ὡς Μεγάλη κώμη. ἐκ τῶν δύο δὲ ἡ παραγωγή, Μεγαλοκωμήτης, Καλακτίτης ἢ Καλοακτίτης διὰ τοῦ ῑ, ἐπεὶ καὶ παρὰ τὸ Ἀκτή Ἀκτίτης, ἢ Καλοακταῖος ἢ Καλοάκτιος ὡς Πανάκτιος καὶ ἐπάκτιος.

Κάμαρα πόλις Κρήτης. ὁ πολίτης Καμαρίτης ὡς Ξενίων ἐν Κρητικοῖς φησιν.

---

l. 12 verba καὶ — καλεῖ ab epitomatore omissa monente Meinekio adieci. l. 34 cf. Mein. Anal. Alex. p. 85.

Κάρνη πόλιc Φοινίκηc. ὁ πολίτηc Καρνίτηc. Λυκόφρων (1291) «ὄλοιντο ναῦται πρῶτα Καρνῖται κύνεc». Ἀρτεμίδωροc δ' ἐν τῷ δεκάτῳ βιβλίῳ φηcίν «ἔcτι Κάρνοc καὶ cυνεχῶc Πάλτοc, εἶτα Γάβαλα πόλιc». καὶ ἀναλογεῖ τὸ Καρνίτηc.

Καρὸc κῆποι χωρίον Θρᾴκηc. τὸ ἐθνικὸν Καροκηπίτηc ὡc Θεόπομποc.

Κατακεκαυμένη χώρα τῆc Ἐφεcίαc. τὸ ἐθνικὸν Κατακεκαυμενίτηc «ἄδενδροc ἅπαcα πλὴν τῆc ἀμπέλου τῆc τὸν Κατακεκαυμενίτην φερούcηc οἶνον. εἰκάζουcι δέ τινεc ἐκ κεραυνοβολιῶν καὶ πρηcτήρων cυμβῆναι» (Strab. p. 628).

Κορηccὸc πόλιc τῆc Ἐφεcίαc. τὸ ἐθνικὸν Κορηccίτηc. καὶ ἴcωc ἀπὸ τοῦ Κόρηccιc. λέγεται καὶ Κορηccεύc.

Κύρου πόλιc ἣ καὶ Κυρέcχατα καλεῖται. ὁ πολίτηc καθ' ἡμᾶc Κυροπολίτηc, κατὰ δὲ Πέρcαc Κυρεcχατηνοί ὡc Ἀραξηνοί καὶ Καμβυcηνοί.

Κῶπαι πόλιc Βοιωτική. ὁ πολίτηc Κωπαῖτηc, ὡc Ἐπαφρόδιτοc· ἔcτι δὲ ἀπὸ τοῦ Κωπαῖοc ὡc Ἀθηναῖοc Ἀθηναΐτηc· καὶ Κωπαιεύc.

Λάεια πόλιc Καρίαc. ὁ πολίτηc Λαΐτηc ὡc Παυcανίαc φηcὶ πέμπτῳ (24, 6).

Λίηβριc πόλιc Φοινίκων. τὸ ἐθνικὸν Λιηβρίτηc ὡc Cυβαρίτηc. Ἑκαταῖοc περιηγήcει Αἰγύπτου.

Μαριαμμία πόλιc Φοινίκηc. οἱ πολῖται Μαριαμμῖται, ὡc Παυcανίαc ἐν κτίcει αὐτῆc.

Μαχαιροῦc φρούριον τῆc Ἰουδαίαc. τὸ ἐθνικὸν ὤφειλεν ὡc Ἱεριχούντιοc. Ἰώcηποc δὲ Μαχαιρίταc αὐτούc φηcι (B. I. II 36).

Μέccωγιc ὄροc Λυδίαc. τὸ τοπικὸν Μεccωγίτηc. Cτράβων τεccαρεcκαιδεκάτῃ (p. 648) «ὅθεν ἄριcτοc Μεccωγίτηc οἶνοc ὁ Ἀρομεύc».

Μιλητούπολιc πόλιc περὶ τὸν Ῥύνδακα. ὁ πολίτηc Μιλητοπολίτηc. Cτράβων δωδεκάτῃ (p. 575).

Μυλαὶ πόλιc Cικελίαc· ὁ πολίτηc Μιλαΐτηc ὡc τῶν Θηβῶν Θηβαΐτηc, Ἀθῆναι Ἀθηναΐτηc. εἰcὶ γὰρ οἳ οὕτω λέγονται.

Νάρβων πόλιc Κελτική. τὸ ἐθνικὸν Ναρβωνίτηc ὡc Ἀcκαλωνίτηc. Ἑκαταῖοc καὶ Ναρβαίουc αὐτούc φηcι.

Νέον τεῖχοc πόλιc τῆc Αἰολίδοc ὡc Χωλὸν τεῖχοc. τὸ ἐθνικὸν Νεοτειχίτηc ὡc Χωλοτειχίτηc.

Νικόπολιc πόλιc Ἠπείρου. ὁ πολίτηc Νικοπολίτηc, ὡc Παυcανίαc δεκάτῳ (c. 8, 3).

Cεθρόη πόλιc Αἰγύπτου. ὁ πολίτηc Cεθροΐτηc ὡc Ἀρcινοΐτηc. Ἀλέξανδροc τρίτῳ Αἰγυπτιακῶν.

Cελευκόβηλοc πόλιc Cυρίαc. τὸ ἐθνικὸν Cελευκοβηλίτηc καὶ

---

l. 19 unde iure Meinekius restituendum indicat Ἐλαία πόλιc Ἀcίαc et Ἐλαΐτηc.

Σηλευκοβηλαῖος. λέγεται καὶ Σελευκεὺς πρὸς τῷ Βήλῳ. οὕτω γὰρ Παυσανίας ἐν τῷ περὶ Ἀντιοχείας φησί.

σπήλαιον τὸ ἄντρον. οἱ οἰκοῦντες σπηλαῖται. εἰσὶν οὖν «ἀγάλματα Ἡρακλέους Ἑρμοῦ καὶ Ἀπόλλωνος σπηλαῖται καλούμενοι» (Pausan. X 32, 5).

Τομεύς πόλις πρὸς τῇ Ὀδησσῷ. ὁ πολίτης Τομίτης. ὤφειλε δὲ ὡς Ἀταρνείτης διὰ διφθόγγου γράφεσθαι.

Φᾶρις πόλις τῆς Λακωνικῆς. οἱ πολῖται Φαρῖται ὡς Παυσανίας (III 2, 6) καὶ Φαριάτης ὡς Σπαρτιάτης.

Φασηλίς πόλις τῆς Ἰουδαίας. τὸ ἐθνικὸν Φασηλίτης ὡς Ἰώσηπος ἐν α΄ τοῦ πρὸς Ῥωμαίους πολέμου (c. 16).

Φελλός καὶ Ἀντίφελλος πόλεις Λυκίας. ὁ πολίτης Φελλίτης καὶ Ἀντιφελλίτης, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Λυκίας καὶ Πολύχαρμος.

Χυτρόπολις Θρᾴκης χωρίον. τὸ ἐθνικὸν Χυτροπολίτης. Θεόπομπος Φιλιππικῶν εἰκοστῷ δευτέρῳ «εἰσδεξαμένων δὲ τῶν Χυτροπολιτῶν αὐτόν».

χώρα. ἀπὸ τοῦ χῶρος χωρίτης ὡς τοῦ μέσος μεσίτης τόπος τοπίτης ἢ ἀπὸ τοῦ χώρα χωρίτης ὡς ἀπὸ τοῦ ἕδρα ἑδρίτης ἑσπέρα ἑσπερίτης. Σοφοκλῆς Αἰγεῖ «κλύω μὲν οὐκ ἔγωγε, χωρίτην δ᾽ ὁρῶ». καὶ ἐν Ἡρακλεῖ «τρέφουσι κρήνης φύλακα, χωρίτην ὄφιν». καὶ Αἰσχύλος ἐν Λέοντι σατυρικῷ «ὁδοιπόρων δήλημα, χωρίτης δράκων». καὶ Ἀπολλώνιος ἐν τῷ Κανώβῳ

τέρψει δὲ νηῶν ὁ γλυκύς σε χωρίτης
πλόος κομίζων δῶρα πλουσίου Νείλου.

καὶ χώριος μὲν οὐ λέγεται, ἀλλὰ τὸ σύνθετον τὸ ἐγχώριος καὶ ἐπιχώριος σύνηθες ἐκ τοῦ ἐν χώρᾳ καὶ ἐπὶ χώρας, ὡς τοῦ ἐν τόπῳ ἐντόπιος καὶ τοῦ ἐκ τόπου ἐκτόπιος. τὸ ἐγχώριος καὶ παρὰ Σοφοκλεῖ κεῖται. τὸ δὲ ἐπιχώριος καὶ ἐπιχωριάζειν ἐν τῷ περὶ ψυχῆς (c. 1) φησι Πλάτων.

Ψίλιον ποταμὸς μεταξὺ Θυνίας καὶ Βιθυνίας. καὶ ἄλλος Ψίλις ποταμὸς τῆς Βιθυνίας. τὸ τοπικὸν Ψιλίτης. ἐν δὲ τῇ συνηθείᾳ ἐπεκράτησεν ἀμφοτέρων τῶν ποταμῶν τοὺς οἰκήτορας Ψιλιανοὺς καλεῖν.

Περὶ τῶν εἰς ειτης.

Ἀγνώνεια πόλις Θρᾴκης. τὸ ἐθνικὸν Ἀγνωνείτης ὡς Μαρωνείτης τοῦ Μαρώνεια καὶ Καυκωνείτης τοῦ Καυκώνεια κατ᾽ ἔλλειψιν τοῦ α.

Αἰθάλη νῆσος. λέγεται καὶ Αἰθάλεια. τὸ ἐθνικὸν ἐκ τοῦ Αἰθάλεια Αἰθαλείτης ὡς Ζελείτης, ἐκ δὲ τοῦ Αἰθάλη Αἰθαλίτης ὡς Σινωπίτης Ἰοππίτης. δύναται τὸ Αἰθαλίτης ἀντὶ τοῦ Χῖος. οὕτω γὰρ ἡ Χίος ἐλέγετο. καὶ οἱ πολῖται Αἰθαλεῖς.

ἀκρώρεια ἄκρον ὄρους, ἐν ᾧ ἐνοικοῦντες ἀκρωρεῖται. οὕτω δὲ

l. 19 Sophoclis versum corr. Mein.

παρὰ Cικωνίοις ἐτιμᾶτο ὁ Διόνυσος «ἐκαλεῖτο δὲ παρὰ μὲν Cικυωνίοις Ἀκρωρείτης, παρὰ δὲ Μεταποντίνοις Ἐρίφιος», Ἀπολλόδωρός φησιν.

Καυκώνεια. τὸ ἐθνικὸν Καυκωνείτης ὡς Ζελείτης. ὤφειλε δὲ Καυκώνιος ἀπὸ τῆς Καύκωνος γενικῆς ὡς Ἀντρώνιος.

Ὠρεός πόλις Εὐβοίας. τούτου τὸ ἐθνικὸν διὰ τῆς ει γράφεται Ὠρείτης ὡς Ζελείτης Cαμαρείτης Μαρωνείτης. μέμνηται τοῦ ἐθνικοῦ καὶ Χάραξ ἐν χρονικῶν ις´ «Ἀθηναῖοι ἅμα Χαλκιδεῦσι τοῖς ἐν Εὐβοίᾳ καὶ Μεγαρεῦσι στρατεύσαντες εἰς Ὠρεὸν Φιλιστίδην τὸν τύραννον ἀπέκτειναν καὶ Ὠρείτας ἠλευθέρωσαν». Ἀπολλόδωρος δὲ τετρασυλλάβως φησίν, οὐ διὰ τῆς ει διφθόγγου, ἀλλὰ διὰ τοῦ ε καὶ διὰ τοῦ ι Ὠρεΐτας «οὕτω δὲ τὴν τῶν Ὠρεϊτῶν νυκτὸς αἱροῦσιν πόλιν». καὶ δοκεῖ ἀναλογώτερον εἶναι. τὰ γὰρ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιτης παραγόμενα μιᾷ συλλαβῇ πλεονάζει τῆς τοῦ πρωτοτύπου γενικῆς, Cτάγειρος Cταγείρου Cταγειρίτης, Ἄβδηρος Ἀβδήρου Ἀβδηρίτης, Πεντάσχοινος Πεντασχοίνου Πεντασχοινίτης, Διόλκος Διόλκου Διολκίτης· οὕτως Ὠρεός Ὠρεοῦ Ὠρεΐτης καὶ κατὰ σύνοδον τοῦ ε καὶ τοῦ ι Ὠρείτης. οὐχ ὅμοιον δὲ τούτῳ τὸ Ζελείτης καὶ Cαμαρείτης· ταῦτα γὰρ ἀπὸ τῶν εἰς α καθαρὸν ληγόντων παρῆκται.

Περὶ τῶν εἰς οιτης.

Κύβος ἢ Κυβώ πόλις Ἰώνων ἐν Λιβύῃ Φοινίκων. ὁ πολίτης Κυβοίτης ὡς Cαβοίτης τῆς Cαβοῦς. ἢ Κυβίτης ὡς τῆς Βούτου Βουτίτης.

Περὶ τῶν εἰς ουτης.

Μαντύη καὶ Μάντυα πόλις Ῥωμαίων. γράφεται καὶ Μάντουα τῷ τῶν Ῥωμαίων ἔθει. Μαντούτης. ἔστι δὲ κατὰ συγκοπὴν ὡς Ζελείτης.

Περὶ τῶν εἰς υτης.

Αἶγυς πόλις Λακωνικῆς. οἱ πολῖται Αἰγῦται, ὡς Παυσανίας (III 2, 5). Λυκόφρων δὲ τὸ ἐθνικὸν Αἴγυος τὸ θηλυκὸν λέγων οὕτως (v. 903) «καὶ πάντα τλήσεσθ' οὕνεκ' Αἰγύας κυνός, τῆς θηλύπαιδος καὶ τριάνορος κόρης». Θεόπομπος δὲ Αἰγυέας αὐτούς φησιν.

Κῶβρυς πόλις Θρᾴκης. τὸ ἐθνικὸν Κωβρύτης ὡς Αἶγυς Αἰγύτης.

Μῶλυς, Λίβυσσα πόλις. τὸ ἐθνικὸν Μωλύτης τῷ τύπῳ τῶν Λιβυσσῶν πόλεων καὶ Μωλυάτης.

Περὶ τῶν εἰς ωτης.

Ἀργέου νῆσος, νῆσος Αἰγύπτου. οἱ οἰκήτορες Ἀργεῶται ὡς τῆς Νικίου Νικιῶται καὶ τῆς Χαιρέου Χαιρεῶται. καὶ αὗται γὰρ Αἰγύπτου πόλεις.

Αὐλαί ἐπίνειον Κιλίκων. οἱ οἰκοῦντες Αὐλεῶται πρὸς τῶν ἐπιχωρίων ὀνομάζονται. τῶν δὲ εἰς αι οὐκ ἔστιν ὁ διὰ τοῦ ωτης τύπος,

ἀλλ' ἔοικεν ὡς ἀπὸ τοῦ Ῥάφεια Ῥαφειώτης Ῥαφεῶται. εἰ δὲ ἑνικῶς ἐλέγετο, ὤφειλεν Αὐλέτης ἢ Αὐλίτης. τὰ γὰρ κτλ.

Ζεφύριον. τὸ ἐθνικὸν Ζεφυριώτης. τὸ οὖν Ζεφυρίτης ἀπὸ τοῦ Ζεφυριώτης συγκοπῇ τοῦ ω̄ ὡς τὸ Θρονίτης.

Καρπασία πόλις Κύπρου. λέγεται καὶ Καρπάσεια. ὁ πολίτης Καρπασεώτης ὡς Μαρεώτης. Θεόπομπος ἐν δεκάτῳ Καρπασεῖς αὐτούς φησιν, ἴσως ἀπὸ τοῦ Κάρπασος ὡς Ἀντίοχος Ἀντιοχεύς, ἀφ' οὗ Καρπάσεια.

Κασταλία πόλις Κιλικίας. τὸ ἐθνικὸν Κασταλιώτης. ὁ τύποις τοῖς Κίλιξι συνήθης.

πατρίς. τὸ ἐθνικὸν ὤφειλε πατρίτης. ἄμεινον δὲ πατριώτης.

Ῥαφάνεια πολίχνιον Συρίας. ὁ πολίτης Ῥαφανεώτης. τῶν δὲ εἰς ω̄τ̄η̄ς̄ ἐθνικῶν τὰ πολλὰ τὸ ῑ πρὸ τοῦ ω̄ ἔχει, Πηλιώτης, Φθιώτης. σπάνια δὲ τὸ ε̄ καὶ σχεδὸν ἀπὸ τῆς ε̄ῑ συσταλέντα, Ἡρακλεώτης. οὕτω καὶ Ῥαφανεώτης.

Περὶ τῶν εἰς α̅ι̅ο̅ς̅.

Ἀγάθυρνα πόλις Σικελίας. τὸ ἐθνικὸν Ἀγαθυρναῖος. οὐ γὰρ ἀήθης ὁ τύπος τοῖς τὴν Σικελίαν οἰκοῦσιν· Ἱμεραῖος γὰρ καὶ Ἐνναῖος καὶ Καταναῖός φασιν.

Ἄγυλλα πόλις Τυρρηνίας. ὁ πολίτης Ἀγυλλαῖος. Ῥιανὸς δὲ Ἀγύλλιον εἶπε χαλκόν.

Ἀθῆναι. ὁ πολίτης Ἀθηναῖος. ἐλέγοντο δὲ καὶ πατρωνυμικῷ τύπῳ, ὡς Ἅβρων ἐν τῷ περὶ παρωνύμων, ὅτι εἰσὶ διτταὶ προσηγορίαι παρὰ ποιηταῖς, ἀπό τε τῆς πατρίδος καὶ τοῦ συνοικιστοῦ. Ἁλικαρνασσεῖς γὰρ Ἀνθεάδαι καὶ Φαλαντιάδαι οἱ Ταραντῖνοι ἐλέγοντο ἀπὸ τῶν διασημοτάτων παρ' αὐτοῖς, Ἀθηναῖοι δὲ Κοδρίδαι καὶ Κεκροπίδαι Θησεῖδαι Ἐρεχθεῖδαι. καὶ ταύτας γε κλήσεις τῶν ἀπὸ τῆς πατρίδος ἐντιμοτέρας ἐνόμιζον.

Ἀθύρας ἐπίνειον καὶ ποταμὸς περὶ τὸ Βυζάντιον. τὸ ἐθνικὸν διὰ τῆς αι διφθόγγου Ἀθυραῖος ὡς Ῥήβας Ῥηβαῖος.

Αἴβουρα πόλις Ἰβηρίας. ὁ πολίτης Αἰβουραῖος ὡς ἀρουραῖος, Κόλουρα Κολουραῖος, Ἄργουρα Ἀργουραῖος, Ἴουρα Ἰουραῖος, καὶ σχεδὸν πάντα τὰ εἰς ρ̄ᾱ. δύναται καὶ Αἰβουράτης ὡς Αἴγειρα Αἰγειράτης, Κίβυρα Κιβυράτης.

Ἀκάνναι ἐμπόριον περὶ τὴν Ἐρυθρὰν θάλασσαν. τὸ ἐθνικὸν Ἀκαναῖος ὡς Σαβαῖος καὶ Γερραῖος καὶ Ἐρυθραῖος παρ' αὐτοῖς.

Ἀκραιφία πόλις Βοιωτίας. τὸ ἐθνικὸν Ἀκραιφιαῖος καὶ Ἀκραίφιος (οὕτω γὰρ Ἀπόλλων τιμᾶται) καὶ Ἀκραιφιεύς καὶ Αἰκραιφιάς ὡς Σουνιεύς Σουνιάς καὶ Ἀκραιφὶς λίμνη. Ἔφορος δὲ Ἀκραιφνίους καὶ Ἀκραιφνιώτας. Θεόπομπος δὲ τὰ Ἀκραίφνια φησὶ καὶ τὸ ἐθνικὸν Ἀκραιφνιεύς.

---

l. 2 cf. sub ε̄τ̄η̄ς̄ terminatione. l. 36 Mein. παρὰ τοῖς Ἄραψιν.

Ἀκτή ἡ Ἀττική. τὸ ἐθνικὸν Ἀκταῖος καὶ Ἀκταία καὶ Ἀκταΐς καὶ Ἀτθίς καὶ Ἀκτίτης, ἐξ οὗ τὸ Ἀκτίτου πέτρα ἐν τῇ τραγῳδίᾳ ἀντὶ τοῦ Ἀττικοῦ, ὡς αὐλή αὐλίτης. ἔστι καὶ «Ἄκτιος Αἰγεύς», ὡς Εὐφορίων Διονύσῳ. ἔστι καὶ Ἀκτιάς καὶ τὸ Ἄκτιον, ἀφ' οὗ τὸ Ἀκτιώτης, ὡς Πηλιώτης Ζεφυριώτης. ἄμεινον δὲ τοῦτο εἶναι ἀπὸ τοῦ Ἀκτία τοῦ δηλοῦντος τήν τε χώραν καὶ τὴν γυναῖκα, ὡς Πελασγία Πελασγιώτης. ἔστι καὶ Ἀττικός καὶ Ἀττική κατὰ τροπὴν διὰ τὴν εὐφωνίαν.

Ἀλθαία πόλις Ὀλκάδων. τὸ ἐθνικὸν Ἀλθαῖος ὡς Αἰαῖος ἢ Ἀλθαιάτης ἢ Ἀλθαιανός. εὕρομεν δὲ ἐν ταῖς συγγραφαῖς Δημητρίου Ἀλθαιέα.

Ἀμύκλαι πόλις Λακωνική. τὸ ἐθνικὸν τοῦ Ἀμύκλαι Ἀμυκλαῖος καὶ Ἀμυκλαιεύς ἐξ αὐτοῦ ὡς Κρηταῖος Κρηταιεύς. λέγεται καὶ Ἀμυκλαΐτης ὡς Θηβαΐτης.

Ἀναία πόλις Καρίας. τὸ ἐθνικὸν Ἀναῖος. Θουκυδίδης ἐν τρίτῃ (c. 19) Ἀναΐτας φησὶ τοὺς πολίτας.

Ἄναυα πόλις Φρυγίας. τὸ ἐθνικὸν Ἀναυαῖος ἢ Ἀναυεύς, ἐπειδὴ χαίρουσι τοῖς εἰς ευς Φρύγες.

Ἀνητοῦσσα πόλις Λιβύης. ὁ πολίτης Ἀνητουσσαῖος ὡς Σκοτουσσαῖος, ὡς ὁ πολυίστωρ φησίν.

Ἄνθυλλα πόλις Αἰγύπτου. τὸ ἐθνικὸν Ἀνθυλλαῖος ὡς Ἄβολλα Ἀβολλαῖος. καὶ Ἀνθυλλίτης διὰ τὸν τύπον.

Ἀργάντη πόλις Ἰνδίας. τὸ ἐθνικὸν ἔδει Ἀργανταῖος, ἀλλὰ ὁ τύπος τῶν Ἰνδῶν ἢ Ἀργαντηνός ἢ Ἀργαντίτης.

Ἄρρα πόλις Ἰλλυρική. τὸ ἐθνικὸν Ἀρραῖος. καὶ γὰρ ὁ τύπος συνήθης, ὡς Πελλαῖος καὶ Βεροαῖος.

Ἀρταία Περσικὴ χώρα. οἱ οἰκοῦντες Ἀρταῖοι. ἀρταίους δὲ Πέρσαι, ὥσπερ οἱ Ἕλληνες τοὺς παλαιοὺς ἀνθρώπους, ἥρωας καλοῦσι. τάχα δὲ καὶ ἐντεῦθέν μοι δοκεῖ Ἀρταξέρξαι καὶ Ἀρτάβαζοι, ὥσπερ ἐν Αἰγυπτίοις καὶ Νειλάμμωνες καὶ Παναπόλλωνες. Ἡρόδοτος Ἀρτεάτας αὐτοὺς καλεῖ διὰ τοῦ ε ψιλοῦ.

Ἀσίνη. τὸ ἐθνικὸν Ἀσιναῖος καὶ Ἀσινεύς, καθὼς Εὔδοξος ἐν ἕκτῃ γῆς περιόδου.

Βάρκη πόλις Λιβύης. τὸ ἐθνικὸν Βαρκαῖος καὶ Βαρκαῖον τὸν Λίβυν φασί. «Βαρκαῖον αἶπος»· οἳ τὰς ἱπποτροφίας παρὰ Ποσειδῶνος, ἡνιοχεῖν δὲ παρὰ Ἀθηνᾶς ἔμαθον.

Βάτναι πόλις τῆς Ὀσροηνῆς. τὸ ἐθνικὸν Βατναῖος καὶ διὰ τὸν χαρακτῆρα Βατνηνός ὡς Ἐδεσσαῖος Ἐδεσσηνός καὶ Καρραῖος Καρρηνός.

Βέννα μία φυλὴ τῶν ἐν Ἐφέσῳ πέντε, ἧς οἱ φυλέται Βενναῖοι, ὡς Ἔφορος.

---

l. 9 Mein. Ἀλθαιαῖος? l. 30 cf. paullo post Ἀρτεᾶται γένος Περσικόν. Ἡρόδοτος πρώτῃ (c. 125, ubi ἀρτέαται legitur). l. 35 cf. Hesych. Βαρκαίοις ὄχοις. l. 35 cf. Mein. Anal. Alex. p. 289.

Βοῦρα πόλις Ἀχαΐας. τὸ ἐθνικὸν Βουραῖος. Λυκόφρων (v. 591) «Δύμη τε Βουραίοισιν ἡγεμὼν στόλου».

Γάζα. ὁ πολίτης Γαζαῖος. λέγονται καὶ Γαζηνοί παραλόγως ὡς Παυσανίας. λέγονται καὶ Γαζῖται παρὰ τοῖς ἐγχωρίοις. καὶ οἱ κέραμοι λέγονται Γαζῖται. καί ἐστιν ὅμοιον τῷ Αἰγινῆται καὶ Αἰγιναῖοι κατὰ τὴν διαφοράν, ἐναντίον δὲ τὸ τῶν τύπων· οἱ μὲν γὰρ πολῖται Αἰγινῆται καὶ Γαζαῖοι, οἱ δὲ κέραμοι Γαζῖται καὶ Αἰγιναῖοι. εἰσὶ καὶ διὰ τοῦ η ἔθνος Γαλατῶν χρυσοφοροῦν, ὡς Εὐφορίων. λέγονται καὶ διὰ τοῦ α Γαζᾶται, ὡς πολυίστωρ.

Γαλάδραι πόλις Μακεδονίας. ὁ πολίτης Γαλαδραῖος. Λυκόφρων «καὶ Γαλαδραῖον πέδον» (v. 1342).

Γενέση πόλις Λακωνικῆς. τὸ ἐθνικὸν Γενεσαῖος ὡς Τεμεσαῖος. ἄμεινον δὲ διὰ τὴν χώραν Γενεσάτης.

Δεξαμεναί μέρος τῆς Ἀμβρακίας. τὸ ἐθνικὸν Δεξαμεναῖος, ὡς Ἀριστοτέλης φησὶν ἐν τῇ Ἀμβρακιωτῶν πολιτείᾳ.

Δίνδυμα ὄρη τῆς Τρωάδος. τὸ ἐθνικὸν Δινδυμαῖος καὶ Δινδυμναῖος. εἴη δ' ἂν καὶ Δινδυμηνός, ὅτι καὶ τὴν θεὸν Δινδυμήνην λέγουσι.

Δολίχη νῆσος πρὸς τῇ Λυκίᾳ καὶ πόλις τῆς Κομμαγηνῆς. τὸ ἐθνικὸν Δολιχαῖος Ζεύς. οἱ δ' ἐπιχώριοι Δολιχηνοί λέγουσι· τῆς δὲ Λυκιακῆς Δολίχης Δολιχεύς. ὁ γὰρ τύπος συνήθης τοῖς Λυκίοις, τῆς δὲ Δολιχίστης Δολιχιστεύς.

Δύμη πόλις Ἀχαΐας. ὁ πολίτης Δυμαῖος. Ἔφορος κδ' «παραγινομένης δὲ τῆς στρατιᾶς εἰς τὴν Δύμην, πρῶτον μὲν οἱ Δυμαῖοι καταπλαγέντες». καὶ Παυσανίας ζ' (17, 6) «Οἰβώτᾳ ἀνδρὶ Δυμαίῳ σταδίου μὲν ἀνελομένῳ νίκην» καὶ πάλιν (17, 9) «Δυμαίοις μέν ἐστιν Ἀθηνᾶς ναὸς καὶ ἄγαλμα». καὶ ἐν τῷ η' (1, 2) «τὰ δὲ πρὸς Ἀχαΐαν Δυμαίων εἰσὶν ὅμοροι». καὶ Ἀπολλόδωρος ἢ ὁ τὰ τούτου ἐπιτεμνόμενος «τὴν δὲ χώραν ἔχουσι Δυμαῖοι». καὶ Φίλιστος Σικελικῶν α' «ἐπὶ τῆς ὀλυμπιάδος ἣν Οἰβώτας ὁ Δυμαῖος ἐνίκα στάδιον». καὶ Ἀπολλόδωρος ἐν χρονικῶν α' «πόλεμος ἐνέστη τοῖς τε Δυμαίοις ὅθεν...» καὶ Θεόπομπος μ' «προστάται δὲ τῆς πόλεως ἦσαν τῶν μὲν Συρακοσίων Ἄθηνις καὶ Ἡρακλείδης, τῶν δὲ μισθοφόρων Ἀρχέλαος ὁ Δυμαῖος». τὸ θηλυκὸν Δυμαία. Εὐφορίων «ἤ τις ἔχεις κληῖδας ἐπιζεφύροιο Δυμαίης» διὰ τὸ πρὸς δύσιν ἐπίζέφυρον κεῖσθαι λέγων. λέγεται καὶ Δύμιος ὡς Βοίβη Βοίβιος. Ἀντίμαχος ἐν ε' Θηβαΐδος

ἐν δέ νυ τοῖσι μάλα πρόφρων ἐπίκουρος ἀμορβέων
ὠμίλης', εἵως διεπέρσατε Δύμιον ἄστυ.

Δωδώνη. τῆς Δωδώνης τὸ ἐθνικὸν Δωδωναῖος. Ἑκαταῖος Εὐρώπῃ «Μολοσσῶν πρὸς μεσημβρίης οἰκέουσι Δωδωναῖοι». καὶ Ὅμηρος «Ζεῦ ἄνα Δωδωναῖε» (Π 233) καὶ Κρατῖνος Ἀρχιλόχοις (Com. ed. Mein.

l. 18 sic Lob. Proll. 196. l. 35 κεῖσθαι λέγων add. Mein.

II 20) «Δωδωναίῳ κυνὶ βωλοκόπῳ, τίτθη, γεράνῳ προσέοικας». Ἀπολλόδωρος δὲ ἐν α΄ περὶ θεῶν τὸν Δωδωναῖον οὕτος ἐτυμολογεῖ «καθάπερ οἱ τὸν Δία Δωδωναῖον μὲν καλοῦντες ὅτι δίδωσιν ἡμῖν τὰ ἀγαθά, Πελασγικὸν δὲ ὅτι τῆς γῆς πέλας ἐστίν».

Ἐλένη νῆσος τῆς Ἀττικῆς. τὸ ἐθνικὸν Ἐλεναῖος ὡς Κασμεναῖος ἢ Ἐλενίτης ἢ Ἐλένειος.

Ἐπιπολαί χωρίον προσεχὲς Συρακούσαις. τὸ ἐθνικὸν Ἐπιπολαῖος τῷ κοινῷ τύπῳ.

Ἐρυσίχη πόλις Ἀκαρνανίας. τὸ ἐθνικὸν Ἐρυσιχαῖος, περὶ οὗ Ἡρωδιανός φησιν ὅτι σεσημαίωται τὸ Ἐρυσίχαιος προπαροξυνόμενον ἐν τοῖς ἐθνικοῖς. μήποτε οὖν τὸ χαῖον ἐγκεῖσθαι, ὅ ἐστιν ἡ βουκολικὴ ῥάβδος καὶ τὸν ἐρύσω μέλλοντα. διχῶς οὖν ἔσται, ὥς ἐστι δῆλον παρ' Ἀλκμᾶνι ἐν ἀρχῇ τοῦ δευτέρου τῶν παρθενείων ᾀσμάτων· φησὶ γάρ

οὐκ ἦς ἀνὴρ ἄγροικος οὐδέ
σκαιὸς οὐδὲ παρὰ σοφοῖσιν, οὐδὲ Θεσσαλὸς γένος,
οὐδ' Ἐρυσιχαῖος οὐδὲ ποιμήν.

εἰ γὰρ τῷ «Θεσσαλὸς γένος» συναπτέον, ἐθνικόν ἐστι καὶ προπερισπάσθω.

Εὐθηναί πόλις Καρίας. τὸ ἐθνικὸν καθ' ἡμᾶς Εὐθηναῖος, κατ' ἐκείνους δὲ Εὐθηνεύς. Πολέμων δὲ καὶ Εὐθηνίτας φησίν.

Ἐχῖναι νῆσοι περὶ τὴν Αἰτωλίαν. λέγονται καὶ Ἐχινάδες. τὸ ἐθνικὸν τοῦ Ἐχῖναι Ἐχιναῖος, τοῦ δ' Ἐχινάδες Ἐχιναδεύς ὡς Ἀρκαδεύς ἢ Ἐχινάδιος.

Ἐχῖνος πόλις Ἀκαρνανίας. ὁ πολίτης Ἐχιναῖος ὡς χέρσος χερσαῖος, Ἄπρος Ἀπραῖος, Κύφος Κυφαῖος. καὶ ἀπὸ τοῦ Ἐχιναῖος Ἐχιναιεύς ὡς Κρηταῖος Κρηταιεύς.

Θύμβρα πόλις Τρῳάδος. Ἀπόλλων Θυμβραῖος. λέγεται καὶ διὰ τοῦ $\bar{\zeta}$ Ζυμβραῖος. λέγεται καὶ Θύμβριος. Ἑλλάνικος δὲ Δύμβριός φησι διὰ τοῦ $\bar{\delta}$ καὶ Δυμβριεύς.

Ἰθώμη πόλις Μεσσήνης. τὸ ἐθνικὸν Ἰθωμαῖος καὶ Ἰθωμήτης διὰ τοῦ $\bar{\eta}$ καὶ Δωρικῇ τροπῇ Ἰθωμάτας, ἀφ' οὗ ὁ πολίτης Ἰθωμάτας καὶ Ζεὺς Ἰθωμάτας.

Ἰτέα δῆμος. ὁ δημότης Ἰτεαῖος. Ἀνδροτίων δὲ τρισυλλάβως ἔφη.

Κάλυδνα νῆσος. ὁ πολίτης Καλυδναῖος καὶ Καλυδνεὺς ὁ Ἀπόλλων καὶ Καλύδνιος, ὡς Ἀνδροτίων ἕκτῃ Ἀτθίδος.

Καρήνη πόλις Μυσίας. τὸ ἐθνικὸν Καρηναῖος, ὡς Κρατερὸς γ΄ περὶ ψηφισμάτων «Γρυνεῖς Πιταναῖοι Καρηναῖοι».

Κορόπη πόλις Θεσσαλίας. ὁ πολίτης Κοροπαῖος. Νίκανδρος ἐν Θηριακοῖς (613) «ἣ ἐν Ἀπόλλων μαντείας Κοροπαῖος ἐθήκατο καὶ θέμιν ἀνδρῶν». λέγεται δὲ κατ' ἔλλειψιν τοῦ $\bar{\kappa}$ Ὀροπαῖος.

Κρῆσσα πόλις Παφλαγονίας. Δημοσθένης γράφει .... τὸ ἐθνικὸν Κρησσαῖος.

---

l. 1 προσέοικας Meinek. l. l.

Κρηστώνη πόλις Θράκης. ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ. Ῥιανὸς δὲ Κρηστωνίους αὐτούς φησιν. Ἑκαταῖος δὲ Κρηστῶνας αὐτοὺς ἐν Εὐρώπῃ.

Κύφος πόλις Περραιβίας. ὁ πολίτης Κυφαῖος. Λυκόφρων (v. 897) «ἐν ᾧ Κυφαίων δύσμορον στρατηλάτην».

Λάμπη πόλις Κρήτης. τὸ ἐθνικὸν Λαμπαῖος. Κλαύδιος δὲ Ἰούλιος Λαμπέας αὐτούς φησι.

Λῆνος χωρίον τῶν Πισατῶν. ὁ πολίτης Ληναῖος. Φλέγων μη' ὀλυμπιάδι.

Λίγγος φρούριον Κασσανδρέων. τὸ ἐθνικὸν Λιγγαῖος. Ἀπολλόδωρος ἐν χρονικῶν τρίτῳ. ἔστι δὲ καὶ Λίγγιος καὶ Λίγγιος κόλπος.

Λίμναι πόλις ἐν Ἑλλησπόντῳ, ἔνθα ὁ Διόνυσος ἐτιμᾶτο· Καλλίμαχος «Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς».

Λογγώνη Σικελίας πόλις. ὁ πολίτης Λογγωναῖος. Φίλιστος δεκάτῳ.

Νακόνη πόλις Σικελίας. τὸ ἐθνικὸν Νακοναῖος. Φίλιστος ἕκτῳ Σικελικῶν.

Νεῖλος πόλις Αἰγύπτου. τὸ ἐθνικὸν τῆς πόλεως Νειλοπολίτης. εἰ δὲ ἡ πόλις μόνη κέκληται, ὀφείλει ἕπεσθαι τῷ κτητικῷ τοῦ ποταμοῦ Νειλαῖος, ὡς Ἀπολλώνιός φησιν «ὅσα γὰρ τῶν κτητικῶν παράγεται διὰ τοῦ ῑ ἢ παρὰ τὴν γενικὴν τοῦ πρωτοτύπου ἢ τὴν εὐθεῖαν, ταῦτα μόνον διὰ τοῦ ῑ ἐκφέρεται, Ποσειδώνιος, Ἑλικώνιος, Σάκιος. τὰ δὲ φύσει μακρᾷ ἢ διφθόγγῳ παραληγόμενα οὐδέποτε τὸ προκείμενον σχῆμα ἀποτελεῖ. οὐδὲ γὰρ τὸ κηπαῖος καὶ Νηλαῖος ἐθνικὸν αὐτὸ ἀναλόγως παραλαμβάνει».

Νίψα πόλις Θράκης. ὁ πολίτης Νιψαῖος. Ἡρόδοτος τετάρτῃ (c. 93).

Νόαι πόλις Σικελίας. τὸ ἐθνικὸν Νοαῖος. ὁ τύπος γὰρ οὐκ ἀήθης αὐτοῖς. Ἀπολλόδωρος δευτέρῳ χρονικῶν.

Νώνυμνα πόλις Σικελίας. ὁ πολίτης Νωνυμναῖος ὡς Φίλιστος.

Ξιφήνη χώρα Παλαιστίνης. Ἰώσηπος ἕκτῳ Ἰουδαϊκῆς ἱστορίας (c. 13) τὸ ἐθνικὸν Ξιφηναῖός φησι.

Οἰνώνη νῆσος τῶν Αἰακιδῶν. οἱ οἰκήτορες Οἰνωναῖοι, ὡς Παρθένιος Ἡρακλεῖ.

Οἴτη ὄρος περὶ Τραχῖνα. οἱ οἰκοῦντες Οἰταῖοι. Σοφοκλῆς (Philoct. 453) «ἐγὼ μὲν ὦ γένεθλον Οἰταίου πατρός».

Σκέμψα πόλις Θράκης. τὸ ἐθνικὸν Σκεμψαῖος καὶ «Σκέμψιοι, Δαυνιοτειχῖται».

Σκίθαι πόλις Θράκης. ὁ πολίτης Σκιθαῖος, ὥς φησι Θεόπομπος.

Στῆλαι πόλις Κρήτης. τὸ ἐθνικὸν Στηλαῖος ὡς Λάμπη Λαμπαῖος. ἀλλὰ καὶ Στηλίτης ὡς παρὰ τὸ ἄγαλμα ἢ τὸν λίθον, ἀφ' οὗ τὸ στηλιτεύω.

Στράμβαι πόλις Θράκης. τὸ ἐθνικὸν «Σταγειρῖται, Στραμβαῖοι».

---

l. 1 Mein. Πεισάνδρῳ? l. 19 cf. Philol. XXII p. 344.

Cυκαί. ὁ πολίτης ὤφειλε Cυκαῖος. ἔςτι δὲ νῦν Cυκαΐτης, ὅπερ ἐςτὶν ἀπὸ τῆς Cυκαῖος ὡς Θηβαῖος Θηβαΐτης.

Τραγαςαί χωρίον ἐν ἠπείρῳ. ὁ οἰκήτωρ Τραγαςαῖος. Ἀριςτοφάνης Ἀχαρνεῦςι (v. 853).

Τυρόδιζα πόλις Θρᾴκης. τὸ ἐθνικὸν ἔδει Τυροδιζαῖος ὡς Γαζαῖος. νῦν δὲ Τυροδιζηνοί λέγονται ὡς Κρατερὸς ἐν θ' περὶ ψηφιςμάτων.

Φαλάκραι ἄκρα τῆς Ἴδης. ὁ ἐκ τόπου Φαλακραῖος. Λυκόφρων (1170) «ςτερρὰν κύβηλιν ἢ Φαλακραῖον κλάδον» καὶ θηλυκῶς «Φαλακραῖοι κόραι» (Lycophr. 24) καὶ οὐδέτερον.

Φιδήνη πόλις Ἀλβανῶν. τὸ ἐθνικὸν Φιδηναῖος. ἔοικε καὶ Φίδηνα λέγεςθαι ὡς Ῥάβεννα καὶ Φιδηνάτης ὡς Ῥαβεννάτης· οὕτω γὰρ Χάραξ ιβ' κέχρηται Φιδηνάτης.

Χάλαςτρα πόλις Θρᾴκης. ὁ πολίτης Χαλαςτραῖος. Λυκόφρων (1441) «Θεςπρωτὸς ἄμφω καὶ Χαλαςτραῖος λέων».

Χάραδρα πόλις Φωκίδος. τὸ ἐθνικὸν Χαραδραῖος. ἐπάγει γὰρ Χαραδραίοις (Pausan. X 33, 3).

Περὶ τῶν εἰς ῑος.

Ἀγηςςός πόλις Θρᾴκης. τὸ ἐθνικὸν Ἀγήςςιος ὡς [Ἀςςήςιος] Ταρτήςςιος. ἢ Ἀγαςςίτης ὡς Ὀδηςςίτης διὰ τὸ ὁμοεθνές.

Ἀγκύριον πόλις Ἰταλίας. δύναται ὁ πολίτης Ἀγκύριος ὡς Βυζάντιος ἢ Ἀγκυριεύς ὡς Κιτιεύς, Δουλιχιεύς, Cιγριεύς, Cουνιεύς. ἀλλ' ἄμεινον διὰ τὸ τῆς χώρας ἔθος Ἀγκυριανός ὡς Ἀδριανός, εἰ μὴ ὡς παρὰ τὸ Ῥήγιον Ῥηγῖνος, Μεταπόντιον Μεταποντῖνος. Ἰταλοὶ γὰρ μάλιςτα τούτῳ φιληδοῦςι τῷ τύπῳ.

Ἀγκών πόλις Πικεντίνων. τὸ ἐθνικὸν Ἀγκώνιος ὡς Ἀντρώνιος ὄνος ἡ παροιμία, Καλυδώνιος. λέγεται δὲ καὶ Ἀγκωνίτης ὡς Ἀρτεμίδωρος.

Ἀγνοῦς δῆμος. ὁ δημότης Ἀγνούςιος ὡς Ῥαμνούςιος. ἀπὸ γενικῆς προςόδῳ τοῦ ῑ τοῦ τ̄ φυλαςςομένου, ὡς ἐν τῷ Cελινούντιος, Ὀπούντιος, Ἱεριχούντιος, τρεπομένου δὲ εἰς c̄ καὶ τοῦ πρὸ αὐτοῦ ν̄ ὑφαιρουμένου, Ἁλιμούςιος, Φηγούςιος. διακρίνεται ἡ τροπὴ τῷ ἀδιαιρέτῳ τοῦ πρωτοτύπου, ὅπερ Ἀττικοὶ φιλοῦςι. παρ' αὐτοῖς γὰρ οὐ λέγεται Ἀγνόεις ἢ Φηγόεις ἢ Μυρρινόεις. ὅθεν οὐδὲ διὰ τοῦ τ̄ λέγεται Cιμούντιος, ἀλλὰ διὰ τοῦ c̄ μετὰ τῆς ὑφέςεως τοῦ ν. τὸ δὲ Cιμοῦς Cιμόεις διαιρεῖται καὶ Ὀποῦς Ὀπόεις. τάχα δὲ καὶ τὰ δοκοῦντα διαιρεῖςθαι κυριώτερα καθέςτηκεν, ὅθεν μετὰ τοῦ τ̄ λέγεται Cιμούντιος. οὐ γὰρ Ἀττικὰ ταῦτα.

Ἀδρανόν πόλις Cικελίας. λέγεται καὶ ἀρςενικῶς. ὁ πολίτης Ἀδράνιος. Ἀπολλόδωρος δὲ Ἀδρανίτας φηςὶ τὸ ἐθνικόν.

Αἰγίλιψ. τὸ ἐθνικὸν Αἰγιλίπιος ὡς Κίνυφος Κινύφιος, Ἄραβος Ἀράβιος, Φρυγός Φρύγιος καὶ τῶν ὁμοίων.

Αἴγυπτος. τὸ ἐθνικὸν Αἰγύπτιος. ὡς ἔχει τὸ ἰαμβεῖον «δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι».

Ἀκέλης, Ἀκέλητος πόλις Λυδίας. οἱ πολῖται Ἀκέλητες. Ἡρωδιανὸς δ' Ἀκελήσιός φησιν ὡς Μενδήσιος.

Ἀκυληΐα πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ἀκυλήϊος ὡς Μεσσαπία Μεσσάπιος, Λευτερνία Λευτέρνιος καὶ Λυκία Λύκιος. λέγεται καὶ Ἀκυλεήσιος Ἰταλικῷ τύπῳ.

Ἀμάρυνθος νῆσος Εὐβοίας. τὸ ἐθνικὸν Ἀμαρύνθιος καὶ Ἀμαρύσιος ὡς Τρικορύσιος. οὕτω γὰρ Παυσανίας ἐν πρώτῃ (31, 5). ἀναλογώτερον δέ μοι δοκεῖ τὸ διὰ τοῦ σ̄.

Ἄμφρυσος πόλις Φωκίδος. τὸ ἐθνικὸν Ἀμφρύσιος, ὡς Λυκόφρων (v. 900) «Ἀμφρυσίων σκηπτοῦχον Εὐρυαμπίων». ἔστι καὶ Ἀμφρυσεύς.

Ἀναγυροῦς δῆμος. ὁ δημότης Ἀναγυρουντόθεν· λέγεται καὶ Ἀναγυράσιος. ἐζήτηται δὲ πῶς ἔχει τὸ ᾱ, ἔδει γὰρ ὡς Ῥαμνούσιος. ἀλλ' ἔοικε τὸ ρ̄ αἴτιον εἶναι, φιληδοῦν τῇ συντάξει τοῦ ᾱ.

Ἀπαισός. Παῖσος πόλις τῆς Δαυνίας, ἧς τὸ ἐθνικὸν Παίσιος ὡς Ῥωσοῦ Ῥώσιος ἢ ὅπερ ἄμεινον Παισῖνος, διὰ τοῦ ῑ καὶ προπερισπωμένως τῷ ἔθει τῆς χώρας. τῆς δὲ Ἀπαισός πόλεως κατὰ τὴν Τρωάδα Ἀπαισηνός.

Ἀρία Περσικὴ χώρα ὡς Ἑλλάνικος. τὸ ἐθνικὸν Ἄριοι, ὡς αὐτός φησι, καὶ Ἀριεύς.

Ἀρμενία χώρα. οἱ οἰκήτορες Ἀρμένιοι ὡς Εὔδοξος πρώτῃ γῆς περιόδου «Ἀρμένιοι δὲ τὸ μὲν γένος ἐκ Φρυγίας καὶ τῇ φωνῇ πολλὰ φρυγίζουσι. παρέχονται δὲ λίθον τὴν γλύφουσαν καὶ τρυπῶσαν τὰς σφραγῖδας». καὶ Ἀρμενία τὸ θηλυκὸν παρὰ Ξενοφῶντι.

Ἄσβωτος πόλις Θεσσαλίας. τὸ ἐθνικὸν Ἀσβώτιος. Εὐφορίων Θρᾳκί

> τὸν μὲν ἄρ' ἐκ φλοίσβου Ἀσβώτιοι ὦκα φέροντες
> ὑστάτιον ῥώσαντο κονισαλέῃσιν ἐθείραις
> ἵπποι καλὰ νάουσαν ἐπορνύμενοι Φυσάδειαν.

περὶ τῶν ἵππων Ἀμφιαράου.

Ἄσπενδος. ὁ πολίτης Ἀσπένδιος. Θεόπομπος τετάρτῃ Ἑλληνικῶν «ἀποτυχὼν δὲ τῶν Ἀσπενδίων».

Ἀσσησός πόλις Μιλησίας γῆς. ὁ οἰκήτωρ Ἀσσήσιος. καὶ Ἀσσησία Ἀθηνᾶ παρ' Ἡροδότῳ (I 19).

Αὐενιών πόλις Μασσαλίας. τὸ ἐθνικὸν Αὐενιωνήσιος τῷ ἐπιχωρίῳ καὶ Αὐενιωνίτης τῷ Ἕλληνι τύπῳ.

Αὐσών ὁ Ἰταλός — καὶ Αὐσόνιος καὶ Αὐσονία ἡ χώρα, ἀφ' οὗ Αὐσονιεύς. καὶ Αὐσόνειος, Λυκόφρων (1047) «ὁ δ' Αὐσονείων

l. 3 versus Aeschyli ap. schol. Arist. Nub. 1128. l. 16 cf. Φλιοῦς.

ἄγχι Κάλχαντος τόπων». καὶ Αὐσονίτης, ὁ αὐτός (593) «παρ' Αὐσονίτην Φύλαμον δομήσεται». καὶ Αὐσονῖτις θηλυκὸν καὶ Αὐσόνιος κτητικόν.

Ἀχραδοῦς δῆμος. ὁ δημότης Ἀχραδούσιος. Ἀριστοφάνης Ἐκκλησιαζούσαις (361) «νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν, ὅστις πότ' ἐστ' ἄνθρωπος Ἀχραδούσιος», ἀντὶ τοῦ Ἀχερδούσιος.

Βηρυτός πόλις Φοινίκης. ὁ πολίτης Βηρύτιος ὡς Αἰζώτιος Αἰγύπτιος. σεσημείωται τὸ Μιλήσιος ἐν τοῖς τοπικοῖς, ὅτι ἐτράπη ὡς τὸ Θεοδόσιος Ἀθανάσιος Ἀμβρόσιος. τὸ γὰρ θεόδοτος καὶ ἀθάνατος καὶ ἄμβροτος σύνθετα. τὸ δὲ χαρίσιος οὐ τοπικόν.

Βίεννος πόλις Κρήτης. ὁ πολίτης Βιέννιος «οἱ δὲ τιμὰς ἀποπέμπειν τῷ τε μιλίῳ Διῒ καὶ Βιεννίῳ». ἔστι καὶ ἑτέρα πόλις ἐν Γαλλίᾳ τὸ ἐθνικὸν ὁμοίως Βιέννιος, εἰ μὴ κατὰ τὸν ἐγχώριον τύπον Βιεννήσιος ὡς Λουγδουνήσιος. τῆς δὲ Βιέννης Βιενναῖος.

Βολισσός. τὸ ἐθνικὸν τῇ τέχνῃ Βολίσσιος ὡς Λυρνήσσιος, Βολισσεύς ὡς Ἁλικαρνασσεύς καὶ Βολισσίτης ὡς Ὀδησσίτης. χρηστέον δὲ τῷ προτέρῳ διὰ τὸ σύνηθες.

Βουβών πόλις Λυκίας. ὁ πολίτης ὤφειλε Βουβώνιος, εἴρηται δὲ Βουβωνεύς. χαίρουσι γὰρ οἱ Λύκιοι τῷ τύπῳ.

Βοῦννος πόλις Ἰλλυρίας. τὸ ἐθνικὸν Βούννιος, ὡς Ἀρτεμίδωρος ἐν πρώτῃ γεωγραφουμένων.

Βρέττος πόλις Τυρρηνῶν. οἱ οἰκοῦντες Βρέττιοι καὶ ἡ χώρα Βρεττία καὶ ἡ γλῶσσα. Ἀριστοφάνης «μέλαινα δεινὴ γλῶσσα Βρεττία παρῆν».

Βυβασσός πόλις Καρίας. τὸ ἐθνικὸν Βυβάσσιος. Ἔφορος δὲ Βύβαστόν φησι καὶ Βυβάστιον.

Βύβλος πόλις Φοινίκης. τὸ ἐθνικὸν Βύβλιος ἢ Βυβλίτης τῷ τύπῳ τῷ Αἰγυπτιακῷ.

Βυζάντιον. τό ἐθνικὸν ἀπὸ τοῦ Βύζας Βυζάντιος διὰ τοῦ ι, τὸ δὲ κτητικὸν διὰ διφθόγγου. τὸ δὲ Βυζάντιος ἐθνικὸν τριγενές. ἀπὸ δὲ τοῦ Βυζάντιος Βυζαντία Βυζαντιανός καὶ Βυζαντειανός δεῖ διφθόγγου ὡς Ἡρακλειανός. ἔστι γὰρ καὶ Βυζάντεια διὰ διφθόγγου ἐπὶ τῆς χώρας.

Βόσπορος. τὸ ἐθνικὸν Βοσπόριος καὶ Βοσποριανός καὶ Βοσπορανός καὶ Βοσπορηνός. διχῶς γὰρ καὶ διὰ τοῦ α καὶ διὰ τοῦ η ὡς Τιβαρανός καὶ Τιβαρηνός. Ἔφορος ἐν πέμπτῳ «Τιβαρηνοὶ καὶ τὸ παίζειν καὶ τὸ γελᾶν εἰσιν ἐζηλωκότες καὶ μεγίστην εὐδαιμονίαν τοῦτο νομίζουσιν. ὅμοροι δὲ τούτοις Χάλυβες καὶ τὸ τῶν Λευκοσύρων ἔθνος».

Γέα πόλις ἐν Ἀραβίᾳ. τὸ ἐθνικὸν Γέϊος. κατὰ ἀναλογίαν δ' ἔδει Γεάτης ὡς Τεγεάτης.

Γέργις Γέργιθος πόλις Τροίας. λέγεται καὶ ἡ Γέργιθος. ὁ πολίτης Γεργίθιος. ἔστι καὶ ἄλλο Γεργίτης. ἔστι καὶ Γεργιθεύς.

---

l. 5 ἀντὶ τοῦ Ἀχερδούσιος Mein. l. 11 Mein. τῷ τε Μιλησίῳ? l. 22 pro γλῶσσα Mein. scribi vult πίσσα. l. 34 Ἔφορος — l. 36 ἔθνος adieci ex articulo Τιβαρηνία.

Γρηcῖνος πόλις Χερρονήcου. τὸ ἐθνικὸν Γρηcίνιος, ὡς Ἀνδροτίων ἕκτῳ Ἀτθίδος.

Δαύνιον πόλις Ἰταλίας. τὸ ἐθνικὸν Δαύνιοι καὶ Δαυνῖται κατὰ cυγκοπὴν ἀπὸ τοῦ Δαυνιᾶται.

Δῆλος. Δήλιος. καὶ Δηλίτης ὁ εἰς Δῆλον ἐρχόμενος χορός, Καλλίμαχος τρίτῳ.

Δριλώνιος πόλις Κελτική. τὸ ἐθνικὸν Δριλώνιος ὡς Θεόπομπος μγ΄.

Δρυμία πόλις Φωκίδος. Παυςανίας ι΄ (c. 33, 12) «Δήμητρος δὲ θεςμοφόρου Δρυμίοις ἱερόν ἐςτιν ἀρχαῖον». τὸ ἐθνικὸν Δρυμιεύς ἐκ τοῦ θηλυκοῦ καὶ τοῦ οὐδετέρου.

Δυρράχιον πόλις Ἰλλυρική. λέγεται καὶ ἡ χώρα τῆς Ἰλλυρίας Δυρραχία. Εὐφορίων «ἄςτεα Δυρραχίης τε καὶ ἔθνεα Ταυλαντίνων». καὶ δῆλον ὅτι Δυρράχιος τὸ τούτου ἀρςενικόν, ὡς τοῦ Ἀνακτόριον τὸ Ἀνακτόριος, Βυζάντιον Βυζάντιος, Θούριον Θούριος, Κούριον Κούριος. ὅμως δὲ νῦν Δυρραχηνοί λέγονται. οὕτω γὰρ καὶ Βάλακρος ἐν Μακεδονικοῖς φηςι «καὶ τούτων αἱ πόλεις Δυρραχηνοῖς τε καὶ Ἀπολλωνιάταις ἐπιδιῄρηνται». καὶ Ἑρέννιος Φίλων ἐν τοῖς Ἰατρικοῖς «Ἀςκληπιάδης ἀκουςτὰς ἔςχε Τίτον Αὐφίδιον Cικελὸν καὶ Φιλωνίδην Δυρραχηνὸν καὶ Νίκωνα Ἀκραγαντῖνον». καὶ πάλιν «Φιλωνίδης δὲ ὁ Δυρραχηνὸς ἤκουςε μὲν Ἀςκληπιάδου, ἰατρεύςας δὲ ἐν τῇ πατρίδι ἐνδόξως cυνετάξατο βιβλία με΄».

Δώριον πόλις. τὸ ἐθνικὸν Δώριος καὶ Δωριεύς καὶ Δωριάν.

Ἑλίκη πόλις Πελοποννήςου. ὁ πολίτης Ἑλικώνιος ἀπὸ τοῦ κτιςτοῦ Ἑλικῶνος. ἴςως δὲ τοῦτο ἀπὸ τοῦ ὄρους γέγονεν. ἔςτω οὖν Ἑλικεύς ἢ Ἑλικωνίτης. ἴςως ἀπὸ τοῦ Ἑλικώνιος. ἢ Ἑλικήςιοι.

Ἐπίδαμνος πόλις Ἰλλυρίας. τὸ ἐθνικὸν Ἐπιδάμνιος. εὕρηται παρὰ Παρθενίῳ καὶ διὰ διφθόγγου.

Ἐπίδαυρος πόλις πρὸς τῷ Ἄργει. ὁ πολίτης Ἐπιδαύριος. καὶ Ἐπιδαυριώτης φαςίν.

Εὐρύαμπος πόλις Μαγνηςίας. ὁ πολίτης Εὐρυάμπιος. Λυκόφρων (900) «Ἀμφρυςίων ςκηπτοῦχον Εὐρυάμπιον».

Εὐρυμέδων ποταμὸς Παμφυλίας. τὸ ἐθνικὸν Εὐρυμεδόντιος. ἀπὸ δὲ Εὐρυμηδοῦντος Εὐρυμηδούντιος.

Ἔφεςος. τὸ ἐθνικὸν Ἐφέςιος. εὕρηται καὶ Ἐφέςεια διὰ διφθόγγου. οὕτω γὰρ ἐν Ἀλεξάνδρῳ Cοφοκλῆς. λέγεται καὶ Ἐφεςίτης, ὡς Ἅβρων φηςί, καὶ Ἐφεςεύς ὡς Ταρςός Ταρςεύς, Ἁλικαρναςςός Ἁλικαρναςςεύς.

Ζάρηξ πόλις Λακωνική. τὸ ἐθνικὸν Ζαρήκιος ἀπὸ τῆς γενικῆς ὡς Θράκιος.

Ἡςςός πόλις Λοκρίδος. τὸ ἐθνικὸν Ἥςςιος. Θουκυδίδης τρίτῃ (101).

Θράμβος ἀκρωτήριον Μακεδονίας. τὸ τοπικὸν Θραμβούςιος. ὁ γὰρ διὰ τοῦ cιος τύπος δύο cυλλαβαῖς, εἰ μή τις βραχεῖα παραγωγὴ γέ-

l. 33 Εὐρυμηδοῦντος scripsi pro Εὐρυμήδους, quod apud Meinekium legitur.

νοιτο, τοῦ πρωτοτύπου περιττεύει. cεcημείωται τὸ Περκώcιοc καὶ Κριθώcιοc ἀπὸ τοῦ Περκώτη καὶ Κριθώτη.

Θριοῦc πόλιc Ἠλείαc. τὸ ἐθνικὸν Θριούντιοc καὶ Θριάcιοc.

Ἰθάκη νῆcοc. τὸ ἐθνικὸν Ἰθακήcιοc καὶ «Ἴθακοc Ὀδυccεύc» ὁμοφώνωc τῷ οἰκιcτῇ.

Ἴκαροc νῆcοc. ὁ πολίτηc Ἰκάριοc «πόντου Ἰκαρίοιο» (Β 145).

Ἰξίαι χωρίον τῆc Ῥόδου. Ἴξιοc Ἀπόλλων ὡc Ἀρτεμίδωροc δεκάτῳ γεωγραφουμένων.

Ἱcτόc νῆcοc Λιβύηc. τὸ ἐθνικὸν Ἵcτιοc τῷ λόγῳ τῶν εἰc ōc διcυλλάβων ἐπὶ νήcων Ἴμβριοc, Ἄνδριοc.

Καβελλιὼν πόλιc Μαccαλίαc. τὸ ἐθνικὸν κατὰ τὸν ἐπιχώριον τύπον Καβελλιωνήcιοc ὡc Ταρρακωνήcιοc, κατὰ δὲ τὸν Ἑλληνικὸν Καβελλιωνίτηc ὡc Ταρρακωνίτηc.

Καοῦc κώμη Ἀρκαδίαc. ὁ πολίτηc Καούcιοc. ἐκεῖ γὰρ οὕτωc Ἀcκληπιὸc τιμᾶται Καούcιοc, ὡc Παυcανίαc ὀγδόῳ (25, 1).

Καρία. Κάρ. λέγεται καὶ Κάριοc καὶ Καριάτηc.

Κάρυcτοc πόλιc Εὐβοίαc. τὸ ἐθνικὸν Καρύcτιοc «ἐν ᾧ τὸ λατόμιον τῶν Καρυcτίων κιόνων».

Κάcτνιον ὄροc τῆc Παμφυλίαc. τὸ ἐθνικὸν Κάcτνιοc καὶ Κάcτνιον, ἐξ οὗ καὶ Καcτνιήτηc. ἔδει δὲ Καcτνιώτηc ὡc Πηλιώτηc.

Κόριον τόποc ἐν Κρήτῃ ἀπὸ κόρηc τινόc. ὁ πολίτηc Κορήcιοc. καὶ Ἀθηνᾶc ἱερὸν Κορηcίαc. ταῦτα δὲ ἀπὸ τοῦ κόρη γέγονεν. ἀπὸ δὲ τοῦ Κόριον τὸ ἀνάλογον Κοριεύc.

Κυτώνιον πόλιc μεταξὺ Μυcίαc καὶ Λυδίαc. τὸ ἐθνικὸν ὅμοιον τῷ ἡγουμένῳ.

Λιθήcιοc ὁ Ἀπόλλων ἐν τῷ Μαλέα λίθῳ προcιδρυμένοc ἐκεῖ. Ῥιανὸc Ἠλιακῶν τρίτῳ. ὡc γὰρ ἀπὸ τοῦ Μάραθοc Μαραθήcιοc, οὕτω καὶ τοῦτο.

Λυρνηccὸc πόλιc Τρωϊκή. τὸ ἐθνικὸν Λυρνήccιοc. Αἰcχύλοc δὲ Πέρcαιc (324) ὡc ἀπὸ τοῦ Λύρνα ἢ Λύρνη Λυρναῖοc.

Μεccαπία χώρα Ἰαπυγίαc. τὸ ἐθνικὸν Μεccάπιοc. Παυcανίαc δεκάτῳ (7, 8).

Μίλκωροc Χαλκιδικὴ πόλιc ἐν Θρᾴκῃ. ὁ πολίτηc Μιλκώριοc. Θεόπομποc κε΄ Φιλιππικῶν.

Μυκάλη πόλιc Καρίαc. τὸ ἐθνικὸν Μυκαλήcιοc ὡc Ἰθακήcιοc. Τρύφων δὲ Μυκαλεύc φηcιν ἐν παρωνύμοιc.

Νίνοc πόλιc Ἀccυρίων. οἱ πολῖται Νίνιοι. Cτράβων ἑκκαιδεκάτῃ (p. 737).

Νοcτία κώμη Ἀρκαδίαc. Θεόπομποc. Ἔφοροc τὸ ἐθνικὸν Νεcτάνιοc ἔφη, ὥcτε κατ᾽ αὐτὸν Νεcτανίαν λέγεcθαι. ἡ αὐτὴ γὰρ τῇ προτέρᾳ, ὡc δῆλον ἐξ ἄλλων.

l. 4 Sopatri verba apud Athen. IV p. 160, c. l. 26 Μαλέα Mein. Anal. Alex. p. 185. An ὁ τῷ Μαλέᾳ λίθῳ προcιδρυμένοc ἐν Κρήτῃ?

Νῶλα πόλις Αὐσόνων. τὸ ἐθνικὸν Νώλιος. Πολύβιος δὲ Νωλανοὺς αὐτούς φησιν.

Ξάνθος πόλις Λυκίας καὶ ἐν Λέσβῳ. ὁ πολίτης Ξάνθιος ὡς Εὐριπίδης.

Ὀγχηστός ἄλσος. ὁ πολίτης Ὀγχήστιος. Παυσανίας ἐνάτῳ (28, 6).

Οἰκοῦς Καρίας πόλις. τὸ ἐθνικὸν Οἰκούσιος «Οἰκούσιον ἄστυ» (Nicaenet. ap. Parthen. Erot. 11).

Παρπάρων χωρίον ἐν Ἀσίᾳ Αἰολικόν. ὁ πολίτης Παρπαρώνιος ἀπὸ τῆς Παρπάρωνος γενικῆς. Ἀνδροτίων δ' ἐν τρίτῳ Ἀτθίδος Παρπαριώτας φησίν. ἔστι δὲ ὡς ἀπὸ Παρπαρία ὡς Θεσσαλία Θεσσαλιώτης, Ἑσπερία Ἑσπεριώτης.

Σκίρφαι πόλις Φωκική. τὸ ἐθνικὸν Σκίρφιος καὶ Σκιρφαῖος, ὡς Διευχίδας φησί.

Ταίναρος πόλις. Ταινάριος. εἰσὶ δὲ καὶ Ταινάριοι θῆβαι, ὡς Χάραξ ἐν Ἑλληνικῶν δευτέρῳ.

Τένεδος νῆσος τῶν Σποράδων ἐν Ἑλλησπόντῳ. Τενέδιος. Ἀπολλόδωρος δὲ ἐν νεῶν καταλόγῳ φησὶν ὅτι τοὺς μὲν τῆς Παμφυλίας Τενεδεῖς, τοὺς δὲ τῆς νήσου Τενεδίους.

Τευθρανία Μυσίας πόλις. τὸ ἐθνικὸν Τευθράνιος ὡς τῆς Παρρασίας Παρράσιος. λέγεται καὶ Τευθράντιος Εὐριπίδης Λικυμνίῳ «Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός» ἀπὸ τῆς Τεύθραντος γενικῆς.

Τέως πόλις Ἰωνίας. τὸ ἐθνικὸν Τήϊος. ἔστι γὰρ πρῶτον Τέϊος καὶ Τεῖος καὶ Ἰωνικῶς Τήϊος.

Τολοφών πόλις Λοκρῶν τῶν Ὀζολῶν. τὸ ἐθνικὸν Τολοφώνιος. Θουκυδίδης τρίτῃ (c. 101).

Τόπαζος νῆσος Ἰνδική. τὸ ἐθνικὸν Τοπάζιος. Ἀλέξανδρος ὁ πολυΐστωρ φησὶν ὡς εὑρίσκεσθαι καὶ ἐν τῇ τῶν Τοπαζίων νήσῳ λίθον ὁμώνυμον τῇ νήσῳ καὶ ὅμοιον εἶναι τῇ χροιᾷ τῇ τοῦ νέου ἐλαίου. διὰ τοῦ $\bar{\xi}$ δ' ἐγράφετο πρότερον.

Τρικόρυνθον. ὁ δημότης Τρικορύσιος καὶ Τρικορυσία. Ἀριστοφάνης ἐν Λυσιστράτῃ (1032) «οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;».

Τυλησσός ὄρος Ἰταλίας. τὸ τοπικὸν Τυλήσσιος. Λυκόφρων (993) «ἄλλοι δὲ πρῶνας δυσβάτους Τυλησσίων».

Τύμνος πόλις Καρίας. ὁ πολίτης Τύμνιος. Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας δευτέρῳ.

Τυφρηστός πόλις τῆς Τραχῖνος. τὸ ἐθνικὸν Τυφρήστιος. καὶ τὸ οὐδέτερον Παρθένιος «Τυφρήστιον αἶπος».

Ὑπερδέξιον χωρίον Λέσβου, ἐν ᾧ Ζεὺς Ὑπερδέξιος καὶ Ὑπερδεξία Ἀθηνᾶ. ὡς οὖν ἀπὸ τοῦ Βυζαντίου Βυζάντιος, οὕτω παρὰ τὸ Ὑπερδέξιον Ὑπερδέξιος τὸ ἐθνικόν. Νικόλαος δὲ πληθυντικῶς Ὑπερδεξίους φησί.

---

l. 14 Mein. θῆκαι?

Φαλάcαρνα πόλιc Κρήτηc. ὁ πολίτηc Φαλαcάρνιοc, ὡc Ξενίων φηcίν.

Φλιοῦc πόλιc Πελοποννήcου. τὸ ἐθνικὸν Φλιούντιοc ἢ Φλιούcιοc, πλεοναcμῷ δὲ τοῦ ᾱ Φλιάcιοc.

Φυλάκη πόλιc Θεccαλίαc. τὸ ἐθνικὸν δύναται μὲν διὰ περιφράcεωc ἐκ Φυλάκηc, εἴρηται δ' ὅμωc Φυλακήcιοc ὡc Ἰθακήcιοc.

Χαδιcία πόλιc Λευκοcύρων. οἱ πολῖται Χαδίcιοι καὶ Χαδιcία τὸ θηλυκόν. Ἀπολλώνιοc β' (1002) «νόcφι δ' ἀκοντο—».

Χαλία πόλιc Βοιωτίαc. τὸ ἐθνικὸν Χάλιοc ὡc Θεόπομποc «ὕcτερον δὲ οἱ Χαλκιδεῖc πολεμήcαντεc Αἰολεῦcι τοῖc τὴν ἤπειρον ἔχουcι, Χαλίοιc καὶ Βοιωτοῖc καὶ Ὀρχομενίοιc καὶ Θηβαίοιc».

Χαλκηδών πόλιc Βιθυνίαc. ὁ πολίτηc Χαλκηδόνιοc. Cτράβων (VII p. 320) «Χαλκηδόνιοι ἐπὶ τῆc περαίαc ἱδρυμένοι πληcίον οὐ μετέχουcι τῆc εὐπορίαc ταύτηc».

Χαονία μέcη τῆc Ἠπείρου. οἱ οἰκήτορεc Χάονεc. λέγεται καὶ Χαόνιοc. Εὐφορίων χιλιάcι «Ζηνὸc Χαονίοιο προμάντιεc ηὐδάξαντο». καὶ Χαονίη τὸ θηλυκόν. Ἀλέξανδροc ὁ Ἐφέcιοc ἐν Ἀcίᾳ καὶ Λιβύῃ «οἱ δὲ κάτω Πελαcγίδα Χαονίην». καὶ Χαονῖται, Λυκόφρων (1046) «τοῦ Χαονίτου νᾶμα Πολυανθέοc δρέπων» ὡc ἀπὸ τοῦ Χάονοc, ὡc Αὔcονοc Αὐcονίτηc ὁ αὐτόc (593) «τὸν Αὐcονίτην Πύραμον δομήcεται». λέγεται καὶ Χαονεύc.

Χερρόνηcοc. ὁ πολίτηc Χερρονήcιοc. Ἑκαταῖοc «Ἀψινθίοιcι πρὸc μεcημβρίην ὁμουρέουcι Χερcονήcιοι». Ἡρόδοτοc δὲ (IX 118) «Χερcονηcῖται ἀπὸ τῶν πύργων ἐcημήναντο τοῖcι Ἀθηναίοιcι τὸ γεγονόc». ὧν τὸ θηλυκὸν Εὐριπίδηc (Hec. 8) «ὃc τὴν ἀρίcτην Χερcονηcίαν πλάκα».

Χίοc. τὸ ἐθνικὸν Χῖοc. Θουκυδίδηc ὀγδόῃ (c. 5) «Χῖοι δὲ καὶ Ἐρυθραῖοι ἀποcτῆναι καὶ αὐτοὶ ἕτοιμοι ὄντεc» καὶ Ἡρόδοτοc πρώτῃ (c. 142) «Χῖοι μὲν καὶ Ἐρυθραῖοι κατὰ τὠυτὸ διαλέγονται».

Χοραcμίη πόλιc Πάρθων. αὐτοὶ δὲ Χοράcμιοι, ὡc Ἑκαταῖόc φηcι «Πάρθων πρὸc ἥλιον ἀνίcχοντα Χοράcμιοι οἰκέουcι». καὶ Ἡρόδοτοc τρίτῃ (c. 93) «Πάρθοι δὲ καὶ Χοράcμιοι καὶ Cόγδοι». καὶ πάλιν «τοῦτο τὸ πεδίον ἦν ποτε Χοραcμίων».

Χύτροι Κύπρου πόλιc. ὁ πολίτηc Χύτριοc. Ἀλέξανδροc ἐν τῷ περὶ Κύπρου «τὴν δὲ Γορδίαν ἀποδοῦναι Χυτρίοιc». καὶ πάλιν «Εὐρυνόην τῶν Χυτρίων βαcιλεὺc ἔγημεν». ἀναλογεῖ δὲ τὸ ἐθνικὸν πρὸc τὸ Χύτροc ἑνικόν, ὡc Κύπριοc πρὸc τὸ Κύπροc.

Ψιττάκη πόλιc παρὰ τῷ Τίγριδι. ὁ πολίτηc Ψιττάκιοc ὡc ἀπὸ τοῦ ψιττακίαc καρποῦ. τὸ κυριώτερον δὲ ἐθνικὸν Ψιττακηνὸc διὰ τὸ ἐπιχώριον.

Ψωφίc πόλιc Ἀρκαδίαc. ὁ πολίτηc ὤφειλεν εἶναι Ψωφίτηc τῷ

l. 8 cetera apud Stephanum perierunt, ita ut nescias, utrum ἀκοντοβόλοι Χαδίcιαι scripserit, an, ut nunc apud Apollonium legitur, Χαcδήcιαι.

τύπῳ τῶν εἰς ῑc ληγόντων. ἀλλὰ γέγονεν ἀπὸ τῆς γενικῆς ὡς τῆς Ἀρκάδος Ἀρκάδιος καὶ τῆς Αὐλίδος Αὐλίδιος, οὕτω Ψωφῖδος Ψωφίδιος. Ἑκαταῖος γενεαλογιῶν δευτέρῳ «κάπρος ἦν ἐν τῷ ὄρεϊ καὶ Ψωφιδίους κακὰ πολλὰ ἔοργεν».

Ὤλερος Κρητικὴ πόλις. ὁ πολίτης Ὠλέριος καὶ Ὠλερία Ἀθηνᾶ, τὸ οὐδέτερον Ὠλέριον. φησὶ γὰρ Ξενίων ἐν Κρητικοῖς «τῇ δὲ θεῷ ταύτῃ ἑορτὴν ἄγουσιν Ἱεραπύτνιοι, τὴν δ' ἑορτὴν Ὠλέρια προσαγορεύουσιν».

Ὠρύχιον τόπος τῆς Ἀττικῆς. τὸ τοπικὸν Ὠρύχιος. Εὐφορίων Διονύσῳ «ἴχνος ἂν Ὠρυχίοισιν ἐν ἕρκεσιν ὀκλάσσαιντο».

Περὶ τῶν εἰς ειος.

Αἰόλειον τῆς Θρᾴκης χερρονήσου πόλις. τὸ ἐθνικὸν Αἰόλειος ὡς Ῥοίτειος καὶ Αἰολήϊος. δύναται δὲ τοῦτο καὶ ἀπὸ τοῦ Αἰολεύς εἶναι, ὅθεν καὶ τὸ Αἰόλειον, ὥστε γενικὸν εἶναι τοῦ ἔθνους καὶ ἰδικὸν τῆς πόλεως, ὡς ὁ ἠπειρώτης καὶ ὁ πόντιος τῶν γενικῶν καὶ τῶν ἰδικῶν.

Ἀντιόχεια. τὸ ἐθνικὸν Ἀντιοχεύς καὶ Ἀντιόχειος.

Ἄργος. τὸ ἐθνικὸν Ἀργεῖος. λέγεται καὶ Ἀργόλας. καὶ Ἀργείωνες λέγονται ὡς Καδμείωνες καὶ Ἀργειώνη ὡς Ἀντίμαχος, καὶ Ἀργειώτης παρὰ τὸ Ἀργεῖος καὶ Ἀργειῶτις τὸ θηλυκόν.

Ἀρεία κρήνη ἐν Θήβαις καὶ τόπος ὃν οἱ κατοικοῦντες Ἄρειοι καλοῦνται. καί ἐστιν ἀπὸ δύο ἓν ἐθνικόν, ὡς τοῦ Μόψου ἑστία Μοψεάτης καὶ τῆς μητρὸς τῶν θεῶν τὸ μητρῷον.

Ἄρεος νῆσος. τὸ ἐθνικὸν Ἄρειος ἐξ ἑνὸς τῶν δυοῖν παρηγμένον.

Ἕρμος δῆμος. ὁ δημότης Ἕρμειος.

Ἠετιώνεια ἡ ἑτέρα τοῦ Πειραιέως ἄκρα. τὸ ἐθνικὸν Ἠετιώνειος.

Ἦλις. ὁ πολίτης ἀπὸ τῆς Ἤλιδος γενικῆς ἀναλόγως Ἠλίδειος ὡς Ἀδωνίδειος καὶ Εὐπολίδειος κτητικῷ τύπῳ καὶ καθ' ὕφεσιν τοῦ δ̄ Ἠλίειος καὶ Ἠλεῖος. ἀφ' οὗ «Ἀλεῖος ὁ Ζεύς» (Callim. fr. 99). Τρύφων δέ φησιν ὅτι Ἠλίεος καὶ Ἠλέϊος καὶ Ἠλεῖος. Ὅμηρος δ' Ἐπειοὺς αὐτούς φησι.

Ἦτις δῆμος Λακωνικῆς καὶ τῆς Κρήτης πόλις, ὅθεν ἦν Μύσων εἷς τῶν ἑπτὰ σοφῶν, οὗ μέμνηται Πλάτων ἐν τῷ Πρωταγόρᾳ (p. 343a) Χηνέα τοῦτον εἰπών. Δίδυμος δὲ συμποσιακῶν δεκάτῳ Ἠτεῖον αὐτὸν καλεῖ.

Λυκόζεια πόλις Θρᾴκης. τὸ ἐθνικὸν Λυκόζειοι, ὡς Πείσανδρος τεσσαρεσκαιδεκάτῃ.

Μηδία. τὸ ἐθνικὸν Μῆδος ὁμοφώνως τῷ πρωτοτύπῳ. καὶ Μήδειοι λέγονται.

Μοψοπία ἡ Ἀττική. ὁ πολίτης Μοψόπειος διὰ διφθόγγου καὶ διὰ τοῦ ῑ. Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν α' Λέσχῃ Μοψοπίτης φησί, καὶ ἔδει Μοψοπιώτης. ἴσως δὲ καθ' ὕφεσιν τοῦ ω̄.

Νεμέα χώρα τῆς Ἀργολίδος. τὸ ἐθνικὸν Νέμεος καὶ Νεμεαῖος.

l. 24 Mein. Ἠετιωνεύς?

Στράβων ὀγδόῃ (p. 377) καὶ Νεμέα λέγεται καὶ Νεμεήτης ὁ Ζεύς καὶ Νεμεῆται. οἱ πολῖται τῆς Λοκρίδος πόλεως Νέμειοι.

Ὄγκειον χωρίον Ἀρκαδίας. ὁ οἰκήτωρ Ὄγκειος.

Σίγειον πόλις Τρῳάδος. ὁ πολίτης Σιγειεύς. ἔστι καὶ ἄλλο ἐθνικὸν Σίγειος.

Περὶ τῶν εἰς υος.

Δίρφυς ὄρος Εὐβοίας. τὸ ἐθνικὸν Δίρφυος καὶ Διρφύα ἡ Ἥρα τιμᾶται.

Περὶ τῶν εἰς ωος.

Ἄθως ὄρος. τὸ τοπικὸν Ἄθωος χωρὶς τοῦ ῑ καὶ Ἀθώους τοὺς ἐνοικοῦντας, τὸ δὲ δηλοῦν τὸ ἀζήμιον προπερισπᾶται καὶ διὰ τοῦ ῑ ἐκ τῆς θωῆς. ἔστι καὶ Ἄθως πόλις ἐπὶ τῷ Ἄθῳ. ὁ πολίτης Ἀθωΐτης.

Γέλα πόλις Σικελίας. τὸ ἐθνικὸν Γελῷος, οὐ Γελαῖος, ὡς Ἅβρων καὶ ἡ συνήθεια. καὶ ἴσως ἀπὸ τοῦ γέλως τὸ Γελῷος.

Ἐλβώ νῆσος. τὸ ἐθνικὸν Ἐλβῷος ὡς Σαρδῷος.

Ἡρώ πόλις Αἰγυπτία. ὁ πολίτης Ἡρῷος ὡς Κῷος.

Κῶς. τῆς Κῶ μονοσυλλάβου Κῷος καὶ Κώϊος ὡς Μινῷος.

Λῶς νῆσος περὶ Θεσσαλίαν. Λῷος ὁ νησιώτης.

Πυθώ ἡ τοῦ Ἀπόλλωνος πόλις. τὸ ἐθνικὸν Πυθῷος ὡς Λητώ Λητῷος καὶ Πύθιος. καὶ παρὰ τὴν Πυθώ Πυθεύς ὡς Ἐνυώ Ἐνυεύς. καὶ Πυθαιεύς καὶ Πυθαεύς ὡς Κρηταεύς.

Περὶ τῶν εἰς ᾱνος.

Ἄγκυρα. τὸ ἐθνικὸν Ἀγκυρανός. τὰ εἰς νος ἐθνικά, ἐὰν ἀπὸ τῆς γενικῆς τοῦ πρωτοτύπου γένοιτο καθαρευούσης, τῷ α παραλήγει μακρῷ καὶ μιᾷ συλλαβῇ τῆς γενικῆς περιττεύει, οὐκ ἀναστρέφοντος τοῦ λόγου. οὐ γὰρ ὅσα τὸ ᾱ κατὰ τὴν παραλήγουσαν ἔχει, ταῦτα ἐκ θηλυκῶν παρῆκται. τοῦ μὲν προτέρου παραδείγματα ταῦτα, Ἀσιανός, Καρδιανός, Ὀλβιανός, Φασιανός ἀπὸ τῆς Φάσιος πόλεως, Τράλλιος Τραλλιανός, Σάρδιος Σαρδιανός, τοῦ δὲ δευτέρου Πάριον Παρίου Παριανός, Βοσπορίου Βοσποριανός (ἀπὸ τῶν ἐθνικῶν ἐθνικά, ὡς τοῦ Ῥοδίου τὸ Ῥοδιακός κτητικὸν καὶ Σαμίου τὸ Σαμιακός), Κίου πόλεως Μυσίας Κιανός, Τίου Τιανός, Καρίου Καριανός, Σηλυμβρίου Σηλυμβριανός. ἡμάρτηται τὸ Βοτρυηνός, ἐπεὶ ἀπὸ τοῦ Βότρυος γέγονεν. ἐντεῦθεν δὲ ὁ τύπος μιᾷ περιττεύει, σπανίως δὲ δυσίν, ὡς τὸ Ταυριανός καὶ Σκορπιανός καὶ Ζυγιανός, ἅπερ ἀπὸ τῶν Σκόρπων καὶ Ταύρων καὶ Ζυγῶν παράγεσθαι δοκοῦσι, δυνάμενα καὶ αὐτὰ ἀπὸ τῶν προτέρων παράγεσθαι τοπικῶν, Ζυγίων, Σκορπίων, Ταυρίων. πρόσκειται «οὐκ ἀντιστρέφοντος τοῦ λόγου» διὰ τὸ Ἱσπανός, Καρμανός, Καμπανός, Γερμανός, Βρεττανός, Ὠρητανός, Ἀφρικανός, Ἀλβανός, Ὑρκανός. οὐδὲν γὰρ τούτων ἀπὸ γενικῆς καθαρευούσης.

---

l. 2 Mein. Νεμεῆτις? l. 33 ἐπεὶ pro ἐὰν Mein..

Ἄμαστρις πόλις Παφλαγονίας. τὸ ἐθνικὸν Ἀμαστριανός. Στράβων δωδεκάτῃ (p. 545) «πλείστη δὲ καὶ ἀρίστη φύεται πύξος κατὰ τὴν Ἀμαστριανὴν καὶ μάλιστα περὶ τὸ Κύτωρον». ὡς Κάλλατις Καλλάτιος Καλλατιανὸς καὶ Φᾶσις πόλις Φασιανὸς καὶ Σάρδις Σαρδιανός. τὰ γὰρ τοιαῦτα ἢ ἀπὸ τῶν εἰς ος εὐθειῶν ὡς Βάκτριος Βακτριανὸς ἢ ἀπὸ τῶν εἰς ος γενικῶν.

Ἀργύριππα πόλις τῆς Δαυνίας. τὸ ἐθνικὸν Ἀργυριππανός. Στράβων Ἀργυριππηνός φησιν.

Ἄτελλα πόλις Ὀπικῶν Ἰταλίας. τὸ ἐθνικὸν οὐκ Ἀτελλαῖος ὡς Ἀγυλλαῖος, ἀλλὰ Ἀτελλανός, ὡς Πολύβιος ἐνάτῃ «Ἀτελλανοὶ παρέδοσαν αὐτούς».

Ἀτρία πόλις Τυρρηνίας. τὸ ἐθνικὸν Ἀτριανὸς καὶ Ἀτριεὺς καὶ Ἀτριάτης. ἄμεινον δὲ τὸ πρῶτον. συνήθης γὰρ Ἰταλῶν ὁ τύπος ὁ διὰ τοῦ ανος.

Αὔγουσται πόλεις ἐν Κιλικίᾳ καὶ Ἰταλίᾳ. οἱ πολῖται Αὐγουστιανοί. Φλέγων ἐν Ὀλυμπιάδων η'.

Βέλιτρα πόλις Ἰταλίας. τὸ ἐθνικὸν Βελιτρανὸς τῷ ἔθει τῆς χώρας.

Βρεττία νῆσος ἐν τῷ Ἀδρίᾳ. τὸ ἐθνικὸν ἔδει Βρεττιανὸς ὡς Πολύβιος τὸ θηλυκὸν «ἐπὶ Βρεττιανὴν τόπων». νῦν δὲ Βρέττιοι λέγονται.

Ἐχέτρα πόλις Ἰταλίας. ὁ πολίτης Ἐχετρανός. Διονύσιος δεκάτῳ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας.

Καλησία πόλις Αὐσονική. τὸ ἐθνικὸν Καλησιανὸς ὡς Διονύσιος.

Κάλλατις πολίχνιον ἐν τῇ παραλίᾳ τοῦ Πόντου. ὁ πολίτης Καλλατιανὸς ὡς Τραλλιανὸς Σαρδιανός. ἔοικε δ' εἶναι ἀπὸ τοῦ Καλλατία ὡς Ὀλβιανός, εἰ μὴ ἀπὸ τῆς Ἰωνικῆς γενικῆς γέγονε τῆς Καλλάτιος.

Κορίολλα πόλις Ἰταλίας. τὸ ἐθνικὸν Κοριολλανὸς κατὰ πρόσθεσιν τῆς νος ὡς Μύρλεια Μυρλεανὸς καθ' ὕφεσιν τοῦ ι.

Μάντυα πόλις Ῥωμαίων. τὸ ἐθνικὸν Μαντυανός. Πολύβιος ἑκκαιδεκάτῳ.

Μασσία χώρα παρακειμένη τοῖς Ταρτησσίοις. τὸ ἐθνικὸν Μασσιανός. Θεόπομπος τεσσαρακοστῷ τρίτῳ.

Μαστία πόλις. Μαστιανὸς ἔθνος πρὸς ταῖς Ἡρακλείαις στήλαις. Ἑκαταῖος Εὐρώπῃ.

Μύρλεια πόλις Βιθυνίας. ὁ πολίτης Μυρλεανός. Στράβων δὲ (XII p. 551) Μυρλεᾶτιν καλεῖ τὴν χώραν, ἴσως ἀπὸ τοῦ Μυρλεάτης.

Νωμεντὸς πόλις οὐ πόρρω Ῥώμης. τὸ ἐθνικὸν Νωμεντανός. Διονύσιος ἐν δευτέρῳ Ῥωμαϊκῆς ἀρχαιολογίας.

Ὀκρίκολα πόλις Τυρρηνῶν. τὸ ἐθνικὸν Ὀκρικολανός, ὡς Διονύσιος.

Σατρία πόλις Ἰταλίας. τὸ ἐθνικὸν Σατριανός, ὡς Διονύσιος.

Σκίδρος πόλις Ἰταλίας. τὸ ἐθνικὸν Σκιδρανός, ὡς Λύκος ἐν τῷ περὶ Ἀλεξάνδρου.

l. 19 legendum videtur «ἐπὶ Βρεττιανὴν . . .» κατὰ τὸν ἐπιχώριον τύπον.

Ταῦρος ὄρος. τὸ ἐθνικὸν Ταυριανός πλεοναςμῷ τοῦ ῑ ὡς Ζυγιανός.

Τίνδιον πόλις Λιβύης. τὸ ἐθνικὸν Τινδανός. ἐχρῆν δὲ Τινδιεύς ὡς Сουνιεύς. ἀλλὰ μᾶλλον ἀπὸ τοῦ Τίνδα Τινδανός. τοῦ δὲ Τίνδα τὸ Τίνδιον.

Φερέντιον πόλις Сαυνιτῶν. τὸ ἐθνικὸν Φερεντανός. λέγεται καὶ Φερέντιοι, ὡς Διονύσιος ιζ′ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας.

Φοῦνδα πόλις Ἰταλίας. οἱ πολῖται Φουνδανοί, Διονύσιος πεντεκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας.

Φουρνίτα πόλις Λιβύης. οἱ οἰκήτορες Φουρνιτανοί. Φλέγων ιε′ τῶν Ὀλυμπιάδων.

Φρέγελλα πόλις Ἰταλίας· τὸ ἐθνικὸν Φρεγελλανός ὡς Διονύσιος ιϛ′ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας καὶ ἄλλοι πλεῖστοι.

Φρεντανόν πόλις Ἰταλίας. τὸ ἐθνικὸν Φρεντανοί. Сτράβων πέμπτῃ (p. 241).

Ὠρισία πόλις Ἰβηρίας. τὸ ἐθνικὸν Ὠριτανός. Ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων «ἀμφότεροι γὰρ κατοικοῦςι τὴν παραλίαν καί τινα τῆς μεσογείου, πρῶτον μὲν Ὠριτανοί, πόλεις δ' ἐν αὐτοῖς εἰσι μεγάλαι Ὀρσία καὶ Κастάλων».

Ὠστία πόλις Ἰταλίας. τὸ ἐθνικὸν δύναται καὶ Ὠστιανός καὶ Ὠστιάτης. συνήθης γὰρ ὁ τύπος τοῖς Ἰταλοῖς. Φλέγων δ' Ὠστίους αὐτοὺς καλεῖ λέγων «παρέλαβε δὲ τὴν Ὠστίων πόλιν».

Περὶ τῶν εἰς ηνος.

Ἀβασηνοί ἔθνος Ἀραβίας. ὁ τύπος ὀξὺς καὶ ἐπιχώριος τοῖς Ἄραψιν ὡς Μηδαβηνοί, Ὀβοδηνοί, Ἀδρηνοί, ἀλλὰ καὶ τοῖς Ἀσιανοῖς ἅπασιν, ὡς Ἀπολλώνιος ὁ τεχνικὸς ἐν τῷ περὶ παρωνύμων φησί «δι' ἔθους εἰσὶ ταῦτα τοῖς ἐπὶ τῆς Ἀσίας κατοικοῦσιν, ἀλλότρια δὲ τῶν Εὐρωπαΐων. οὐ γὰρ ἀπὸ πόλεως ἢ δήμου κατὰ τοῦτον ὠνόμασται τὸν τύπον».

Ἀβρεττηνή χώρα Μυσίας. τὸ ἐθνικὸν Ἀβρεττηνός, ὡς Ἀρριανός φησιν.

Ἄβυδος. Τένεδος Τενέδιος καὶ Τενεδεύς καὶ Λέβεδος Λεβέδιος. τοῦ δὲ Ἄβυδος Ἀβυδηνός. ἴσως διὰ τὸ πλησιόχωρον, Κυζικηνός καὶ τὰ ὅμοια.

Ἀγβάτανα. Ἀγβατανηνός. τοῖς Πέρσαις γὰρ συνήθης ὁ τύπος. λέγουσι γὰρ Καμβυσηνούς, Παραιτακηνούς, Сωφηνούς· καθ' Ἕλληνας δὲ Ἀγβατανεύς.

Ἀμισός πόλις ἐν Πόντῳ. τὸ ἐθνικὸν Ἀμισηνός. λέγεται καὶ Ἀμίσιος, ὡς Φίλων ἐν τῷ περὶ πόλεων.

Ἀρτάκη πόλις Φρυγίας. τὸ ἐθνικὸν Ἀρτακηνός. Сοφοκλῆς δὲ ἀπὸ τοῦ Ἀρτακεύς εἶπε «τί μέλλετ' Ἀρτακῆς τε καὶ Περκώσιοι;» καὶ Ἀρ-

l. 6 Φερέντιον pro Φερεντῖνος Mein. l. 16 Ὠρία Casaubonus.

τάκιος εἶπε Δημοσθένης ἐν ἐνάτῳ Βιθυνιακῶν «νάσσατο δ' Ἀρτακίοισιν ἐφέστιος αἰγιαλοῖσιν».

Ἀρτεμίτα νῆσος Τυρρηνική. τὸ ἐθνικὸν Ἀρτεμιτηνός. Ἀπολλόδωρος δ' Ἀρταμιτηνός φησι διὰ τοῦ ᾱ. ἔστι καὶ πλησίον τῶν Ὀξειῶν νήσων νῆσος Ἀρτεμίτα. τὸ ἐθνικὸν τὸ αὐτό, ἢ Ἀρτεμιταῖος διὰ τὸ τὸν τύπον τοῖς Πέρσαις ἀναλογεῖν.

Ἀστακός πόλις Βιθυνίας. τὸ ἐθνικὸν Ἀστακηνός ὡς Ῥυνδακηνός Πριαπηνός καὶ Ἀστάκιος καὶ Ἀστακία, ἀφ' οὗ Ἀστακιεύς ὡς Οἰχαλία Οἰχαλιεύς καὶ Ἀστακιήτης.

Βάργασα πόλις Καρίας. τὸ ἐθνικὸν Βαργασηνός, ὡς Ἀπολλώνιος Καρικῶν ἑκκαιδεκάτῳ, ὡς Ἔδεσσα Ἐδεσσηνός, Γερασηνός, Ἐμεσηνός.

Βόρσιππα πόλις Χαλδαίων. οἱ πολῖται Βορσιππηνοί. Ἀρριανός δὲ Βορσιππεῖς αὐτούς φησιν.

Βότρυς πόλις Φοινίκης. ὁ πολίτης Βοτρυηνός, ὡς Παυσανίας, παραλόγως. ἀπὸ γὰρ γενικῆς καθαρευούσης τὸ η̄ ἔχει πρὸ τέλους, ὀφεῖλον τὸ ᾱ ὡς Ὀλβιανός Καρδιανός.

Γάβα πόλις Γαλιλαίας. τὸ ἐθνικὸν Γαβαηνός ὡς Ἰώσηπος (A. I. V 11).

Γάββα πόλις Συρίας. τὸ ἐθνικὸν Γαββηνός, ὡς Παυσανίας φησί.

Γάγγρα πόλις Παφλαγονίας. τὸ ἐθνικὸν Γαγγρηνός ὡς Βοστρηνός. ἔστι καὶ Ἀραβίας τῆς εὐδαίμονος Γάγγρα. τὸ ἐθνικὸν δεῖ Γαγγραῖοι ὡς Σαβαῖοι. δυνατὸν δὲ καὶ ἀμφοτέρων ἀμφότερα, ὡς Ἔδεσσα Ἐδεσσαῖος καὶ Ἐδεσσηνός, τῷ τῆς χώρας καὶ τῆς τέχνης.

Δῖον πόλις Εὐβοίας. τὸ ἐθνικὸν Διηνός, ὡς δηλοῖ τὸ ἐπίγραμμα

> νᾶμα τὸ Διηνὸν γλυκερὸν ποτόν, ἠνιδὲ πίῃς,
> παύσει μὲν δίψης, εὐθὺ δὲ καὶ βιότου.

Δούμαθα πόλις Ἀραβίας. ὁ πολίτης Δουμαθηνός, ὡς Γλαῦκος ἐν β' Ἀραβικῆς ἀρχαιολογίας.

Ἔδεσσα πόλις Συρίας. τὸ ἐθνικὸν κατὰ μὲν τοὺς ἐγχωρίους Ἐδεσσηνός, παρὰ δὲ πλείοσιν Ἐδεσσαῖος.

Ζεβέκη πόλις τῆς Γαλιλαίας. τὸ ἐθνικὸν Ζεβεκηνός, ὡς Ἰώσηπος (A. I. V 2).

Ζόαρα φρούριον ἐν Παλαιστίνῃ. οἱ πολῖται τοῦ χωρίου Ζοαρηνοί διὰ τὸν ἐγχώριον τύπον καὶ Ζοαρᾶται. οἱ γὰρ δύο τύποι Ἀράβιοι.

Κορομάνη πόλις Περσική. τὸ ἐθνικὸν Κορομανηνός διὰ τὸν τύπον τῶν Περσῶν. Παραιτακηνοί γὰρ τῆς Παραιτάκης.

Κύζικος. τὸ ἐθνικὸν Κυζικηνός. ἡ ποίησις δὲ τοὺς κατοικοῦντας Κύζικον Δολίονάς φησιν ὡς τοὺς τὴν Ἴσμαρον Κίκονας. κέχρηνται δὲ καὶ τῷ Κυζικηνός ἁπλῷ ἀντὶ κτητικοῦ, ὡς τὸ Τυρσηνοὶ δεσμοί ἀντὶ τοῦ Τυρρηνικοί, οἱ χαλεποί, διὰ τὸ λῃστρικοὺς εἶναι τοὺς Τυρρηνούς.

Νίσιβις πόλις ἐν τῇ Περαίᾳ τῇ πρὸς τῷ Τίγρητι ποταμῷ. τὸ ἐθνικὸν Νισιβηνός. ἔδει Νισιβίτης, ἀλλ' ὁ τύπος Αἰγύπτιος καὶ Λίβυς,

l. 24 pro ἠνιδὲ πίῃς Meinek. proponit ἢν δὲ πίῃς νιν.

ὁ δὲ διὰ τοῦ ηνος παρὰ τὸν Εὐφράτην καὶ τὴν ἕω, ὡς Cωφηνός Ταβηνός Καμβυσηνός.

Χαράκμωβα πόλις Παλαιστίνης. Χαρακμωβηνός, Γλαῦκος ἐν Ἀραβικῆς ἀρχαιολογίας τετάρτῳ «ἡσύχαζον δ' ἐν τούτοις Χαρακμωβηνοί».

Χαττηνία χώρα τρίτη Γερραίων. οἱ πολῖται Χαττηνοί ὡς Πολύβιος «τούτοις μὲν γὰρ παρήγγειλε φείδεσθαι τῆς τῶν Χαττηνῶν χώρας».

Περὶ τῶν εἰς ινος.

Ἀβάκαινον, πόλις Cικελίας. τὸ ἐθνικὸν Ἀβακαινῖνος ὡς Ἀκραγαντῖνος, ὃ οὐκ ἄηθες Cικελῶν, Μεταποντῖνος, Λεοντῖνος, Βρεντεcῖνος, Τερεντῖνος, Ἀρρητῖνος, Ἀccωρῖνος, Ἐρυκῖνος.

Ἀγάθη πόλις Λιγύων ἢ Κελτῶν. τὸ ἐθνικὸν Ἀγαθῖνος ὡς Ἀκραγαντῖνος. Ἄβρων γὰρ ἐν τῷ περὶ παρωνύμων τοῖς τοιούτοις καὶ αὐτὸ cυνέμιξεν. εἰ δὲ καὶ κύριον εἴη τὸ Ἀγαθῖνος, οὐκ ἀπεικὸς cημαίνειν ἀμφότερα. Cχοινεύς γὰρ καὶ κύριον καὶ ποταμοῦ καὶ ἐθνικόν, καὶ Λίξος, ὁμοίως Θεσσαλός καὶ Cικανός καὶ Cικελός καὶ μυρία. εἰ δὲ μὴ ὡς ἐθνικὸν τὸ Ἀγαθῖνος ἐκλήθη, τὸν οἰκήτορα λέξομεν Ἀγαθαῖον τῷ κοινῷ λόγῳ, ἢ Ἀγαθεύς ὡς Θεσσαλονικεύς καὶ Cινταρεύς καὶ Βερενικεύς, ἐπεὶ καὶ Ἀγάθεια τῆς Ἀγάθης εὑρίcκεται παραγωγή, ὡς Βερενίκεια καὶ Θεσσαλονίκεια.

Ἄδρυξ ὡς Ἔρυξ. τὸ ἐθνικὸν Ἀδρυκῖνος ὡς Ἐρυκῖνος τῆς Ἔρυκος γενικῆς, καὶ Ἀδρυκίνη ὡς Ἐρυκίνη Ἀφροδίτη.

Ἀκράγας. τὸ ἐθνικὸν Ἀκραγαντῖνος ὡς Ἰναχῖνος Ταραντῖνος, ὥς φησιν Ἡρωδιανός.

Ἀμοργός νῆσος μία τῶν Κυκλάδων. Ἀμοργῖνος ὡς Ἐρυκῖνος. λέγεται καὶ Ἀμόργιος, ὥς φησι Χάραξ. Νικόλαος δ' Ἀμοργίτην αὐτὸν καλεῖ. τὸ δ' ἀμόργινος χιτὼν χρώματος ἴδιον.

Ἄμπελος πόλις Ἰταλίας. ὁ πολίτης Ἀμπελῖνος ὡς Ἀccωρῖνος Ἀβακαινῖνος. τῶν δὲ λοιπῶν (sc. πόλεων) δυνατὸν Ἀμπελῖται εἶναι.

Ἀπέννιον ὄρος. τὸ ἐθνικὸν Ἀπεννῖνος ὡς Ῥηγῖνος, ὃ παρὰ Πεισάνδρῳ κεῖται ιγ'.

Ἐρβηccός πόλις Cικελίας. τὸ ἐθνικὸν Ἐρβηccῖνος. Φίλιστος Cικελικῶν β'.

Ἴνυκον πόλις Cικελίας. Ἰνυκῖνος οἶνος. ἴδιος γὰρ ὁ τύπος τῶν Cικελῶν.

Κανύσιον πόλις Ἰταλίας. τὸ ἐθνικὸν Κανυσῖνος ἢ Κανυσίτης.

Καύδιον πόλις Ἰταλίας. τὸ ἐθνικὸν Καυδῖνος, ὡς Διονύσιός φησι.

Κυρτώνιος πόλις Ἰταλίας. τὸ ἐθνικὸν τῷ τῆς χώρας ἔθει Κυρτωνῖνος ὡς Cατορνῖνος.

Μυτισέρατος φρούριον Cικελίας. τὸ ἐθνικὸν Μυτισερατῖνος ὡς Φίλιστος.

Νέπετος πόλις Ἰταλίας. τὸ ἐθνικὸν Νεπεσῖνος. ἡ τροπὴ δὲ τοῦ τ εἰς σ ἰδιάζουσα καὶ σεσημείωται.

Πολλεντόϲ ἢ Πολλέντιον. τὸ ἐθνικὸν Πολλεντῖνοϲ. τὰ γὰρ τούτων ἐθνικὰ τύπον ἕνα διὰ τοῦ ινοϲ ἔχουϲιν ὡϲ Ῥηγῖνοϲ Ϲωρεντῖνοϲ.

Τερβητία πόλιϲ Ϲικελίαϲ. οἱ πολῖται Τερβητῖνοι ὡϲ Πλακεντῖνοι ἀπὸ Πλακεντίαϲ. Φλέγων ἐν Ὀλυμπιάδων ιε΄.

Τίβυριϲ πόλιϲ Ἰταλίαϲ. λέγεται καὶ Τίβυρα. τὸ ἐθνικὸν Τιβυρτῖνοϲ. Νικάνωρ δ᾽ ὁ Ἑρμείου Τίβουρα ταύτην καλεῖ καὶ τὸ ἐθνικὸν Τιβουρῖνον, ὃ καὶ ἀναλογώτερον· «ἐν ᾗ Τιβουρῖνον τέμενοϲ».

Περὶ τῶν εἰϲ υνοϲ.

Μαριανδυνία. Μαριάνδυνοϲ βαρυτόνωϲ κατὰ τοὺϲ Αἰολεῖϲ.

Περὶ τῶν εἰϲ ευϲ.

Ἀβρότονον. τὸ ἐθνικὸν οὐκ ἔϲτιν ἐν χρήϲει, ἡ τέχνη δ᾽ ἐπινοεῖ ἐξ ὁμοιότητοϲ. ὡϲ γὰρ Ἄθμονον Ἀθμονεὺϲ καὶ Γάργαρον Γαργαρεὺϲ καὶ Ϲούνιον Ϲουνιεὺϲ καὶ Ϲιγειεὺϲ καὶ Ἰλιεὺϲ καὶ Λευκωνιεὺϲ καὶ Παντικαπαιεὺϲ καὶ Δουλιχιεύϲ, οὕτωϲ Ἀβροτονεύϲ. ὁ δὲ τῶν οὐδετέρων τύποϲ ἔϲθ᾽ ὅτε τὸ ἐθνικὸν διὰ τοῦ ηνοϲ ἔχει, ὡϲ Πέργαμον Περγαμηνόϲ, εἰ μὴ ἀπὸ θηλυκοῦ τοῦ Πέργαμοϲ ὡϲ Κύζικοϲ Κυζικηνόϲ. δυνατὸν δὲ καὶ ἐξ Ἀβροτόνου φάναι τὸ ἐθνικόν. πολλὰ γὰρ τοιαῦτα, μάλιϲτα ἐν τοῖϲ δήμοιϲ τῶν Ἀθηναίων, ὡϲ ἐξ Οἴου δημότηϲ καὶ ἐκ Κηδῶν.

Ἀγάθη νῆϲοϲ Λυκίαϲ. τὸ ἐθνικὸν ὤφειλεν Ἀγαθεύϲ. ἡ γὰρ χώρα τῷ εἰϲ ευϲ τύπῳ χαίρει, ὡϲ Παταρεύϲ, Τλωεύϲ, Τελμιϲεύϲ, Κρυεύϲ.

Ἀγάμμεια, λέγεται δὲ καὶ Ἀγάμμη. τὸ ἐθνικὸν Ἀγαμμεὺϲ ὡϲ τῆϲ Μαντινείαϲ Μαντινεύϲ. λέγεται καὶ Μαντίνη κατὰ ϲυναλοιφὴν παρ᾽ Ἑκαταίῳ. καὶ Ἀγαμμείτηϲ ὡϲ Ζελείτηϲ. εἴρηται γὰρ ἡ Ζέλεια καὶ Ζέλη. ὥϲτε εἶναι τοῦ Ἀγάμμεια Ἀγαμμειάτηϲ ὡϲ τὸ Ζελειάτηϲ.

Ἀγορηϲόϲ πόλιϲ Καρίαϲ. τὸ ἐθνικὸν Ἀγορηϲεὺϲ ὡϲ Τελμιϲεύϲ, Τυμνηϲόϲ Τυμνηϲεύϲ. δύναται καὶ Ἀγορήϲιοϲ ὡϲ Λυρνήϲιοϲ.

ἀγυιά. ὁ τοπίτηϲ ἀγυιεύϲ. λέγονται καὶ ὀβελίϲκοι θεοῖϲ ἀνειμένοι, ὡϲ Εὔπολιϲ. λέγεται δὲ καὶ κίων ἀγυιεὺϲ εἰϲ ὀξὺ ἀπολήγων ὁ πρὸ τῶν θυρῶν ἱϲτάμενοϲ, Ἀριϲτοφάνηϲ Θεϲμοφοριαζούϲαιϲ (v. 489), καὶ ὁ Ἀπόλλων ἀγυιεὺϲ καὶ ἀγυιάτηϲ. καὶ θηλυκὸν ἀγυιᾶτιϲ, ὡϲ καὶ τὰ προπύλαια τοῦ ἀγυιέωϲ ἀγυιάτιδεϲ θεραπεῖαι λέγονται. τὸ τοπικὸν ἀγυιαῖοϲ. Ϲοφοκλῆϲ Ἑρμιόνῃ «ἀλλ᾽ ὦ πατρῴαϲ γῆϲ ἀγυιαίου πέδον». ἔϲτιν οὖν τὸ μὲν ἀγυιεὺϲ ἀπὸ τοῦ ἀγυιά, ὡϲ Τρύφων φηϲὶν ἐν παρωνύμοιϲ «πᾶν εἰϲ ᾱ θηλυκὸν ἰϲοϲύλλαβον ἔχει τῇ εὐθείᾳ καὶ τῇ γενικῇ τὸ παρώνυμον, Μοψοπία Μοψοπιεύϲ, Ἐρετριεὺϲ Φωκαιεὺϲ Θεϲπιεύϲ». τὸ δὲ ἀγυιάτηϲ ὡϲ Κορώνεια Κορωνειάτηϲ, Καρυάτηϲ, Καυλωνειάτηϲ. τὸ δὲ ἀγυιαῖοϲ ὡϲ ἀρουραῖοϲ.

Ἄδανα Κίλιϲϲα πόλιϲ, οὐδετέρωϲ. ὁ πολίτηϲ Ἀδανεὺϲ ὡϲ Γάργαρα Γαργαρεύϲ, Τύανα Τυανεύϲ. ἔϲτι καὶ ἑτέρα πόλιϲ Ἀραβίαϲ. ὁ ταύτηϲ πολίτηϲ οὐ δύναται Ἀδανεὺϲ εἶναι. οὐ γὰρ ὁ τύποϲ Ἀράβων,

l. 2 Mein. mavult Ϲυῤῥεντῖνοϲ. l. 12 Mein. scribit Ἄθμονον.

ἀλλὰ τῶν διὰ τοῦ α οὐδετέρων ὁ διὰ τοῦ ηνος, Ζόαρα Ζοαρηνός, Μήδαβα Μηδαβηνός, Τάρφαρα Ταρφαρηνός, Αὔαρα Αὐαρηνός. οὕτως καὶ Ἀδανηνός. ἢ Ἀδανίτης ὡς Αἴλανα Αἰλανίτης.

Ἀδράστεια μεταξὺ Πριάπου καὶ τοῦ Παρίου. τὸ ἐθνικὸν Ἀδραστεύς. οἱ δὲ ἐπιχώριοι Ἀδραστηνός ὡς Κυζικηνός φασι.

Ἄδροττα οὐδετέρως χωρίον ἐν Λυδίᾳ. οἱ οἰκήτορες Ἀδροττεῖς. τῶν γὰρ εἰς α οὐδετέρων τὰ πολλὰ παρά τε τοῖς Λυδοῖς καὶ τὴν Καρίαν οἰκοῦσι χαίρει τῇ εἰς ευς ἐπὶ τῶν ἐθνικῶν. δύναται καὶ Ἀδροττηνός, καὶ γὰρ ὁ τύπος τῶν Ἀσιανῶν. καὶ οὕτως οἱ ἐπιχώριοι λέγουσιν.

Ἄθυμβρα πόλις Καρίας. τὸ ἐθνικὸν Ἀθυμβρεύς τῷ λόγῳ τῶν Καρικῶν.

Αἰγείρουσα πόλις τῆς Μεγαρίδος. λέγεται καὶ Αἴγειρος. τὸ ἐθνικὸν Αἰγειρεύς ὡς τῆς Φιλίππου Φιλιππεύς, Ταρσοῦ Ταρσεύς. τῆς δὲ Αἰγειρούσης Αἰγειρουσαῖος ὡς Σκοτουσαῖος ἢ Αἰγειρούσιος ὡς Πιτυούσιος.

Αἴγιον πόλις Ἀχαΐας. ὁ πολίτης Αἰγιεύς, ὡς ὁ χρησμός «ὑμεῖς δ' Αἰγιέες οὔτε τρίτοι οὔτε τέταρτοι».

Αἰγόσθενα πόλις Μεγαρίδος, οὐδετέρως. τὸ ἐθνικὸν ὤφειλεν Αἰγοσθενεύς ὡς Μεγαρεύς. Πολύβιος δὲ Αἰγοσθενίτην φησὶν ὡς Γάβαλα Γαβαλίτης.

Αἴθαια πόλις Λακωνικῆς. τὸ ἐθνικὸν Αἰθαιεύς, Θουκυδίδης πρώτῃ (c. 101).

Αἰλία. παρὰ μίαν συλλαβὴν εὑρίσκεται τὰ τοιαῦτα, τῆς Ἀντιοχείας τὸ Ἀντιοχεύς. ἀλλ' οὐδ' ἀπὸ τούτων γίνεται τὰ εἰς ευς ἀρσενικά, ἀλλὰ ἀπὸ τῶν εἰς ος. ἀπὸ γὰρ τοῦ Ἀντίοχος Ἀντιοχεύς καὶ τοῦ Σέλευκος Σελευκεύς, ὡς Ἅβρων ἐν τῷ περὶ παρωνύμων. εἰ γὰρ παρὰ τὴν Ἀλεξάνδρειαν ἦν, Ἀλεξανδρειεύς ἂν ἦν. ἀμφοῖν δ' ὁ Ἀλέξανδρος ἀρχή.

Αἴνεια τόπος Θρᾴκης ἀπὸ Αἰνείου. τὸ ἐθνικὸν Αἰνειεύς. ὃ καὶ παράσημόν ἐστιν, ὅτι μὴ ἐνδεῖ μιᾷ συλλαβῇ τοῦ πρωτοτύπου. ἔστι καὶ Αἰνεάτης ὡς Κόρσεια Κορσεάτης, Ὕδρεια Ὑδρεάτης, Ὀρνειαί Ὀρνεάτης, Κεγχρεαί Κεγχρεάτης, τοῦ ι σιγηθέντος. ἔστι καὶ πόλις Τυρρηνίας, ἧς οἱ οἰκήτορες Αἰνεῖοι.

Αἱραί πόλις Ἰωνίας. τὸ ἐθνικὸν Αἱρεύς. ἔστι καὶ Μακεδονίας. τὸ ἐθνικὸν Αἱραῖος. ἔστι καὶ παρ' Ἑλλησπόντῳ, ἧς τὸ ἐθνικὸν Αἱράτης παρ' Ἀνδροτίωνι ἐν ἕκτῃ Ἀτθίδος.

Ἁλαί Ἀραφηνίδες καὶ Ἁλαὶ Αἰξωνίδες δῆμοι. ἑκατέρου ὁ δημότης ἄνευ τοῦ ι Ἁλαεύς. Τρύφων δ' ἐν παρωνύμοις Ἁλαῖος τρισυλλάβως καὶ Ἁλαιαῖος τετρασυλλάβως. ἀπὸ δὲ τοῦ Ἁλαῖος λέγεται Ἁλαιεύς ὡς Ληναῖος Ληναιεύς, Κρηταῖος Κρηταιεύς. ἀλλ' ἐν τοῖς ἑξῆς κατ' ἔθος Ἀττικὸν ἐνδεῖν φησι τοῦ ι.

Ἀλεξάνδρεια. τὸ ἐθνικὸν Ἀλεξανδρεύς ἐκ τῆς Ἀλεξάνδρου γενικῆς.

l. 7 τὰ πολλὰ ins. Mein. l. 23 supplendum ἐνδέοντα τοῦ πρωτοτύπου; cf. infra p. 892. 41. l. 31 Mein. Κεγχρειαί.

τὸ θηλυκὸν ὡς ἀπὸ τοῦ Cινωπεύς Cινωπίς οὕτως ἀπὸ τοῦ Ἀλεξανδρεύς Ἀλεξανδρίς. Δίδυμος δὲ παρατίθεται χρῆςιν ἐξ Ἐρατοςθένους τοῦ Ἀλεξανδρίτης. Φαβωρῖνος δὲ ἐν τῷ περὶ Κυρηναϊκῆς πόλεως Ἀλεξανδρειώτην φηςὶ παρὰ τὴν .... Ἀλεξανδρειανός ὡς Μύρλεια Μυρλειανός, Ἡράκλεια Ἡρακλειανός. λέγεται καὶ Ἀλεξάνδρειος κτητικόν. Νικάνωρ δὲ ὁ Ἑρμείου ἐν τῇ περὶ Ἀλεξανδρείας πρώτῃ ταῦτα πάντα κυροῖ, καὶ τὸ Ἀλεξανδρῖνος καὶ τὸ Ἀλεξανδρίνης, οὐ μέντοι τὸ Ἀλεξανδρεώτης.

Ἁλικαρναςςός. ὁ πολίτης Ἁλικαρναςςεύς ὡς Ἀψυρτεύς, Ἀνδροτίων δ' ἐν τρίτῃ Ἀτθίδος Ἁλικαρνάςςιός φηςι.

Ἅλος πόλις Ἀχαΐας. τὸ ἐθνικὸν Ἁλεύς, Cοφοκλῆς δὲ Ἁλούςιος, τινὲς δὲ τῶν γλωςςογράφων Ἁλίους.

Ἀμαξιτός πολίχνιον τῆς Τρωάδος. τὸ ἐθνικὸν Ἀμαξιτεύς. Ἀπολλόδωρος δὲ ἐν χρονικῶν τρίτῃ Ἀμαξιτηνούς φηςιν.

Ἀμβρακία πόλις Θεςπρωτίας. τὸ ἐθνικὸν Ἀμβρακιεύς καὶ Ἀμβρακιώτης. Φίλιςτος δὲ Ἀμβρακῖνός φηςι Cικελικῷ τύπῳ. εὕρηται καὶ διὰ τοῦ π ἀντὶ τοῦ β, ὅθεν καὶ τὸ Ἀμπρακιώτης. τὰ γὰρ εἰς ια θηλυκὰ καὶ εἰς ιον οὐδέτερα διὰ τοῦ ωτης ποιεῖ τὰ ἐθνικά, Cικελιώτης, Πηλιώτης. λέγεται καὶ Ἀμβράκιος καὶ Ἀμβρακία γυνή.

Ἄμυρος πόλις Θεςςαλίας. τὸ ἐθνικὸν Ἀμυρεύς ὡς Κάμειρος Καμειρεύς. Εὔπολις δὲ Ἀμυρίους αὐτοὺς λέγει. ἐκ τούτου καὶ Ἀμυραῖοι λέγονται.

Ἄμφεια πόλις Μεςςήνης. τὸ ἐθνικὸν Ἀμφεύς. καὶ ὁ τύπος γὰρ Ἀρκάς, ὡς τὸ Ἡραιεύς.

Ἀμφιτροπή δῆμος. ὁ δημότης Ἀμφιτροπαιεύς. δοκεῖ δὲ τὸ Ἀμφιτροπαιεύς ἐξ ἄλλου εἶναι, τοῦ Ἀμφιτροπαῖος. τὰ γὰρ εἰς ευς ἀπὸ τῶν εἰς η θηλυκῶν ἰςοςυλλαβεῖ τοῖς πρωτοτύποις, Cινώπη Cινωπεύς.

Ἀνδανία πόλις Μεςςήνης. τὸ ἐθνικὸν Ἀνδανιεύς ὡς Φίλων ἐν τῇ περὶ πόλεων. λέγεται δὲ καὶ Ἀνδάνιος, ὡς Ῥιανός.

Ἀξία πόλις Λοκρῶν τῶν Ὀζολῶν καὶ Ἰταλίας. τὸ ἐθνικὸν τῆς Λοκρίδος Ἀξιεύς, τῆς δ' Ἰταλικῆς Ἀξιάτης διὰ τὸν δυτικὸν χαρακτῆρα.

Ἀπολλωνία. τὸ ἐθνικὸν Ἀπολλωνιάτης. Τρύφων ἐν τῷ περὶ παρωνύμων τὸ ἐθνικὸν εἶπεν Ἀπολλωνιεύς. ἀλλ' οὐκ ἔςτιν ἐκ τῆς πόλεως, ἀλλ' ἐκ τοῦ Ἀπολλώνιον ὡς Δουλίχιον Δουλιχιεύς.

Ἄρειον πεδίον ἐν Ῥώμῃ. τὸ ἐθνικὸν ἔδει Ἀρειοπεδιεύς, ἀλλ' οὐχ ἁρμόζει Ῥωμαίοις ὁ τύπος. ἔςται οὖν τοῦ πεδίον πεδῖνος ἢ πεδιανός καὶ Ἀρειοπεδῖνος ἢ Ἀρειοπεδιανός.

Ἀρκεςίνη μία τῶν τριῶν πόλεων τῶν ἐν Ἀμοργῷ τῇ νήςῳ. τὸ ἐθνικὸν Ἀρκεςινεύς. Ἀνδροτίων ἕκτῃ Ἀτθίδος «Ἀμοργίοις Μινωίταις καὶ Ἀρκεςινεῦςιν».

l. 4 Mein. suspicatur παρὰ τὸ Ἡρακλειώτης, fort. ὡς Ἡράκλεια Ἡρακλειώτης.
l. 21 Ἀμυρίους pro Ἀμύρους Mein.

Ἅρμα πόλις Βοιωτίας. τὸ ἐθνικὸν Ἁρματεύς. ἔστι καὶ Ἅρματα πόλις πληθυντικῶς Ἰνδικῆς. ἐθνικὸν τὸ αὐτὸ ἢ διὰ τὸ τῆς χώρας ἔθος Ἁρματηνός ἢ Ἁρματίτης.

Ἄρωμα πόλις Αἰθιόπων. ὁ πολίτης Ἀρωμεύς. ἔστι καὶ Ἀρόματα κατοικία Λυδίας. Στράβων (XIV p. 650) «ἄριστος Μεσσωγίτης οἶνος ὁ Ἀρωματεύς».

Βοίβη πόλις Θεσσαλίας. τὸ ἐθνικὸν Βοιβεύς. εἰ δὲ καὶ Βοιβαῖος, οὐ κωλύει.

Βολογεσσιάς πόλις πρὸς τῷ Εὐφράτῃ. τὸ ἐθνικὸν ὤφειλε Βολογεσσιεύς ὡς Ἀφροδισιεύς, ἀλλ' ἀνοίκειος ὁ τύπος τῇ χώρᾳ. λεκτέον οὖν Βολογεσσιηνός.

Βολογεσίφορα πόλις Περσική. τὸ ἐθνικὸν τύπῳ Περσῶν Βολογεσιφορηνός. λεκτέον δὲ Βολεγεσιφορεύς.

Βοὸς Κεφαλαί. οἱ κατοικοῦντες Βουκεφαλεῖς, ἐπειδὴ ὁ δημότης Κεφαλεύς τοῦ Κεφαλῆ.

Βουπράσιον πόλις Ἤλιδος. τὸ ἐθνικὸν Βουπρασιεύς καὶ Βουπράσιος ἀπὸ Βουπρασίου τοῦ ἄρξαντος αὐτῶν καὶ Βουπρασίωνες ὡς Καδμείωνες.

Βωμοί λόφοι Αἰτωλίας. οἱ κατοικοῦντες Βωμιῆς. Θουκυδίδης τρίτῃ (c. 96) «Βωμιῆς καὶ Καλλιῆς ἐπεβοήθησαν». ἀλλ' ἔστιν ἀπὸ τοῦ Βώμιος ὡς ἀπὸ τοῦ Χήσιος Χησιεύς.

Γάδειρα καὶ ἡ Γάδειρος. ὁ πολίτης Γαδειρεύς. λέγεται καὶ Γαδειρίτης, ὡς Ἀλέξανδρος ὁ πολυΐστωρ. λέγεται καὶ Γαδειραῖος ὡς ἀπὸ τῆς ἡ Γάδειρα εὐθείας καὶ Γαδειρανοί.

Γάμαλα κατοικία Συρίας. ὁ οἰκήτωρ Γαμαλεύς. Ἰώσηπος ἐν τετάρτῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας.

Γάμβρειον πόλις Ἰωνίας. τὸ ἐθνικὸν Γαμβρειεύς ὡς Σιγειεύς. γράφεται δὲ διὰ διφθόγγου, ὡς δηλοῖ τὸ Γαμβρήϊον.

Γεράνεια πόλις Φρυγίας. τὸ ἐθνικὸν Γερανεύς ἢ Γερανειάτης τῷ τύπῳ τῆς χώρας.

Γερηνία πόλις Μεσσηνίας. ἐκ τῆς εὐθείας τῆς ἡ Γέρηνος τὸ Γερηνεύς ὡς Ἅλος Ἀλεύς καὶ ἐξ αὐτοῦ Γερήνιος.

Γλαυκία πολίχνιον Ἰωνίας. τὸ ἐθνικὸν Γλαυκιεύς καὶ Γλαυκιώτης. βέλτιον δὲ Γλαύκιος ὡς τῆς Πλακίας Πλάκιος.

Γορδίειον πόλις Φρυγίας. τὸ ἐθνικὸν Γορδιεύς ὡς Κοτιάειον Κοτιαεύς, Δορυλάειον Δορυλαεύς. ἐχρῆν δ' ἰσοσύλλαβον. ἀλλὰ τὰ παρὰ τοῖς Φρυξὶ σημειώδη.

Γρῦνοι πολίχνιον Μυριναίων. τὸ ἐθνικὸν Γρυνεύς. λέγεται καὶ «Γρύνειος Ἀπόλλων» ὡς Παρθένιος Δήλῳ, καὶ Γρυνήϊος.

Δαρίειον πόλις τῆς Φρυγίας. τὸ ἐθνικὸν τῷ λόγῳ τῶν Φρυγίων παρὰ μίαν συλλαβὴν (sc. ἐνδεῖ τοῦ πρωτοτύπου) Δαριεύς ὡς Κοτιάειον Κοτιαεύς, ἢ τῷ λόγῳ τοῦ Ῥοίτειον καὶ Σίγειον Δαριειεύς.

Δέραια πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν Δεραιεύς ὡς Ἡραιεύς ἢ Δεραιάτης. Ἀρκαδίας γὰρ ἀμφότερα.

Διοβούλιον, πολίχνιον πλησίον τοῦ Πόντου. τὸ ἐθνικὸν Διοβουλιεύς, ὡς τὰ τῶν Φρυγίων πόλεων ἐθνικά.

Δοκίμειον πόλις Φρυγίων. τὸ ἐθνικὸν Δοκιμεύς κατὰ τέχνην, κατὰ δὲ τὴν συνήθειαν Δοκιμηνός.

Δουλίχιον μία τῶν Ἐχινάδων νήσων. ὁ πολίτης Δουλιχιεύς καὶ Δουλιχιώτης ἀπὸ τοῦ Δουλιχὴ κατὰ τροπὴν καὶ Δουλιχιήτης.

Δυσπόντιον πόλις Πισαίας. μέμνηται δ' αὐτῆς καὶ Τρύφων ἐν παρωνύμοις γράφων οὕτως τὸ ἐθνικὸν «οἱ δὲ Δυσποντεῖς οὐ παρὰ τὴν πόλιν Δυσπόντιον καλοῦνται (ἐλέγοντο γὰρ Δυσποντιεῖς), παρὰ δὲ τὸν Πέλοπος υἱὸν Δύσποντον».

Δώτιον πόλις Θεσσαλίας. ὁ πολίτης Δωτιεύς. Σοφοκλῆς Λαρισαίοις «καί μοι τρίτον ῥίπτοντι Δωτιεὺς ἀνὴρ ἀγχοῦ προσῆψεν Ἔλατος ἐν δισκήματι». καὶ ἐν Λημνίαις προτέραις «Φερητίδης τ' Ἄδμητος ἠδ' ὁ Δωτιεὺς Λαπίθης Κόρωνος».

Ἐλευθεραί πόλις Βοιωτίας. ὁ πολίτης Ἐλευθερεύς ἢ Ἐλευθεραῖος, ὡς Ἡρακλείδης.

Ἐρύθεια νῆσος. ὁ νησιώτης Ἐρυθεύς ὡς Μαντινεύς ἢ Ἐρυθείτης ἢ κατὰ περίφρασιν ὁ κατοικῶν τὴν Ἐρύθειαν.

Ἑστίαια πόλις Εὐβοίας. τὸ ἐθνικὸν Ἑστιαιεύς. λέγεται καὶ τρισυλλάβως. ἔστι καὶ ἄλλη Ἀκαρνανίας. ὁ πολίτης Ἑστιαιεύς καὶ Ἑστιαιώτης.

Εὔβοια. τὸ ἐθνικὸν Εὐβοιεύς καὶ Εὐβοεύς χωρὶς τοῦ ῑ, καίτοι τὰ ἀπὸ τῶν εἰς ᾱ παραγόμενα εἰς ευς φυλάττει τὴν παραλήγουσαν· διὸ καὶ τὸ Ἀλεξάνδρεια οὐ προϋπάρχει τοῦ Ἀλεξανδρεύς, ἔδει γὰρ Ἀλεξανδρειεύς, ἀλλ' ἀπὸ τοῦ Ἀλέξανδρος, ὡς Ταρσός Ταρσεύς.

Εὐκάρπεια δῆμος τῆς μικρᾶς Φρυγίας. ἔστι καὶ Εὐκαρπία φρούριον Σικελίας. τὸ ἐθνικὸν Εὐκαρπεύς. δυνατὸν δὲ τὸ τῆς Σικελίας Εὐκαρπιανός καὶ Εὐκαρπιάτης καὶ Εὐκαρπίτης.

Εὐπατρία πόλις Λυδῶν. οἱ πολῖται Εὐπατρίδαι, μᾶλλον δὲ Εὐπατρεῖς. Ξάνθος ἐν γ' Λυδιακῶν.

Εὔρωμος πόλις Καρίας. τὸ ἐθνικὸν Εὐρωμεύς. Ἀπολλώνιος ἑπτακαιδεκάτῳ Καρικῶν.

Ζοίτειον πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν παρὰ τὸ Ζοίτειον Ζοιτειεύς, παρὰ δὲ τὴν Ζοίτειαν Ζοιτεύς.

Ἠλακαταῖον ὄρος Θεσσαλίας. τὸ ἐθνικὸν Ἠλακαταιεὺς Ζεύς. καὶ Ἠλακατεύς.

Θύμβραρα πόλις Ἀσίας. τὸ ἐθνικὸν Θυμβραρεύς ἔδει. Ξενοφῶν δὲ (Cyrop. VI 2, 11) Θυμβραραῖός φησι.

Θύριον Ἀκαρνανίας. τὸ ἐθνικὸν Θυριεύς ὡς Σουνιεύς. Ἀνδροτίων δὲ Θύριός φησι.

---

l. 2 ἢ Δεραιάτης addit Mein. **l. 41 Θύριος pro Θούριος Mein.**

Ἴλιον πόλις Τρῳάδος. τὸ ἐθνικὸν Ἰλιεύς «Ἰλιεὺς ὁ Ἀπόλλων ἐν Τροίᾳ».

Ἱστίαια πόλις Εὐβοίας. ὁ πολίτης Ἱστιαιεύς. Ἔφορος δὲ τὸ ἐθνικὸν Ἑστιαῖός φησι. καὶ Ἱστιώτης ὁ τῆς Θεσσαλικῆς.

Καλλίαι πόλις Ἀρκαδίας. ὁ πολίτης Καλλιεύς, ὡς Παυσανίας.

Κάλυνδα πόλις Καρίας. τὸ ἐθνικὸν Καλυνδεύς. Ἡρόδοτος ὀγδόῃ (c. 87).

Καρὶς καὶ Καρίδες πόλις Φρυγίας. τὸ ἐθνικὸν Καριδεύς ὡς Ἀρκαδεύς, τὸ ἀπὸ τῆς τέχνης Καρίτης.

Κρουσὶς μοῖρα τῆς Μυγδονίας. τὸ τοπικὸν ἔδει Κρουσιδεύς ὡς Χαλκιδεύς. ἔστι δὲ Κρουσιεύς.

Κρύα πόλις Λυκίας. Ἀρτεμίδωρος. τὸ ἐθνικὸν Κρυεύς «εἰσὶ δὲ καὶ ἄλλαι νῆσοι Κρυέων, Κάρυσις καὶ Ἄλινα».

Κυδαθήναιον δῆμος. ὁ δημότης Κυδαθηναιεύς. καὶ «κύων Κυδαθηναιεύς» (Arist. Vesp. 890).

Κυνέτεια πόλις Ἄργους. οἱ πολῖται Κυνετεῖς καὶ Κυνετειᾶται. οἱ τύποι γὰρ οὐκ ἀήθεις τῶν Ἀργείων.

Κυνόσσημα τόπος Λιβύης. τὸ ἐθνικὸν ἀπὸ γενικῆς Κυνοσσηματεύς.

Λάρανδα πόλις Λυκαονίας. ὁ πολίτης Λαρανδεύς. Χάραξ τρίτῳ χρονικῶν.

Ληψίμανδος πολίχνιον Καρίας. τὸ ἐθνικὸν Κρατερὸς ἐνάτῳ περὶ ψηφισμάτων Ληψιμανδεύς.

Μελίβοια πόλις Θετταλίας. τὸ ἐθνικὸν Μελιβοεύς ὡς Θεόπομπος.

Μεσσαπέαι χωρίον Λακωνικῆς. τὸ ἐθνικὸν Μεσσαπεεύς. οὕτω γὰρ ὁ Ζεὺς ἐκεῖ τιμᾶται. Θεόπομπος πεντηκοστῷ ἑβδόμῳ.

Μύλασα πόλις Καρίας. τὸ ἐθνικὸν Μυλασεύς — ὡς Μένανδρος Καταψευδομένῳ.

Νάρμαλις πόλις Πισιδίας. οἱ πολῖται Ναρμαλεῖς ὡς Καβαλεῖς, ὡς Ἔφορός φησι.

Ναυπλία πόλις Ἄργους. οἱ οἰκοῦντες Ναυπλιεῖς ὡς Στράβων (VIII p. 373).

Νεάνδρεια πόλις Τρῳάδος. ὁ πολίτης Νεανδρεύς ὡς Στράβων (XIII p. 606).

Νῦσα. Νυσεύς. λέγεται καὶ Νυσαῖος καὶ ἐξ αὐτοῦ Νυσαιεύς τρισυλλάβως καὶ Νυσαεύς ἄνευ τοῦ ῑ.

πόλις. ὁ οἰκήτωρ πολίτης καὶ πολιεύς. Πολιεὺς γὰρ ὁ Ζεὺς τιμᾶται· ἀπὸ τῆς πόλιος γενικῆς καὶ κατὰ τροπὴν τοῦ ος εἰς ευς.

---

l. 5 Pausan. X 18, 7 et 22, 3 Callienses memorans de Callio urbe Aetoliae dicit; quare Meinek. excidisse suspicatur ἔστι καὶ Αἰτωλίας πόλις Κάλλιον.
l. 21 cf. Πάσσα, ubi excidit Πάσσανδα πόλις Καρίας, ad quam pertinent verba: τὸ ἐθνικὸν Πασσανδεύς τῷ τῆς χώρας τύπῳ. Ἔφορος «ὀλίγοι δέ τινες εἰς τὸ τῶν Πασσανδέων χωρίον ἔφυγον».

Πύρινδος πόλις Καρίας. τὰ εἰς ος καὶ εἰς α εἰς ευς ἔχει τὸ ἐθνικόν.

Σαμάρεια πόλις τῆς Ἰουδαίας. καὶ Ἐπαφρόδιτος μὲν τὸ ἐθνικὸν αὐτῆς Σαμαρεύς εἶπε καὶ τὴν πρώτην συλλαβὴν ἐμήκυνεν, ὁ δ' Ἀντίοχος Σαμαρείτης.

Σέστιον πόλις ἐν μεσογείᾳ Οἰνωτρῶν. τὸ ἐθνικὸν Σεστιεύς, ὡς τὰ εἰς ον οὐδέτερα.

Σκόλις Ἀχαΐας πόλις. ὁ πολίτης Σκολιεύς ὡς Ῥιανὸς ἐν τετάρτῳ Ἀχαϊκῶν.

Σύμαιθα πόλις Θετταλίας. ὁ πολίτης Συμαιθεύς, ὡς Θεόπομπος Φιλιππικῶν εἰκοστῷ δευτέρῳ.

Σχοῖνος χώρα τῆς Θηβαϊκῆς, καὶ Σχοινεύς ποταμὸς ἀπὸ Σχοινέως τοῦ Ἀθάμαντος. Τρύφων ἐν τῷ περὶ παρωνύμων ὧδέ φησι «τὰ εἰς ευς λήγοντα παρώνυμα οὐδέποτε τῆς γενικῆς τοῦ πρωτοτύπου μιᾷ πλεονάζει. ὁ γοῦν Φωκαεύς οὐ παρὰ τὸν Φῶκον γέγονε, παρὰ μέντοι τὴν Φώκαιαν, καὶ ὁ παρὰ Καλλιμάχῳ Ἐλλοπιεύς παρὰ τὴν Ἐλλοπίαν, οὐ παρὰ τὸν Ἔλλοπα» ὁ δὲ παραρρέων τὸν Σχοῖνον ποταμὸς Σχοινεύς καλεῖται ἤτοι παρὰ τοὺς σχοίνους ἢ παρὰ τὸν Σχοινέα τὸν τῆς Ἀταλάντης πατέρα». ὁ πολίτης μέντοι Σχοινεύς (ὁ γὰρ ποταμὸς καὶ ὁ οἰκιστὴς Σχοινεύς) ὡς Ταρσοῦ Ταρσεύς.

Τάμυνα πόλις Ἐρετρίας. τὸ ἐθνικὸν Ταμυνεύς. λέγεται καὶ Ταμυναῖος. οὕτω γὰρ ὁ Ζεὺς ἐν αὐτῇ τιμᾶται.

Ταξίανα νῆσος τῆς Σουσιανῆς. τὸ ἐθνικὸν Ταξιανεύς ὡς Ἀδανεύς· .... ὀγδόῳ. τῷ τύπῳ τῆς χώρας Ταξιανηνός.

Τελμισσός πόλις Καρίας. ὁ πολίτης Τελμισσεύς. καὶ δρᾶμα Ἀριστοφάνους Τελμισσεῖς. λέγεται καὶ τετρασυλλάβως Τελεμισσεῖς ὡς αὐτός «πῶς ἄν τις ἂν οὖν, ἢ τί ποιήσας ... ὦ Τελεμισσῆς;» καὶ πάλιν «φέρε δὴ τοίνυν, ταῦθ' ὅταν ἔλθῃ, τί ποιεῖν χρή μ', ὦ Τελεμισσῆς;». καὶ Τελμίσσιος ὡς Λυρνήσσιος.

Τέρμερα πόλις Λυκίας. ὁ πολίτης Τερμερεύς. Ἡρόδοτος δὲ Τερμίλας αὐτοὺς καλεῖ ἐν τῷ πρώτῳ (c. 173). ὁ δὲ χρησμὸς ὁ περὶ αὐτῶν Τερμιλέας αὐτούς φησι.

Τετράπολις τῆς Ἀττικῆς. οἱ οἰκήτορες Τετραπολεῖς καὶ Τετραπολῖται, ὡς Φαβωρῖνος ἐν πρώτῳ παντοδαπῆς ὕλης ἱστορικῆς.

Τρεμίλη. ἡ Λυκία ἐκαλεῖτο οὕτως. οἱ κατοικοῦντες Τρεμιλεῖς. Ἀλέξανδρος «τελευτήσας τὰς δὲ τοὺς Τρεμιλέας Λυκίοις Βελλεροφόντης μετωνόμασεν». Ἑκαταῖος Τρεμίλας αὐτοὺς καλεῖ ἐν τετάρτῳ τῶν γενεαλογιῶν.

Τρινακρία ἡ Σικελία. τὸ ἐθνικὸν Τρινακριεύς. Καλλίμαχος δ' Αἰτίων α' Τρινάκριον πόντον φησίν.

Τρῳάς ἡ χώρα τοῦ Ἰλίου. τὸ ἐθνικὸν Τρῳαδεύς. «Ἡγησίαναξ

l. 11 Σχοῖνος — Θηβαϊκῆς inser. Mein. l. 24 de forma Τελμισσός cf. supra ad Orthograph. p. 589, 6. l. 32 Mein. proponit Τετραπολιεῖς. l. 35 locum sanare nec Meinekio vel hic vel Anal. Alex. p. 368 contigit.

γραμματικός, γράψας περὶ τῆς Δημοκρίτου λέξεως βιβλίον ἓν καὶ περὶ ποιητικῶν λέξεων. ἦν δὲ Τρῳαδεύς».

Τυμνησσός πόλις Καρίας. ὁ πολίτης Τυμνησσεύς, ὡς Ἀλέξανδρος ἐν πρώτῳ Λυκιακῶν.

Ὑδισσός πόλις Καρίας. ὁ πολίτης Ὑδισσεύς, ὡς Ἀπολλώνιός φησιν.

Ὑλλεῖς ἔθνος Ἰλλυρικὸν ἀπὸ Ὕλλου τοῦ Ἡρακλέους. ἔστι δ' ὡς Φῶκος Φωκεύς, Αἴολος Αἰολεύς, οὕτως Ὕλλος Ὑλλεύς. ἔστιν Ὑλλίς φυλὴ Ἄργους καὶ Δωριέων καὶ Τροιζηνίων. ὁ φυλέτης Ὑλλεύς. Χάραξ θ' «καὶ Παμφύλιοι καὶ Ὑλλεῖς».

Ὑπερασία πόλις Ἀχαΐας, ἧς τὸ ἐθνικὸν Ὑπερασιεύς. Φλέγων κγ' ὀλυμπιάδι καὶ Θεόπομπος.

Φαναγόρεια πόλις. τὸ ἐθνικὸν ἐχρῆν Φαναγορεύς ὡς Ἀλεξανδρεύς τῷ πλείονι λόγῳ. ἐκράτησε δ' ὅμως Φαναγορείτης.

Φιλαδέλφεια πόλις Λυδίας. ὁ πολίτης Φιλαδελφεύς. τὸ δὲ Φιλαδελφηνός ἐπιχώριον. οὕτω γὰρ Ἰώσηπος κ' τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας (c. 1).

Φίλιπποι πόλις Μακεδονίας. ὁ πολίτης Φιλιππεύς, Φιλιππηνός δὲ παρὰ Πολυβίῳ.

Φοιτίαι πόλις Ἀκαρνανίας. τὸ ἐθνικὸν Φοιτιεύς καὶ Φοίτιοι, ὡς Ἑλλάνικος ἐν τοῖς Τρωϊκοῖς.

Φορίεια κώμη Ἀρκαδίας. τὸ ἐθνικὸν Φοριεύς, ὡς Ἔφορος ἐν τῇ ς' τῶν ἱστοριῶν.

Χαλκητόριον πόλις Κρήτης. ὁ πολίτης Χαλκητορεύς. Ἀπολλόδωρος τετάρτῳ χρονικῶν «μεθ' οὗ Χαρίδημος ἦν φυγὰς Χαλκητορεύς». Κρατερὸς δ' ἐν τῷ περὶ ψηφισμάτων Χαλκήτορας αὐτούς φησι.

Χήν πόλις τῆς Λακωνικῆς. ὁ πολίτης Χηνιεύς, ἀλλὰ καὶ Χηνεύς, ὡς Πλάτων ἐν Πρωταγόρᾳ (p. 343) «τούτων τῶν ἀνδρῶν ἦν Θαλῆς καὶ Πιττακὸς καὶ Βίας καὶ Κλεόβουλος καὶ Σόλων ὁ ἡμέτερος καὶ Μύσων ὁ Χηνεὺς καὶ ἕβδομος ἐξ αὐτῆς τῆς Λακεδαίμονος Χίλων».

Χρυσαορίς πόλις Καρίας. τὸ ἐθνικὸν Χρυσαορεύς, ὡς Ἀπολλώνιος ἐν Καρικοῖς «Ταυροπολῖται μὲν συνεμάχουν καὶ Χρυσαορεῖς καὶ Πλαρασεῖς».

Ὠρωπός πόλις Βοιωτίας. τὸ ἐθνικὸν Ὠρωπεύς ὡς Ἀπολλόδωρος ἐν νεῶν καταλόγου πρώτῃ «ἔστι δ' ἡ Γραῖα τόπος, τῶν Ὠρωπέων πόλις». Στράβων δ' ἐν τῇ ἐνάτῃ (p. 391) φησίν «ἀπὸ τῆς Ὠρωπίας ἐπὶ τὴν δύσιν» ὡς ἀπὸ τοῦ Ὠρώπιος· εἰ γὰρ ἦν ἀπὸ τοῦ Ὠρωπιεύς, Ὠρωπιάς ἂν εἶπε. Παυσανίας δὲ ἐν τῷ ἑβδόμῳ (c. 11, 4) φησὶν τὸ ἐθνικὸν οὕτως «καταφεύγουσιν ἐπὶ τὴν Ῥωμαίων βουλὴν οἱ Ὠρώπιοι».

---

l. 12 καὶ Θεόπομπος ex articulo Ὑπερησία huc retali, ubi τὸ ἐθνικὸν τῆς Ὑπερησίας Ὑπερησιεύς. Θεόπομπος δὲ Ὑπερασιεῖς φησι διὰ τοῦ ᾱ. l. 24 Φοριεύς pro Φοριαεύς Mein.

καὶ Θουκυδίδης δευτέρᾳ (c. 23) «παριόντες Ὠρωπὸν τὴν γῆν Γραϊκὴν καλουμένην, ἣν νέμονται Ὠρώπιοι Ἀθηναίων ὑπήκοοι, ἐδῄωσαν». καὶ Θεόπομπος ἐν ϛ' Ἑλληνικῶν «ἀνακοινοῦνται τῶν Ὠρωπίων Τηλέφῳ καὶ τοῖς μετ' ἐκείνου βουλομένοις καὶ τὸν Ὠρωπὸν ὑπάρχειν αὐτοῖς».

Περὶ τῶν εἰς ῶς.

Ἕλος πόλις Λακωνική. οἱ πολῖται Εἵλωτες. τῇ ἐκτάσει καὶ τῷ γένει καὶ τῇ προσθέσει τοῦ ῑ διαφέρει. λέγονται καὶ Εἱλῶται καὶ Ἕλειοι καὶ Ἑλεῖται.

ΠΕΡΙ ΡΗΜΑΤΙΚΩΝ ΟΝΟΜΑΤΩΝ.

Mon. 6, 13 τὸ αἴτιον τοῦ μονοσυλλαβῆσαι τὸ Ζεύς ἐν τῷ περὶ ῥηματικῶν ὀνομάτων λέγομεν.

Περὶ τῶν εἰς ων.

Schol. Arist. Acharn. 4: ὡς ἀπὸ τοῦ ἀλγήσω μέλλοντος ἀλγηδών ἀλγηδόνος, οὕτω καὶ ἀπὸ τοῦ χαίρω χαιρήσω χαιρηδών.

Theogn. 34, 34: τὰ εἰς ημων δισύλλαβα ἐκ τρίτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων παρηγμένα — μνήμων, κτήμων, στήμων, γνώμων.

Theogn. 37, 4: οἰκτίρμων, ἐλεήμων παρὰ ῥῆμα.

Περὶ τῶν εἰς ης.

Choer. 47, 1: τὰ εἰς ης ἰαμβικὰ ἔχοντα ῥῆμα ὁριστικὸν χρόνου ἐνεστῶτος παρακείμενον αὐτοῖς καὶ φυλάττοντα τὸ σύμφωνον ἀπὸ τοῦ ἐνεστῶτος διὰ τοῦ τος κλίνεται οἷόν ἐστι Λάχης, παράκειται γὰρ αὐτῷ τὸ λάχω, λείβω λέβης, δαίρω Δάρης, χαίρω Χάρης, πλανῶ πλάνης, πένω πένης, τρέμω Τρόμης, κρατῶ Κράτης. τὸ δὲ δότης δότου, πλύτης πλύτου, θύτης θύτου οὐκ ἔχει ἀπὸ ἐνεστῶτος τὸ τ, διὸ οὐ κλίνεται διὰ τοῦ τος. ὁ γὰρ ἐνεστὼς διδῶ καὶ πλύνω καὶ θύω ἐστίν.

Choer. 176, 22: τὰ εἰς της λήγοντα ἀρσενικὰ φύσει δισύλλαβα βαρύνεται οἷον δότης, πλύτης, θύτης, πράτης· διὰ τοῦτο τὸ ψάλτης ἀνα-

---

l. 10 caussa autem nulla alia videtur nisi quod a verbo monosyllabo ζῶ, unde etiam Plato Cratyl. p. 396 repetit, propagatum sit. cf. Cram Ep. I 182, E. Gud. 230, 16. Similiter qui θεός a θῶ τὸ κατασκευάζω duxerunt, primigeniam formam θός esse voluerunt, quae in θεός mutata esset, quia praeter τίς nullum nomen consona finitum esset breve. Choer. Ep. in Psalm. 99, 1. l. 13 cf. Eust. ad Hom. 1741, 26 ubi Herodianus ἀλγηδών ἀηδών dicit ῥηματικὰ εἰς δων λήγοντα et de ἀηδών Theogn. 32, 18.

λογώτερόν ἐστι κατὰ τὴν κοινὴν διάλεκτον βαρυνόμενον τοῦ παρὰ τοῖς Ἀττικοῖς ὀξυνομένου. τὸ δὲ ληστής ἀπὸ τρισυλλάβου ληϊστής ἐγένετο.

E. M. 436, 8: τὰ εἰς της λήγοντα ἀρσενικὰ καθαρὸν ἔχοντα τὸ ῑ βραχείᾳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς βαρύνεται καὶ ἁπλᾶ ὄντα, ἀρότης, ἐργάτης. σεσημείωται τὸ εὑρετής. τὸ μέντοι λυριστής, λεπιστής, χλευαστής ὀξύνεται, ὅτι οὐ καθαρὸν τὸ ῑ· τὸ ἀθλητής, μαχητής, μαθητής, ὅτι οὐ βραχεῖαν ἔχει τὴν παραλήγουσαν.

Arc. 26, 22: τὰ εἰς ατης τὸ ᾱ μακρὸν ἔχοντα ῥηματικὰ θεατής, πειρατής ὀξύνεται.

Arc. 27, 4: τὰ εἰς υτης τὸ υ μακρὸν ἔχοντα ῥηματικὰ ὀξύνεται κωλυτής, μηνυτής.

Arc. 27, 11; 117, 9, E. M. 628, 2, Choer. Dict. 54, 10: τὰ εἰς ης ἐπίθετα παρὰ ῥῆμα σύνθετα εἰς ους ποιοῦντα τὴν γενικὴν ὀξύνεται εὐσεβής, εὐλαβής, θεοφιλής, αὐτοσφαγής, πολυδευκής, Πολυδεύκης δὲ τὸ κύριον βαρύνεται. βαρύνεται δὲ τὰ παρὰ τὸ ὄλω πανώλης, ἐξώλης, προώλης καὶ τὰ παρὰ τὸ ἀρκῶ αὐτάρκης καὶ τὰ παρὰ τὸ ἀντῶ προσάντης καὶ τὰ παρὰ τὸ ἅδω αὐθάδης. τὰ μέντοι παρὰ ῥῆμα σύνθετα εἰς ου ἔχοντα τὴν γενικὴν βαρύνεται οἷον πωλῶ παντοπώλης, μετρῶ γεωμέτρης, παιδοτρίβης, χρεωφείλης, ναυβάτης, ἐργομίσης, προτύπτης.

Περὶ τῶν εἰς ις.

Arc. 29, 7: τὰ εἰς ις ἐσχηματισμένα ἀπὸ βαρυτόνων μελλόντων ἢ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου βαρύνεται καὶ συστέλλει τὸ ῐ, ποιήσω ποίησις, γνώσω γνῶσις, πράξω πρᾶξις, πέφανσαι φάνσις, μεμίανσαι μίανσις. τὸ δὲ ἀψίς σεσημείωται μακρὸν ἔχον τὸ ῑ.

Eustath. 1339, 19 et 620, 14: τὸ τροφαλίς εἴρηται παρὰ τὸ τρέφεσθαι ὅ ἐστι πήγνυσθαι, ἐξ οὗ καὶ τὸ τρόφι κῦμα εἴρηται.

Arc. 31, 25: τὰ εἰς ξις καὶ ψις ἀπὸ μελλόντων ἐσχηματισμένα βαρύνεται, ἕξω ἕξις, λέξω λέξις, ψύξω ψύξις. σεσημείωται ἀψίς ὀξυνόμενον.

E. M. 475, 45, Choer. Orth. 221, 7: τὰ εἰς ρις θηλυκὰ ῥηματικὰ δισύλλαβα βαρύτονα ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι οἷον χαίρω χάρις, εἴρω Ἶρις, δαίω δῆρις, τὸ δὲ κουρίς τὸ ἐργαλεῖον τοῦ κουρέως ὀξύνεται. τὸ δὲ Χαῖρις Χαίριδος ὄνομα κύριον ἀρσενικόν ἐστι.

Arc. 34, 19: τὰ εἰς σις ἀπὸ μέλλοντος γινόμενα ἢ ἀπὸ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου βαρύνεται ποιήσω ποίησις, λύσω λύσις, κέκρισαι κρίσις.

Περὶ τῶν εἰς ος.

Ep. Cr. I 77: παρὰ τὸ ἀλῶ τὸ πλανῶμαι ἀλαός ὁ περιπλανώμενος.

Il. Pr. Ψ 160: τὰ εἰς ος λήγοντα ὀνόματα παρὰ ῥῆμα γινόμενα καθαρεύοντα καὶ τῷ ε παραληγόμενα ὀξύνεσθαι θέλει, φωλεύω φωλεός, ὀχεύω ὀχεός καὶ πλεονασμῷ τοῦ ε ὀσχεός. καὶ παρὰ τὸ σωρεύω δὲ ὁ

cωρεόc, τὸ δὲ cωρόc κατὰ cυγκοπὴν ἀπετελεῖτο. καὶ παρὰ τὸ λοχεύω δὲ ὁ λοχεόc ἔcται κατ' ὀξεῖαν τάcιν. ἀλλ' οὖν γε βαρυτόνωc οἱ πλείουc ἀνέγνωcαν πλεοναcμὸν ἐκδεξάμενοι τοῦ ε̄ ὥcτε παρὰ τὴν λόχου γενικὴν λόχοιο γενέcθαι καὶ λοχέοιο. παρὰ κηδεύω δὲ κηδεόc. κελεύω Κελεόc ὄνομα κύριον, ὠρεύω Ὠρεόc.

Suid. s. ῥωγαλέοc, E. M. 261, 56: τὰ διὰ τοῦ αλεοc ἀπὸ τριῶν παράγεται μερῶν, ἀπὸ ὀνόματοc δεῖμα δειμαλέοc, ἀπὸ ῥήματοc οἰδῶ οἰδαλέοc, ἀπὸ ἐπιρρήματοc ῥίμφα ῥιμφαλέοc.

E. Orion. 57, 12, E. M. 380, 30: ὥcπερ ἀπὸ τοῦ ἁρμόζω γίνεται ἁρμόδιοc τὸν αὐτὸν τρόπον ἀπὸ τοῦ ῥοίζω γίνεται ῥοίδιοc καὶ πλεοναcμῷ τοῦ ε̄ καὶ ἐκτάcει τοῦ ο̄ εἰc ω̄ ἐρῳδιόc καὶ μένει τὸ ῑ προcγεγραμμένον.

Arc. 41, 8, Choer. Orth. 173, 26: τὰ ἀπὸ ἐνεcτώτων γενόμενα εἰc ιοc προπαροξύνεται αἰτῶ αἴτιοc, ἁρμόζω ἁρμόδιοc, ἀρκῶ ἄρκιοc, ἀρτῶ ἄρτιοc. τὸ δὲ ἀντῶ ἀντίοc cεcημείωται παροξυνόμενον.

Arc. 41, 12: τὰ εἰc ιοc ἀπὸ μέλλοντοc γινόμενα προπαροξύνεται, ὀρθώcομαι Ὀρθώcιοc, ἀcπάcομαι ἀcπάcιοc, φυλάξομαι φυλάξιοc, ἀλέξω ἀλέξιοc, κτήcω κτήcιοc, αἰνήcω Αἰνήcιοc, ἀρκέcω ἀρκέcιοc καὶ πλεοναcμῷ τοῦ ῑ Ἀρκείcιοc, ἄρcω ἄρcιοc καὶ ἀνάρcιοc, ἄξω ἄξιοc, θαυμάcω θαυμάcιοc. τὸ μέντοι πλήcω πληcίοc καὶ τὸ δέξομαι δεξιόc καὶ ἕψομαι ἀνεψιόc.

Arc. 43, 2: τὸ ἐπιπόλαιοc οὐκ ἀπὸ τοῦ ἐπιπολῆc παρῆκται, ἀλλὰ παρὰ τὸ ἐπιπολάζω. οἱ πλείουc αὐτὸ περιcπῶcιν.

Il. Pr. Λ 301: τὸ Πείραιοc προπαροξυνόμενον παρὰ ῥῆμα τὸ πειρῶ ὡc παρὰ τὸ φιλῶ Φίλαιοc καὶ παρὰ τὸ βέβηκα βέβαιοc.

Arc. 43, 10, Il. Pr. Ε 69: τὸ Τίμαιοc προπαροξυνόμενον ἔχει ἀφορμήν, ὅτι ῥῆμα αὐτοῦ προκατάρχει.

Il. Pr. Ε 69: πολλάκιc τὰ εἰc αιοc τρίτην ἀπὸ τέλουc ἔχει τὴν ὀξεῖαν, εἰ ῥῆμα αὐτῶν προκατάρχοι ὥcπερ ἔχουcι τὸ βέβαιοc (παρὰ γὰρ τὸ βέβηκα) ὡc τὸ Φίλαιοc, τὸ Νίκαιοc, τὸ Τίμαιοc. τοιοῦτον καὶ τὸ Πήδαιοc. οὐ γάρ, ὡc οἴεται ὁ Ἄβρων, παρὰ τὴν πῆδον (?)· ἐοικὸc γὰρ μᾶλλον ἥρωϊ παρὰ τὸ πηδᾶν ἐcχηματίcθαι.

Arc. 57, 19: τὰ διὰ τοῦ ωλοc ὑπερδιcύλλαβα ῥηματικὰ ἔχοντα τὴν τρίτην μακρὰν ὀξύνεται, φειδωλόc, Αἰτωλόc, ἁμαρτωλόc.

Il. Pr. Φ 575: κυνυλαγμόc: τὰ εἰc γμοc ῥηματικὰ μετὰ προθέcεωc πέφυκε cυντίθεcθαι τῆc αὐτῆc τάcεωc μενούcηc, μετ' ἄλλου δὲ οὐδενόc. καὶ τὸ ὑλαγμὸc οὖν παρὰ τὸ ὑλάccειν γεγονὸc οὐ cυντεθήcεται μετ' ἄλλου μέρουc λόγου. cύνδεcμοc οὖν ἐcτιν ὁ κέν.

Ep. Hom. 349, 3: Πρίαμοc ἐκ τοῦ πρίαμαι. ἐπράθη γὰρ καὶ ταύτηc τῆc ἐπωνυμίαc ἔτυχεν, ὡc ἱcτορεῖ Λυκόφρων (v. 338) «ὠνητὸc αἰθαλωτόν».

E. M. 447, 18, Choer. Ep. in Psalm. 162, 13: ποταμόc παρὰ τὸ ποτάζω ποτάcω ποταcμόc καὶ ποταμόc. οὕτωc Ἡρωδιανόc.

E. M. 194, 33: ἔστι ῥῆμα βέλλω, παρ' ὃ βέλεμος ὡς ἔχω Ἔχεμος, Τήλεμος· πλεονασμῷ τοῦ ν βέλεμνος καὶ βέλεμνον. Ἡρωδιανὸς περὶ παθῶν.

E. M. 793, 45: τὰ εἰς ινος ὀνόματα εἰ ἀπὸ ῥήματος παραχθῇ, ἢ ἀπὸ ἐνεστῶτος ἢ ἀπὸ μέλλοντος παράγεται, ἔχω Ἐχῖνος, πράξω Πραξῖνος.

St. B. Νάξος νῆσος ἀπὸ τοῦ Νάξου. τινὲς δὲ παρὰ τὸ νάξαι, ὅ φασι θῦσαί τινες.

St. B. Ὄαξος πόλις Κρήτης ἀπὸ Ὀάξου. τινὲς δὲ διὰ τὸ καταγῆναι τὸν τόπον καὶ κρημνώδη ὑπάρχειν. καλοῦσι γὰρ τοὺς τοιούτους τόπους ἄξους καθάπερ καὶ ἡμεῖς ἀγμούς.

St. B. s. Ἀσκάλων. Ἄραξος Ἀράξης ὡς ἀπὸ τοῦ χαράξω Χάραξος Χαράξης.

E. Or. 77: ἶπος παρὰ τὸ ἴπτω καὶ ἰάπτω ὡς κόπτω κόπος. Ἡρωδιανός.

Arc. 66, 24: τὰ εἰς πος δισύλλαβα μὴ ἐπιθετικὰ ἔχοντα τὸ ο ἐν τῇ παραληγούσῃ, εἰ μὴ ὑποστρέφει εἰς ῥῆμα τῷ ε παραληγόμενον, βαρύνεται, τρόπος ὁ τρέπων, τροπός ὁ τετραμμένος.

Arc. 68, 16: τὰ εἰς ρος δισύλλαβα παραληγόμενα τῷ ο βαρύνεται, ὁπότε γίνεται ἀπὸ τῶν παραληγομένων τῷ ε ἢ ει ἢ αι διφθόγγῳ ῥημάτων, εἰ μή τις διαστολὴ γένοιτο, σπόρος ὅτι σπείρω, πτόρος ὁ πταρμός ὅτι πταίρω, φθόρος ὅτι φθείρω, μόρος ὅτι μείρω, κόρος ὅτι κείρω, φόρος ὅτι φέρω, φορός δὲ ὁ ἄνεμος ὀξυτόνως, ὅρος, εἴρω γάρ. — τὸ μέντοι βορός ὁ πολλὰ ἐσθίων καὶ τὸ χορός καὶ σορός ὁ τάφος καὶ τορός ὀξύνεται. οὐ γὰρ γίνεται ἀπὸ τοιούτων ῥημάτων. σεσημείωται τὸ δορός ὁ δεδαρμένος, εἰ καὶ ἐκ τοῦ δείρω γίνεται.

E. Or. 100, 4: τὰ εἰς ρος ῥηματικὰ τῇ ει διφθόγγῳ θέλει παραλήγεσθαι οἷον ἀΐσσω αἴγειρος, μάσσω μάγειρος, ὀνῶ ὄνειρος.

Arc. 75, 8: τὸ Σῶσος ἀπὸ τοῦ σώσω βαρύνεται, ὡσαύτως καὶ Βλῶσος παρὰ τὸν βλώσω μέλλοντα·γεγονός.

St. B. Ταρσός τινὲς παρὰ τὸ τερσανθῆναι, οἱ δὲ παρὰ τὸ τερσῆναι, ἄλλοι δὲ παρὰ τὸν ταρσόν.

Herod. in E. M. 714, 34: ὥσπερ παρὰ τὸ ἐργάζομαι γίνεται ἐργαστής καὶ ἀποβολῇ τοῦ σ ἐργάτης βαρυνόμενον καὶ ἀπὸ τοῦ δεσποτής δεσπότης, οἰστός οἶτος, οὕτω καὶ παρὰ τὸ σέσεισται σειστός καὶ ἀποβολῇ τοῦ σ καὶ ε σῖτος.

Arc. 87, 5: τὰ εἰς τος ῥηματικὰ πρὸ τοῦ τ τὸ κ ἢ τὸ π ἔχοντα ὀξύνεται, πλεκτός, ἑλκτός, πνικτός, θελκτός, πεμπτός, ἑκτός ὁ ἐχόμενος.

Arc. 80, 25: τὰ διὰ τοῦ ατος ῥηματικὰ ἀπὸ τῶν εἰς μι ἢ ἀπὸ δευτέρας συζυγίας τῶν περισπωμένων προπαροξύνεται, ἐρατός, ἐλατός, περατός, θεατός, φυρατός, ἰατός.

l. 29 Theogn. 74, 5.

Arc. 83, 10: τὰ εἰς τος ἁπλᾶ ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ τ ψιλὸν κατ' ἐπιπλοκὴν ἐπιθετικὰ ὄντα καὶ ῥηματικὰ ὀξύνεται, ἑλικτός, ἀμελκτός, χαρακτός, ὀρεκτός. — 83, 8: ὀξύνεται ἱμερτός, ἐγερτός, ὑφαντός ῥηματικά.

Arc. 83, 22: τὰ εἰς στος ἐπιθετικὰ ἁπλᾶ ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, ληϊστός, μεριστός, ὀνομαστός. τὰ δὲ σύνθετα προπαροξύνεται κτλ.

Περὶ τῶν εἰς α.

Mon. 12, 25: τὰ εἰς σα λήγοντα θηλυκὰ ὀνόματα τῇ ου διφθόγγῳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς ὁρᾶται. σχηματίζεται δὲ κατὰ τὸ πλεῖστον ἢ μετατίθεται ἀπὸ μετοχῶν, αἴθουσα αἴθουσσα, Φέρουσα, Κρέουσα, Μέδουσα, Ἀρέθουσα. οὐδὲν δ' ὅ τι οὖν ὤφθη δισύλλαβον εἰς α λῆγον τῇ ου διφθόγγῳ παραληγόμενον ὁμοίως ἐν χρήσει τῇ τῶν παλαιῶν καὶ ἐν κοινῇ συνηθείᾳ, εἰ μὴ μόνον τὸ μοῦσα.

Eustath. 1766, 29 et 1819, 39: κνῖσα γίνεται ἀπὸ μέλλοντος τοῦ κνίζω κνίσω. διὸ καὶ δι' ἑνὸς γράφεται σ καὶ ἔκτασιν ἔλαβε τοῦ ι.

St. B. s. v. et Eustath. ad Dionys. 409: Πῖσα παρὰ τὸν πίσω μέλλοντα, οὗ ἡ χρῆσις παρὰ Πινδάρῳ. Πίνδαρος δὲ κατὰ συστολὴν τὴν πόλιν εἶπε Πίσαν.

E. Gud. 330, 59: τὸ κνύζα ἐπὶ τοῦ παρεφθαρμένου καὶ ἐρρυπωμένου ἀπὸ τοῦ κνύω, ἀφ' οὗ κνύος ἡ φθορὰ οἷον «κατὰ κνύος — ἔχευεν, ψίλωτο δὲ — κάρηνα» (Hes. frg. XLII) γίνεται ὡς παρ' Ἀνακρέοντι «κνύζη τις ἤδη καὶ πέπειρα γενομένη σὴν διὰ μαργοσύνην».

Choer. 181, 1: τὰ διὰ τοῦ εια θηλυκὰ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω, εἰ μὴ ᾖ ἀπὸ τῶν εἰς μων ὀξυτόνων ὡς ἡγεμών ἡγεμονεύω ἡγεμονία, διὰ τῆς ει διφθόγγου γράφεται καὶ παροξύνεται, ἀλαζονεύω ἀλαζονεία κτλ.

Arc. 99, 3, Theogn. 105, 16: τὰ διὰ τοῦ ια παρὰ μελλόντων γινόμενα παροξύνεται, ὀρέξω ἀνορεξία, πέψω ἀπεψία, προδώσω προδοσία.

περὶ ποσότητος 300, 12: τὰ ἀπὸ ἐνεστώτων παρηγμένα θηλυκὰ εἰς εια προπαροξύνεται, ἀπόλω ἀπώλεια, μήδω Μήδεια, θέρω θέρεια, θάλλω Θάλεια, ἀνθῶ Ἄνθεια.

St. B. s. ἀγυιά: Ἡρακλέων ὁ Γλαύκου παρὰ τὸ ἄγω φησίν. ἔστι δὲ ὡς παρὰ τὸ ἅρπω ἅρπυια, ὀρέγω ὀρέγυια.

Περὶ τῶν εἰς η.

Ep. Cr. I 94, 33: τὰ εἰς η καθαρὸν τῷ ο παραληγόμενα ὧν προκατάρχῃ ῥῆμα τῷ ε παραληγόμενον πάντα ὀξύνεται, ζέω ζοή, πνέω πνοή, χέω χοή.

E. M. 50, 10: τὰ εἰς ω καθαρὸν λήγοντα βαρύτονα ῥήματα τὴν

l. 40 cf. Arc. 103, 21 et 25.

παραλήγουσαν ἐν τοῖς ῥηματικοῖς ὀνόμασι βραχεῖαν ἔχει, κονίω κονία, φύω φυή, ἀκούω ἀκοή.

Il. Pr. Ε 202, Arc. 104, 4: τὰ εἰς η λήγοντα θηλυκὰ μετὰ συμφώνου διςύλλαβα ὀξύνεται τῷ ο παραληγόμενα, εἰ γένοιτο ἀπὸ ῥημάτων τῷ ε παραληγομένων μόνῳ οἷον τρέπω τροπή, τρέφω τροφή, νέμω νομή, στρέφω στροφή, ῥοπή, σπονδή, ὁλκή, πλοκή, φορβή. προςέθηκα τῷ ε παραληγόμενα μόνῳ, ἵνα νῦν ἐκφύγω τὸ πόρπη. τοῦτο γὰρ ἀπὸ τοῦ πείρω.

Arc. 104, 12: τὰ εἰς βη ἰαμβικὰ ῥηματικὰ ὀξύνεται, λαβή, τριβή.

Choer. Ep. in Psalm. 81, 12: τὰ εἰς γη διςύλλαβα προςηγορικὰ ὄντα καὶ ῥηματικὰ ἔχοντα τὴν πρὸ τέλους ςυλλαβὴν εἰς ςύμφωνον καταλήγουσαν ὀξύνεται οἷον φθογγή, κλαγγή, ὀργή καὶ εἴ τι ὅμοιον.

Arc. 104, 22: τὰ εἰς γη ἰαμβικὰ ῥηματικὰ ὄντα ὀξύνεται, ταγή ἀπὸ τοῦ τάςςω, φυγή, ςφαγή.

Arc. 106, 15: τὰ εἰς κη ἰαμβικά, εἰ μὲν τῷ ο παραλήγοιτο, ὀξύνεται ῥηματικὰ ὄντα, πλέκω πλοκή, δέκω δοκή ἡ ὑπόνοια, πέκω ποκή τὸ ἔριον.

Arc. 107, 2: ἡ φυλακή ἀπὸ τοῦ φυλάςςω ὡς ἰακή ἀπὸ τοῦ ἰάζω. — E. M. 95, 50: τὸ δὲ ἀνάγκη εἰ ἦν ἀπὸ ῥήματος τοῦ ἀνάςςω, ὀξύνοιτο ἂν ὡς στενάχω στεναχή.

Il. Pr. Ο 709: τὸ ἀϊκή ὠξυτονήθη ἴςως ὅτι ῥηματικὸν ὑπῆρχεν ἀπὸ τοῦ ἀΐςςω ὡς φυλάςςω φυλακή, ὑλάςςω ὑλακή.

Theogn. 110, 22: τὰ διὰ τοῦ ολη ῥηματικὰ ὄντα ὀξύνεται, ςτέλλω ςτολή, βάλλω βολή, χέω χολή.

Arc. 108, 23: τὸ ἀλαλή ὁ θόρυβος παρὰ τὸ λαλῶ.

Choer. Orth. 280, 30: ὠτειλή ἀπὸ τοῦ οὐτήςω οὐτηλή τροπῇ τῆς ου διφθόγγου εἰς ω καὶ τοῦ η εἰς τὴν ει δίφθογγον Βοιωτιακῶς ὡς πένης πένεις. λέγεται δὲ παρ' Αἰολεῦςιν ὠτέλλη.

An. Ox. II 394, 26, Arc. 110, 9: τὰ εἰς μη καθαρὸν ἰαμβικὰ τὸ ο παραληγόμενα ὀξύνεται, ὁπότε προϋπάρχει ῥῆμα διὰ τοῦ ε κατὰ τὴν παραλήγουσαν οἷον νομή, ἀνατομή, προνομή.

E. M. 40, 29: Αἴτνη ὄρος Cικελίας. παρὰ τὸ αἴθω τὸ καίω αἴτνη ὡς φάγω φάτνη, πήςςω πάχνη.

Arc. 112, 21: τὸ φωνή ἀπὸ τοῦ φωνῶ καὶ ὠνή ἀπὸ τοῦ ὠνῶ ὀξύνεται.

Arc. 113, 9: τὸ μολπή ἀπὸ τοῦ μέλπω καὶ πομπή ἀπὸ τοῦ πέμπω ὀξύνεται.

Περὶ τῶν εἰς ω.

St. B.: Χορταςώ πόλις Αἰγύπτου. ἀπὸ μέλλοντος ὁ ςχηματιςμός. ὡς γὰρ τοῦ καλύψω ἡ Καλυψώ, οὕτω καὶ τοῦ χορτάςω Χορταςώ.

Περὶ οὐδετέρων.

Il. Pr. Ο 76: ἴκρια ὡς δέμνια. ἔστι γὰρ ῥηματικόν, ὡς ἐν ἑτέροις εἴρηται.

E. M. 135, 5: παρὰ τὸ ἀράσσω ἀράχνιον ὡς δέμω δέμνιον, παίζω παίγνιον. p. 480, 49 τὸ ἴχνιον προπαροξυτονητέον ὁμοτόνως τῷ ἀράχνιον· οὐ γάρ ἐστιν ὑποκοριστικόν, ἀλλ' ἀπὸ ῥήματος ἐσχημάτισται.

E. M. 520, 15: τὸ κλισίον παρὰ τὸ κλείω ἐστίν, ὃ σημαίνει τὸ περιέχω.

Mon. 22, 2, Theogn. 19, 20: ὕψος γέγονε παρὰ τὸ ὄπτω τὸ βλέπω ὄψω ὄψος καὶ τροπῇ Αἰολικῇ ὕψος.

Ep. Hom. 63, 21: γίνεται ἀπὸ μελλόντων ὀνόματα οὐδέτερα ὡς παρὰ τὸ ἄψω ἄψος, πίσω πίσεα.

Eustath. 1446, 9: κνύος ἡ φθορὰ παρὰ τὸ κνύω παρ' Ἡσιόδῳ ὡς παρὰ τὸ θύω θύος καὶ φλύω φλύος παρὰ Ἀρχιλόχῳ ἐπὶ φλυαρίας.

Περὶ μονοσυλλάβων.

E. Gud. 565, 52: χθών· γίνεται παρὰ τὸ χῶ ῥῆμα χὼν καὶ χθών.

E. M. 638, 54: οὖς. παρὰ τὸ αὔω τὸ φωνῶ γίνεται αὖας καὶ τροπῇ τοῦ $\bar{α}$ εἰς ο οὖας. ἐκ τούτου γίνεται κατὰ ἀποβολὴν τοῦ $\bar{υ}$ ὄας καὶ κατὰ κρᾶσιν οὖς καὶ κατὰ Δωριεῖς ὦς.

ΠΕΡΙ ΜΟΝΟϹΥΛΛΑΒΩΝ.

*1.

Choer. 182, 27: πᾶν ὄνομα μονοσύλλαβον μακροκαταληκτεῖν θέλει εἴτε φύσει εἴτε θέσει· φύσει μὲν οἷον Γρᾶς, πᾶς, Κρής, Τρώς, σής ὁ σκώληξ, νοῦς, παῖς, βοῦς, θέσει δὲ οἷον νύξ, Στύξ, φλόξ, Φρύξ, ἅλς χωρὶς τοῦ τίς· τοῦτο γὰρ συστέλλει τὸ ῑ, καὶ χωρὶς τοῦ πός, ὅπερ ἀπὸ τοῦ πούς γέγονε κατ' ἀποβολὴν τοῦ $\bar{υ}$ «ᾧ πὸς ἄγ' ἱεμένοισι» καὶ τοῦ ἕν καὶ τοῦ δέν, ὅπερ ἰσοδυναμεῖ τῷ τί, ὅπερ συνεχῶς εὑρίσκεται μετὰ τῆς οὐ ἀποφάσεως καὶ τῆς μή ἀπαγορεύσεως οἷον οὐδέν, μηδέν, καὶ χωρὶς τοῦ ὅς «ὅς ἂν ἐθέλῃ, μεινάτω με» καὶ χωρὶς τοῦ πάν παρ' Αἰολεῦσιν (οἱ γὰρ Αἰολεῖς τοῦ πᾶν τὸ $\bar{α}$ συστέλλουσι) καὶ χωρὶς τοῦ Δί, ὅπερ ἀπὸ τοῦ Δία γέγονε κατ' ἀποκοπήν, ὅπερ καὶ μετὰ τοῦ νή ἐπιρρήματος γίνεται νὴ Δί.

2.

Theogn. 134: τὰ εἰς $\overline{εις}$ μονοσύλλαβα διὰ τῆς $\overline{ει}$ διφθόγγου γραφόμενα σπάνιά ἐστιν, ἔστι γὰρ τὸ δείς ὀξύτονον, ὅπερ ἀεὶ μετὰ τῆς οὐ ἀποφάσεως ἢ τῆς μή ἀπαγορεύσεως σύνεστιν, οὐδείς καὶ μηδείς.

---

l. 32 cf. Arc. 193, 1, Dichron. 282, 12, Mon. 19, 1, Lob. Parall. 70 et 86 et de νὴ Δί El. II 273. fragmentum prius sic restituit Lobeck. l. c.; in altero, ficticio ut videtur, E. M. 635, 19 cod. V habet ἔλθῃ.

ἔϲτι δὲ καὶ τὸ κλείϲ θηλυκὸν καὶ τὸ εἷϲ ἀρϲενικὸν ἐπὶ τοῦ ἀριθμοῦ περιϲπώμενον ὑγιῶϲ. αἱ γὰρ εἰϲ ειϲ ὀξυνόμεναι καὶ ἔχουϲαι εἰϲ εν οὐδέτερον μετοχαί εἰϲιν οἷον τιθείϲ τιθέν, νυγείϲ νυγέν. βαρυνόμενα δὲ ὀνόματά ἐϲτιν οἷον τιμήειϲ, ἐρόειϲ. ἐπεὶ οὖν τὸ εἷϲ εἶχεν οὐδέτερον τὸ ἕν, ἐχρῆν βαρύνεϲθαι· οὐκ ἦν δὲ τοῦτό πωϲ διὰ τὴν μονοϲυλλαβίαν. ἀναγκαίωϲ περιϲπᾶται, ἵνα δυνάμει βαρύνηται· ἀμέλει εἰϲ διϲυλλαβίαν μετελθὸν βαρύνεται ἐν τῷ «ὀφθαλμὸϲ ἔειϲ ἐπέκειτο μετώπῳ» (Hes. Theog. 145), ἵνα τὴν ὀνοματικὴν ϲημαϲίαν ἀποφήναι. οὕτωϲ Ἡρωδιανὸϲ περὶ μονοϲυλλάβων.

ΠΕΡΙ ΓΑΜΟΥ ΚΑΙ ΣΥΜΒΙΩΣΕΩΣ.

E. M. 149, 41: ἄρϲην· παρὰ τὸ ἄρδω τὸ ποτίζω καὶ τὸ μετεγχέω· ὁ γὰρ ἀνὴρ τῇ γυναικὶ ἐπαρδεύει. ἄρδω ἄρϲω ἄρϲην ὁ ἄρδων τὴν θήλειαν. καὶ γὰρ διὰ τοῦτο πόϲιϲ λέγεται ὁ ἀνὴρ παρὰ τὸ ποτίζειν τῇ γονῇ. ἢ παρὰ τὸ ἔρδω τὸ πράττω· ὁ μέλλων ἔρϲω καὶ ἄρϲην ἐξ αὐτοῦ, τουτέϲτιν ὁ πρακτικόϲ. οὕτωϲ Ἡρωδιανὸϲ ἐν τῷ περὶ γάμου καὶ ϲυμβιώϲεωϲ.

ΣΥΜΠΟΣΙΟΝ.

1.

E. Gud. 111, 15: βολβόϲ ἐπὶ τοῦ ἐϲθιομένου παρὰ τὸ βίᾳ ἀναβάλλεϲθαι. οὕτωϲ Ἡρωδιανὸϲ ἐν Συμποϲίῳ.

2.

An. Ox. III 399 (E. M. 420, 35, Anecd. Par. III 277, Eustath. 154, 38): Ἡρωδιανὸϲ ἐν τῷ αὐτοῦ Συμποϲίῳ δαϲύνεϲθαι τὸ ἧδοϲ λέγει πρόϲ τινων ὡϲ ἀπὸ τοῦ ἥδω καὶ τῆϲ ἡδονῆϲ. ἐκρίναμεν δέ, φηϲί, μᾶλλον δὲ ψιλοῦϲθαι αὐτό. φέρεται δὲ καὶ κανὼν τοιοῦτοϲ· τὰ εἰϲ οϲ οὐδέτερα διϲύλλαβα ἀρχόμενα ἀπὸ φύϲει μακρᾶϲ ψιλοῦται τὸ κατ' ἀρχὰϲ φωνῆεν οἷον εὖχοϲ, ἦδοϲ. ὅλωϲ δὲ πάντα τὰ τροχαϊκὰ ψιλοῦται ὡϲ καὶ τὸ ἦχοϲ ἦμοϲ ἀντὶ τοῦ ἡνίκα· οὕτω δὲ καὶ τὸ ἦμαρ μεταϲχηματιϲθὲν ἀπὸ τοῦ ἡμέρα ὡϲ καὶ τὸ ἦδοϲ Αἰολικῶϲ ἀπὸ τῆϲ ἡδονῆϲ· ὥϲπερ καὶ ἀπὸ τῆϲ μηχανῆϲ μετεϲχηματίϲθη τὸ μῆχοϲ, ὅπερ καὶ μῆχαρ λέγεται ὡϲ ἦμαρ καὶ ὡϲ μῶμαρ ὁ μῶμοϲ παρὰ Λυκόφρονι, προϲφυέϲτερον δὲ εἰπεῖν ὡϲ ἀλκή ἄλκαρ. ϲεϲημείωται ἐν τῷ ῥηθέντι κανόνι

---

l. 16 in E. Gud. 81, 5, ubi pro Ἡρωδιανὸϲ scriptum est Ἡρώδηϲ, Epaphroditus, quem Herodianus saepius commemorat, originationem ab ἄρϲαι amplecti dicitur: Ἐπαφρόδιτοϲ δὲ παρὰ τὸ ἄρϲαι. πρακτικὸϲ δὲ λέγεται ὁ ἄρϲην κατὰ διάλεκτον.

l. 19 ex E. Orion. 37, 16, E. M. 204, 21, ubi eadem auctore et libro tacitis traduntur, βολβὸϲ pro βολμόϲ et ἀναβάλλεϲθαι pro ἀναβάλλειν recepi.

τῶν τροχαϊκῶν τὸ ἧλος δαcυνθὲν καὶ τὸ ἧχι, ἐφ' ὧν ἐcτι καὶ ἀπολογία εὔλογος τοῦ δαcύνεcθαι αὐτά.

3.

E. Orion. 68, 3: ἧπαρ: ὁ Ἡρωδιανὸς ἐν τῷ Cυμποcίῳ παρὰ τὸ ἐπαίρεcθαί φηcιν ἔπαρ τι ὂν καὶ ἧπαρ τροπῇ τοῦ ε̄ εἰς η ἢ παρὰ τὸ ἥδω ἧδαρ καὶ ἧπαρ. ἐν τούτῳ γὰρ τὸ τῆς ἡδονῆς καὶ τὸ τῆς ἐπιθυμίας.

4.

E. Orion. 89, 2: κάραβος παρὰ τὸ κάρᾳ βαίνειν τῆς κεφαλῆς προηκούσης ἐπὶ τῷ ἐδάφει. Ἡρωδιανὸς ἐν τῷ Cυμποcίῳ.

*5.

E. Orion. 85, 17: καρκίνος παρὰ τὸ κάρη κινεῖν cυνεχῶς.

*6.

E. Orion. 85, 18: καρίς παρὰ τὸ cκαίρειν cκαρίς τις οὖcα.

7.

E. Orion. 124, 12 ὀθόνη: παρὰ τὸ ὄθω τὸ δηλοῦν τὴν κίνηcιν. ἔνθεν «οὐδ' ὄθομαι κοτέοντος» (A 181) καὶ «ψεδνὴ δ' ἐπενήνοθε λάχνη» (B 219) ἐνόθω ἤνοθεν ἐνήνοθεν ἀντὶ τοῦ ἐκινεῖτο. ὀθόνη οὖν εὐκίνητος διὰ λεπτότητα. Ἡρωδιανὸς ἐν τῷ Cυμποcίῳ.

*8.

E. Or. 118, 11 ὄξος: ἐπεὶ τέμνει καὶ κεντίζει ὡς εἰπεῖν τὴν γεῦcιν. καὶ ὀξεῖαν cταφυλὴν λέγομεν τὴν κεντρίζουcαν ἡμῶν τὴν γεῦcιν. Κυρηναῖοι δὲ τὸ ὄξος ἧδος λέγουcι κατ' ἀντίφραcιν. δύναται δὲ παρὰ τὸ ὀξύ ὄξος ὁ εἰς ὀξὺ μεταβεβληκὼς οἶνος εἰρῆcθαι ὀξύς ὄξος ὡς ταχύς τάχος, εὐρύς εὖρος. οὕτω Φιλόξενος.

9.

E. Orion. 124, 12 πελωρίς: παρὰ τὸ πέλωρον. μεῖζον γάρ ἐcτι τῆς χήμης καὶ τῶν ἄλλων ὁμοίων ὀcτρέων. οὕτως Ἡρωδιανὸς ἐν Cυμποcίῳ.

10.

E. Orion. 138, 3 πηλός: ὁ οἶνος. παρὰ τὸ πάλλειν καὶ cείειν ἡμᾶς πίνοντας. Ἐν Cυμποcίῳ οὕτως Ἡρωδιανός.

---

l. 2 proposui adnotamentum, ut servatum est in An. Ox., nam hic et accuratius et retentis Herodiani propriis verbis (e. g. προcφυέcτερον) quam in E. M. ἧλος scripsi pro ἢ δαcυνθὲν ex Arc. 198, 16. cf. Il. Pr. A 576; l 6.
l. 8 κάρᾳ ante βαίνειν ex E. M. 490, 29 addidi, ἐπὶ a τῆς κεφαλῆς ad τῷ ἐδάφει transmisi. cf. περὶ cχημάτων fr. 3. l. 13 haec duo fragmenta (5 et 6) quamvis titulo destituta, ex hoc libro sumpta videntur. l. 17 ἤνοθεν scripsi ex E. M. 354, 48 pro ἔνοθεν, ἐκινεῖτο pro ἔκειτο. — Secutus est Herodianus Philoxenum in Schol. ad Il. B 219, Anecd. Paris. III 279, 17: ἐπενήνοθεν: κατὰ Φιλόξενον ἐκ τοῦ ὄθω τοῦ cημαίνοντος τὸ κινῶ μετὰ τῆς ἐν ἐνόθω, ἐνόcω ὁ μέλλων, ὅθεν Ἐνοcίχθων καὶ ἐνοcίφυλλος. ἤνοκα καὶ ἤνοθα ὁ μέcος καὶ ἀναδιπλαcιαcμὸς Ἀττικὸς ἐνήνοθα. cf. E. M. l. c. (maxime cod. V) et 616, 2.
l. 20 videtur haec Philoxeni notatio ex Herodiani Symposio in Etym. Orionis translata esse. cf. E. M. 626, 49, ubi falso Ὦρος pro Ὠρίων subscriptum est.
l. 26 cf. E. M. 659, 54, E. Gud. 485, 55, ubi χείμης pro χήμης scriptum est.
l. 30 cf. E. M. 670, 36, lex. Cyrill. in Cram. Anecd. Paris. IV 188.

11.

E. Orion. 151, 16: τάριχος παρὰ τὸ ἐν τῇ ταριχείᾳ ἰσχναίνεσθαι ἢ παρὰ τὸ γάρρον ἴσχειν ἢ καὶ γάρρον ἐξιχωρίζεσθαι. οὕτως Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ. καὶ ἔστι τροπὴ τοῦ γ̄ εἰς τ̄.

12.

E. Orion. 162, 18: φάτνη παρὰ τὸ φάτνη καὶ τροπῇ τοῦ γ̄ εἰς τ̄ φάτνη. οὕτως Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ.

13.

Eustath. 1300, 9 ad Il. Ψ 270: ὡς φιάλη ἀμφίθετος, ἥς ἔστι πάντοθεν πίνειν ἐπιθέντα τὸ στόμα, ὡς Ἡρωδιανὸς λέγει, ὦτα γάρ, φησίν, οὐκ ἔχει ἢ κατ' ἄμφω τιθεμένη, ἵνα σημαίνῃ, φησίν, ἐκπέταλον.

14.

E. Orion. 168, 17 (E. Gud. 573, 35, Choer. Ep. in Psalm. 1, 13): ψάλλειν ἐπὶ τῶν χορδῶν παρὰ τὸ ψῶ, οὗ παραγωγὸν ψαύω καὶ ψάλλω. παρὰ τὸ διὰ δακτύλων ἐφάπτεσθαι αὐτῶν. οὕτω Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ.

15.

E. Orion. 168, 4: ψεδνός παρὰ τὸ ψῶ, οὗ μέλλων ψήσω, ῥηματικὸν ὄνομα ψεδνός ὁ μαδαρός παρὰ τὸ ἀπεψῆσθαι. οὕτω Φιλόξενος. ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ φησίν, ὅτι δηλοῖ τὸ ψῶ τὸ εἰς ἐλάχιστον καὶ μικρὸν ἔκ τινος οὐσίας καθιστάμενον.

16.

E. Gud. 573, 35: ψηνός ὁ μαδαρός καὶ φαλακρός παρὰ τὸ ἐψῆσθαι. ὁ δὲ Ἡρωδιανός φησιν ὅτι δηλοῖ τὸ ψῶ τὸ εἰς ἐλάχιστον καὶ μικρὸν ἔκ τινος οὐσίας μέρος καθιστάμενον.

17.

E. Orion. 167, 18: ψωμοί παρὰ τὸ ψήχεσθαι ὑπὸ τῶν ὀδόντων καὶ τρίβεσθαι καὶ τὰ ψιχία ὁμοίως. ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ παρὰ τὸ ψῶ. δηλοῖ καὶ ἐκ τοῦ ἐκτελοῦς ἄρτου τὸ ἐλάχιστον, φησί.

---

l. 2 cum Sturzio pro παρὰ τὸν γάρρον scripsi παρὰ τὸ γάρρον et pro καὶ εἰς χ̄ γάρρον ἐξιχωρίζεσθαι scr. ἢ καὶ γάρρον ἐξιχωρίζεσθαι. cf. E. M. 746, 48: Ἀλεξίων φησίν, ὅτι ἀπὸ τοῦ ἐν ταριχείᾳ ἰσχναίνεσθαι· γελοίως κτλ. (cod. Sorb.). An. Ox. II 413, 8 τάριχος γίνεται παρὰ τὸ γάρον γάριχον καὶ τροπῇ τοῦ γ̄ εἰς τ̄ τάριχος. l. 11 quae posterior explicatio congruere videtur cum Aristarchea p. 1299 extr. proposita: ἢ ἑκατέρωθεν τίθεσθαι δυναμένη κατὰ πυθμένα καὶ κατὰ στόμα ἤτοι πρόσωπον. cf. Hesych. ἀμφίθετος φιάλη· ἑκατέρωθεν τίθεσθαι δυναμένη. ἢ ἀμφοτέρωθεν τετορευμένη. ἢ κύκλον ἔχουσα. ἢ πυθμένα ἄνευ ὤτων. ἢ διὰ τὸ μέγεθος ἀμφοτέραις ταῖς χερσὶν αἰρουμένη καὶ τιθεμένη. priora apud Eust. parum aperta. l. 23 cf. E. Orion. 168, 7 ψηνός ὁ φαλακρός εἴρηται. Σιμωνίδης. παρὰ τὸ ψῶ ψήσω ψηνός. cf. Epim. Hom 445, 7 ἐκ τοῦ ψῶ γίνεται ὁ μέλλων ψήσω, ῥηματικὸν ὄνομα ψηνός καὶ πλεονασμῷ τοῦ συμφώνου γίνεται ψεδνός. ὁ γὰρ πλεονασμὸς τοῦ συμφώνου τὴν φύσει μακρὰν μετέβαλε εἰς τὴν θέσει μακράν ὥσπερ πένης πενιχρός καὶ μῆκος μικρός. l. 29 cf. de his omnibus a ψῶ derivatis Eustath. 1071, 5. Ep. Cr. I 445, 12, Choer. Ep. in Psalm. 1, 18 ψῶ τὸ κόπτω, ἐξ οὗ καὶ ψωμός ὁ εἰς μικρὰ κεκομμένος ἄρτος.

ΠΡΟΤΑCΕΙC.

1.

Il. Pr. Ψ 604: νεοίη ὡς ὁμοίη. λέγει δὲ τὴν νεότητα. οἱ μέντοι μετ' αὐτὸν ὡς ἐπὶ τὸ πλεῖστον τὴν ἄνοιαν λέγουσιν. περὶ δὲ τῆς λέξεως εἰ ὑγιῶς ἐσχήματισται, ἐν τῷ προτατικῷ ἐζήτησα.

2.

Il. Pr. Ω 657: ποσσῆμαρ ὑφ' ἕν. προείρηται δὲ ἤδη περὶ τῆς λέξεως, ἀλλὰ καὶ ἐζήτητο ἐν ταῖς προτάσεσι.

Alterum Scholium Codicis A ad h. l. Herodiani in protatico propositam solutionem servasse in Praefat. CXVI dixi, quare hic subiicio: ἐν ἑτέροις ὁ Ἡρωδιανός φησι, πόσα μέρη ἐστὶ τὸ ποσσῆμαρ; ἓν γὰρ οὐ δύναται εἶναι, διότι οὐδέποτε πυσματικὸν μέρος λόγου προτάσσεται ἐν συνθέσει. δύο δὲ πάλιν οὐ δύναται εἶναι. εἰρήκει γὰρ ἂν πόσα ἤματα. ἀπορουμένου τοίνυν αὐτοῦ, κάλλιόν ἐστι λέγειν ἓν εἶναι μέρος λόγου ὅμοιον τῷ ἐννῆμαρ.

ΕΙC ΤΗΝ ΑΠΟΛΛΩΝΙΟΥ ΕΙCΑΓΩΓΗΝ.

E. M. 143, 3: Ἀρίστυλλος ὄνομα παρὰ Ἀριστοφάνει. εἴρηται δὲ ὑποκοριστικῶς ὁ Ἀριστοκλῆς. ὡς γὰρ παρὰ τὸ Ἡρακλῆς Ἥρυλλος καὶ παρὰ τὸ Θρασυκλῆς Θράσυλλος καὶ παρὰ τὸ Βαθυκλῆς Βάθυλλος ὄνομα κύριον ὁ ἐρώμενος Ἀνακρέοντος, οὕτω καὶ παρὰ τὸ Ἀριστοκλῆς Ἀρίστυλλος. οὕτως Ἡρωδιανὸς εἰς τὴν Ἀπολλωνίου εἰσαγωγὴν ἢ περὶ παθῶν.

---

l. 3 recepi Lehrsii emendationem huius loci. l. 13 verba ab epitomatore post ἐν συνθέσει inserta ἐξηρημένου τοῦ ποδαπός· ἐπέγκειται γὰρ τὸ ποῖος τῷ δαπέδῳ expuli. l. 22 extremis verbis nihil aliud significari nisi idem in utroque libro ab Herodiano dictum esse probat Lehrsius.

ΑΙΛΙΟΥ ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΜΟΝΗΡΟΥΣ ΛΕΞΕΩΣ.

Τῶν λέξεων αἱ μὲν πλήθουςι καθ' ὁμοιότητα, οἱ δὲ οὔ. καὶ τῶν 3 μὲν πληθουςῶν ἤτοι τὸ τέλος μόνον παραφυλάττομεν τὸ αὐτὸ ὄν, ἢ καὶ ποσότητα ςυλλαβῶν καὶ τόνον· ἔςθ' ὅτε δὲ καὶ τὴν πρὸ τέλους ςυλλαβήν, ἔςτι δὲ καὶ τὴν τρίτην ἀπὸ τέλους, ἐφ' ὧν οὐδὲ δύναταί ποτε λέξις μονοςυλλαβῆςαι ἢ διςυλλαβῆςαι. εἰ γὰρ τρεῖς εἰςιν αἱ παραφυλαςςόμεναι ςυλλαβαί, πῶς ἂν ἐκ τούτων μείωςις γένοιτο; ἐκςτήςεται γὰρ τῆς ποςότητος τοῦ ἀριθμοῦ καὶ τῆς ὁμοιότητος. ὥςπερ ἐπὶ τῶν διὰ τοῦ αλεος παραγομένων, νηφαλέος, δειμαλέος, ἀργαλέος. πάντα γὰρ ταῦτα ἔχει τὰς ἐν τῷ τέλει τρεῖς ςυλλαβὰς τύπον μόνον ἐμφαινούςας, τοῦ δηλουμένου αὐτοῦ ὑπάρχοντος ἐν τῇ ἀρχῇ. οἷον τὸ δειμαλέος τετύπωται μὲν ἀρςενικῷ χαρακτῆρι καὶ ἔςτιν εὐθείας πτώςεως ἑνικόν· τὸ μέντοι δηλούμενον ἔχει ἐν τῇ ἀρχούςῃ ςυλλαβῇ καὶ ἐν τῷ μ̄ ςυμφώνῳ. ὁμοίως καὶ τὸ νηφαλέος, οὐ παρ' ὄνομα παραχθέν, ὡς τὸ προκείμενον, παρὰ μέντοι τὸ νήφω ῥῆμα ὁμοίως παροξυνθέν, ἔχον τὰς ἐπὶ τέλει τρεῖς ςυλλαβὰς τῆς παραγωγῆς, τοῦ σημαινομένου αὐτοῦ ὑπάρχοντος ἐν τῇ ἀρχούςῃ ςυλλαβῇ καὶ ἐν τῷ φ. καὶ τὸ αὐτὸ εὑρήςεις ἐπὶ πάντων τῶν τοιούτων. ἐφ' ὧν οὐκ ἔςτιν ἐλέγξαι τινὰ περὶ ποςότητα ςυλλαβῶν πεπλανημένην λέξιν. δύναιτο δ' ἄν τις ἐπιζητῆςαι τόνον πιθανευόμενος, ὡς τὰ τοιαῦτα πάντα τὰ διὰ τοῦ αλεος ὑπάρχοντα 4 παραγωγὰ καθεςτῶτα ὑπὲρ τρεῖς ςυλλαβὰς παροξύνεςθαι θέλει, ὡς ἔχει πάντα τὰ τοιαῦτα, νηφαλέος, ςκωπαλέος, δειμαλέος, ςμερδαλέος, κερ-

---

l. 4 ταυτὸ Taurinensis. l. 5 δὲ abest ab Havniensi, ἔτι καὶ Havn. l. 10 παραγωμένων Havn. ἀργαλέος Blochius, ἀρβαλέος Havn. omissum in Taurin. l. 11 ἐν τέλει Taur. l. 12 δηλωμένου Havn. αὐτῷ cod., αὐτῶν Bl., αὐτοῦ Lehrsius. l. 13 ἀρςενικῷ χαρακτῆρι, καὶ ἔςτιν εὐθείας πτώςεως ἑνικόν Havn., ἀρςενικῷ χαρακτῆρι εὐθείας ἑνικῆς Taur. l. 14 ςυλλαβῇ om. Taur. l. 16 νήφειν Taur. l. 18 εὑρήςης Havn. l. 19 πεπλανωμένην Havn. ἢ inter ςυλλαβῶν et πεπλανημένην om. Lehrs. l. 21 πειθανευόμενος Havn. ὑπάρχοντα παράγωγα καθεςτῶτα om. Taur., accentum in παραγωγὰ mutavi. l. 22 τὰς τρεῖς Taur. l. 23 ςμερδαλέος om. Taur.

δαλέοϲ, φρικαλέοϲ, θαρϲαλέοϲ, ἀργαλέοϲ, αὐαλέοϲ, φοιταλέοϲ, γηραλέοϲ, λευγαλέοϲ, ὀπταλέοϲ, ἰκμαλέοϲ, ῥωμαλέοϲ, ῥωγαλέοϲ· τὸ μέντοι δαιδάλεοϲ τρίτην ἀπὸ τέλουϲ ἔχει τὴν ὀξεῖαν· ἔνθεν αἰτιατικὴ «δαιδάλεον θώρηκα» παρὰ τῷ ποιητῇ (Θ 195). καὶ παρὰ Ἀντιμάχῳ κονιϲάλεοϲ

τὼ δ᾽ αὖτ᾽ ἀμφὶ κονιϲάλεον πεπονήατο δίφρον.

καὶ δῆλον ὅτι ἡ ἀναλογία ἀνιωμένη τῷ τοιούτῳ διαφόρου κινήϲεωϲ παρίϲτηϲι τὰϲ λέξειϲ, ὡϲ ὅτι τὸ δαιδάλεοϲ καὶ κονιϲάλεοϲ κτητικῇ Ἰωνικῇ ἐϲτιν ἐνδείᾳ τοῦ ῑ ὁμοίωϲ καὶ Ἑκτόρεοϲ καὶ Νεϲτόρεοϲ. ὡριϲάμην διὰ τοῦ αλεοϲ ὑπὲρ τρεῖϲ ϲυλλαβὰϲ ὄντα, ἐπεί ἐϲτί τινα τριϲύλλαβα οὐχ ὁμοίωϲ παρηγμένα, ἅπερ διαλλάξαντα καὶ τῷ μὴ ὁμοίωϲ παρῆχθαι καὶ ποϲότητι ϲυλλαβῶν καὶ νοητῷ διήλλαϲϲε καὶ τόνῳ. ἐπὶ γὰρ τοῦ τέλουϲ λαμβάνει τὴν ὀξεῖαν, ὡϲ ἔχει τὸ γαλεόϲ, ἀλεόϲ, παλεόϲ. Τῶν μέντοι μὴ πληθουϲῶν λέξεων, ἀλλὰ ϲπανίωϲ ὁρωμένων ἤτοι κατὰ τὴν λήγουϲαν ϲυλλαβὴν ἢ τὴν πρὸ αὐτῆϲ, ἢ κατὰ ποϲότητα μεμειωμένων ἐν ϲτοιχείοιϲ τε καὶ ϲυλλαβαῖϲ, ἢ διαφόρῳ τόνῳ κεχρημένων καὶ οὐχ ὁμοίωϲ τοῖϲ ὁμοιοκαταλήκτοιϲ ἔλεγχον ἀπεργάζεται ἡ ἀναλογία, οὐκ ἀποδοκιμάζουϲα χρῆϲθαι, ἀλλὰ ϲημειουμένη τὸ ϲπάνιον· εἴ γε εἴϲεται τὰϲ παρὰ τοῖϲ Ἕλληϲι λέξειϲ πῇ μὲν καθ᾽ ὁμοιότητα ἐν πλήθει ἐκφερομέναϲ ποικίλαϲ καθεϲτώϲαϲ ἢ ϲπανίουϲ ἡ πάϲηϲ λέξεωϲ Ἑλληνικῆϲ πρόνοιαν ποιοῦϲα ἀναλογία καὶ ὥϲπερ εἰ ἐν δικτύῳ ϲυνέχουϲα τὸ πολυϲχιδὲϲ τῆϲ τῶν ἀνθρώπων γλώϲϲηϲ φθέγμα τῇ τέχνῃ, κατορθοῦν ἐπιχειροῦϲα τὰϲ τῶν ληγόντων ϲτοιχείων φύϲειϲ καὶ τῶν παραληγόντων ἢ ἀρχομένων τά τε ϲπάνια καὶ δαψιλῆ ἐν ϲυντόμῳ παραδιδοῦϲα. οὐδὲ οὖν πρόκειται ἡμῖν περὶ πάϲηϲ λέξεωϲ λέγειν, ἀλλὰ περὶ τῆϲ ἐκφυγού-
5 ϲηϲ τὸ πλῆθοϲ, καὶ οὐδὲ ταύτηϲ καθολικῶϲ, ἀλλ᾽ ἐπὶ ποϲόν· οὐδὲ κατηγορεῖν τῆϲ λέξεωϲ εἰ ϲπάνιοι εἶεν· ἐπεί τοί γε εἰ τὸ μὴ πληθύον

l. 1 αὐαλέοϲ om. Taur., οὐαλέοϲ Havn., correxit Bl. l. 2 λευγαλέοϲ om. Taur., λουδαλέοϲ Havn., correxit Bl. l. 2 ῥωγαλέοϲ ῥωμαλέοϲ inverso ordine Taur. l. 4 παρὰ τῷ ποιητῇ Havn., Ὅμηροϲ Taur. παρὰ Ἀντιμάχῳ Havn., παρ᾽ Taur. l. 5 τῷ δ᾽ αὖτ᾽ Havn., αὖτ᾽ om. Taur., τὼ correxit Welcker cf. Dübner fr. Antimachi XXXVIII in Hesiodi Carm. ap. Didot. l. 6 ἰωμένη Havn., εἰωμένη Taur., ἀνιωμένη Ls. τῶν τοιούτων Taur. l. 7—9 ὡϲ ὅτι — ἐπεί ἐϲτι in brevius contracta habet Taur. sic: ὡϲ τὸ δαιδάλεοϲ καὶ κονιϲάλεοϲ ἰωνικῶϲ ἐνδεῖ τῷ ῑ κατὰ τὸ νεϲτόρεοϲ. εἶπον ὑπὲρ τὰϲ τρεῖϲ ϲυλλαβάϲ· ἐπεὶ ἔϲτι.
l. 7 τοῦ Havn., τὸ Ls. κτητικὴ Ἰωνικὴ Havn., em. Ls. Nunc Lehrsius quaerit, an κτητικὰ scribendum sit. l. 10 διηλλάξαντο Havn., emend. Ls. l. 11 νοητῶν Taur. διήλλαξε Taur. l. 12 λαμβάνει τὴν ὀξεῖαν ὡϲ ἔχει τὸ γαλεόϲ, ἀλεόϲ, παλαιόϲ Havn., em. Ls. ὀξύνεται γαλαιόϲ, παλαιόϲ |. Taur. l. 13 πληθουϲῶν τῶν λέξεων Havn., τῶν om. Taur. l. 14 ἢ τῶν Havn., em. Ls. ἢ ante κατὰ ποϲότητα inseruit Ls. Quum μεμειωμένα h. l. non possit esse „decurtata“, sed aut „quae rariora sunt“ aut „quae non omnes numeros (canonis) implent“, Ls. quaesivit, an μεμονωμένων dederit Herod. l. 17 ϲπάνιον |. εἴγε Taur. εἴϲεται inseruit Ls. l. 19 ἡ πάϲηϲ codd., em. Ls. l. 20 ποιοῦϲι Taur. ἀναλογίαϲ codd., em. Ls. ϲυνέχουϲι Taur. πολυϲχεδὲϲ Taur. l. 22 ἐπιχειροῦϲι Taur.
l. 23 παραδιδοῦϲι Taur. οὐ δεῖ οὖν uterque cod., correxit Bl. l. 24 πρόϲκειται Taur. l. 26 κατηγορεῖ Havn. ἐπεί τοι — πλῆθοϲ l. 5 pag. seq. absunt ab libro Taurinensi, lacunae indice hoc †. Unde Peyronus suspicatur lineolam | ad 4, 18 et 4, 26 enotatam nonnullorum versuum defectum indicare. τὸ ante μὴ πληθύον inseruit Ls.

πανταχοῦ ὡς ἡμαρτημένον ἐλέγχειν ἐπιχειρήσαιμεν, οὐκ ἂν ἐξαρκέσαιμεν μυρίον ἀριθμὸν εὐδοκιμωτάτων λέξεων ὡς παρὰ τοὺς τῆς φύσεως νόμους ἐξενεχθεισῶν κακίζοντες· ἀλλ' ἅπερ ἐγεννήσατο ἡ φύσις ἡμῖν ταύτας παρ' αὐτῆς εὐμενῶς προσδέχεσθαι, ἀλλαχοῦ μὲν μίαν εἰσηγησαμένης, ἑτέροθι δὲ δύο, καὶ νὴ Δία ἀλλαχοῦ τρεῖς, ἔπειτα τέσσαρας, μέχρις εἰς ἄπειρον χωρήσει πλῆθος. κρίσις δὲ ἔστω τῆς προκειμένης λέξεως μονήρους ἡ πολλὴ χρῆσις παρὰ τοῖς παλαιοῖς καὶ ἡ συνήθεια ἔσθ' ὅτε ὁμοίως τοῖς παλαιοῖς Ἕλλησιν ἐπισταμένη χρῆσιν. . ὁποῖόν ἐστι τὸ πῦρ· τούτῳ γὰρ οὐδὲν πέφυκεν ὁμοίως λεγόμενον οὐδέτερον, ἀλλ' οὖν γε πάντες ἐχρήσαντο τῇ φωνῇ. περὶ δὴ τοῦ τοιούτου εἴδους ἔσται ἡμῖν ὁ λόγος. οὐ μὴν ὅτι καὶ Cῦρ τί ἐστιν· οὕτω γὰρ ἐλέγετο πρότερον ἡ Φοινίκη, τοῦτο γὰρ ἀπεξενωμένον ἐστὶ καὶ ἐν ἱστορίᾳ κείμενον ἀγνοούμενόν τε καὶ τῇ τῶν παλαιῶν Ἑλλήνων χρήσει καὶ τῇ συνηθείᾳ. διὸ καὶ τὰ οὕτω λεγόμενα καθ' ἱστορίαν οὐκ ἀνασκευάσει τὸ ὑπὸ πολλῶν λεγόμενον μονῆρες. παραλαμβανέσθω δέ μοι μονήρης λέξις εἴτε ἐν ὀνόμασιν εἴτε ἐν ῥήμασιν εἴτε ἐν ἐπιρρήμασιν, ἐπεὶ ταῦτα τὰ μέρη λόγου ἔσθ' ὅτε πλήθει ἐν ὁμοιώμασιν, ὅπως διὰ τοῦ πληθύοντος τὸ παρηλλαγμένον καὶ σπάνιον ἐλέγχωμεν. τὰ γὰρ ἄλλα μέρη τοῦ λόγου σχεδὸν ὡς ἐπὶ τὸ πλεῖστον προτίθεται, αἱ δὲ μετοχαὶ ἀεὶ δεύτεραι τῶν ῥημάτων τὴν κίνησιν ἔχουσιν, ὡς δείκνυται ἐν τῷ περὶ μετοχῶν. τὸ μὲν οὖν πρότερον βιβλίον περιέξει τὰς μονήρεις λέξεις τὰς γινωσκομένας ὑπό τε τῆς συνηθείας καὶ τῶν παλαιῶν, τὸ δὲ δεύτερον καὶ τὰς ἐν ἀγνοίᾳ τῇ συνηθείᾳ. ἀρκτέον δὲ τῶν κανόνων ἐντεῦθεν, καὶ πρῶτος ἡμῖν θεὸς παρέστω. δίκαιον γὰρ τὴν ἀρχὴν ἀπ' αὐτοῦ ποιήσασθαι, ὡς καὶ ὁ Cολεὺς ἀρχόμενος ἔφη «ἐκ Διὸς ἀρχώμεσθα».

ΒΙΒΛΙΟΝ Α.

Ζεύς. τὰ εἰς ευς λήγοντα ἀρσενικὰ ἐπ' εὐθείας ἀεὶ ὑπὲρ μίαν 6 ἐστὶ συλλαβήν, ἀριστεύς, βασιλεύς, Περσεύς, Πορθεύς, Πρωτεύς, ἁλιεύς, Οἰνεύς, Λυγκεύς, Ἀχιλλεύς, Τηρεύς, Θησεύς, Ὀδυσσεύς, Πηλεύς, Βρισεύς, Ἀτρεύς. δικαίως ἄρα ὁ Ζεὺς μονοσυλλαβήσας καὶ ἐκφεύγων τὴν

l. 1 ἐξαρκήσαιμεν Havn., em. Ls. l. 2 γὰρ inter μυρίον et ἀριθμὸν Havn., om. Ls. l. 8 τοῖς παλαιοῖς ἄλλοις codd., ἄλλοις om. Ls. Ἕλλησι Havn. ὁποῖ ἐστι. τὸ πῦρ Havn., ὁποῖον τὸ πῦρ Taur. l. 10 ἀλλ' οὔ γε Taur. περὶ δὴ — l. 20 περὶ μετοχῶν om. Taur. l. 11 συρτή Havn., Cῦρ τί Bl. l. 12 ἀπεξεωμένον et paullo post ἀνοούμενον cod., em. Dindorf. l. 14 καὶ ἱστορία cod., em. Ls. l. 15 παραλαμβάνεσθαι δέ μοι μονήρεις λέξεις cod., em. Ls. l. 16 εἴτε ἐν ἐπιρρήμασιν addit Lehrs coll. p. 27, 18. l. 18 τὸ ante παρηλλαγμένον inseruit Bl. l. 19 αἱ μετοχαὶ cod., δὲ inseruit Bl. l. 23 τῇ συνηθείᾳ Havn., καὶ συνηθείᾳ Taur. Caetera absunt ab Taurinensi. l. 25 ἀρχόμεθα cod., em. Ls. l. 29 Πηρεύς cod., Τηρεύς scr. Ls. praeeunte Dindorfio, qui tamen Πηρεύς retineri posse ut alteram formam nominis Πειρεύς sive Περεύς credidit.

ποϲότητα τῶν ϲυλλαβῶν τοῦ ευϲ χαρακτῆροϲ μονῆρεϲ. τὸ γὰρ Νεὺϲ ἐπὶ ποταμοῦ κείμενον, ὥϲ φηϲι Φιλέαϲ, ἀπεξενωμένον ἐϲτί· τὸ δὲ θεὺϲ ἐκ ϲυναλοιφῆϲ ἐϲτι ποιητικόν: τὸ δὲ ϲεὺϲ ἀπὸ ἀναλογίαϲ πλαϲϲόμενον· τὸ δὲ Φλεὺϲ ἐπὶ τοῦ Διονύϲου κείμενον, ὡϲ ἐν ταῖϲ ἐπικλήϲεϲιν εὕρομεν, καθ' ἱϲτορίαν ἐϲτὶν εἰρημένον. τὸ δὲ «μὴ Δνεὺϲ χίμαιραν, ἄγριον ὀφλήϲειϲ» ἐθνικόν. τὸ αἴτιον τοῦ μονοϲυλλαβῆϲαι τὸ Ζεὺϲ ἐν τῷ περὶ ῥηματικῶν ὀνομάτων λέγομεν. Ὅτι δὲ ποικίλωϲ εἴρηται ὑπὸ παλαιῶν ὁ θεὸϲ οὐκ ἀγνοῶ. καὶ γὰρ Δὶϲ καὶ Ζὴν καὶ Δὴν καὶ Ζάϲ, καὶ Ζὴϲ παρὰ Φερεκύδει κατὰ κίνηϲιν ἰδίαν, καὶ ὑπὸ Βοιωτῶν καὶ Δεὺϲ καὶ Δάν.

Γῆ. τὰ εἰϲ η λήγοντα θηλυκὰ ὀνόματα ἐπ' εὐθείαϲ περιϲπώμενα κατὰ τὴν ϲυνήθειαν καὶ τὴν τῶν παλαιῶν χρῆϲιν ἀεὶ θέλει ὑπὲρ μίαν ϲυλλαβὴν εἶναι ἔχειν τε καὶ ἐντελέϲτερα προυποκείμενα. ϲυκέα ϲυκῆ, λεοντέα λεοντῆ, φακέα φακῆ Ἐπίχαρμοϲ

χύτρα δὲ φακέαϲ ἥψετο,

παγῆ, γαλῆ, μυγαλῆ, ἀμυγδαλῆ Εὔπολιϲ Βάπταιϲ

ἀλλ' ἐξολεῖϲ με ναὶ μὰ τὴν ἀμυγδαλῆν,

κωλῆ Ἀμειψίαϲ Κόννῳ

ἐντευθενὶ δίδοται μάλιϲθ' ἱερώϲυνα,
κωλῆ, τὸ πλευρόν, ἡμίκραιρ' ἀριϲτερά.

7 ϲηϲαμῆ Ἀριϲτοφάνηϲ (Pac. 857)

πλακοῦϲ πέπεπται, ϲηϲαμῆ ϲυμπλάττεται.

χαιρέτω ἄρα ἡ γῆ μονοϲύλλαβοϲ οὖϲα καὶ ϲυνήθηϲ τῇ νῦν χρήϲει καὶ τῇ τῶν παλαιῶν πάντων. εἰ δέ τιϲ λέγει, καὶ ἡ Ῥέα Ῥῆ κέκληται ὑπὸ τοῦ Ϲυρίου, ἴϲτω ὅτι αὐτοῦ ἴδιοϲ ἡ χρῆϲιϲ καὶ οὐ πᾶϲιν ἴϲωϲ ἡ

---

l. 1 τοῦ pro τοῦ δέ em. Ls. simul monens etiam τοῦδε τοῦ scribi posse. l. 3 ϲεύϲ pro εὔϲ ser. Ls. collato Choer. 209, 9. l. 4 Φλεύϲ pro Φεύϲ idem em. ex Choer. l. c. l. 5 μὴν Δνεὺϲ χείμερραν cod., em. Ls. coll. Lobeck. Parall. p. 92. l. 8 Ζάϲ pro Ζεύϲ em. Ls. ex Eust. 1387, 26, idem Φερεκύδει pro Φερεκύδη et κατὰ κίνηϲιν ἰδίαν καὶ pro κατὰ κίνηϲίν τινα ὑπὸ Βοιωτῶν. Nunc Lehrsius dubitat, num hoc κίνηϲιϲ rectum sit. Inserendum fortasse ex Aristoph. Av. 570 censet καὶ Ζάν. cf. Ahrensius Philol. XXIII p. 206, qui rectius Ζῆϲ scribendum esse putat pro Ζήϲ, sed accentus Herodianeus est acutus, ut ex Theogn. 134, 28 περιϲπᾶται τὸ Δρῆϲ καὶ Τρῆϲ, ὡϲ δέ τινεϲ βούλονται καὶ τὸ Ζῆϲ, quae verba ex Herodiano exscripta sunt, intellegitur. Herodianus docuerat Ζῆϲ acuendum esse, sed esse quosdam, quibus non adstipulandum iudicat, qui Ζῆϲ circumflecterent. l. 14 λεκέϲ ἥψητο cod. Bl. suspicatus erat φακέϲ ἥψετο, quod confirmaverat Dindorfius allato Athenaeo IV p. 158: Ἐπίχαρμοϲ δ' ἐν Διονύϲοιϲ «χύτρα δὲ φακέϲ ἥψετο». recepit Ls l. 16 ἀλλ' ἐξομέλειϲ με ναὶ μὰ τὴν ἀμυγδαλῆ. cod. Dindorf. allato Athenaeo II p. 53 A ἀπολεῖϲ με ναὶ μὰ τὴν ἀμυγδαλῆν suspicatus erat ἀλλ' ἐξαπολεῖϲ με κτλ., Meinek. fragm. Com. p. 169 min. ἀλλ' ἐξολεῖϲ. l. 17 in cod. scriptum est ἀμειψίαϲ κοινῷ· ἐντεῦθεν ὅϲαι μάλιϲτα ἱερωϲυνακωλεῖτο πλευρὸν ἢ μικρᾶϲ ἀριϲτερᾶϲ. Athen. IX p. 368 E Ἀμειψίαϲ Κόννῳ·

δίδοται μάλιϲτα ἱερωϲύνα
κωλῆ, τὸ πλευρόν, ἡμίκραιρ' ἀριϲτερά

unde Hermanno corrigendum videbatur

ἐντεῦθεν ἐδίδοθ' ὅϲα μάλιϲθ' ἱερώϲυνα
κωλῆ, τὸ πλευρὸν κτλ.

Quae cum Lehrsio exhibui, sunt Meinekii p. 404 ed. min., qui Fritzschii emendationem ἐντευθενὶ recepit. l. 21 cod. πλακόεϲϲα ἕπεται, apud Aristoph., cuius locum indicavit Dindorf, legitur πλακοῦϲ πέπεπται.

καὶ Ἀττικοῖς ἡ γνῶσις ἐστί. τὸ δὲ πλῆ εἰρημένον παρὰ Διογένει τῷ Ἀπολλωνιάτῃ ἀντὶ τοῦ πλέη θηλυκοῦ ἐπιθετικῶς ἄγνωστον τοῖς ἄλλοις. ἀλλὰ καὶ ἡ νέα νῆ εἰρημένον ἐν Σαμίων ὥροις· «τῇ δὲ νῇ τῶν Πυθιογειτόνων τις συγκυρέων ἐλάμβανε». καὶ παρὰ Ἀριστοφάνει ἐν Αἰολοσίκωνι

καί κ᾿ ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.

ἡ δὲ γῆ κοινὴ συνήθης. ἔτρεψάν τε τὸ η εἰς α Δωριεῖς καὶ Αἰολεῖς καὶ Βοιωτοὶ γᾶ λέγοντες, ὡς ἀσυναλείπτου αὐτοῦ ὑπάρχοντος. οὐκ ἀγνοῶ δὲ ὅτι κατὰ ποιητὰς εἴρηται καὶ γέα καὶ γαῖα καὶ αἶα.

Οὐρανός. τὰ εἰς νος λήγοντα ὀνόματα τρισύλλαβα ὀξυνόμενα καὶ ἔχοντα τὸ α συνεσταλμένον πρὸ τέλους μὴ καθαρεῦον οὐδέποτε τὴν ἄρχουσαν ἔχει φύσει μακράν, οἷον ἱκανός, καίτοιγε τὸ ῥῆμα ἐξέτεινε τὸ ῑ, πείθω πιθανός, εἴδεται ἰδανός,

σὰς ἰδανὰς χάριτας.

ἀγανός, τραγανός, σφεδανός, ἑδανός, ὀρφανός, πεδανός, ῥοδανός. σημειῶδες ἄρα τὸ οὐρανός, ὅτι ἤρξατο ἀπὸ φύσει μακρᾶς. Ἀλκαῖος δὲ καὶ εἰς ω ἀποφαίνεται τὸ ὄνομα, ὠρανὸς λέγων κατὰ τροπὴν τῆς ου διφθόγγου εἰς τὸ ω̄, καὶ ἄνευ τοῦ ῡ ὀρανός, ὥστε τὸ ἐπιζητούμενον παρ᾿ αὐτῷ λελύσθαι. καὶ Σαπφώ·

ψαύην δ᾿ οὐ δοκίμωμ᾿ ὀράνω δυσπάχεα.

προσέθηκα μὴ καθαρεῦον, ἵνα μὴ ζητῶμεν περὶ τοῦ «εἰανοῦ ἁπτομένη» (Π 9) καὶ «ἑανοῦ κασσιτέροιο» (Σ 613).

Ἀθηνᾶ. οὐδὲν εἰς να λῆγον ὑπὲρ μίαν συλλαβὴν θηλυκὸν περισπᾶται, ἀλλὰ μόνον τὸ Ἀθηνᾶ οὕτως ἔσθ᾿ ὅτε ὑπὸ τῶν Ἀττικῶν λεγόμενον καὶ ὑπὸ τῆς συνήθους λέξεως. εἰ δέ τις λέγοι καὶ ἡ Δανᾶ οὕτως εἴρηται παρ᾿ Ἑκαταίῳ, «τῇ Δανᾷ μίσγεται Ζεύς», ἴστω ὅτι 8 τοῦτο παρ᾿ Ἑκαταίῳ ἐστὶ καὶ ἐν τῇ χρήσει τῶν Φοινίκων, ὡς αὐτός φησι, οὐκ ἔτι μέντοι Ἀττικοῖς καὶ τῇ συνηθείᾳ γνωστόν. οὐκ ἀγνοῶ δὲ τὴν θεὸν ποικίλως λεγομένην κατὰ τὴν εὐθεῖαν. προσέθηκα δὲ ὑπὲρ μίαν συλλαβήν, ἵνα ἐκφύγωμεν τὸ σύνηθες τὸ μνᾶ Ἀττικοῖς τε καὶ τῇ

l. 2 Ἀπολλωνίτῃ cod., em. Ls. l. 3 ὥροις pro ὅροις em. Ls. Πυθογειτονίων cod., em. Ls. l. 4 τὸν φυρτὸν cod., Ls. scripsit συγκυρέων explicans: «incidens prendebat vel potius deprendebat» nescio quid molientem. l. 5 διvσίλλωνι cod., em. Dind., qui etiam κ᾿ in versu post καί inseruit. cf. Mein. p. 242. l. 8 ἀσυγαλήπτου cod., em. Bl. l. 9 cod. καὶ ἡ γάς εἴρηται, em. Lehrs, et formam ipsam γάς ut monosyllabum breve et articulum vitiosa esse monens; Lob. in γάς aut δᾶ aut γάνα latere opinatus est Parall. p. 81. l. 14 εἴδαται cod., em. Ls. τὰς ante σὰς om. Ls., etiam τὰς retineri et σὰς omitti posse monens. Callimachi verba esse adnotavit Dind. laudato Heynio ad Hom. Vol. VI p. 557. l. 15 τράγος cod., em. Dind. ἑδανός cod., em. Ls. l. 16 cod. Ἀλκαῖος δὲ εἰς ω̄ et versu insequente καὶ ὠρανός, particulam καὶ transposuit Ls. l. 20 cod. ψαύειν δέ οὐ δοκεῖ μοι ὠρανῶ δυσπαχέα. secutus sum Lehrsium, qui recepit emendationem Hermanni Opusc. VI p. 113, nisi quod cum Ahrensio de dial. Dor. p. 547 δοκίμωμ᾿ scripsit. Ahrens h. l. (cf. de dial. Aeol. p. 271) suspicatur ψαύην δ᾿ οὐ δοκίμωμ᾿ ὀράνω δυσεπαύχεα i. e. δυσαυχέα. Bergk lyr. poet. ed. II fr. 37 scribit: ψαύην δ᾿ οὐ δοκίμοιμ᾿ ὀράνω δύσι πάχεσιν. l. 21 αἰανοῦ ἁπτομένοις cod., em. Dind. l. 22 ἑανοῦ cod., em. Dind. l. 25 ὑπό τινος cod., em. Ls.

νῦν χρήcει καὶ ἀπεξενωμένον τὸ Χνᾶ· οὕτω γὰρ πρότερον ἡ Φοινίκη ἐκαλεῖτο.

Μοῖρα. οὐδὲν εἰc ρα λῆγον cυνεcταλμένον θηλυκὸν διcύλλαβον τῇ οι διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ μοῖρα ἀπηνέγκατο τήνδε τὴν παράληξιν. τὸ γὰρ Χοίρα ἐκτείνεται κατὰ τὸ ἐπώνυμον, ὥcπερ καὶ παρὰ Δεινίᾳ· «λέγεται δὲ τοὺc Λακεδαιμονίουc καθ' ὃν ἐν Τεγέᾳ χρόνον ἦcαν αἰχμάλωτοι δεδεμένουc ἐργάζεcθαι διὰ τοῦ πεδίου τὸν Λαχᾶν ποταμόν, Περιμήδαc ἐν Τεγέᾳ δυναcτευούcηc, ἣν οἱ πλεῖcτοι καλοῦcι Χοίραν».

Ἄρτεμιc. οὐδὲν εἰc μιc λῆγον θηλυκὸν ὑπὲρ δύο cυλλαβὰc βαρυνόμενον τῷ ε θέλει παραλήγεcθαι. μονάζει ἄρα τὸ Ἄρτεμιc κατὰ τὴν πρὸ τέλουc cυλλαβήν. εἰ δέ τιc λέγοι, ὅτι τὸ Χρυcόθεμιc πρὸ τέλουc ἔχει τὸ ε, εἴcεται ὡc ἐξ ἁπλοῦ τοῦ θέμιc cυντεθειμένον ἐcτί, τὸ δὲ Ἄρτεμιc οὐχ οὕτωc ἔχει. μήποτε οὖν Δωριεῖc διὰ τοῦ α προφερόμενοι αὐτὸ κατά τι κατορθοῦcιν. Ἄρταμιc γὰρ λέγουcιν, ὡc τὸ δύναμιc καὶ Σεμίραμιc.

Παρθένοc. τὰ εἰc νοc λήγοντα ὀνόματα ἐπ' εὐθείαc πτώcεωc τῷ ε παραληγόμενα ὑπὲρ δύο cυλλαβὰc ἤτοι τρίτην ἀπὸ τέλουc ἔχει τὴν ὀξεῖαν ἢ ἐπὶ τέλουc. καὶ τῶν μὲν ἐχόντων τρίτην ἀπὸ τέλουc τὴν ὀξεῖαν παράδειγμά ἐcτι ταῦτα· Ὄρμενοc, ἔβενοc, Ἕλενοc, Τήμενοc, Ὤλενοc, Ἰάλμενοc· τῶν δὲ ἐπὶ τέλουc ταῦτα· Τιcαμενόc, Δεξαμενόc, Ἀκεcαμενόc, Κλαυcαμενόc· καταλέγεται δὲ ἐν μαλακοῖc. Ἀγχομενόc,

γενναία,
Βοιωτὶc δ' ἦν, ἐξ Ἀγχομενοῦ,

---

l. 3 monuit Lehrsius hoc de μοῖρα occurrere in Excerptis Grammat. Codicis Barocc. Ἐκ τῶν Ἡρωδιανοῦ, unde edidit Cram. An. Ox. III p. 263 «λέγει ὁ Ἡρωδιανὸc ἐν τῷ περὶ μονήρουc λέξεωc, ὅτι οὐδέν εἰc ρα κτλ.» usque ad finem. l. 5 τὴν post τήνδε ex Barocc. inseruit Ls. l. 6 in cod. Havn. ἐν τῇ γαίᾳ Barocc. ἐντελέα, l. 8 Havn. ἐν τῇ γαίᾳ Barocc. ἐν Τεγαιᾷ, utroque loco ἐν Τεγέᾳ correxit Dind. Lehrsius adnotat Cramerum philol. Mus. p. 635 ostendere non uno modo Diniae narrationem discrepare ab Herodoto I 66 et Pausan. VIII 48, 3. 47, 2, neutrum fluvium Lachan commemorare. cf. etiam Müller fragm. hist. Graec. III p. 26. l. 13 cod. cυντεθημένον, correxit Dind. l. 14 cod. διὰ τὸ α em. Ls. l. 20 παράδειγμά ἐcτι ταῦτα in παραδείγματα mutandum censuit Dind., sed Lehrsius singularem firmavit exemplis Mon. 26, 16, Steph. Byz. s. Ἄγκυρα. ἔμενοc cod., em. Ls. l. 22 καλεῖται δὲ ἐν μαλακοῖc cod. Th. Bergk. Comment. p. 129 ἐν Μαλθακοῖc (sc. Cratini) cum Blochio scripsit, quod recepit Meinek. p. 27. Lehrsius, quem secutus sum, potius pro καλεῖται scribendum iudicavit καταλέγεται libenter concedens luxuriosorum recensum fuisse in ipsis Cratini Malthacis. l. 23 verba Aristophanis quae in cod. γενναῖα βοιώτιοc ἐν ἀγχομενοῦ scripta sint, sic emendanda censuit Lehrsius

γενναία,
Βοιωτὶc δ' ἦν ἐξ Ἀγχομενοῦ,

Ἀγχομενόc loci nomen esse ut Ὀρχομενόc putans. Nunc mecum communicavit sic, ut exhibui, scribendum esse γενναία, | Βοιωτὶc δ' ἦν, ἐξ Ἀγχομενοῦ se opinari, ita ut Ἀγχομενόc pro nomine proprio accipiendum sit. Videri enim coenam collaticiam esse (nostro versu festivus sermo fit de anguilla) et ἐξ Ἀγχομενοῦ significare ex domo Anchomeni, cuius rei exemplum ex Aristoph. Pac. 1141. 1146 profert:

κἀξ ἐμοῦ δ' ἐνεγκάτω τις τὴν κίχλην καὶ τὼ cπίνω·
μυρράναc τ' αἴτηcον ἐξ Αἰcχινάδου τῶν καρπίμων.

Ἀριστοφάνης Ταγηνισταῖς. Φαμενός, Σοφοκλῆς Μάντεσι

ξυνετὸς

Φαμενὸς Τειρεσίου παῖς.

τὸ τοίνυν παρθένος ἀκοινώνητον καθέστηκε τῷ τοιούτῳ χαρακτῆρι, μόνον παροξυνόμενον ἐπ' εὐθείας καὶ ὄνομα ὑπάρχον. 9

Ποσειδῶν. οὐδὲν εἰς δων λῆγον ὀξυνόμενον ὑπὲρ δύο συλλαβὰς φυλάττει τὸ ω κατὰ τὴν γενικήν, χωρὶς εἰ μὴ παραλήγοιτο τῷ υ, ὡς τὸ Καλυδών, Ἀμυδών· τὰ δὲ ἄλλα τρέπει τὸ ω εἰς ο, οἷον χελιδών χελιδόνος, εἴτε τὸ ὄρνεον, εἴτε ὁ περὶ τελετῶν γράψας, Σαρπηδών Σαρπηδόνος, εἴτε ὁ ἥρως, εἴτε ἡ πέτρα, εἴτε ἡ ἀκτή, εἴτε ἡ νῆσος· ὡς παρὰ Σοφοκλεῖ ἐν Αἰχμαλωτίσιν εἴρηται

Σαρπηδὼν ἀκτή·

ἐν Τυμπανισταῖς

ἡμεῖς δ' ἐν ἄντροις, ἔνθα Σαρπηδὼν πέτρα·

καὶ ἡ νῆσος ἰδίως ἐν Ὠκεανῷ Γοργόνων οἰκητήριον οὖσα, ὡς ὁ τὰ Κύπρια φησί·

τῷ δ' ὑποκυσαμένη τέκε Γοργόνας, αἰνὰ πέλωρα,
αἳ Σαρπηδόνα ναῖον ἐν ὠκεανῷ βαθυδίνῃ,
νῆσον πετρήεσσαν·

Τενθρηδών, Πρόθου πατήρ, Φαρκηδών, Ἀπιδών, Μυρμιδών, Ἰσσηδών, Ἀσπληδών, Μακεδών, καὶ καθόλου τὰ διὰ τοῦ ηδων καὶ εδων εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ διὰ τοῦ ο τὴν κλίσιν ἔχει· τὸ γὰρ παρὰ τῷ Κυρηναίῳ

τὰ δὲ νῦν πολλὴν τυφεδῶνα

λεσχαίνεις —

ἕνεκα μέτρου τὸ ω ἐφύλαξεν. εἴ πως οὖν τὸ Ποσειδών ὀξύνεται, ὀφείλει διὰ τοῦ ο κλίνεσθαι.

---

l. 1 cod. Μύντεσσι, quod in Μάντεσι ut titulus esset fabulae Sophocleae, mutandum indicavit Bergk comment. p. 129, ubi etiam pro corrupto ξουθὸς scribendum proposuit ξανθὸς; cf. Nauck frag. tragic. p. 172. Lehrsius scripsit ξυνετὸς.
l. 4 signum, quod in codice est, Blochius τῆς καταλήξεως, Lehrsius, cui adstipulor, τοιούτῳ significare putat. l. 6 Lehrsius adnotat articulum valde corruptum in An. Ox. III 240, 3 niti in Herodiano sed commixtum esse cum recentiorum commentis idemque sentit Ahrensius in doctissima disputatione de nomine Ποσειδῶνος in Philol. XXIII p. 1 seqq., quam accurate cum Lehrsio contuli.
l. 8 κλυδών cod., quod non aptum est, quia de hyperdisyllabis agitur, quare recte emendavit Ls. Καλυδών. l. 9 περὶ τελευτῶντος cod., Lehrsius recepit emendationem Lobeckii Aglaoph. 1352. l. 11 Αἰχμαλωτῆσιν cod., correxit Dind., est frag. 42 ap. Nauck. p. 111. l. 14 cod. ἄστροις, Bergk. ἄντροις, est fr. 575 ap. Nauck. p. 215. l. 17 cod. ὑποκυσσαμένη et δεινά, l. 18 καὶ et ἐπ', ὑποκυσαμένη, αἰνὰ Dind. em., αἳ Heinrichsen carm. Cypr. p. 71, ἐν Ls., l. 19 ἢ ante νῆσον delevit Dind. cf. Homeri Carmina ap. Didot. p. 594 fr. 18. l. 20 τεθρηδὼν πρόθος πατήρ emend. Dind. adnotans inter Τευθρηδών, Τερθρηδών et Τεθρηδών fluctuare libros scriptos Hom. Il. B 756 et Tzetz. ad Lycophr. 899. Φαρκιδών cod., em. Lobeck. ad Ai. p. 170. ἀσπιδών cod., Ἀπιδών restituit Lehrs coll. St. B. s. Ἀπία et Theogn. 32, 23. μυρμηδών cod., corr. Dind. ἀσσιδών cod., em. Lob. ad Ai. p. 170. l. 23 τὸ γὰρ cod., em. Ls. l. 25 pro codicis scriptura εἴ πως, quam tuetur Ls., Blochius et Dind. posuerunt εἴπερ.

Οὐδέν τε τῶν εἰς δων ὀξυτόνων διὰ τοῦ εων καὶ αων λέγεται· τὸ μέντοι προκείμενον εἴρηται καὶ Ποσειδέων καὶ Ποσειδάων.

Ἴσως περισπᾶται. ἀλλ' οὐδὲν εἰς ων λῆγον περισπώμενον ὑπὲρ δύο συλλαβὰς φύσει μακρὰν παραλήγεται. Ἀντιφῶν, Ξενοφῶν, Εὐρυφῶν, Ὁμήρου υἱός, Νικοφῶν ὁ κωμικός, Ἀριστοφῶν, Ἀγλαοφῶν, ὁ Βελλεροφόντης κατά τινας Βελλεροφῶν, καὶ ἄλλα πολλὰ τοιαῦτα· Χαρναβῶν, Σοφοκλῆς Τριπτολέμῳ

καὶ Χαρναβῶντος, ὃς Γετῶν ἄρχει τὰ νῦν,

Εὐρυπῶν· Λακεδαιμονίοις Εὐρυπωντίδαι· Συλοσῶν, Δεξικρῶν Σιμωνίδης (?), Ἑρμοκρῶν παιδοτρίβης τις ἱστορεῖται, Καλλικῶν, Δηικῶν ὁ Ἡρακλέους, Ἡρακλῶν ὁ περὶ Ἰλιάδος γράψας καὶ Ὀδυσσείας, Ἀθηνακῶν ὁ τὰ Σαμοθρᾴκια γράψας, Λαοκῶν, ἄλλο πλῆθός ἐστι τοιοῦτον ὀνομάτων περισπωμένων μὴ ἐχόντων πρὸ τέλους φύσει μακράν.

Πάντα τε τὰ προειρημένα διὰ τοῦ ντ κλίνεται· τὸ δὲ Ποσειδῶν οὐχ οὕτως ἐκλίθη.

Τὰ περισπώμενα, εἰ λέγοιτο ἐν πλείοσι συλλαβαῖς, διὰ τοῦ ο λέγεται. Δημοφόων, Καλλίμαχος

νυμφίε Δημοφόων, ἄδικε ξένε,

Καλλικόων, Εὐφορίων

κακώτερε Καλλικόωντος,

Ἱπποθόων,

Εὔμολπος Δόλιχός τε καὶ Ἱπποθόων μεγάθυμος.

τὸ μέντοι Ποσειδῶν ἢ Ποσειδέων ἢ Ποσειδάων.

Οὐδὲν περισπώμενον ὑπὲρ δύο συλλαβὰς τρέπει τὸ ω εἰς α παρ'

---

l. 1 τῶν εἰς λων cod., correxit Dind. l. 4 φύσει μακρὰν cod. Dind. scripsit μακρᾷ, quod non necessarium esse demonstravit Ls. ad Mon. 14, 18. l. 5 ὁ Βελλεροφόντης inseruit Ls., l. 6 βελοροφῶν cod., em. Dind. l. 8 ὅτι τῶν ὅς γε ἄρχει τὰ νῦν cod., em. Lob. Aglaoph. p. 215 collato Hygino Astron. XIV cf. Nanck frag. tragg. p. 210 fr. 543. l. 9 ἀλκμοῖς ἦδε ῥυπῶν cod., em. Ls. ἦδε ex supra scripto ιδαι ortum ratus. Δεξικρῶν tuetur Lehrsius conferens Arcadium 14, 26, a Lobeckio ad Ai. p. 172 emendatumet Choer. Dict. 298, 34. ἑρμονίδης cod., Σιμωνίδης substituit Meinekius Com. I p. 500, qui propter subsequens Ἑρμοκρῶν corruptum putat; secutus Lehrsius, sed dubitanter, quum possit etiam scribi ἑρμοκοπίδης, Ἐροιάδης, νεμεονίκης. l. 10 ἱστορεῖ cod., ἱστορεῖται Lehrsius cum Mein. l. c. ὁ ante Ἡρακλέους inseruit Ls. l. 11 Ἡρακλῶν quod propter antecedens simile Ἡρακλέους excidit, inserui monente Lobeckio Proll. 317, qui profert Suidae testimonium Ἡρακλέων ἔγραψεν ὑπόμνημα εἰς Ὅμηρον. Ἡρακλέων commemoratur etiam a Choer. Dict. 298, 23. — ὅπερ cod., ὁ περὶ Bl., qui etiam post γράψας inseruit καί. De Ἀθηνακῶν cf. Lobeck. l. l. l. 17 Callimachi verba afferri etiam a Choer. 298, 14 (Bekk. 1361) monuit Dind. l. 19 de Euphorionis loco cf. Mein. Anall. Alex. p. 154. l. 22 Εὐμόλοπος cod., em. Dindorf. coll. hymn. Cer. 154, Mein. l. c. etiam hunc versum fortasse Euphorionis esse suspicatur. l. 24 cod. τὸ εω, corr. Ls. monens recte scribi in An. Ox. III 240, 9.

Αἰολεῦϲιν ἢ Δωριεῦϲι· τὸ δέ γε Ποϲειδῶν ἐτράπη. Ποϲειδάν γὰρ λέγεται.

Οὐδὲν περιϲπώμενον ἐπὶ κλητικῆϲ εἰϲ ο̅ν̅ περατοῦται. πῶϲ οὖν Πόϲειδον λέγεται ἡ κλητική;

Οὐδὲν περιϲπώμενον ἀποκόπτεται κατὰ γενικὴν πτῶϲιν· ἐξεκόπη παρὰ Ἀριϲτίᾳ ἐν Ἀνταίῳ, ἔνθα φηϲὶν

— Αἰγαίου Ποϲειδῶ παῖϲ, πατὴρ δ' ἐμόϲ —

Οὐδὲν περιϲπώμενον εἰϲ δ̅ω̅ν̅ λήγει· τὸ δὲ Ποϲειδῶν ἔχει δ πρὸ τοῦ ω̅.

Δῆλον οὖν ὅτι κατὰ ταῦτα πάντα μονῆρέϲ ἐϲτι τὸ ὄνομα, οὔτε τοῖϲ ὀξυνομένοιϲ τὴν αὐτὴν ἀκολουθίαν ϲῷζον οὔτε τοῖϲ περιϲπωμένοιϲ. τὴν δὲ τούτων λύϲιν ἐν τῇ κλίϲει τῶν ὀνομάτων δηλοῦμεν. εἴρηται δὲ ὁ δαίμων παρ' Ἀλκαίῳ διὰ τοῦ α̅ μένοντοϲ τοῦ ϲ̅ Ποϲείδαν

οὐδέπω Ποϲείδαν
ἅλμυρον ἐϲτιφέλιξε πόντον,

παρὰ δὲ Δωριεῦϲι τρεπομένου τοῦ ϲ̅ εἰϲ τ̅ Ποτειδάν κατ' ὀξεῖαν τάϲιν, ἔνθεν γενικὴ παρ' Ἐπιχάρμῳ . . . . . δευτέρῳ

τοῦ Ποτειδᾶνοϲ δὲ χρηϲτὸν υἱὸν Ἱπποκάμπιον.

---

l. 1 verba ἢ Δωριεῦϲι quae desunt An. l. c. ex sequentibus falso huc illata esse censet Ahrens l. c. 4 et 5, qui regulam hic propositam non rectam esse iudicat, quum Dores e. g. participium μελετῶν in μελετᾶν mutarent (dial. Dor. II 196), Aeoles vero in μελέταιϲ. Sed etiam Choer. de dialectis loquitur p. 299 τὰ εἰϲ ων περιϲπώμενα οὐδέποτε γίνεται παρὰ τοῖϲ διαλέκτοιϲ εἰϲ α̅ν̅· τὸ δὲ Ποϲειδῶν γίνεται παρὰ τοῖϲ Αἰολεῦϲι καὶ παρὰ τοῖϲ Δωριεῦϲιν εἰϲ α̅ν̅· οἱ μὲν γὰρ Δωριεῖϲ Ποτιδάν λέγουϲι ὀξυτόνωϲ, οἱ δὲ Αἰολεῖϲ Ποτίδαν καὶ Ποϲείδαν λέγουϲι βαρυτόνωϲ, unde ἢ Δωριεῦϲι potius in Anecd. excidisse putes. Caeterum Herodianus canonem suum fortasse ad nomina tantum extendit, Ἀλκμάν vero non ex Ἀλκμάων contractum, sed syncopatum opinatus est. Ποϲειδάν codicis Ahrens. verbis ἢ Δωριεῦϲι exturbatis in Aeolicum Ποϲείδαν sive potius Ποϲίδαν mutare vult; ex Choer. loco citato concludi potest ap. Herodianum post Ποϲειδάν excidisse καὶ Ποϲείδαν nisi Herodianus hic, ubi cardo rei in tropa vocalis vertitur, accentus distinctionem non necessariam habuit. l. 5 κατὰ αἰτιατικὴν πτῶϲιν cod. Dind. ad h. l. scribendum proposuerat κατὰ γενικὴν πτῶϲιν, quod recepit Lehrs; in Thesaur. VI c. 1516 post πτῶϲιν lacunam esse sic fere explendam: κατὰ αἰτιατικὴν πτῶϲιν· [τὸ δὲ Ποϲειδῶν ἀπεκόπη· Ποϲειδῶ γὰρ λέγεται. οὐδὲν εἰϲ ω̅ν̅ λῆγον ἀποκόπτεται κατὰ γενικὴν πτῶϲιν· τὸ δὲ Ποϲειδῶνοϲ] ἐξεκόπη suspicatus erat. Ahrens l. c. hanc Dindorfii sententiam, quam et Lehrsius admittendam censuit, probat, lacunam tamen coll. Choer. 299, 11 sic potius expleri vult: κατὰ αἰτιατικὴν πτῶϲιν· [τὸ δὲ Ποϲειδῶν ἀπεκόπη· Ποϲειδῶ γὰρ λέγεται· κατὰ δὲ γενικὴν πτῶϲιν] ἐξεκόπη παρ' Ἀριϲτίᾳ, librarium ab priore πτῶϲιν ad alterum πτῶϲιν aberrasse arbitratus. Equidem cur a Lehrsio discederem, non habui. l. 6 Ἀνταῖοϲ post φηϲὶν om. Ls., Ahrensius retinuit trahens ad versum, ita ut Antaeo natus loquatur. l. 11 τὴν ante αὐτὴν inseruit Dind. l. 12 Ahrensius, ut servetur memoria formae per ι̅ scriptae, quam, quum haec scriptura in quibusdam nominis speciebus certis testimoniis firmetur cf. p. 20, Herodianum praetermisisse non verisimile sit, pro codicis verbis παρὰ Ἀλκαίῳ διὰ τοῦ α̅ μένοντοϲ τοῦ ν̅ Ποϲειδᾶν scribendum proponit παρὰ Ἀλκαίῳ διὰ τοῦ ι̅ καὶ τοῦ α̅ μένοντοϲ τοῦ ϲ̅ Ποϲίδαν. — pro τοῦ ν̅ Dindorf. Thes. correxerat τοῦ ϲ̅, Lehrsius, quem secutus sum, pro Ποϲειδᾶν exhibuit Ποϲείδαν et in verbis Alcaei pro Ποϲειδᾶν ἁλμυρὸν scripsit Ποϲείδαν ἅλμυρον. l. 16 τρέπομεν οὐ τὸ ϲ̅ cod., τρεπομένου Bl., τοῦ Ls. Ποϲειδὰν κατ' ὀξύαν τάϲιν cod., correxit Dind., Ahrensius Ποτιδάν a Choer. 299, 5 confirmatum scribendum censet. l. 17 lacunam inter Ἐπιχάρμῳ et δευτέρῳ statuit Dind. Thes. his verbis: «ante δευτέρῳ excidit nomen fabulae aliquod velut Ἀμύκῳ». Locum ipsum cod. sic exhibet: τοῦ Ποϲειδάνοϲ δὲ χρη-

εἴρηται δὲ καὶ Ποτιδᾶς ὡς Κερκιδᾶς· ἔνθεν αἰτιατικὴ ἐν Κύκλωπι

ναὶ τὸν Ποτιδᾶν, κοιλότερος ὀλμοῦ πολύ.

Σώφρων τε τὴν κλητικὴν ἔφη «Ποτιδᾶ δροσοχαῖτα». ὁ δὲ τοὺς Εἵλωτας τὴν γενικήν φησι

τέμενος Ποτιδᾶ ποντίω.

11 ἴσως δέ ἐστί τι καὶ Ποσιδέης, ἔνθεν ὡς τὸ Ἡράκλειον παρὰ τὸ Ἡρακλέης οὕτω Ποσίδειον καὶ

Ποσιδήιον, ἀγλαὸν ἄλσος.

ὁμοίως δὲ καὶ ἀρσενικῶς κτητικῶς Ποσίδειος, ὡς Ἡράκλειος ἆθλος. Σοφοκλῆς ποιμέσι

τειχέων καὶ δὴ τοὺς Ποσιδείους
ἀποσεισαμένη θριγκοὺς —

Ποσειδέων δὲ παροξυτόνως παρ' Ἴωσι λέγεται ὁ θεός. ὀξυτονηθὲν τὸ ὄνομα μῆνα δηλοῖ. παρὰ δὲ τῷ ποιητῇ διηνεκῶς μένοντος τοῦ $\bar{\text{ε}}$ καὶ πρὸ τοῦ τέλους τοῦ $\bar{\text{α}}$ ὑπάρχοντος. παρὰ μέντοι Βοιωτοῖς Ποτειδάων τραπέντος τοῦ $\bar{\text{ε}}$ εἰς $\bar{\text{τ}}$. Κόριννα Βοιωτῷ

τοὺ δέ, μάκαρ Κρονίδα, τοὺ Ποτειδάωνος,
ἄναξ Βοιωτέ.

Ὅτι πολλοὺς ἐποίησε σχηματισμοὺς καὶ ἐν ἑτέροις εἴρηται.

Νῆσος. τὰ εἰς $\bar{\text{σος}}$ λήγοντα δισύλλαβα τῷ η παραληγόμενα φιλεῖ ἀρσενικὰ εἶναι, Κτῆσος, Θῆσος, Δρῆσος, Ῥῆσος, Μνῆσος. πεπλάνηται ἄρα ἡ νῆσος παρὰ τὸ γένος.

στὸν υἱὸν ἱππόκαμπτον, Ποσειδᾶνος scr. Dindorf., ἱπποκάμπετον Ahrens p. 6 comparans ἀπευκτός ἀπεύχετος, Dind. Thes. quem cum Lehrsio secutus sum, ἱπποκάμπιον. l. 1 ποτείδας ὡς κερκίδας cod., Ποτιδᾶς ὡς Κερκιδᾶς Ls. em., de accentu cf. Ahrens dial. Dor. p. 246 et Philol. l. c. p. 12 not. et quem laudat, Meinek. Anall. Alex. p. 388. l. 2 αἰνετόν ποτίδαν ot ὀλμοῦ cod., em. Dind. thes., Meinek. l. 3 ποτίδα δραστοχαῖτα cod., πρασιοχαῖτα (vel πρασοχαῖτα) em. Ahrens dial. Dor. p. 466; Lehrsius quem secutus sum recepit coniecturam Crameri δροσοχαῖτα. εἱλώτας cod., spiritum mutavit Ls. l. 5 τεμενεποτιδᾶ ποντίῳ cod., em. Dindorf. in praefat. ad Hom. Iliad. ed. Lips. 1824 II τέμενος Ποτίδα ποντίω et postea Meineck. τέμενος Ποτιδᾶ ποντίω fragm. com. p. 183 ed. min. adnotans: «publicavit haec etiam Aldus Inst. gramm. p. 19, ubi Eupolidis verba ita scripta sunt: τέμενος Ποτιδᾶ ποντίου». l. 6 ποτιδίης cod., Ls. Ποσιδέης, Ahrens p. 7 Ποσιδῆς. ἡρακλίης cod., Ἡρακλέης Dind. et Ls., Ἡρακλῆς Ahrens. l. 7 ποσείδειον cod., ποσίδειον Dind. l. 8 ποσειδήϊον cod., ποσιδήϊον Dind. l. 9 ποσείδιος et ἡράκλιος cod., Ποσίδειος et Ἡράκλειος Dind. l. 11 τυχῶν cod., τειχέων Dind. et Ls., Nauck. p. 193 fr. 463 τοίχων. ποσειδίους cod., ποσιδείους Dind. ante θριγκοὺς (cod. θρίγκους) ἀποσεισαμένη Nauck. cum Dind. lacunam sumsit, Ls. verba transposuit. Ahrensius scribendum suspicatur: καὶ δὴ τοὺς Ποσιδείους | τοίχων θριγκοὺς ἀποσεισαμένη. l. 13 Ποσειδέων tuetur Lehrsius Arcad. 18, 8, Theogn. 28, 1, Ahrensius Ποσιδέων scribendum censet p. 26 propter constantem mensis Ποσιδεών formam, a qua Ποσειδέων accentu tantum differre dicat Herodianus. l. 15 Ποτειδάων et l. 17 Ποτειδάωνος retinet Ls. obloquente Ahrensio, qui Boeoticam formam omnino per ῑ scribendum esse asseverat. Lehrsius monet, in inscr. thebana (Keil, syll. inscr. boeot. p. 73, epigr. Excurse p. 383) Ποτειδάονι legi. l. 16 Βοιωτοί cod., Ahrens Βοιωτῷ em. de dial. Aeol. 277. verba poetriae in codice sic scripta sunt: τοῦδε μάκαρ κρονίδη· τοῦ ποτειδάωνος ἄναξ Βοίωτε, quae Ahrens l. c. sic emendandu putavit τοὺ δέ, μάκαρ Κρονιδῆε, τοὺ Ποτιδάωνος, ϝάναξ Βοιωτέ, nunc in Philol. l. c. τοὺ δὲ μάκαρ Κρονίδα' (i. e. nepos Croni) οὐιὲ (fortasse οὐέ coll. Doric. ὑός) Ποτιδάωνος ϝάναξ Βοιωτέ. Bergkius fr. Corinnae 1 scripsit τοὺ δέ μάκαρ Κρονίδα, τοὺ Ποτειδάων ἄναξ Βοιωτέ Equidem hic Lehrsii scripturam deserere nolui.

Κάλλοc. τὰ εἰc οc̄ λήγοντα διcύλλαβα βαρύτονα ἔχοντα διccὸν τὸ λ! οὐ θέλει εἶναι οὐδέτερα. Ὕλλοc, Κύλλοc τό κύριον, οὗ μέμνηται καὶ Ἀριcτοφάνηc καὶ Κρατῖνοc ἐν Μαλθακοῖc, Cκύλλοc ὁ κολυμβητήc, Ψύλλοc, Ἀργοίταc α΄ Λιβυκῶν· «ἀνδρωθέντα δὲ τὸν Ἀμφίθεμιν πληcιάcαι ταῖc νύμφαιc καὶ γεννῆcαι παῖδαc Ἀδυρμαχίδαν, Ἀραραύκηλα, Ἀcβύταν, Βάκαλα, Μάκαν, Ψύλλον»· ἀφ' οὗ Ψύλλοι τὸ ἔθνοc. Τέλλοc ὁ Ἀθηναῖοc, Ἡρόδοτοc α΄ (30), Φέλλοc τὸ κύριον, Ἡcίοδοc

Φέλλον ἐϋμμελίην τηλεκλειτὴ Μελίβοια,

Φίλλοc (†), παρὰ Ἀνακρέοντι τὸ ὄνομα, cίλλοc, Γρύλλοc καθάραc τοὺc Διοcκούρουc ὡc Φιλοcτέφανοc, Κόλλοc Δημόγνητοc ἐν τῷ περὶ Κνίδου· «καὶ Κόκκυγα τὸν Τελέcτοροc καὶ Κόλλον τὸν Cκίρου καὶ Λώγαcον τὸν Αὐτονόμου καὶ Κτῆcιν τὸν Μνηcιθέου». Γάλλοc, ὁ ποταμὸc καὶ τὸ ἔθνοc, Ἴλλοc, Γίλλοc, Ἡρόδοτοc γ΄ (138). ἔcτι δὲ καὶ ἄλλα πολλὰ τούτοιc ἐμφερῆ, ἅπερ παραιτεῖται τὸ οὐδέτερον γένοc. δῆλον οὖν ὡc τὸ κάλλοc πεπλάνηται ἢ περὶ ποcότητα τοῦ λ̄ ἢ περὶ τὸ γένοc. ὅcα γὰρ οὐδέτερά ἐcτιν εἰc οc̄ λήγοντα ταῦτα παραιτεῖται ἔχειν ἕτερον λ̄, 12
ὡc τὸ ἕλοc, μέλοc, βέλοc, θάλοc, φάλοc (†).

Ἀπόλλων. τὰ εἰc λων λήγοντα ἀρcενικὰ ὀνόματα, εἰ διπλαcιάζοι τὸ λ̄, οὐ θέλει ὑπὲρ δύο cυλλαβὰc εἶναι, ὡc ἔχει τὸ Χέλλων, Καλλίμαχοc

---

l. 2 ὕλλοc τό κύριον cod., Ὕλλοc, Κύλλοc τό κύριον Ls. praeeunte Dindorfio Aristoph. fr. p. 129 cf. Meinek. fr. com. p. 27 ed. min. l. 3 cκῦλλοc cκύλλου πατήρ cod., Schneidewinus in Bergkii rel. com. Att. 439 Κύλλου πήρα emendare voluit, proverbium antecedentibus verbis significatum hic disertis verbis afferri arbitratus; Lehrsius collato Athen. 296 f. Αἰcχίων δ' ὁ Cάμιοc ἔν τινι τῶν ἰάμβων Ὕδνηc φηcl τῆc Cκύλλου τοῦ Cκιωναίου κατακολυμβητοῦ θυγατρὸc τόν θαλάccιον Γλαῦκον ἐραcθῆναι scripsit Cκύλλοc ὁ κολυμβητήc. l. 4 ψάλλοc ἀγροιῶταc ἀπό λιβυκῶν· ἀνδρωθέντα δὲ τὸν ἀμφιθέμιν πληcιάcαι ταῖc νύμφαιc καὶ γεννῆcαι παῖδα μυρμαδάναρ· αὐδακήναc· βυγάνμα· καλομάκαν ψῦλλον, ἀφ' οὗ ψῦλλοι τό ἔθνοc cod., Ἀγροίταc α΄ Λιβυκῶν Dindorfius in praef. ad Homeri Iliadis ed. Lips. 1824 II emendavit et post eum Lob. Aglaoph. 988; nomina propria in ipso Agroetae loco restituere conatus est Cram. Mus. phil. Cantabr. I p. 633 invenitque maximo Herodoteo catalogo usus IV 175, ex quo etiam Lobeckius l. c. nomina restitui posse iudicaverat, Adyrmachidam, Asbytam, Bacala, Macam, quibus Meinekius Zeitschrift für die Alterthumswissenschaft 1845 N. 133 p. 1064, qui Crameri inventa non cognita habens, in eadem incidit, addidit Ararauceles. cf. Müller frag. hist. Graec. IV p. 294. l. 8 versus Hesiodi (Goettling. fr. CXXXIV, Didot. XCVI) sic in cod. scriptus est: φέλλον ἐϋμελίην τέκε τῇ Μελιβοίᾳ, em. Ls. l. 9 nomine Φίλλοc signum corruptelae addidi cum Lehrsio, Dindorfius aut βίλλοc (τό ἀνδρεῖον αἰδοῖον Arc. 53, 1) aut Βίλλοc (Hippocrat. 1162 A) proposuit; utrumque enim admittit vox ὄνομα. cf. Bergk. fragm. lyr. p. 806 ed. II.

l. 10 φίλοc cτέφανοc cod., em. Bl. pro Δημόγνητοc Nauckium velle Διόγνητοc (sic enim cum Meinek. spec. in Athen. I p. 30 dicit, ubi hunc locum citat) aut Δημάγητοc adnotat Lehrs. cod. Κνιδίου, em. Lehrs. Locum ipsum cod. sic exhibet: καὶ κοκκυνα τόν τελέcτερον καὶ κόλλον τό cκίρου καὶ λωγάων, τόν αὐτόν ὁμοῦ καὶ κτῆcιν τόν μνηcιθέου, emendavit Meinek. Anall. Alex. 365 praeter λωγάων, pro quo Λυγωόν scribendum suspicatur, Lehrsius posuit Λώγαcον commendatum appellativo λώγαcοc (Lob. Parall. 81) et patronymico Λωγαcίδηc (Nonn. XXXVI 282). l. 13 ἴλλοc Ls. substituit pro ἄλλοc ab hoc loco alieno coll. Theogn. 17, etiam κίλλοc vel Κίλλοc proponens. πάλλοc cod., Ls. scripsit quod exstat in Herodoti libro tertio Γίλλοc. l. 17 φάλοc neutrum ignotum est neque simile, quod substitui possit, se offert, quare Ls. suspicatur in hoc vocabulo contineri testimonium praecedentis θάλοc «φίλον θάλοc» Χ 87.

δημεχθέα Χέλλωνα,

Τρέλλων, παρὰ Cώφρονι τὸ ὄνομα, Θάλλων ὄνομα κύριον κυνὸς παρὰ Ξενοφῶντι (de venat. 7, 5), Cίλλων· Ἐπίχαρμος Χορευταῖς, Κάλλων ὁ ἀθλητὴς καθ' ὑποκορισμόν· σημειῶδες δὲ τὸ Ἀπόλλων ὡς περισσοτέραν ἔχον τὴν ποσότητα τῶν συλλαβῶν. οὐ μάχεται δὲ τὸ Ἀτιτάλλων, κατὰ τὴν συνήθειαν ἐν ἀγνοίᾳ ὂν καὶ τῇ χρήσει τῶν παλαιῶν. ἄλλως τε καὶ τῶν μετοχῶν ἐφύλαξε τὴν κλίσιν, ὡς Ἀτιτάλλοντος. ὁ γὰρ τοιοῦτος χαρακτὴρ μετοχῶν ἐστιν, ἰάλλων, ἰνδάλλων, ἀτασθάλλων, ἀγάλλων. ἐχρῆν οὖν καὶ τὸ Ἀπόλλων, εἰ μὲν ὄνομά ἐστι, δισυλλαβεῖν, εἰ δὲ ὑπὲρ δύο συλλαβάς ἐστι, μετοχὴν εἶναι καὶ τὰ παρεπόμενα τῇ μετοχῇ ἔχειν κατὰ τὴν κίνησιν.

Πῦρ. οὐδὲν εἰς ῡρ λῆγον οὐδέτερον μονοσύλλαβον, ἀλλὰ μόνον τὸ πῦρ· ὅπερ Cιμωνίδης καὶ ἕνεκα μέτρου δισυλλάβως ἀπεφήνατο·

τοῦτο γὰρ μάλιστα φῆρες ἔστυγον πύϊρ.

Τὸ δὲ Cῦρ οὐ σύνηθες παρὰ Ἕλλησιν, ἀλλ' ἱστορίας ἐχόμενον, ἄλλως τε οὐδ' ἄντικρυς οὐδέτερον. οὕτω γὰρ ἐκαλεῖτο πρότερον ἡ Φοινίκη.

Μοῦσα. τὰ εἰς σᾱ λήγοντα θηλυκὰ ὀνόματα τῇ ου διφθόγγῳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς ὁρᾶται· σχηματίζεται δὲ κατὰ τὸ πλεῖστον ἢ μετατίθεται ἀπὸ μετοχῶν, αἴθουσα, ὅπερ ἔχει δισσὸν μὲν τὸ ϲ̄ ἐπὶ τοῦ προσηγορικοῦ, ἐπὶ δὲ τοῦ κυρίου κατά τινας ἕν, λέγω δὲ ὅτε σημαίνει θυγατέρα Ποσειδῶνος γενομένην καὶ Ἀλκυόνης. Φέρουσα, καὶ τοῦτο ἐπὶ μιᾶς τῶν Νηρηΐδων,

Φέρουσά τε Δυναμένη τε (Σ 43).

θυγάτηρ τε Ἡλίου ὀνομάζεται Φαέθουσα. Ἴωνος δὲ τοῦ Ξούθου ἀνα-
13 γράφεται μήτηρ Κρέουσα, ὁμωνύμως δὲ ταύτῃ καὶ Αἰνείου γυνή. Μέδουσα μία τῶν Γοργόνων,

Cθεινώ τ' Εὐρυάλη τε Μέδουσά τε λυγρὰ παθοῦσα (Hes. theog. 276).

Ἀρέθουσα κρήνη κυρίως· ἀλλὰ καὶ πᾶσαι κρῆναι κατ' ἐπιθετικὴν ἔννοιαν οὕτω καλοῦνται, ἀπὸ τοῦ ἄρδειν ἴσως σχηματισθεῖσαι. ὅ γ' οὖν Χοιρίλος ἐν α' Περσικῶν

παρὰ δὲ κρήνας ἀρεθούσας
μυρία φῦλ' ἐδονεῖτο πολυσμήνοισι μελίσσαις —.

οὐδὲν δ' ὅτι οὖν ὤφθη δισύλλαβον εἰς ᾱ λῆγον τῇ ου̅ διφθόγγῳ παρα-

---

l. 1 cod. δὲ μέλθα χελλῶνας, em. Dindorf. ex Choer. Bekk. 1188, Gaisf. 134, 26, ubi δημεχθέα Χέλλωνα κακόκνημόν τε Κόμητα (ubi Bekk. Χελλῶνα, Gaisf. Χελῶνα). l. 4 περὶ δευτέραν cod., περισσοτέραν ἔχον Ls. l. 6 ἀλλ' ὥστε cod., em. Bl. l. 8 τοῦτος cod., correxit Dind. ἐστι cod., ἐστιν Ls. l. 11 ἔχει cod., corr. Bl. καὶ τὴν cod., em. Ls. l. 13 πῦρ. ὁ Cιμωνίδης cod., πῦρ, ὃ Bl., πῦρ ὅπερ Ls. l. 14 φηρὲς ἐς τύγε πύϊρ cod., em. Lob. Parall. p. 76. l. 17 εἰς ᾱ cod., em. Ls. l. 20 δὲ post λέγω inseruit Ls. l. 21 Ἀλκυόνης γενομένης cod., γενομένης, quod ex praecedente γενομένην ortum est, delendum esse suspicatus est Bl., delevit Ls. l. 24 ἰλίου cod., em. Ls. coll. Od. μ 133. l. 27 σθένω τ' εὗροι ἄλη cod., em. Dind. l. 29 ἄρδην cod., em. Ls. l. 30 Χοίριλος cod., Χοιρίλος Dind. l. 31 παρὰ δὲ «παρὰ in codice ita scriptum ut non satis appareat utrum hoc an περὶ dare voluerit librarius». Dind. l. 32 cod. φιλεδονεῖτο, em. Dind.

ληγόμενον ὁμοίως ἐν χρήσει τῇ τῶν παλαιῶν καὶ τῇ κοινῇ συνηθείᾳ, εἰ μὴ μόνον τὸ μοῦσα. Τὸ γὰρ Δοῦσα κύριον καθ' ἱστορίαν ἐστὶ λεγόμενον ἥ τε Χοῦσα πόλις Αἰγυπτίων.

Ἄρουρα. οὐδὲν εἰς ρα λῆγον θηλυκὸν συνεσταλμένον ἁπλοῦν προσηγορικὸν ὑπὲρ δύο συλλαβὰς τῇ ου διφθόγγῳ παραληγόμενον, ἀλλὰ μόνως ἄρουρα. πρόσκειται δὲ προσηγορικόν, ἵνα ἐκφύγωμεν τὰ κύρια, ὡς ἔχει τὸ Κόλουρα, ἔστι δὲ πόλεως ὄνομα, ὡς Ἑκαταίῳ· «δοκέω δὲ μάλιστα παρὰ Κόλουραν, ἵνα Πριηνέες ἕζοντο». Ἄργουρα πόλις Εὐβοίας, μέμνηται Δημοσθένης λέγων· «ἐξ Ἀργούρας τῆς Εὐβοίας». Ἴουρα, μέμνηται Μνασέας. Ὄλουρα, μέμνηται Ἐρατοσθένης. τό τε Κυνόσουρα ἐπὶ τῇ Λακωνικῇ φυλακῇ, ἀλλὰ καὶ ἄκρα Μαραθῶνος οὕτως καλεῖται, καὶ κύριον καὶ σύνθετόν ἐστιν· ἀλλὰ καὶ ἐπὶ τῆς ἄρκτου

οἳ τὴν μὲν κυνόσουραν ἐπίκλησιν καλέουσιν (Arat. Phaen. 36).

ἐφυλάξατο δὲ ταῦτα πάντα ὁ κανών.

Κάνωβος. οὐδὲν εἰς βος λῆγον ὑπὲρ δύο συλλαβὰς τῷ ω παραλήγεται, ἀλλὰ μόνον ὁ Κάνωβος. τὸ γὰρ παρὰ τῷ Ἰόβᾳ κείμενον βαρβαρικὸν ὄνομα Ναβωμὸς διὰ τοῦ μ γράφεται.

Δίκη. τὰ εἰς κη λήγοντα θηλυκὰ δισύλλαβα μονογενῆ βαρύτονα, 14 ὅτε ἔχει πρὸ τέλους τὸ ι, ἤτοι συνεσταλμένον ἔχει αὐτό, ἢ ἐκτεταμένον. καὶ τότε μὲν συνεσταλμένον ὁπότε σύμφωνον ὁρᾶται πρὸ τοῦ κ καταλῆγον, τότε δὲ ἐκτεταμένον ὁπότε οὐχ οὕτως ἔχει. οἷον Κίρκη, Δίρκη, Τρίκκη· συνέσταλται δὲ τούτων τὸ ι, ἐπεὶ σύμφωνον ἦν πρὸ τοῦ κ· τοῦ δὲ ἑτέρου νίκη, φρίκη. ἡ τοίνυν δίκη σημειῶδες. λείπει γὰρ ἢ χρόνῳ ἢ συμφώνῳ.

Νεῖλος. οὐδὲν εἰς ος λῆγον δισύλλαβον βαρύτονον τῇ ει διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ Νεῖλος. Νῆλος γὰρ λέγεται κατὰ διάλεκτον. τὸ δὲ πῖλος, σπῖλος, Ἶλος, ἔτι φορτικὸν τὸ ἀπὸ τοῦ τ ἀρχόμενον διὰ τοῦ ι γράφεται.

Χαρίεις. οὐδὲν εἰς εις λῆγον ὄνομα ὑπὲρ μίαν συλλαβὴν ἀρσενικὸν τῷ ι παραλήγεται, ἀλλ' ἢ τῷ α, ὡς ἔχει τὸ ἀντάεις, αὐλάεις, ἢ τῷ η, ὡς φωνήεις, αὐδήεις, παχνήεις, ἢ κατὰ συστολὴν ποιητικὴν

l. 1 οὕτως cod., ὁμοίως Ls. l. 8 Κολοῦραν cod., em. Ls. πρηνῆς cod., Πριηνεῖς Lob. Proll. 278, formam Ionicam restituit Ls. ἄγουρα cod., Dind: «Midiana p. 558, 16, ubi Ἀργούρας scriptum. ἄργουρα etiam Arcad. 97, 4. 10».
l. 10 Κυνὸς οὐρὰ cod., em. Dind. collato Arcad. 97, 10. l. 13 οἱ cod., οἳ Ls. l. 16 παρὰ τοῦ ἰώβᾳ cod., em. Bl. Lehrsius potius Νάβωμος scribendum putat. l. 25 οὐδεὶς cod., corr. Bl. l. 26 cod. νόϊλος τε, Ls. Νεῖλος, Ahrens de dial. Dor. 162 not. Νεῖλός τε γὰρ ἦν καὶ Νῆλος λέγεται; equidem non dubito, quin Νῆλος scribendum sit, nam Choer. Orth. 240, 27 Νεῖλος διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Δωριεῖς διὰ τοῦ η γράφουσι, unde derivata sunt quae Etym. M. cod. Havn. 1971 in E. Gud. 978 habet: Νεῖλος διὰ τῆς ει διφθόγγου· ἐπεὶ Νῆλος λέγουσιν οἱ Δωριεῖς διὰ τοῦ η. ἔθος γὰρ ἔχουσι τὴν ει δίφθογγον εἰς η μετατρέπειν. l. 27 cod. πῖλος, σπῖλος, ἦλος ἔτι φορτικόν. τὰ ἀπὸ τοῦ τ ἀρχόμενα, em. Ls. Cui de τῖλος Herodianus nimis decenter locutus esse videtur, ei licet putare excidisse φημὶ δὲ τὸ τῖλος.

τὸ ε̄, ἠχέειϲ, βρωμέειϲ, ἢ τὸ ο̄, ὡϲ ἀϲτερόειϲ, ἁρματόειϲ, ἢ τὸ ω̄, ὡϲ εὐρώειϲ, κητώειϲ. τὸ τοίνυν χαρίειϲ ϲημειῶδεϲ τῷ ῑ χρηϲάμενον πρὸ τέλουϲ. ὁ μέντοι Ἀνακρέων καὶ χαριτόειϲ εἶπεν, ἀποδοὺϲ τὸ ἐντελὲϲ τῇ λέξει.

Οὖϲ. τὰ εἰϲ ο̄ῡϲ̄ λήγοντα ὀνόματα μονοϲύλλαβα ἀρϲενικὰ πέφυκεν εἶναι, ἔϲθ᾽ ὅτε δὲ καὶ κοινωνεῖ θηλυκῷ γένει. φλοῦϲ [φηϲί], χλοῦϲ, Γλοῦϲ ὁ ληϲτήϲ, χνοῦϲ παρὰ Ϲοφοκλεῖ, βοῦϲ, ῥοῦϲ, θροῦϲ, νοῦϲ, ϲοῦϲ, πολὺ παρὰ τοῖϲ Ἴωϲι χροῦϲ. δῆλον ὅτι πεπλάνηται περὶ τὸ γένοϲ τὸ οὖϲ οὐδέτερον ὑπάρχον,

Ἄντιφον αὖ παρὰ οὖϲ ἔλαϲε ξίφει (Λ 109).

οὐκ ἀγνοῶ δὲ τὸ πάθοϲ τῆϲ λέξεωϲ καθότι ποικίλωϲ λέγεται. οὔαϲ γὰρ καὶ ἡ γενικὴ οὔατοϲ· καὶ ὄαϲ, ἔνθεν ὄατοϲ· καὶ ὦαϲ, ἔνθεν ὤατοϲ· καὶ ὦϲ, ἔνθεν ὠτόϲ· καὶ ὦοϲ οὐκ εἰρημένον, ϲυνεϲχηματιϲμένον δὲ παρὰ Θεοκρίτῳ (Ι 28) ἀμφωέϲ. τοῦ μέντοι οὖϲ οὐ ζητητέον τὴν κλίϲιν.

Πούϲ. τὰ εἰϲ ο̄ῡϲ̄ λήγοντα ὀνόματα μονοϲύλλαβα περιϲπᾶται, χνοῦϲ, κνοῦϲ, χροῦϲ, Γλοῦϲ, θροῦϲ, φλοῦϲ, πλοῦϲ, ῥοῦϲ· ϲημειωτέον τὸ πούϲ ὀξυνόμενον· μετοχῆϲ γὰρ ἐδέξατο τόνον.

Ποδόϲ. τὰ εἰϲ δ̄ο̄ϲ̄ λήγοντα διϲύλλαβα τῷ ο παραληγόμενα εὐθεῖαν ὑπιϲχνεῖται πτῶϲιν, ὀδόϲ, ϲποδόϲ· οὐ δόκιμοϲ ἄρα οὐδὲ ἡ γενικὴ ποδόϲ.

Φρήν. οὐδὲν εἰϲ η̄ν̄ λῆγον ὄνομα μονοϲύλλαβον μόνωϲ θηλυκόν. ἀλλ᾽ εἰ ἐπιδέχοιτο καὶ τὸ θηλυκὸν γένοϲ, ἐν κοινότητι ἐπιδέχεται. Ὁποῖόν ἐϲτι τὸ χήν. θηλυκὸν γὰρ αὐτὸ οἶδεν ὁ ποιητήϲ,

ὡϲ ὅδε χῆν᾽ ἥρπαξ᾽ ἀτιταλλομένην ἐνὶ οἴκῳ (ο 174),

καὶ

αἰετὸϲ ἀργὴν χῆνα φέρων (ο 161),

ἀρϲενικὸν δὲ οὕτωϲ,

χῆνέϲ μοι κατὰ οἶκον ἐείκοϲι πυρὸν ἔδουϲι
ἐξ ὕδατοϲ (τ 535),

εἶτα ἐπιφέρει

ἐλθὼν δ᾽ ἐξ ὄρεοϲ μέγαϲ αἰετὸϲ ἀγκυλοχείληϲ
πᾶϲι κατ᾽ αὐχέναϲ ἦξε καὶ ἔκτανεν, οἱ δὲ κέχυντο.

---

l. 1 βρομέειϲ cod., corr. Ls. l. 2 εὐώειϲ cod., em. εὐρώειϲ Dind. Ahrens. l. 6 φηϲι ut a grammatico exscribente appositum seclusit Ls. hunc usum posteriorum grammaticorum fuse explicans. l. 10 cod. ἄντιφον δ᾽ οἱ παρὰ οὖϲ ἐφύλαξε ξίφει, versum Homericum restituit Meinek. ad Theocr. I 28, recte scriptus est ap. Choer. 385, 15. l. 11 οὖαϲ cod., l. 12 ἠώαϲ — ἠώατοϲ, l. 13 καὶ ὠτὸϲ καὶ ὀὸϲ et l. 14 ἄμφω ἔϲτω μέντοι οὖϲ· ζητέον (Dind. em. ζητητέον), hunc totum locum emendavit Mein. ad Theocr. I 28, et Lob. Rhem. 314; Lehrsius pro ἀμφῶεϲ scripsit ἀμφωέϲ collatis quaest. ep. 152 et 148 seqq. et ante ζητητέον inseruit οὐ. Caeterum τῷ quod apposuit Lehrsius ante ἀμφωέϲ omisi, nam ἀμφωέϲ ipsum est ϲυνεϲχηματιϲμένον, non ὦοϲ, velut ab Herodiano in loco a Lehrsio citato Cr. An. Ox. IV 334, 31 χαλκοκράϲ, νεοκράϲ ἐκ παρακειμένου ϲυνεϲχηματιϲμένα vocantur. l. 24 χὴν ἥρπαξε τιταλλομένην cod. l. 26 cod. οἴελοϲ pro αἰετόϲ. l. 32 cod. αὐχέν᾽ ἔηξεν et οἶδε.

καὶ τοῦτο μὲν ἐν κοινότητι. ᾧ ὅμοιον δύναιτο ἂν εἶναι καὶ τὸ ῥήν, εἴ τις βούλοιτο. ἐπὶ δὲ τῆς αἰτιατικῆς Νίκανδρος (Ther. 453)

αὐτὰρ ὁ τοῦ καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωόν.

ἐν συνθέσει πολύρρην παρὰ τῷ τὰ Ναυπακτικὰ ποιήσαντι·

ἀλλ' ὃ μὲν οὖν ἀπάνευθε θαλάσσης εὐρυπόροιο
οἰκία ναιετάασκε πολύρρην, πουλυβοώτης.

τούτου καὶ πληθυντικὸν παρὰ τῷ ποιητῇ (I 154)

ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται.

ὁπότε δὲ λέγει ὁ ποιητής (K 216) 16

θῆλυν, ὑπόρρηνον,

ἀπ' εὐθείας τῆς ὑπόρρηνος κλίνει, ἥτις ἀπὸ γενικῆς ἀπεδέξατο τὴν σύνθεσιν. ὡς παρὰ τὴν μηνός τὸ δίμηνος ἢ τρίμηνος, οὕτως ῥηνός ὑπόρρηνος. ἀναδράμωμεν ἐπὶ τὰ παραδείγματα, Ζήν, μήν, σπλήν, σφήν, ψήν. Ἀριστοφάνης (Av. 593)

εἶθ' οἱ κνῖπες καὶ ψῆνες ἀεὶ τὰς συκᾶς οὐ κατέδονται.

εἴπερ οὖν ἀληθές ἐστι τὸ μηδὲν εἰς ην λῆγον μονοσύλλαβον θηλυκὸν γένος σημαίνειν, δῆλον ὅτι πεπλάνηται τὸ φρήν περὶ τὸ γένος. διὸ καὶ ἐξηλλάγη αὐτοῦ ἡ κλίσις ὡς πρὸς τὰ ἄλλα μονοσύλλαβα. φρενὸς γάρ, τῶν ἄλλων φυλασσόντων τὸ η. οὐκ ἀντιθήσει τις ἡμῖν τὸ παρὰ τῷ Ἑρμησιάνακτι ἐν Λεοντίου α'

δερκόμενος πρὸς κῦμα, μόνη δὲ οἱ ἐφλέγετο γλήν.

οὐ γὰρ ἐντελές, ἀποκεκομμένον δὲ ἐκ τοῦ γλήνη.

Σειρήν. οὐδὲν εἰς ην λῆγον ὑπὲρ μίαν συλλαβὴν ὀξυνόμενον θηλυκόν, μόνον δὲ τὸ Σειρήν. ὁπότε δὲ καὶ μελίσσης εἶδος σημαίνει, ἀρσενικῶς ἁπλῶς λεγόμενον οὐ κεκοινώνηκε. διὸ καὶ οἱ ἀδένες ἀρσενικῶς λεγόμενοι παρ' Ἱπποκράτει ἀναλόγως λέγονται.

Γαστήρ. τὰ εἰς τηρ λήγοντα ὑπὲρ μίαν συλλαβὴν θηλυκὰ ὄντα βαρύνεσθαι θέλει, μήτηρ, θυγάτηρ, εἰνάτηρ, Δημήτηρ, οὐδὲν δὲ θέλει ὀξύνεσθαι. σημειώδης ἡ γαστήρ· ὀξυνομένη. καὶ γὰρ ἄλλως τὰ εἰς τηρ ὀξυνόμενα ἀρσενικά, ὁπότε μὴ κατὰ μεταβολὴν γένους εἴη, ἀστήρ, πρηστήρ, καυστήρ, πληκτήρ, ἀλκτήρ. προσέθηκα δὲ ὁπότε μὴ κατὰ μεταβολὴν γένους διὰ τὸ

ῥαιστῆρα κρατερήν (Σ 477),
ὕλην στεγαστῆρα.

τοιαῦτα γάρ ἐστιν ὁποῖον ἡ αἰθήρ, ἡ ἀήρ.

---

l. 4 ἀντιθέσει cod., corr. Bl. l. 5 ἐπινευσὶ cod., ἀπάνευθε Lob. Parall. 71, qui praeterea οὐκ pro οὖν; Cramerus proposuerat ἐπὶ θινί. l. 6 οἰκίαν cod., corr. Dind. πολυβοώτης cod., corr. Bl. l. 8 cod. ἐν δὴ ἄνδρες ναιετάουσι πολύρρηνες, πολυβοῶται. l. 13 Ζήν — ψήν in codice cum circumflexo scripta sunt. l. 15 cod. ἤτοι κνῆπες et σίκας, correxit Dind. l. 16 ὅπερ cod., εἴπερ Bl. μηδὲ cod., μηδὲν Bl. l. 20 cod. ἐμησιάνακτι, em. Dind. l. 24 ποτὲ cod. ὁπότε Ls. σίας cod., σημαίνει Bl. l. 25 ἀδένες cod., sed scripsi ἀδένες, ad quem spiritum restituendum etiam Ls. propensus erat. l. 34 ὕλης τε γαστῆρα cod., emend. Lob. Parall. 216 not. l. 35 ἐστι cod., ἐστιν Ls. αἰτήρ cod., corr. Bl.

Ϲκηνή. τὰ εἰς νη λήγοντα δισύλλαβα μονογενῆ τῷ η παραληγόμενα βαρύνεται, Ῥήνη, κρήνη, φήνη,

φήνῃ ἐειδομένη (γ 372),

γλήνη, μήνη. σημειώδης ἄρα ἡ σκηνή.

17 Δοθιήν. οὐδὲν εἰς ην λῆγον ὄνομα ὀξυνόμενον καθαρεύει κατὰ χρῆσιν Ἑλλήνων, ἀλλ᾽ ἀεὶ πρὸ τοῦ η σύμφωνον ἔχει ἢ σύμφωνα· οἷον σωλήν, λειχήν, κηφήν, αὐχήν, Πειρήν καθ᾽ Ἡσίοδον πατὴρ Ἰοῦς, Αἰζήν Ταντάλου παῖς. στελήν (?), σειρήν, βαλλήν, οὕτως ὁ βασιλεύς, ἐσσήν ὁ οἰκιστής,

Μυρμιδόνων ἐσσῆνα

Καλλίμαχος, πυθμήν, λιμήν, ἀτμήν, καμασήν ἰχθῦς τις λέγεται, Ἀραφήν εἷς τῶν ἑκατὸν ἡρώων, ἠλακατήν, καὶ τοῦτο ὄνομα ἰχθύος κητώδους, ἀλλὰ καὶ τὸ κύριον. δῆλον ὅτι σημειώδης ὁ δοθιὴν παρ᾽ Ἀττικοῖς λεγόμενος καὶ μὴ ἔχων πρὸ τοῦ η σύμφωνον. Τηλεκλείδης

ὅδ᾽ ἀπ᾽ Αἰγίνης νήσου χωρεῖ δοθιῆνος ἔχων τὸ πρόσωπον,

καὶ Ἕρμιππος ἐν Θεοῖς

φήμης ἱερᾶς ἐξοιγνυμένης ὥσπερ πέπονος δοθιῆνος.

εἰ δέ τις λέγοι, ὅτι καὶ τὸ Ζαήν καθαρεύει, οὗ καὶ αἰτιατικὴ παρὰ τῷ ποιητῇ κατ᾽ ἔκθλιψιν τοῦ ᾱ,

ὦρσε δ᾽ ἐπὶ Ζαῆν᾽ ἄνεμον (μ 313),

πρῶτον μὲν εἴσεται, ὡς οὐχ ὑγιῶς τὸ τοιοῦτο παραλήψεται, οὗ πίστιν ὀφείλει ἐξ ἄλλων πτώσεων παραθέσθαι. προείπομεν δέ, ὅτι κατὰ χρῆσιν τῶν Ἑλλήνων, οὐχὶ καθ᾽ ὑπόστασιν λέγομεν ἅπαντα. ἀλλ᾽ οὐδὲ ὁμολογούμενον τὸ Ζαῆνα. φυλακτέον δὲ ὡς πολλοὶ ἐν τῇ συνηθείᾳ διὰ τοῦ ω λέγουσι τὸ δοθιών, συναποφερόμενοι τῷ Κνακιών καὶ Ἀσιών καὶ ἀνθεστηριών καὶ τοῖς τοιούτοις.

Πυρά. τὰ εἰς ρα λήγοντα θηλυκὰ μονογενῆ τῷ ῡ παραληγόμενα ἢ τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ὡς τὸ ἄγκυρα, ὄλυρα, Κέρκυρα, γόργυρα, ἢ παροξύνεται, ὡς τὸ Ἐφύρα, πορφύρα, κολλύρα, Ζεφύρα, λύρα, θύρα, ἢ προπερισπᾶται, ὡς τὸ σφῦρα, οὐδ᾽ ὅτι οὖν ἐστιν ὀξυνόμενον. σημειῶδες ἄρα τὸ πυρά. τὸ δὲ

---

l. 3 in Odysseae loco nunc editum esse φήνῃ εἰδομένη monuit Dind., l. 4 σμήνη cod., Ls. emendavit ob similem Theognosti locum p. 113, ubi μήνη ἡ σελήνη. l. 5 δοθειήν cod., item ll. 13, 15, 17, corr. Dind. l. 7 πηρὴν — υἱός cod., corr. Lud. Dind. ad fragm. XCI Hesiodi. l. 8 στελήν ignotum est cf. Lob. Parall. 192. οὗτος cod., em. Dind. ἐσπήν, l. 10 μυρμυδόνων cod., em. Bl. l. 11 ἰχθῦς cod., om. Ls. l. 15 ὅδ᾽ ἀπ᾽ αἰγιύνης οὐ χωρεῖ cod., em. Dind. l. 17 ὥσπερ πέπονθε δοθειῆνος cod., em. Lud. Dind. l. 18 locum corruptissimum egregio sanavit Lehrsius ad h. l. et in quaest. ep. 155 not. Ζάην cod., Ls. scripsit Ζαήν, οὗ inseruit. l. 20 verba Homerica in cod. sic scripta sunt ὦρσε δ᾽ ἐπὶ Ζάην ἄνεμον. l. 21 ἕπεται cod., Ls. scr. εἴσεται, ante πίστιν inseruit οὗ. l. 22 ante κατὰ χρῆσιν inseruit ὅτι. l. 23 pro λεγόμενον πάντα scripsit λέγομεν ἅπαντα et tum, ne alterum argumentum, quod excidisse indicant verba πρῶτον μέν, desideraretur, addidit ἀλλ᾽ οὐδὲ ὁμολογούμενον τὸ Ζαῆνα. l. 29 κόρκυρα cod., γόργυρα Lob. Proll. 274 not. 48.

Γυρῇςίν μιν πρῶτα Ποςειδάων ἐπέλαςςε,
πέτρῃςι μεγάλῃςι (δ 500)

εἰ καὶ ἰδίως λέγεται, ἀλλ' ὅμως ἔχει τάξιν ἐπιθετικήν. λέγεται δὲ καὶ 18 περὶ τούτων μοι πάντων ἐν τοῖς περὶ καθολικῆς προςῳδίας.

Ἐρῳδιός. τὰ διὰ τοῦ διος ὀνόματα πάντα προπαροξύνονται, χωρὶς εἰ μὴ τριβράχεα εἴη ἐπὶ κυρίων, ὥςπερ ἔχει τὸ Cχεδίος,

Cχεδίον δ' ἕλε Λήϊτος ἥρως,

καὶ

Κάρηςός τε Ῥοδίος τε (Μ 20).

προπαροξύνονται οὖν ταῦτα· ἀΐδιος, μαψίδιος, φωρίδιος, ἐπιμαςτίδιος, ῥηΐδιος, θνητάδιος, κρυπτάδιος, παυρίδιος, Μυςάδιος, διχθάδιος, ὑρράδιος, Μολπάδιος, Ὑςςάδιος, μινυνθάδιος, καὶ ἄλλο μυρίον πλῆθος. διὸ σημειωτέον ἐρῳδιὸς ὀξυνόμενον, ὅπερ ἔχει πρὸς τὸ ω καὶ τὸ ι γραφόμενον. λέγεται δὲ ἔςθ' ὅτε καὶ τριςυλλάβως, ὥςπερ καὶ τὸ παρ' Ἱππώνακτι (fr. 63 Bergk)

ἐγὼ δὲ δεξιῷ παρ' Ἀρήτην
κνεφαῖος ἐλθὼν ῥωδιῷ κατηυλίςθην.

τὴν δὲ λύςιν τούτων ἐν τῷ πέμπτῳ περὶ καθολικῆς προςῳδίας ἐποιηςάμην.

Μηχανή. τὰ διὰ τοῦ ανη ἐκφερόμενα θηλυκὰ μονογενῆ ὑπὲρ δύο ςυλλαβὰς πάντα βαρύνεται, πτιςάνη, δρεπάνη, ςαργάνη, βρυκάνη, τρυπάνη· ἀλλὰ μόνον τὸ μηχανὴ ςημειοῦται ὀξυνόμενον. προςέθηκα ὑπὲρ δύο ςυλλαβὰς διὰ τὸ φανή παρ' Ἡςιόδῳ ἐν δευτέρῳ εἰρημένον·

οἳ πρόςθε φανὴν ἔντοςθεν ἔκευθον.

τὸ γὰρ παρὰ Κορίννῃ βανά οὐ κοινὸν οὐδὲ εἰς νη λῆγον, ἀλλὰ ἴδιον θέμα Βοιωτῶν ταςςόμενον ἀντὶ τοῦ γυνή.

Εἷς. οὐδὲν ἀρςενικὸν εἰς εις λῆγον περιςπᾶται, ἀλλὰ μόνον τὸ εἷς. ἀναλογώτερον ἄρα ἕνεκα τόνου τὸ ἔεις βαρυνόμενον,

ὀφθαλμὸς δὲ ἔεις μέςςῳ ἐνέκειτο μετώπῳ.

---

l. 1 πυρῇςι μιν cod. l. 6 ἢ post εἴη om. Ls. l. 7 ἐλελήϊςτος cod., Dindorf. monuit Herodianum confudisse Ζ 35 Φύλακον δ' ἕλε Λήϊτος ἥρως et Ο 515 ἔνθ' Ἕκτωρ μὲν ἕλε Cχεδίον. l. 9 κάρης ὅςτ' ἐρωδιός τε cod., corr. Bl. l. 11 θνητάδιος, quod hoc uno loco legitur, pro ἠθάδιος obrepsisse suspicatur Lob. Proll. 352, idem Parall. 77 Μυςάδιος pro μουςάδιος emendavit collato Steph. Byz. s. Μυςία. cod. μιχθάδιος, διχθάδιος Lob. Proll. 351, qui tuetur Μολπάδιος ut proprium, Ὑςςάδιος ut gentis nomen, quo dicti sint accolae Hyssi (Arrian. Peripl. Euxin. p. 115 [p. 9]), nisi forte Ὀςςάδιος ex Arrian. Alex. VI 15, 3 substituendum sit. De ὑρράδιος praeter Lobeck. cf. Ahrens de dial. p. 157. l. 13 ἐρωδιός hic ut supra 5 et infra 17 ῥωδιῷ cod. sine ι, quod subscripsit Ls. l. 16 παρὰ ῥητὴρ cod., Schneidewin. παρ' Ἀρήτην. l. 17 κναιφέως cod., Bl. κνεφαῖος ex E. M. 380, 40. l. 21 βρυκάνη, cum quo Dind. in thes. contulit Hesychii βρυχάνᾳ cάλπιγγι καμπύλῃ, retinuit Ls. Lobeckio Proll. 176 not. 4 aut ῥυκάνη aut βυκάνη scribendum censente. l. 23 ἐν δευτέρῳ intellegendum esse καταλόγῳ vel καταλόγων monuit Ls. cf. Lud. Dind. fr. XCII. l. 24 οἱ cod., οἳ Ls. l. 24 et 25 ἐκεύθοντο γὰρ παρὰ Κορίννην βάνδου κοινόν cod., correxit Bloch., praeterquam quod βάνα scripsit, cui Lud. Dindorfius conciunnis Lehrsio βανά substituendum censuit. l. 25 ἀλλ' ἀΐδιον θέμεν cod., corr. Bl. l. 28 ἔεις cod., em. Ls. item in versu sequente. l. 29 ὀφθαλμὸς δὲ ἔεις ἐν μέςῳ ἔκειτο μετώπῳ cod. qui videtur versus Hesiodi theog. 143 ubi nunc editum μοῦνος δ' ὀφθαλμὸς μέςςῳ

προσέθηκα δὲ ἕνεκα τόνου, ἐπεὶ οὐχ ὑγιαίνει ἐν τῇ πρὸ τέλους συλλαβῇ. οὐδὲν γάρ ἐστιν ὅμοιον τῷ ἠχέεις καὶ βρωμέεις.

19 Τίς. οὐδὲν εἰς ις λῆγον συνεσταλμένον μονοσυλλαβεῖ, πάντα δὲ ἐκτείνεται, ὡς τὸ λίς, κίς, ῥίς, ἴς, ἔνθεν καὶ ἡ ἰνός γενική. σημειῶδες ἄρα τὸ τίς συστέλλον τὸ ῐ. τὸ Ἶς ἐπὶ ποταμοῦ κείμενον παρ' Ἡροδότῳ (I 179) ἐκτεινόμενον ἔχει τὸ ῑ. οὕτω καὶ Σκύμνος ἐν τῷ ι' τῆς Ἀσίας περίπλῳ παρέθετο «Ἔχεται Κελένδερις πόλις Σαμίων, καὶ ἱερὸν παρὰ τῇ πόλει Ἥρης καὶ ἄλσος· Ἶς ποταμὸς παρὰ θάλασσαν ἔξεισιν». ἔστιν Ἶς τῆς Ἰταλίας, ὡς Πάρθαξ ἐν τῷ β' τῶν Ἰταλικῶν· «ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Ποσειδωνίαν ὁ Ἡρακλῆς. ἔστι δὲ ποταμὸς Ἶς καλούμενος μέγας». εἰ δέ τινες συστέλλουσι τὸ ῑ εἰς ἀποφυγὴν τούτου

οὐ γὰρ ἐμοὶ ἴς
ἔσθ' οἵη πάρος ἔσκεν (Λ 668) —

πταίουσι καὶ περὶ τὸν λόγον καὶ περὶ τὴν ἱστορίαν.

Τὰ πύσματα ὀνοματικὰ ὄντα εἰς ος θέλει καταλήγειν, ποῖος, πόσος, πηλίκος, ποδαπός, πόστος· τὸ δὲ τίς οὐ παρεδέξατο τὴν εἰς ος κατάληξιν.

Ἀπαιτεῖ τὰ πύσματα κατὰ τὴν εὐθεῖαν πτῶσιν τὸ π, ἀλλὰ καὶ ἐν τοῖς ἐπιρρήμασιν ἡ αὐτὴ ἀρχή, πόσως, ποίως, ποδαπῶς, ποῦ, πῶς, πηλίκως, πῇ, πόθεν, πόσε, πόθι, πῆμος· μόνον δὲ τὸ τίς ἀπὸ τοῦ τ ἤρξατο. πρόσκειται δὲ κατ' εὐθεῖαν πτῶσιν ἵν' ἐκφύγωμεν τὸ κατὰ γενικὴν τοῦ λεγόμενον ἢ τέο ἢ τεῦ.

Ὀλίγος. οὐδὲν εἰς γος ὑπὲρ δύο συλλαβὰς τῷ ῑ παραλήγεται καὶ παροξύνεται, ἀλλὰ μόνον τὸ ὀλίγος. μή τι οὖν Ταραντῖνοι χωρὶς τοῦ γ προφερόμενοι τὴν λέξιν ἀναλογώτερον ἀποφαίνονται, ὥσπερ Ῥίνθων ἐν δούλῳ Μελεάγρῳ

ὀλίοισιν ὑμῶν ἐμπέφυκ' εὐψυχία,

καὶ ἐν Ἰοβάτῃ

χρῄζω γὰρ ὀλίον μισθὸν αὐτὸς λαμβάνειν.

πολλὰ γάρ ἐστιν εἰς ος λήγοντα καθαρῷ τῷ ῑ παραληγόμενα καὶ παροξυνόμενα, ὡς τὸ πλησίος, ἀντίος, νυμφίος ἐπὶ διαφόρου σημαινομέ-

---

ἐπέκειτο vel ἐνέκειτο μετώπῳ; alii Herodiannm confudisse v. 143 cum v. 145 κυκλοτερὴς ὀφθαλμὸς ἔεις ἐνέκειτο μετώπῳ pntant. Lehrsius qui hoc praeeunte Dindorf. admonuit, adnotat Theognostum 134, 15 ex Herodiano περὶ μονοσυλλάβων hunc versum sic citare: ὀφθαλμὸς ἔεις ἐπέκειτο μετώπῳ. l. 1 ἐν τῷ cod., corr. Dind. l. 2 ἀχέεις cod., ἠχέεις Ls. l. 3 εἰς τις cod., Ls. em. l. 4 ἶνος cod., em. Dind. l. 5 cod. τίς, Dind. τό τ' Ἶς indicato Herodoti loco, Ls. τ' omisit. l. 7 cod. εὑρέθη, Ls. παρέθετο. κέλενδε ῥὶς cod., corr. Bl. l. 8 νήρης cod., corr. Bl. l. 10 Ποσειδονίαν cod., em. Ls. εἶς cod., em. Dind. l. 13 Homeri versum significari indicavit Dind., cod. hahet ἴσχοι ἤ. l. 18 κατὰ et paullo post τὸ π inseruit Ls. l. 20 πῆ in cod. sine ῑ, quod subscripsit Ls. l. 22 cod. τὸ ῡ et bis ἠ, em. Ls. l. 23 εἰς ος cod., εἰς γος Loh. Proll. 305. l. 24 μητ' οὖν cod., μή τι οὖν Ls. collato Herodiano ap. St. B. s. Ἀγβάτανα· μή τι ἄρα παρακινδυνεύει, Dind. μήποτε. Ταραντινοὶ cod., corr. Dind. l. 27 λιοίοισιν cod., corr. Dind. l. 28 εὐνιοβάται cod., Dind. «ἐν Ἰοβάτῃ Hermannus. Iobates fuit Sophoclis fabnla. Hanc igitnr more suo imitatus videtur Rhintho». l. 29 ὄλιον cod., corr. Dind. l. 30 ἐστι cod.. ἐστιν Ls.

νου, μυρίος, καὶ τοῦτο ὁμοίως· οὔ γε μὴν ἐστί τι εἰς γος λῆγον παραληγόμενον τῷ ῑ ὑπὲρ δύο ϲυλλαβὰς ὑπάρχον καὶ προπαροξυνόμενον. Πλάτων μέντοι ἐν Ὑπερβόλῳ διέπαιξε τὴν ἄνευ τοῦ γ̄ χρῆσιν ὡς βάρβαρον, λέγων οὕτως·

ὁ δ' οὐ γὰρ ἠττίκιζεν, ὦ Μοῖραι φίλαι,
ἀλλ' ὁπότε μὲν χρείη διῃτώμην λέγειν,
ἔφασκε δητώμην, ὁπότε δ' εἰπεῖν δέοι
ὀλίγον ὀλίον.

Καρκίνος. οὐδὲν εἰς νος λῆγον ὑπὲρ δύο ϲυλλαβὰς τῷ ῑ ϲυνεσταλμένῳ παραληγόμενον παροξύνεται, ἀλλ' ἤτοι προπαροξύνεται ὡς τὸ δρύϊνος, λίθινος, φήγινος καὶ ὅσα ἐστὶ τούτοις ἐμφερῆ, ἢ ὀξύνεται, ὡς τὸ ἐαρινός, θερινός, πυκινός, οὐδὲν δέ ἐστι παροξυνόμενον. διὸ ἐπιστατέον τὸ καρκίνος. καὶ μόνον γὰρ παροξύνεται καὶ ὁ αὐτὸς τόνος καὶ ἐπὶ τοῦ ζῳδίου τοῦ ἐν οὐρανῷ ὁμοίως καὶ τοῦ θαλασσίου ἢ ἐπιγείου καὶ τοῦ κυρίου καὶ τοῦ ἐργαλείου· οὐ γὰρ ὑγιῶς τινες τοῦτο προπαροξύνουσι. περὶ δὲ τούτου ἐντελῶς εἴρηται ἐν τοῖς περὶ καθολικῆς προσῳδίας.

Πηλίκος. τὰ εἰς κος λήγοντα καθαρὰ ὑπὲρ δύο ϲυλλαβάς, ὁπότε τῷ ῑ παραλήγει ϲυνεσταλμένῳ, ἤτοι προπαροξύνεται, ἀνθέρικος, Κύζικος, Ὤρικος, Ἀσφόδικος, ἢ ὀξύνεται, ὡς τὸ κλωπικός, Τρωϊκός, οὐδὲν δὲ ὁτιοῦν παροξυνόμενόν ἐστιν. ἐπιστατέον τῷ πηλίκος παροξυνομένῳ. τούτῳ δὲ ἀκόλουθον καὶ τὸ ἡλίκος, τηλίκος παρὰ ποιηταῖς, καὶ ὁπηλίκος· μία γὰρ αὐτῶν ἡ ϲυζυγία ἐστὶ καὶ ὁ αὐτὸς τόνος τοῖς πυσματικοῖς καὶ τοῖς ἀνταποδοτικοῖς τοῖς ὑπὲρ μίαν ϲυλλαβήν. τὰ εἰς σκος λήγοντα ὑπὲρ δύο ϲυλλαβάς, εἰ παραλήγοιτο τῷ ῑ καὶ παροξύνοιτο, πρὸ τοῦ κ̄ τὸ σ̄ ἔχει, ἀστερίσκος, ὀβελίσκος, πανίσκος, Κωραλίσκος. ἐρχὴν οὖν

—

l. 1 οἵ γε μήν, ἐστὶ τὸ cod., em. Ls. l. 5 ὁδοῦ γὰρ ἤπτη κιζεῦν cod., em. Bl.; pro Μοῖραι suspicabatur Meinek. (fr. com. p. 386 ed. min.) Μοῦσαι, quoniam ubi de elegantia in dicendo ageretur Musarum quam Parcarum aptior videretur esse antestatio. l. 6 δυωμὴν cod., em. Bl. l. 7 δὴ τῷ μὴν cod., Dind. em. l. 8 ὀλίγον, ἔλεγεν cod., ὀλίγον ὀλίον, ἔλεγεν Bloch. et Mein., Ls. ὀλίγον ὀλίον. l. 9 ϲυνεσταλμένον cod., corr. Bl. l. 11 φήϊνος cod., corr. Bl. l. 13 ἐπιστατέον τὸ καρκίνος cod., quod retinuimus propter exempla a Lehrsio, qui ipse τῷ scripsit, proposita Theogn. 53, 10; 28, 8 et St. B. s. Αὐλαί: ἐπιστατέον τὸ Καρνίτης ἀπὸ τῆς Κάρνης, ad quem l. Meinekius interpretatur vocabulum per σημειωτέον. l. 14 τοῦ θαλασσίου καὶ τοῦ κυρίου ἐπιγείου cod., Ls. ἐπιγείου transposuit. l. 20 cod. τὸ ᾠδικός, Ls. consultis Theogn. 60, 6 et iis, quae de Theognosti et hoc loco Herodiani Lobeckius disputavit in Proll. 324 seqq. substituit Ὤρικος; idem pro ἀσφοδελικός posuit Ἀσφόδικος nomen herois Thebani (Pausan. IX 18, 4), quod ap. Theogn. Ἀσφάδικος (falso accentu Ἀσφαδικός) scriptum est; particulam ἢ ante ὀξύνεται inseruit Ls., quem defectum neglegens Lobeckius reponere voluit pro τὸ ᾠδικός, ἀσφοδελικὸς ex Hesychio ἑλικὸς ὁ ἀσφόδελος. πελωπικός cod., Dindorf. voluit Πελοπικός, Lehrsius κλωπικός scripsit, proximo πελασγικὸς a πελωπικὸς abesse neque tamen verisimile esse alterum quoque adiectivum a regione ductum fuisse pronuntians et etiam ὡς τὸ ᾠδικός, Πελασγικός, Τρωϊκὸς scribi posse concedens. l. 21 ἐστι cod., Ls. ἐστιν. l. 22 τὸ ἡλίκος, τηλίκος, πηλίκος παρὰ Δωριεῦσι καὶ ὁπηλίκος cod., Lehrsius τὸ ἡλίκος τηλίκος παρὰ ποιηταῖς καὶ ὁπηλίκος scripsit. l. 26 cod. μανίσκος, Bl. μηνίσκος, Ls. πανίσκος; cod. κωρακίσκος, Dind. antea

τὸ πηλίκος, εἰ παροξύνοιτο, πρὸ τοῦ κ̄ τὸ c̄ ἔχειν, ὡς τὸ ἀςτερίςκος, ἢ μὴ παροξύνεςθαι. πάντων δὲ λύςεις δίδωμι ἐν τῷ περὶ καθολικῆς προςῳδίας.

Κοῖλος. οὐδὲν εἰς λος λῆγον δισύλλαβον βαρύτονον τῇ οι̅ διφθόγγῳ
21 παραληγόμενον, ὅτι μὴ μόνον τὸ κοῖλος. ἀνάλογον οὖν ἐςτι τριςυλλαβοῦν καὶ λεγόμενον κόϊλος. μεμίμηται γὰρ τὸ αἴγιλος, μύτιλος, πύτιλος, νύκτιλος (?).

Ἑταῖρος. οὐδὲν εἰς ρος λῆγον ὑπὲρ δύο ςυλλαβὰς ἁπλοῦν προπεριςπᾶται, ἀλλὰ μόνον τὸ ἑταῖρος. ἴςως οὖν ἀναλογώτερον τὸ «ἑτάρους τε» χωρὶς τοῦ ῑ λεγόμενον. πολλὰ γάρ ἐςτι τοιαῦτα, μάρμαρος, βάρβαρος, τάλαρος, κύλλαρος, φλύαρος· τούτου δέ τινες ἐκτείνουςι τὸ ᾱ, καὶ μάλιςτα παρ' Ἀττικοῖς. ἔςτι μέντοι τινὰ προπαροξυνόμενα ἔχοντα τὴν αι̅ δίφθογγον, ἅπερ ςύνθετά ἐςτιν ἢ κύρια, ἄκαιρος, εὔκαιρος, Πάλαιρος· ἔςτι δὲ χωρίον τῆς Ἀκαρνανίας· μέμνηται καὶ Ἐπίχαρμος ἐν Ἐλπίδι ἢ Πλούτῳ

οὔτ' ὧν Πάλαιρος οὔτε βοιαυτοῦ (†).

Ὕςτερος· τὰ εἰς τερος ςυγκριτικά, εἰ ἔχει πρὸ τῆς τερος παραγωγῆς τὸ ῡ, οὔτε τριςυλλαβεῖν θέλει οὔτε ἔχειν προηγούμενον τοῦ τ̄ τὸ c̄. ἀπὸ γὰρ τῶν εἰς υc̄ ὀνομάτων θέλει παράγεςθαι, ταχύτερος, πλατύτερος, βραχύτερος, ἡδύτερος. cημειῶδες ἄρα τὸ ὕςτερος, μήτε ἀπὸ τῶν εἰς υc̄ ληγόντων παραχθὲν τριςύλλαβόν τε ὑπάρχον καὶ ἔχον τὸ c̄ προηγούμενον τοῦ τερος. ἀλλ' ἴςως αἴτιον τὸ πάθος, ὡς δείκνυται ἐν ἑτέροις, ἔνθα καὶ περὶ τοῦ «κύντερον ἄλλο γυναικός» (λ 427), εἰ καὶ ἔςτι ςυγκριτικόν· τό τε ἰθύντερος ὑπὲρ τρεῖς ἐςτι ςυλλαβάς, ῥήματι παρακείμενον τῷ ἰθύνω. τὸ δὲ ἐπαςςύτερον

κορακίςκος, nunc in thes. cum Th. Bergkio Rell. com. Att. 431 Κωραλίςκος, quod Ls. recepit. l. 6 cod. μέμνηται γὰρ τὸ αἰγιαλός, μυττιλός, πυτιλός, νυκτιλός. Lobeck. Proll. 114 emendavit, αἴγιλος et μύτιλος servavit etiam Arcadius p. 55 πύτιλος Hesych., atque cur horum accentus a norma declinaverit, ex Arcadio coniectari potest, sed cur Νύκτιλος, quod Lobeck. ex Calpurn. VI 1 confirmat, non eundem accentum habeat, quem Τρωΐλος, Πενθίλος, non liquet. l. 9 ὅςως cod., em. Dind. ἑτάρος τε cod., formulam Homericam restituit Dind. l. 11 de κύλλαρος cf. Lob. Proll. 255, posse etiam Κύλλαρος scribi (ἵππος Κάςτορος E. M.) monet Ls. l. 13 ἀπέραντά ἐςτιν, ἄκαιρος cod., Lobeck. pro ἀπέραντα corrigere voluit Proll. 258 ἀπαράθετα δὲ hoc est incomparabilia, quia aut syntheta aut locorum hominumque propria. Ls. ἅπερ cπάνιά ἐςτι ςύνθετα ἢ κύρια, equidem quum cπάνια non necessarium sit propter praegressum τινά, scripsi ἅπερ ςύνθετά ἐςτιν ἢ κύρια. l. 13 εὐπάλαιρος cod., correxit praeter Cram. Mus. Cant. p. 637 etiam Ahrens de dial. Dor. p. 439 not. 22. l. 14 idem pro ἀκαρίας Ἀκαρνανίας. Ἐπίχαρμος ὡς ἐν ἐλπίδι πλούτῳ cod., em. Dind. l. 16 cod. οὔτουν Παλαιρὸς οὔτε βοιαυτοῦ. cod., οὔτ' ὧν Ahrens l. c., qui pro βοιαυτοῦ scribendum suspicatur Βοιωτοῦ πέδον. Locum desperatum cum Lehrsio cruce significavi. l. 19 τὸ ὄνομα cod., em. Ls. l. 20 μήποτε cod., em. Ls. l. 21 ἔχον τὸ ῡ cod., em. Ls. l. 23 οὐκ ἔςτι ςυγκριτικὸν cod., em. Ls. nolens scribere ὅτι οὐκ ἔςτι, quia Philoxenum quidem constet talia non pro comparativis habuisse, Herodianum vero eo non inclinasse, ita ut sumendum sit eum quum et ipse formam prorsus singularem haberet, quaesivisse an omnino esset comparativus.

ὡϲ τότ' ἐπαϲϲύτεραι Δαναῶν (Δ 427)

οὐκ ἔχει φυϲικὸν τὸ $\bar{υ}$, ἐκ δὲ τοῦ ἀϲϲοτέρου ἐτράπη,

ἀϲϲοτέρῳ καθίϲαϲα παραὶ πυρί (ρ 572).

Ἀνήρ. οὐδὲν εἰϲ $\overline{ηρ}$ λῆγον ὀξυνόμενον ἔχει τὸ $\bar{ν}$ πρὸ τοῦ $\bar{η}$, ἀλλὰ μόνον τὸ ἀνήρ. τὸ δ' αἴτιον πρόδηλον. προϲέθηκα δὲ ὀξυνόμενον διὰ τὸ ϲύνηθεϲ (†) βαρυνόμενον κύριον καὶ δηλοῦν ποταμὸν ἐν Cικελίᾳ.

Ὀδούϲ. τὰ εἰϲ $\overline{δουϲ}$ λήγοντα ὀνόματα ἁπλᾶ περιϲπᾶται, ὑϊδοῦϲ, θυγατριδοῦϲ, τηθαλλαδοῦϲ· ἀλλὰ μόνον τὸ ὀδούϲ ὀξυνόμενον ὁμοίωϲ ταῖϲ μετοχαῖϲ καὶ κλίϲιν μετοχῶν ἀνεδέξατο· ὀδόντοϲ γὰρ ὡϲ διδόντοϲ. 22 λέγεται δὲ καὶ ὀδὼν πρὸϲ Ἰώνων.

Ὕψοϲ. οὐδεμία λέξιϲ ἀρχομένη ἀπὸ τοῦ $\bar{υ}$ ἔχει ἐπιφερόμενον διπλοῦν, ἀλλὰ μόνον τὸ ὕψοϲ καὶ τὰ παρ' αὐτοῦ γεγονότα. αἴτιον δὲ τὸ πάθοϲ. Αἰολεῖϲ δ' ἴψοϲ λέγουϲιν αὐτὸ οἰκειότερον. ἔϲτι γὰρ εὑρέϲθαι τὸ $\bar{ι}$ πρὸ διπλοῦ, ἵζω, ἰξόϲ,

μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν (Α 454).

Περὶ μονήρουϲ λέξεωϲ τῆϲ ἐν ῥήμαϲι καὶ ἐπιρρήμαϲι.

Ἄγω. οὐδὲν εἰϲ $\overline{γω}$ ὁριϲτικὸν καθαρὸν διϲύλλαβον βαρύνεται καὶ πρὸ τέλουϲ ἔχει δίχρονον ϲυνεϲταλμένον κατὰ χρῆϲιν Ἑλλήνων, τὰ δὲ ὄντα περιϲπᾶται, τραγῶ, ϲτυγῶ, ϲφριγῶ. ϲημειῶδεϲ ἄρα τὸ ἄγω βαρυνόμενον οὐχ ὑγιῶϲ. ἔϲτι γὰρ καὶ περιϲπώμενον ἐπὶ δευτέραϲ ϲυζυγίαϲ,

εὖτ' ἂν τόδ' ἀγᾷ χρέοϲ ἀνδρόϲ.

πρόϲκειται καθαρὸν διὰ τὸ μίϲγω, ϲυϲτελλόμενον δίχρονον διὰ τὸ πνίγω, κατὰ χρῆϲιν δὲ λεγόμενον Ἑλλήνων διὰ τὸ θίγω. τοῦ γὰρ θίξω ἔϲται τὸ θέμα τοῦτο, ἀλλ' οὐ λέγεται, λέγεται δὲ ὑποτακτικῶϲ κατὰ τὸν ἀόριϲτον χρόνον ἐὰν θίγω· διὸ προϲεθήκαμεν ὁριϲτικόν.

Μίϲγω. οὐδὲν ῥῆμα διϲύλλαβον βαρύτονον, ἔχον πρὸ τοῦ $\bar{ω}$ ἕν τι τῶν μέϲων, κατ' ἐπιπλοκὴν ἔχει τὸ $\bar{ϲ}$· ὁ δὲ λόγοϲ ἐπὶ τῆϲ ἡμετέραϲ

---

l. 1 ὡϲ τότ' ἐπαϲϲύτερα cod., corr. Dind. l. 4 τῶν post οὐδὲν delevit Bl. l. 6 signum corruptelae posui cum Lehrsio. l. 8 υἰδοῦϲ cod., υἱιδοῦϲ antea Dind. et Ls., ὑϊδοῦϲ nunc Dind. quem secutus sum. l. 10 τό ante ὀδόντοϲ delevit Ls. l. 11 ὀδῶν cod., em. Ls. l. 14 δίψοϲ cod., Ls. compluribus praeeuntibus δ' ἴψοϲ. l. 16 cod. μετὰ et ἀχαιόν. l. 19 ἄγω supplevit Blochius. l. 23 cod. εὖτ' ἂν τῇδ' ἄγε χρέοϲ ἄνδραϲ. Ls. emendavit collatis Ep. Cr. I 55, ubi τό ἀγάζω παρὰ τό ἀγῶ· ἔϲτιν δὲ παρ' Ἀλκμᾶνι (?) «αὐτὸν (?) ἀγᾷ», ἀφ' οὗ καὶ ἄγημι καὶ ἄγαμαι, locum potius Callimachi esse ratus propter significatum vocis χρέοϲ i. q. χρῆμα. l. 26 τοῦτο ἄλλου. λέγεται cod., em. Bl. κατὰ τὸν ὁριϲτικὸν cod., em. Ls. l. 28 verba μίϲγω· οὐδὲν ῥῆμα διϲύλλαβον βηρύτονον, quae desunt in cod., in quo uno tenore διὸ προϲεθήκαμεν ὁριϲτικόν ἔχον πρὸ τοῦ $\bar{ω}$, supplevit Bl.; Nanckio ὁριϲτικόν addendum videtur, ut librarius ab uno ὁριϲτικόν ad alterum aberraverit.

διαλέκτου· φέρβω, τρίβω, λείβω, ἥδω, ἕδω, τέγγω, στέργω. μονῆρες ἄρα τὸ μίcγω κατ' ἐπιπλοκὴν ἔχον τὸ c̄.

Ἐλαύνω. οὐδὲν εἰc ν̄ω̄ λῆγον ῥῆμα ὁριcτικὸν βαρύτονον τῇ ᾱῡ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐλαύνω παρὰ τὸ ἔλω βαρύτονον παρ' ἐνίοιc, ὃ καὶ παρ' ἄλλοιc περιcπᾶται.

Παίζω. οὐδὲν εἰc ζ̄ω̄ λῆγον ῥῆμα ἔχει πρὸ τέλουc τὴν ᾱῑ δίφθογγον ἐκφωνουμένην, ἀλλὰ μόνον τὸ παίζω.

Κράζω. τὰ εἰc ζ̄ω̄ λήγοντα ῥήματα ὁριcτικά, εἰ ἔχοι πρὸ τέλουc
23 μόνον τὸ ᾰ, ἔχει αὐτὸ cυνεcταλμένον, ὑπεcταλμένης τῆc Αἰολίδοc διαλέκτου· οἷον cφάζω, cτάζω, λάζω, χάζω, εὐάζω, ἐκκληcιάζω, cκεπάζω, ἀνιάζω, ἀγοράζω· τοῦτο ἐπὶ ἑτέρου cημαινομένου θέλουcιν ἐπιτείνειν, ὥcπερ καὶ τοπάζω (?). ἀλλ' οὖν γε ταῦτα Ἀττικά ἐcτι. cημειῶδεc οὖν τὸ cύνηθεc πᾶcι τὸ κράζω ἔχον ἐκτεινόμενον τὸ ᾱ, εἰ μὴ ἄρα τῷ κρώζω ἰcοχρονῆcαι ἠθέληcαν αὐτό. πρόcκειται μόνον τὸ ᾰ διὰ τὸ cφαδάζω, τεράζω, ματάζω, πρὸc τὸ ᾱ τὸ ῑ γραφόμενον ἔχοντα. παρῃτηcάμεθα δὲ Αἰολίδα διάλεκτον διὰ τὸ πτάζω,

ἔπταζον ὥcτ' ὄρνιθεc ὤκυν
αἴετον ἐξαπίναc φάνεντα.

ἐκ δὲ τοῦ κοινοῦ ἦν τοῦ ἔπτηccον. τὸ δὲ αὐτὸ ἐπὶ τοῦ πλάζω·

τὸν δ' ἐπιπλάζοντ' ἄνεμοι φέροιεν
καὶ μελέδωνα,

ἀντὶ τοῦ ἐπιπλήccοντα.

Δίδωμι. οὐδὲν τῶν εἰc μ̄ῑ ληγόντων ῥημάτων τῆc τρίτηc cυζυγίαc κατὰ χρῆcίν ἐcτιν Ἑλλήνων ἐπὶ ἐνεcτῶτοc χρόνου, ἀλλὰ μόνον τὸ δίδωμι. νῦν γὰρ τοὺc Αἰολεῖc παραιτούμεθα.

Εἰμί. οὐδὲν εἰc μ̄ῑ λῆγον ὁριcτικὸν ῥῆμα κατὰ τὴν ἡμετέραν διάλεκτον διφθόγγῳ παραλήγεται, ἀλλά μόνον τὸ εἰμί, ὃ cημαίνει τὸ

l. 4 παρὰ τὸ ἔλω post ἐλαύνω et ὃ post παρ' ἐνίοιc inseruit Ls. l. 12 ὥcπερ τὸ πλάζω cod., quod aperto corruptum neque certo restituendum est. Lehrsio in mentem venit τοπάζω: cuius inter significationes, inquit, cum Hesychius ponat etiam ἱδρύω, fortasse putes Atticum aliquem poetam, sive serio sive ioco, ita usum, grammaticos aliquos locali significationi in hoc ut in ἀγοράζω longum attribuisse. ταῦτα τὰ Ἀττικὰ cod., articulum om. Ls. l. 13 cod. ἀcύνηθεc, Lob. Rhem. 88 τὸ cύνηθεc. l. 14 τὸ κράζω cod., em. Lob. l. l. ἐπὶ τὸ cod., corr. Bl. l. 15 παραcτηcόμεθα cod., em. Bl. l. 17 cod. ἔπταζον· ὡc τὸ, ὄρνιθεc ὠκὺν αἰετὸν ἐξαπτήναc φανέντα, correxit Bergkius, qui hoc quamvis poetae nomen omissum sit, Alcaeo probabiliter tribui opinatur (fr. 27 p. 711 ed. 2) pariter atque Dind. ad h. l. l. 19 ἐκ δὲ τοῦ κοινοῦ ἦν τὸ, ἔπτηcαν δὲ αὐτὸ, ἐπὶ τοῦ πλάζω cod., ἐκ δὲ τοῦ κοινοῦ ἦν τὸ ἔπτηcαν. τὸ δ' αὐτὸ Dind., ἐκ δὲ τοῦ κοινοῦ ἦν τοῦ ἔπτηccον· τὸ δὲ αὐτὸ Lehrsius. l. 20 cod. τὸν δὲ ἐπιπλάζοντεc ἂν ἐμοὶ φέροιεν καὶ μελεδῶναι, pars fragmenti servata est cum auctoris nomine in E. M. 335, 38 τὰ δύο c̄c̄ εἰc ζ̄ τρέπουcιν Αἰολεῖc· τὸ γὰρ ἐπιπλήccω ἐπιπλάζω. Cαπφώ· τὸν δ' ἐπιπλάζοντ' ἄνεμοι φέροιεν. Lehrsius versus exhibuit, ut a Dindorfio correcti erant recepta Seidleri emendatione μελέδωνα i. e. custodem. Bergkius fr. 18 p. 671 ed. II sic scribendum censuit:

τὸν δ' ἐπιπλάζοντεc ἄμοι φέροιεν
καὶ μελεδώναιc.

si ἐπιπλάζοντα in versu ponitur, pro ἀντὶ τοῦ ἐπιπλήccοντεc codicis scribendum fuit ἐπιπλήccοντα.

ὑπάρχω. οὐκ ἀγνοῶ δὲ ὅτι καὶ τὸ βαρυνόμενον ἡ παράδοϲιϲ διὰ τῆϲ ει διφθόγγου γράφει· οὐχ ὑγιῶϲ μέντοι οὔτε κατὰ τὸ κίνημα αὐτοῦ οὔτε κατὰ τὴν Αἰολίδα διάλεκτον, ὡϲ δέδεικταί μοι ἐν τοῖϲ περὶ ὀρθογραφίαϲ. πρόϲκειται δὲ κατὰ τὴν ἡμετέραν διάλεκτον, ἐπεὶ Αἰολεῖϲ πάλαιμι καὶ γέλαιμί φαϲι καὶ πλάναιμι, Βοιωτοὶ δὲ τάρβειμι καὶ ποίειμι καὶ φίλειμι.

Ἐϲτί. οὐδέποτε ῥῆμα γ΄ προϲώπῳ εἰϲ τι λήγει, λέγω δὲ πρὸ τοῦ τ̄ ἔχον τὸ ϲ̄, οὔτε κατὰ τὰϲ ἄλλαϲ διαλέκτουϲ, οὔτε κατὰ τὴν ϲυνήθειαν, ἀλλὰ μόνον τὸ ἐϲτί.

Ἐϲμέν. τὰ εἰϲ μεν λήγοντα πληθυντικὰ ἀεὶ θέλει καθαρὸν ἔχειν τὸ μ̄, δίδομεν, τίθεμεν, λέγομεν, νοοῦμεν· εἰ μέντοι ϲύμφωνον εὑρεθείη, ϲυγκοπὴ πρὸ αὐτοῦ ὁρᾶται γινομένη, ἴϲαμεν ἴϲμεν, ἴδομεν ἴδμεν, ἐοίκαμεν ἔοιγμεν, δέδοιγμεν, ἐπέπιθμεν· τὸ μέντοι ἐϲμέν οὐχ οὕτωϲ 24 ἔχει. οὐκ ἀγνοῶ δὲ ὅτι καὶ ἐμέν λέγεται,

γρῆέϲ ἐμεν,

καὶ εἰμέν,

ἡμεῖϲ δ' εἰμὲν τοῖοι (Η 231).

Οἶδα. οὐδεὶϲ παρακείμενοϲ διϲύλλαβοϲ κατὰ τὴν ϲυνήθειαν καὶ τὴν παλαιὰν χρῆϲιν ἀπὸ τῆϲ οι διφθόγγου ἄρχεται, ἀλλὰ μόνοϲ ὁ οἶδα. οἱ γὰρ περὶ Ἀλκαῖον ὄϊδα λέγουϲι τριϲυλλάβωϲ. προϲέθηκα δὲ «κατὰ τὴν παλαιὰν χρῆϲιν», ἐπεὶ οὐ παρ' Ἀττικοῖϲ ἐϲτιν ἔϲθ' ὅτε οἶκα λεγόμενον διϲυλλάβωϲ.

Ἔπεϲον. οὐδεὶϲ δεύτεροϲ ἀόριϲτοϲ εἰϲ ον λήγων πρὸ τοῦ ο̄ ἔχει τὸ ϲ̄, ἀλλὰ μόνον τὸ ἔπεϲον. ὁ γὰρ κατέχεϲον παρ' Ἀλκαίῳ τῷ κωμικῷ ἐν Γανυμήδει εἰρημένοϲ οὔτε τῆϲ τῶν ἄλλων Ἑλλήνων χρήϲεώϲ ἐϲτιν οὔτε κατά τινα ἀναλογίαν ἐξενηνεγμένοϲ ἢ μόνον κωμικῶϲ πεποιημένοϲ.

Αἰνῶ. τὰ διὰ τοῦ αινω διϲύλλαβα βαρύτονά ἐϲτι, βαίνω, δραίνω, ῥαίνω, καίνω, κραίνω (?), ϲαίνω, χραίνω, αἴνω τὸ δαϲυνόμενον καὶ βαρυνόμενον τὸ παρὰ τοῖϲ Ἀττικοῖϲ· Φερεκράτηϲ

αἴνειν, πτίϲϲειν.

l. 5 Lob. ad Bottm. p. 71 πάλαιμι, si a παλαίω propagatum esset, unicum esse reliquis a contractis provenientibus, sed facile in χάλαιμι motari posse dicit. l. 13 δέδεγμεν cod., δέδοιγμεν Dind. in thes. οὐχ ante οὕτωϲ addidit Bl. l. 14 ἐϲμέν cod., ἐμέν Dind. l. 15 γρῆεϲ ἔμεν cod., Lehrsius γρῆέϲ ἐμεν; sunt verba Callimachi in Ernestii fragm. 294 p. 541 ex Eustath. 1457, 50. l. 16 καὶ ἡμῖν· ἡμεῖϲ δειμέντοιο cod., correxit Dindorf. indicans esse verba Homeri. l. 21 οὐ ante παρ' Ἀττικοῖϲ inseruit Ls.; ἐϲτιν pro ἐϲτί· scripsit et οἶκα pro ὤϊδα collatis Epim. Hom. 287 πᾶϲ μέϲοϲ παρακείμενοϲ ὑπερβαίνειν θέλει τὴν διϲυλλαβίαν ϲεϲημειωμένων τριῶν, οἶδα — καὶ οἶκα ὃ ϲημαίνει τὸ ὁμοιῶ «οἶκαϲ μὲν ὡραίῳ λίνῳ» παρ' Ἀλκμᾶνι (de quo cogitasse Herodianum probat Ls.), καὶ εἶα, ὅπερ ἐν διαλύϲει ἔϊα καὶ ἐπαυξήϲει «ἤϊα πολλὰ θεοὺϲ γουνούμενοϲ». l. 25 Γανυμέδει cod., corr. Dind. l. 26 ἐϲτι cod., Ls. ἐϲτιν. l. 29 pro κταίνω, quod Heraclides ap. Eustath. 1648, 6 apud Alcaeum legi dicit, Lehrsius proposuit κραίνω, quod recepi. Nam dialecticum verbum ab hoc recensu verborum in αινω alienum iure videtur Lehrsio. l. 31 πτήϲϲειν cod., Lehrsius ab aliis correctum πτίϲϲειν recepit.

ϲεϲημείωται τὸ αἰνῶ περιϲπώμενον. οὐκ ἀγνοῶ δὲ ὅτι καὶ ὄνομα αὐτοῦ προκατῆρξε· διὸ περιεϲπάϲθη.

Δόϲ. τὰ εἰϲ ϲ λήγοντα προϲτακτικὰ μονοϲύλλαβά τέ ἐϲτι καὶ τὸ ε ἔχει, ἕϲ, ἔνθεν τὸ ἄφεϲ, πρόεϲ, θέϲ, ϲπέϲ, φρέϲ,

ἐνθάδ' εἴϲφρεϲ μ' ὡϲ τὸ μειρακύλλιον.

ϲημειῶδεϲ τὸ δόϲ μόνον τὸ οϲ ἔχον. αἰτία δὲ ἡ ϲυζυγία.

Δοῦναι. οὐδὲν εἰϲ ναι λῆγον ἀπαρέμφατον τῇ ου διφθόγγῳ παραλήγεται, ἀλλ' εἰ παραλήγεται διφθόγγῳ, τῇ ει παραλήγεται, εἶναι, εἴτε δαϲυνόμενον ἀορίϲτου χρόνου. ϲημειῶδεϲ ἄρα τὸ δοῦναι. ὅτι γὰρ οὐδέν ἐϲτι τὸ λέγειν δῶναι ὡϲ γνῶναι, βιῶναι, δῆλον μὲν ἐκ τῆϲ χρήϲεωϲ τῆϲ Ὁμηρικῆϲ (Α 134),

κέλεαι δέ με τῆνδ' ἀποδοῦναι,

δῆλον δὲ ἔϲται ἐκ τοῦ κατ' ἀναλογίαν κινήματοϲ ἐν ἑτέροιϲ.

Τὰ τῇ ου διφθόγγῳ παραληγόμενα ἀπαρέμφατα πρὸ τῆϲ αι διφθόγγου τὸ ϲ ἔχει, ἀκοῦϲαι, ὀροῦϲαι, λοῦϲαι. πῶϲ οὖν τὸ δοῦναι ἔχει τὸ ν; τοῦτο γὰρ

ὦ τέκοϲ ἦρ' ἀγαθὸν καὶ ἐναίϲιμα δῶρα διδοῦναι (Ω 425)

ποιητικόν· τινὲϲ δὲ αὐτὸ καὶ διὰ τοῦ ω ἔγραφον.

Περὶ ἐπιρρημάτων.

Ἅπαξ. τὰ εἰϲ αξ λήγοντα ἐπιρρήματα ὀξύνεϲθαι θέλει, ὀκλάξ, ὀδάξ, ἐναλλάξ, εὐράξ, αὐτοδάξ, ἐπιτάξ· ἀλλὰ μόνον τὸ ἅπαξ βαρύνεται. ὅπερ ἐν ϲυντάξει τοῦ ἅπαντεϲ ἢ τοῦ ἁπλῶϲ ἐκκλίνει τὸν τόνον ὡϲεὶ ὀξύνοιτο τὸ ἅπαξ. ἁπαξάπανταϲ γὰρ λέγομεν καὶ ἁπαξάπλῶϲ ἐν τῇ ἀνὰ χεῖρα ὁμιλίᾳ.

Ὧδε. οὐδὲν εἰϲ δε λῆγον ἐπίρρημα διϲύλλαβόν ἐϲτι τῷ ω παραληγόμενον, ἀλλὰ μόνον τὸ ὧδε.

Ἔνδον. οὐδὲν εἰϲ δον λῆγον ἐπίρρημα βαρύνεϲθαι θέλει, πάντα δὲ ὀξύνεται, ὡϲ ἔχει τὸ ϲχεδόν, ταυρηδόν, ἑλκηδόν, παραϲταδόν, παρακλιδόν, «ῥυδὸν ἀφνειοῖο» (ο 426), ἀμφαδόν, ἄφθονοϲ ἡ ἐν ἀκολουθίᾳ παράθεϲίϲ ἐϲτι τῶν ὀξυνομένων. ἀλλὰ μόνον τὸ ἔνδον βαρύνεται. τῆϲ διαλλαγῆϲ ἐν ἑτέροιϲ δίδοται ἡ αἰτία.

Πάρεξ. οὐδὲν εἰϲ εξ ἐπίρρημα βαρυνόμενον ἐκ δύο προθέϲεων

---

l. 4 ἓϲ cod., em. Ls. φρέϲ ϲπέϲ cod., transposuit Ls. cod. ἔνθα ταθεὶϲ φρέϲ μ' ὡϲ, Dindorf. emendavit, Meinekius fr. comic. anon. p. 1222 ed. min. ϲταθείϲ proposuit. l. 9 τοῦ δοῦναι cod., em. Bl. l. 12 τήνδε cod., em. Ls. l. 13 τοῦ ante κατ' addidit Bl. l. 17 ἤ ρ' cod., ἦρ' Ls. δοῦναι cod., Dind. διδοῦναι indicato versu Homeri. l. 21 εὐθράξ cod., em. Bl. ἐπιδάξ cod., em. Bl.
l. 22 τοῦ πάντωϲ cod., em. Ls. l. 23 ἅπαντεϲ cod., Ls. ἁπαξάπαντεϲ hyphen et ἁπαξάπλῶϲ pro ἅπαξ ἁπλῶϲ. l. 28 παϲταδόν cod., Bl. παραϲταδόν. cod. ῥυδόν, ὀμφαδόν, ἀφνειοῖο. Bloch. ἀφνειοῖο traxit ad ῥυδὸν Odysseae locum significari intellegens et ἀμφαδόν scripsit. l. 29 ἄφθονοϲ ἀκόλουθα ἡ παράθεϲιϲ cod., em. Ls.

ϲυνεϲτηκὸϲ, ὅπερ καὶ γενικῇ θέλει ϲυντάττεϲθαι, ἀλλὰ μόνον τὸ πάρεξ. καὶ γὰρ ἡ ϲυνήθεια οὕτωϲ ἔϲθ' ὅτε φηϲὶ «πάρεξ Ἀπολλωνίου». ὃν τρόπον καὶ Ἡρόδοτοϲ ἐν τῇ τετάρτῃ (c. 46) ἔφη «πάρεξ τοῦ Cκυθικοῦ ἔθνεοϲ». παρὰ μέντοι τῷ ποιητῇ ἕτερόν ἐϲτι τὸ ὀξυνόμενον

ἀλλὰ παρὲξ τὴν νῆϲον ἐλαύνετε (μ 276),
παρὲξ περιμήκεα δοῦρα (μ 443).

εἴρηται δὲ περὶ αὐτοῦ ἐν τῇ Ὁμηρικῇ προϲῳδίᾳ (Ι 7).

Ὥϲ, τώϲ. οὐδὲν εἰϲ ωϲ λῆγον ἐπίρρημα ὀξυνόμενον, ὑπεϲταλμένηϲ Δωρίδοϲ διαλέκτου, ἀλλὰ μόνον τὸ ὥϲ, καὶ τώϲ ἀνταποδοτικὸν αὐτοῦ ὑπάρχον. οὐκ ἀγνοῶ μέντοι ὅτι ἐν διαφόρῳ ϲημαινομένῳ καὶ διαφόρῳ ϲυντάξει ἔϲθ' ὅτε περιϲπᾶται.

Ὀψέ. οὐδὲν εἰϲ ψε λῆγον ἐπίρρημα, ἀλλὰ μόνον τὸ ὀψέ, ὅπερ ἐν ϲυνθέϲει φιλεῖ τρέπειν τὸ ε εἰϲ τὸ ι, ὥϲπερ ἐπὶ τοῦ ὀψιμαθήϲ, ὀψίτυχοϲ, ὀψιτέλεϲτον, «ἔκ τε καὶ ὀψὲ τελεῖ» (Δ 161), ὀψίγονοϲ. διὸ καὶ τὸ

δείελοϲ ὀψὲ δύων

παρὰ τῷ ποιητῇ (Φ 233) τό τε

ὀψὲ δύοντα Βοώτην

παρὰ τῷ ποιητῇ (ε 272) καὶ Ἀράτῳ οὐ ϲύνθετον· ἐπεὶ κἂν ἔτρεπε τὸ ε εἰϲ ι. ἤδη μέντοι Αἰολεῖϲ καὶ ἐν ἁπλῇ προφορᾷ διὰ τοῦ ι αὐτὸ ἀποφαίνονται,

ὄψι γὰρ ἄρξατο,

ἴϲωϲ ἀναλογώτερον, ὡϲ δείκνυται ἐν τῷ περὶ ἐπιρρημάτων.

Μᾶλλον. οὐδὲν ὅμοιον τῷ μᾶλλον κατὰ χρόνον. τὸ γὰρ ᾱ, εἰ ἔχοι ἐν ἐπιφορᾷ διπλαϲιαζόμενον τὸ λλ ἐν μιᾷ λέξει, ϲυϲτέλλεϲθαι φιλεῖ, χωρὶϲ εἰ μὴ τροπή τιϲ εἴη τοῦ η εἰϲ α παρὰ διαλέκτῳ. τὸ παράδειγμα πῶϲ ἔχει; ἄλλοϲ, γάλλοϲ, θαλλόϲ, θάλλω, πάλλω, ἅλλομαι, ἀγάλλομαι, καὶ ἄλλο πλῆθοϲ λέξεων τοιούτων ἀδιάπτωτον. ϲημειωτέον ἄρα περὶ χρόνον τὸ μᾶλλον. τὸ γὰρ ὀτράλλιϲ (†) ϲυνεϲταλμένον ἔχει τὸ α. ἐφυλαξάμην δὲ διαλέκτουϲ διὰ τὸ

ἄλλα, μὴ μεγαλύνεο δακτυλίω πέρι

καὶ

ἄλλαν, μή τι κατ' ἀμμετέραν φρένα

καὶ

ἄβρα δηὖτε πάχῃ ϲπόλᾳ ἀλλόμαν

ἀντὶ τοῦ ἡλλόμην.

---

l. 3 cod. πάρεξ τοῦ τε Cκυθίου em. Ls. indicato Herodoti loco. l. 14 ἔκ τε ὀψὲ τελεῖ cod., Ls. inseruit καὶ indicato versu Homeri. l. 16 δύνων cod., corr. Dind. indicato Homeri loco; idem καὶ ante παρὰ τῷ ποιητῇ et ὅτε post τό τε delevit et δύοντα pro δύνοντα ex Homeri loco correxit et Arati locum Phaenom. 585 indicavit. l. 19 ϲύνθετον pro ϲύνηθεϲ scripsit Ls., coll. Il. Pr. Φ 232. l. 21 ὀψὶ γὰρ ἀρξάτω cod., emendavit Ls. ex Apoll. de adv. 573 ἀνάλογοϲ καὶ ἡ παρ' Αἰολεῦϲι βαρεῖα τάϲιϲ, λέγω δὲ τοῦ ὄψι γὰρ ἄρξατο. l. 23 ᾱ post τὸ γὰρ inseruit Ls. l. 25 τρέπειν post φιλεῖ delevit Bl. l. 26 cod. θάλλοϲ, Ls. θαλλόϲ, fortasse φαλλόϲ potius scriptum fuisse suspicatus. l. 28 pro corrupto ὀτράλλιϲ nihil certi substituere habet Ls. l. 29 cod. διὰ τόδ', ἀλλ' ἄν μοι μεγαλύνεο δακτυλίω πέρι καὶ ἄλλαν μὴ καμεϲτέραν φρένα καὶ ἄβρα· δεῦτε πάγχηϲ πάλαι ἀλλόμαν· ἀντὶ τοῦ ἡλλόμην. Primum versum exhibuit Ls. ex emendatione Bergkii

† Ἀθροῦν. οὐδὲν εἰϲ οῡν λήγει ἐπίρρημα, ἀλλὰ μόνον τὸ ἀθροῦν. ὅπερ καὶ ἐπεκτάϲεϲι ποιητικαῖϲ κέχρηται καὶ παραθέϲει ἄρθρου ἑνικοῦ καὶ πληθυντικοῦ. παραιτοῦμαι δὲ τὸ αἰϲχοῦν, ὃ εἴρηται παρὰ τῷ τοὺϲ Εἵλωταϲ· — ἀλλὰ μιϲχοῦν καθήμενοι. ἐπεὶ ὀνοματικά ἐϲτι.

Δεῦρο. οὐδὲν εἰϲ ō λήγει ἐπίρρημα ὑπὲρ μίαν ϲυλλαβήν, ἀλλὰ μόνον τὸ δεῦρο. ὅπερ εἴρηται παρὰ τῷ ποιητῇ ἅπαξ κατ' ἐπέκταϲιν εἰϲ ω̄ ἐν τῷ (Γ 243)

ἢ δεύρω μὲν ἕποντο.

παραιτοῦμαι γὰρ τὴν διάφορον ἀνάγνωϲιν. παρὰ δὲ τοῖϲ Αἰολεῦϲι καὶ
27 δεῦρυ διὰ τοῦ ῡ· παρὰ δὲ Ἀττικοῖϲ ἔϲθ' ὅτε καὶ δευρί λέγεται διὰ τοῦ ῑ. τετόλμηται δὲ αὐτοῦ καὶ θεματιϲθῆναι πληθυντικὸν τὸ δεῦτε· ὅτι δέ ἐϲτιν ἐπίρρημα ἐν τῷ περὶ ἐπιρρημάτων λέγεται.

Ἐκεῖθεν. οὐδὲν εἰϲ θεν λῆγον ἐπίρρημα τοπικὸν τῇ ει διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐκεῖθεν. αἴτιον δὲ τὸ πάθοϲ· ὁ γοῦν Ἀλκαῖοϲ κεινόθεν ἐϲτὶν ὅπου ἀπεφήνατο αὐτό.

αἲ γάρ κ' ἄλλοθεν ἔλθῃ, τί δὲ φὴ κήνοθεν ἔμμεναι;

τὸ δὲ εἶθε ἐπέκταϲιϲ καὶ οὐ τοπικόν.

Χαμαί. οὐδὲν εἰϲ αι λῆγον ἐπίρρημα ὑπὲρ μίαν ϲυλλαβὴν ὀξύνεται, λέγω δὲ μὴ ϲχετλιαϲτικόν. τὰ δὲ τοιαῦτα καὶ ὀξύνεται, εὐαί, βαβαί, καὶ περιϲπᾶται, ἀτταταῖ, αἰαῖ, παπαῖ. τὸ δὲ πάλαι βαρύνεται. λέγεται τὸ αἴτιον ἐν τῷ περὶ ἐπιρρημάτων.

Αὐτάρκηϲ ἡ παράθεϲιϲ τῆϲ μονήρουϲ λέξεωϲ ἐν τούτῳ τῷ βιβλίῳ, ὅπωϲ καὶ ἐν τῷ δευτέρῳ ϲχεδὸν ἴϲην παράθεϲιν ποιηϲώμεθα. εἰ δέ τιϲ

fr. 35 Sapph., qui etiam pro διὰ τόδ' scribendum διὰ τὸ vidit (Ahrens fr. 86 ἀλλᾶν [Cram. ἄλλαν] μοι μεγαλύνεο δακτυλίω πέρι); alterum ex Ahrensii emendatione fr. 87, praeterquam quod pro ἀλλᾶν scripsit ἄλλαν; tertium secundum Bergk. in ed. I, qui in ed. II fr. 55 sic restituit: ἄβρα δηὖτε παχήᾳ ϲπόλᾳ ἀλλόμαν adnotans Cramerum Alcaeo tribuentem scribere Ἀβραδάτῃ ἐπ' ἐγχεϲπάλῳ ἀλλόμαν, Ahrensius, qui item Alcaeo assignat fr. 101, corrigit Ἀβραδάτᾳ 'π' ἐγχεϲπάλῳ ἀλλόμαν. Equidem Lehrsium secutus sum, quamquam mihi non minus quam ipsi cognitum est, quam incerta sint omnia; sed etiamsi in his aliquid praestare possem (scio autem me non posse), tamen praeceptoris vestigia non relicturus fui, ne mea editio, quae in rebus certis eum sequitur, eius in incertis deserendi gloriam sibi quaerere videretur. De ἄλλοϲ pro ἠλεόϲ cf. Ahrens de dial. Aeol. p. 57.

l. 1 hunc articulum intactum reliqui ut Lehrsius, nisi quod cum Blochio παρὰ τῷ τοὺϲ Εἵλωταϲ, quam emendationem etiam Ls. pro certa habet, scripsi pro τοὺϲ εἵλω ταϲαίμην. cf. etiam Meineck. fr. com. p. 183 ed. min. l. 8 ἢ cod., correxit Ls., qui suspicatur alteram lectionem, quam Herodianus deprecatur, esse fortasse ἢ δεῦρ' οἱ μὲν —. l. 9 καὶ δεῦρα καὶ δευρύ cod., em. Ls. καὶ δεῦρα dittographiam esse putans. l. 11 θεματιϲθῆναι pro θέμα τιϲ θεῖναι scripsit Ls. collatis Epim. Hom. 118, 25 ἀλλὰ πῶϲ ἐγένετο τὸ δεῦτε; τεθεμάτιϲται, οὐ κέκλιται. l. 15 κείνοθεν cod., Ls. κεινόθεν. ἀπεφήνατο τὸ αὐτό cod., em. Ls. l. 16 αἰ γάρ κ' ἀλλόθεν ἔλθῃ δὲ φοικήνοθεν ἔμμεναι cod., Ls. secutus est Seidlerum, nisi quod pro ὁ δὲ hiatus vitandi causa τί δὲ scripsit, in quod incidit etiam Ahrens de dial. Dor. p. 539. l. 17 cod. αἶθε, correxit Ls. l. 18 hunc de χαμαί articulum Ls. violentius quidem, sed egregie emendavit consulta Catholica ap. Io. Al. 36, 12 et Arcad. 183, 13. l. 19 cod. λέγω δὴ τό χαμαί, Ls. λέγω δὲ μὴ ϲχετλιαϲτικόν; post τοιαῦτα Lehrsius inseruit καὶ ὀξύνεται οὐαί (ex Arcad., pro quo posui ex Io. Al. εὐαί), βαβαί καί. l. 22 ἐν τούτῳ βιβλίῳ cod., τῷ inseruit Ls. l. 23 ποιηϲόμεθα cod., ποιηϲώμεθα Ls.

ἐπιζητοίη, διὰ τί ἐξ ὀνομάτων καὶ ῥημάτων καὶ ἐπιρρημάτων τὴν παράθεσιν ἐποιηcάμεθα, εἴcεται μὲν ἐκ τοῦ προοιμίου· ἀλλὰ καὶ νῦν δηλώcω, ὡc ἀντωνυμιῶν μὲν οὐκ ἐμνήcθην, ἐπεὶ cχεδὸν μονήρειc εἰcὶ πᾶcαι, καὶ μάλιcτα αἱ πρωτότυποι· ἀλλ' οὐδὲ μετοχῶν, ἐπεὶ ἀεὶ δεύτεραί εἰcι καὶ ἐπιζητοῦcι τὸ κινοῦν αὐτὰc ῥῆμα. εἰ δὲ καὶ περὶ μίαν καὶ δευτέραν ἐγένετό τιc ζήτηcιc, τοῦτο οὐ μονήρουc ἐcτὶ λέξεωc ἴδίωμα. οὔτε μὴν ἄρθρων οὔτε προθέcεων ἐμνήcθην, ἀλλ' οὐδὲ cυνδέcμων. ἐπεὶ τούτων τῶν μερῶν τοῦ λόγου ἐξηριθμέναι πώc εἰcιν αἱ φωναί, τῶν δὲ προειρημένων μερῶν λόγου, λέγω δὲ ὀνόματόc τε καὶ ῥήματοc καὶ ἐπιρρήματοc, πολλὴ μὲν χρῆcιc φωνῶν, παραγωγή τε αὐτοῖc ποικίλη πρόcεcτι καὶ cχεδὸν ἴcη. ὄνομα μὲν γὰρ εἰc ὄνομα παράγεται, ὡc λεπτὸc Λεπτίνηc, ἄριcτοc ἀριcτεύc. παράγεται δὲ καὶ εἰc ῥῆμα, ὡc παρὰ τὴν μάcτιγοc γενικὴν τὸ μαcτιγῶ καὶ παρὰ τὴν εὐδαίμονοc εὐδαιμονῶ. παράγεται δὲ καὶ εἰc ἐπίρρημα, ὡc παρὰ τὸ ἀκόνιτοc ἀκονιτί, ἀθεώρητοc ἀθεωρητί, Λεcβόθεν τε καὶ οὐρανόθεν. τὸ αὐτὸ ἀποτελεῖ 28 καὶ τὸ ῥῆμα. ἤτοι γὰρ αὐτὸ καὶ εἰc ἑαυτὸ παράγεται, ὡc παρὰ τὸ ἀθλῶ τὸ ἀθλεύω, ἵζω ἰζάνω, ἢ εἰc ὄνομα, ὡc παρὰ τὸ ποιῶ ποιητήc, ποίημα, ἢ εἰc ἐπίρρημα, ὡc ἀπὸ τοῦ ὄπτω ὄβδην, ὃ καὶ Καλλίμαχόc φηcιν

ἦλθον ἐcόβδην,
πλέκω πλέγδην,
μέcφα περιπλέγδην,

ἄρδω ἄρδην. ὁμοίωc δὲ καὶ τὸ ἐπίρρημα τὴν αὐτὴν ποcότητα ἔχει τῆc παραγωγῆc. ἢ γὰρ πάλιν εἰc ἑαυτὸ παράγεται, ὡc παρὰ τὸ ἐγγὺc ἐγγύθεν, ἢ εἰc ὄνομα, ὡc τὸ ἐγγύτερον, ἀνώτερον, ἢ εἰc ῥῆμα, ὡc παρὰ τὸ ὀψὲ ὀψίζω. cχεδὸν οὖν ταῦτα τὰ μέρη τοῦ λόγου ἀλλήλοιc προcπέπονθε. διὸ καὶ ἐξ αὐτῶν πεποίημαι τοὺc κανόναc. εἰ δέ τιc λέγοι ὡc καὶ ἡ ἀντωνυμία ποικίλην παραγωγὴν ἔχει· εἴc τε γὰρ ἑαυτὴν παρῆκται καὶ εἰc ἐπίρρημα· ἴcτω ὅτι ἐνέλειψαν τοῖc κυριωτάτοιc, λέγω δὲ ῥήματι καὶ ὀνόματι· τὸ γὰρ ἡμετέρειοc καὶ τὸ cφετεριζόμενοc τῶν παραλόγων. ἡ μέντοι πρόθεcιc παρῆκται μὲν εἰc ὄνομα καὶ ἐπίρρημα, οὔτε γε μὴν εἰc αὐτὴν οὐδὲ εἰc ῥῆμα. τά τε προκείμενα μόρια, λέγω δὲ ὄνομα καὶ ῥῆμα, οὐκ ἀπέδωκεν ἀφ' ἑαυτῶν παραγωγήν, οὔτε εἰc ἀντωνυμίαν, οὔτε εἰc πρόθεcιν, ἐπειδή περ θεματικώτερα ὑπῆρχεν. ἡ μέντοι μετοχή, εἰ καὶ μέροc λόγου ἐcτίν, ἐκεῖνό γε ἔχει ἐξαίρετον τὸ μήποτε πρωτότυπον εἶναι. διὸ δὴ οὐδὲ αὐτῇ τὰ αἴτια ἀνατίθεμεν, ὅτι

---

l. 1 καὶ ῥημάτων inseruit Bl. l. 2 ἴcεται cod., corr. Dind. l. 7 ἐπὶ τούτων cod., ἐπεὶ Ls. l. 8 ὧν εἰcιν cod., Ls. πώc εἰcιν. l. 15 ἀθεώριτοc ἀθεωριτί cod., corr. Dind. l. 17 παρὰ ποιητὴc cod., Ls. τὸ ποιῶ inseruit. l. 18 εἰc ὄβδην cod., Ls. ἐcόβδην indicato Callimachi fragm. in E. M. s. ὄβδην, Μούcηcι γὰρ ἦλθον ἐcόβδην. l. 25 ἢ ὡc ὄνομα cod., εἰc Bl. l. 30 ἡμετέροιcι cod., ἡμετέρειοc Ls. l. 30 τῶν παραγώγων cod., em. Ls. l. 31 ἤτοι cod., Ls. ἡ μέντοι. l. 34 δὲ post ἐπειδή περ delevit Bl. l. 36 αὐτὴ cod., αὐτῇ Bl.

μὴ σπανίως, ἐφ' ὧν καὶ ζητοῦμεν εἰ καὶ μετοχαὶ ὑπάρχουσιν, ὥσπερ καὶ ἐπὶ τῆς ἄσμενος, καὶ τὸ κρέων καὶ τὸ ἀκέων καὶ κτίμενος. τοσαῦτα ἔχομεν εἰπεῖν ἐν τῷ πρώτῳ βιβλίῳ περὶ μονήρους λέξεως.

29

ΒΙΒΛΙΟΝ Β.

Ἐν μὲν οὖν τῷ πρὸ τούτου βιβλίῳ, ἄριστε φιλολόγε, περὶ μονήρους λέξεως ἥτις ἐστὶν ἐν τῇ χρήσει τῶν παλαιῶν ἑωρᾶτο καὶ τῇ νυνὶ συνηθείᾳ· νυνὶ δὲ στρέψομαι καὶ ἐπὶ τὰς γνωριζομένας μὲν ὁμοίως καὶ τῇ ἀνὰ χεῖρα ὁμιλίᾳ καὶ τῇ παλαιῶν χρήσει, πειράσομαι δὲ καὶ ἄλλας παραθέσθαι λέξεις, αἵτινες οὐκ εἰσιν ἐν τῇ νυνὶ συνηθείᾳ, παρὰ μέντοι τοῖς παλαιοῖς. ἔστω δέ μοι ἡ παράθεσις ὁμοίως ἐξ ὀνομάτων καὶ ῥημάτων καὶ ἐπιρρημάτων. ἐπεὶ δέ τινες ἐπεζήτησαν, εἰ δύναται τὸ τοιοῦτο εἶδος καὶ ἐν προθέσεσιν ὀφθῆναι, κατὰ τοῦτο ἐπειράθην ὀλίγας προθέσεις ἐλέγξαι ἐν εἴδει τινὶ μονήρεις ὑπαρχούσας.

Ὄνομα. οὐδὲν εἰς μ̅α̅ λῆγον οὐδέτερον ἁπλοῦν ἐν τοῖς πρὸ τέλους δύο συλλαβαῖς δισσὸν ἔχει ο̅, ὡς δῆλον ἐκ τῶν τοιούτων· ποίημα, νόημα, δόνημα, φίλημα, ἀνάθημα, φώνημα, στεφάνωμα, χρύσωμα, κώλυμα, ἔλυμα, ἔρυμα, καὶ ἄλλο μυρίον πλῆθος τοιούτων ὀνομάτων ἀδιάπτωτον ποιεῖ τὸν κανόνα. δῆλον ὡς τὸ ὄνομα μονῆρές ἐστι· καὶ γὰρ ἥ τε τρίτη ἀπὸ τέλους τὸ ο̅ ἔχει καὶ ἡ πρὸ τέλους. Αἰολεῖς δὲ ὄνυμα λέγοντες αὐτὸ ἀπολύουσι τοῦ προκειμένου ἐλέγχου. πρόσκειται τῷ κανόνι «ἁπλοῦν», ἵνα μή τις ταῦτα σύνθετα ὄντα ὡς ἀντιπίπτοντα παρατάξῃ συνεχῶς ἐν τῇ συνηθείᾳ λεγόμενα, λέγω δὲ τὸ πρόδομα ἢ πρόπομα, ὅπερ καὶ πρόπωμα λέγεται.

Δέμας. τὰ εἰς μ̅α̅ λήγοντα οὐδέτερα ἐναντία ἐστὶ τοῖς εἰς α̅ς̅ λήγουσι. τὰ μὲν γὰρ εἰς α̅ς̅ λήγοντα παραιτεῖται τὸ μ̅ ἔχειν πρὸ τοῦ
30 α̅, ὡς ἔχει τὸ σέβας, οὖδας, κνέφας, ψέφας, κέρας, τέρας, γῆρας, γέρας, βρέτας, δέπας, σκέπας, καὶ ἄλλα μυρία ἐστὶ τοιαῦτα μὴ ἔχοντα τὸ μ̅ πρὸ τοῦ α̅· τὰ δὲ ἔχοντα τὸ μ̅ πρὸ τοῦ α̅ παραιτεῖται τὴν εἰς ς̅ κατάληξιν, ὡς ἔχει τὸ δόμα, θέμα, στόμα, χύμα, λύμα, δῶμα, πτῶμα. πῶς οὖν τὸ δέμας καὶ τὸ μ̅ ἔχει πρὸ τοῦ α̅ καὶ τὴν εἰς ς̅ κατάληξιν; ὥστ' ἐστὶν οὕτως ὁρίσασθαι· οὐδὲν εἰς μ̅α̅ς̅ λῆγον οὐδέτερον, μονῆρες ἄρα τὸ δέμας,

στήτην ἐγγὺς ἰόντε, δέμας δ' ἄνδρεσσιν ἐΐκτην (Φ 285).

---

l. 1 καὶ τά τε ante σπανίως delevit Ls. l. 2 κτημένος cod., em. Dind. thes. l. 9 καὶ παρὰ μέντοι cod., καὶ delevit Ls. l. 11 καὶ ἐπιρρημάτων inseruit Ls. ἐπειδὴ cod., ἐπεὶ δὲ Bl. l. 16 ἀνάθερμα cod., em. Ls. l. 17 σόλυμα cod., ἔλυμα restituit Ls. ex simili loco Ep. Cr. I 327, 39; idem τῶν inter τοιούτων et ὀνομάτων delevit. l. 21 παραλλάξῃ cod., em. Ls. l. 26 οὖδας cod., accentum corr. Ls. l. 29 στάμα cod., στόμα Ls. l. 31 ὡς ἐστι cod., em. Ls. l. 33 cod. ἴοντο, corr. Dind.

Πεῖραρ. οὐδὲν εἰς αρ λῆγον οὐδέτερον πρὸ τοῦ α̅ ἔχει ρ̅, ἀλλ' ἤτοι καθαρεύει ἢ ἄλλο τι cύμφωνον ἔχει, ὡς δῆλον ἐκ τῶν τοιούτων· ἔαρ, κέαρ, οὖθαρ, εἶδαρ, μῶμαρ, ἧπαρ, νέκταρ. μονῆρες ἄρα τὸ «πεῖραρ ἐπαλλάξαντες» (Ν 359). οὐδέτερον δὲ προcέθηκα ἐπεὶ Ἄραρ τις λέγεται ποταμός, ὡς παρ' Ἐρατοcθένει (?). καὶ ἐπίγραμμα ἔχον οὕτως·

μιcγόμεθ' ἀλλήλων ὡς Ἄραρος Ῥοδανός.

Κρέας. οὐδὲν οὐδέτερον εἰς α̅c̅ λῆγον καθαρὸν τῷ ε̅ παραλήγει κατὰ τὴν ἑνικὴν εὐθεῖαν ἐν χρήcει Ἑλλήνων, ἀλλὰ μόνον τὸ κρέας. τὰ δ' ἔχοντα καθαρὸν τὸ α̅ καὶ ἔχοντα πρὸ αὐτοῦ ε̅ εἰς ρ̅ θέλει καταλήγειν, ἔαρ, cτέαρ, κέαρ, φρέαρ. τὸ τοίνυν κρέας ἢ εἰς ρ ὤφειλε καταλήγειν ἢ εἴπερ εἰς c̅ καταλήγοι ὀφείλει μεταξὺ τοῦ ε̅ καὶ α̅ cύμφωνον ἔχειν, ὥcπερ τὸ λέπας, cκέπας, κνέφας, βρέτας. προcέθηκα δὲ κατὰ τὴν ἑνικὴν εὐθεῖαν ἐν χρήcει Ἑλλήνων, ἐπεὶ παρὰ Ἑκαταίῳ ἐcτὶ «τὰ δέατα περιτεταμένοι». ἀλλ' οὐ cύνηθές ἐcτι λέγειν δέας. ὅ τε Cοφοκλῆς ἐν Κηδαλίωνι cατυρικῷ φηcι

καὶ δή τι καὶ παρεῖκα τῶν ἀρτυμάτων
ὑπὸ τοῦ δέατος

ἀντὶ τοῦ δέους. ἀλλ' οὐ λέγεται ἡ εὐθεῖα δέας. ὅ τε Ξενοφάνης φηcὶ

ἁγνὸν ἐνὶ cπεάτεccι τεοῖς καταλείβεται ὕδωρ.

ἀλλ' οὐ γὰρ λέγεται cπέας. ἡ γὰρ ἀναλογία ὡς ἀπὸ τοιούτων εὐθειῶν τὰς κλίcεις λαμβάνει, οὐκ οὐcῶν μέντοι ἐν χρήcει Ἑλλήνων. τὸ δὲ παρὰ τῷ ποιητῇ (α 218) κτεάτεccιν

ἀνέρος, ὃν κτεάτεccιν ἑοῖς ἔπι γῆρας ἔτετμε

μεταπλαcμοῦ ἔχεται ἐκ τῆς κτεάτοις δοτικῆς.

Ἰχθῦς. οὐδὲν εἰς υ̅c̅ λῆγον ἀρcενικὸν ὑπὲρ μίαν cυλλαβήν, μὴ ἔχον ὑποκοριcτικὴν ἔννοιαν, περιcπᾶcθαι θέλει. cημειῶδες ἄρα ὁ ἰχθῦς. προcέθηκα δὲ «μὴ ὑποκοριcτικὴν ἔννοιαν» διὰ τὸ ἀπφῦς· δοκεῖ γὰρ παρὰ τὸ ἀπφάς παρωνομάcθαι. ἔcτι δὲ καὶ τὸ Διονῦς παρὰ τοῖς κωμικοῖς ἐπὶ τοῦ ἐκλύτου τaccόμενον, παρηγμένον ἀπὸ τοῦ Διονύcου. ὧν οὐδὲ αἱ γενικαὶ παρόμοιαι τῷ προκειμένῳ· ἰχθύος γὰρ λέγεται· οὐ μεμελέτηκε δὲ ἀπφύος λέγεcθαι. μόνον δὲ διὰ δύο δαcέων ἐκφέρεται ὁ ἰχθῦς,

---

l. 3 μάκαρ cod., em. Ls. l. 5 ὡς παρατιθέναι cod., Ls. ὡς παρ' Ἐρατοcθένει (?), equidem volui ὃν παρατίθεται sed Lehrsius dubitat, num Herodianus ἐπίγραμμα παρατίθεται τοῦτο dixerit, ita ut ἐπίγραμμα sic positum sit ut nomen viri, et iudicat librarium rudem et inscium ex textu mali scripto παρ' Ἐρατοcθένει in παρατιθέναι facilius pervertere potuisse quam ὃν in ὡς. l. 9 καὶ τὰ ἔχοντα πρὸ τοῦ ε̅ cod., emendavit Ls. τὰ omittens et pro τοῦ scribens αὐτοῦ. l. 11 ε̅ καὶ α̅ inseruit Bl. l. 14 περιτετημένοι cod., em. Ls. l. 15 κηδεμόνι cod., em. Dindorf. allato Hesychio δέατος δέους Cοφοκλῆς Κηδαλίωνι. l. 16 τῷ ἀρτυμάτῳ cod., em. Lud. Dind. in thes. l. 19 καὶ μὴν cod., Ls. ἁγνόν; idem cπεάτεccι pro cπεάτεcι. l. 21 οὔcας cod., Ls. οὐcῶν. l. 23 ἐν cod., corr. Dind. ὃν. l. 24 μετὰ πελαμοῦ cod., em. Dind. l. 28 an ἀπφάς recte habeat incertum est Lehrsio. E. M. 134, 53 ἀπφῦς ὁ πατὴρ εἴρηται ὑποκοριcτικῶς. ἀπὸ τοῦ πάππα ὃ cημαίνει τὸν πατέρα ἀφαιρέcει τοῦ π̅ ἄππα ἀππῦς καὶ τροπῇ τοῦ π̅ εἰς φ ἀπφῦς ὡς Διονῦς ὁ Διόνυcος. l. 29 ἐπὶ τὸν Διόνυcον cod., em. Ls.

τῶν ἄλλων εἰϲ υ̅ϲ̅ ληγόντων οὐχ οὕτωϲ ἐχόντων. πρόϲκειται δὲ τῷ κανόνι «ἀρϲενικόν» διὰ τό ὀϕρῦϲ περιϲπώμενον θηλυκόν, ἔτι δὲ καὶ τό ὀϲϕῦϲ. ὥϲτε εἰ περιϲπᾶται τὸ ἰχθῦϲ, ἔϲτω θηλυκόν· εἰ δὲ ἀρϲενικόν ἐϲτιν, ὀϕείλει ὅμοιον εἶναι τῷ ϲτάχυϲ, βότρυϲ.

Μᾶζα. τὰ εἰϲ ζ̅α̅ λήγοντα θηλυκά, εἰ ἔχοι πρό τέλουϲ δίχρονον, ϲυνεϲταλμένον αὐτὸ ἔχει, ὡϲ τὸ ῥίζα, ϲχίζα, ϲπίζα· ἔϲτι δὲ εἶδοϲ ὀρνέου. Ϲοϕοκλῆϲ ἐν Ναυπλίῳ πυρκαεῖ

κάτω κρέμανται, ϲπίζα τέτατ' ἐν ἕρκεϲι.

Δούριζα λίμνη παρὰ τὸν Λίζαν ποταμόν. Ἑκαταῖοϲ περιηγήϲει Ἀϲίαϲ· «τῇ δὲ λίμνῃ Δούριζα οὔνομα». Βόρυζα πόλιϲ Περϲική, ὡϲ Ἑκαταῖοϲ περιηγήϲει Εὐρώπηϲ· «μετὰ δὲ Βόρυζα πόλιϲ Περϲέων, μετὰ δὲ Θυνιάϲ». Ἀράβυζα τῆϲ Καυκωνίδοϲ πόλιϲ. ἄζα, γάζα, χάλαζα. ϲημειῶδεϲ ἄρα ἡ μᾶζα ἐκτείνουϲα τό πρὸ τέλουϲ α̅.

Ἀγαυόϲ. οὐδὲν εἰϲ ο̅ϲ̅ λῆγον καθαρὸν ὑπὲρ δύο ϲυλλαβὰϲ ὀξυνόμενον τῇ α̅υ̅ διϕθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τό ἀγαυόϲ.

32 Χθών. τὰ εἰϲ ω̅ν̅ μονοϲύλλαβα ϕιλεῖ ἀρϲενικὰ εἶναι καὶ ϕυλάττει τὸ ω̅ ἐν τῇ γενικῇ, πρών, Χών τὸ ἐθνικόν, κλών, Θων εἴτε Θῶνοϲ εἴτε Θῶντοϲ. ἀλλὰ μόνον τὸ χθών θηλυκόν ἐϲτι καὶ διήλλαξε κατὰ τὴν κλίϲιν.

Δαμήν. τὰ εἰϲ μ̅η̅ν̅ λήγοντα ὀξύτονα ὑπὲρ μίαν ϲυλλαβὴν ἐπὶ γενικῇ τὸ η̅ εἰϲ ε̅ τρέπει, ποιμένοϲ, λιμένοϲ, πυθμένοϲ, ἀλλὰ μόνον τὸ Δαμήν ἐϕύλαξε τὸ η̅. Δαμῆνοϲ γὰρ ἐπιγράϕεται Ἀγρολικά. ἴϲωϲ δὲ ἐπεὶ κύριόν ἐϲτι παραλλαγὴν ἐποιήϲατο. τό δὲ Ἀλλαμήν παραιτοῦμαι· οὐ γὰρ γνήϲιον ὄνομα ὑπό Διοδώρου παραπεποιημένον.

Ἰχώρ. οὐδὲν εἰϲ ω̅ρ̅ λῆγον ὑπὲρ μίαν ϲυλλαβὴν ὀξύνεϲθαί θέλει, ἀλλὰ πάντα βαρύνεϲθαι· ῥήτωρ, κλήτωρ, ἵϲτωρ, Ἕκτωρ, πέλωρ, κέλωρ, ἄκτωρ, Ϲπέρχωρ, Ἀννίχωρ, ἄχωρ, ἀναῦζωρ (†). ἡ δὲ ἱϲτορία τῶν ὀνομάτων εἴρηταί μοι ἐν δευτέρῳ περὶ καθολικῆϲ προϲῳδίαϲ. ϲημειῶδεϲ ἄρα τό ἰχώρ μόνον ὀξυνόμενον. τό δὲ αἴτιον εἴρηται ἐν τῷ περὶ καθολικῆϲ προϲῳδίαϲ.

---

l. 1 τῶν δὲ ἄλλων cod., δὲ delevit Bl. l. 4 ἐϲτι cod., ἐϲτιν Ls. l. 7 ἐν ἀΰπνῳ cod., dudum correctum (cf. Nauck fr. trag. p. 179). l. 8 ϲπίζα τέωϲ cod., Ls. ϲπίζα τέτατ', Dindorf. ϲπίζ' ὅπωϲ, Bergkius pro κάτω suspicatus est ἄκατοι. l. 9 δουρὶ ζαλίμνην cod., em. Dind.; pro Λίζαν Ls. suspicatur Λίξον scribendam. l. 10 ὄνομα cod., οὔνομα Ls. l. 11 εὐρώηϲ cod., corr. Dind.

Θυνίαϲ cod., accentum correxit Ls. l. 12 παρὰ Βυζάντηϲ cod., emendavit Meinckius ex St. B. Ἀράβυζα πόλιϲ τῆϲ Καυκωνίδοϲ. l. 17 Θὼν cod., accentum omisit Ls., quia Herodianus dicere voluit: Θων sive illud unde ex nonnullorum quidem sententia Θῶνοϲ sive illud cuias genetivus est Θῶντοϲ. l. 22 ἀργολικαῖϲ cod., em. Ls. De Diodoro Crono, qui dicitur, cf. quem attulit Lehrsius, Ammonium ad Aristot. de interpr. p. 103 Brand. l. 24 παρατεθειμένον cod., Ls. scripsit παραπεποιημένον. l. 27 cod. Ἀνίχωρ, cf. Cath. p. 49. pro ἀναῦζωρ codicis Lehrsius Γανύκτωρ vel ἀνάκτωρ substituendum proposuit, mihi Herod. in E. Gud. 32, 35 ἀλάϲτωρ ὁ Ζεύϲ in mentem venit.

Τέκμωρ. οὐδὲν εἰς ωρ λῆγον οὐδέτερον ὑπὲρ μίαν ϲυλλαβὴν ἔχει ϲυμπλοκὴν δύο ϲυμφώνων πρὸ τοῦ ω·

Πριαμίδη, μὴ δή με ἕλωρ Δαναοῖϲιν ἐάϲῃϲ (Ε 684),

νίκωρ παρὰ Cώφρονι τῷ μιμογράφῳ, ὕδωρ, ἔλδωρ· οὐ γὰρ ϲυμπλοκὴ ἐνθάδε, ἀλλὰ διάϲταϲιϲ· ὁ δὲ Ἴβυκοϲ ἔϲθ' ὅτε καὶ θηλυκῶϲ προφέρεται

οὔτι κατὰ ϲφετέραν ἐέλδω

καὶ

ἐϲθλὰν ποτιδεγμένων ἐέλδω.

ϲημειῶδεϲ οὖν τὸ τέκμωρ ἔχον ἐπιπλοκὴν δύο ϲυμφώνων. ἢ ἴϲωϲ ἀναλογώτερον ἐκδεκτέον τὸ τέκμαρ. ἴϲον γὰρ ἐγένετο τῷ νέκταρ καὶ ἔχθαρ· οὐ φιλεῖ δὲ τὰ τοιαῦτα προϋπάρχειν τῶν εἰϲ ωρ. τοῦ δὲ ϲημειοῦϲθαι τὸ τέκμωρ αἴτιον ὁ πλεοναϲμὸϲ τοῦ μ.

Πολύϲ. τὰ εἰϲ λυϲ λήγοντα καθαρὸν ἔχοντα τὸ υ ϲυνεϲταλμένον βαρύνεϲθαι θέλει, θῆλυϲ, φόλυϲ.

φόλυεϲ κύνεϲ

παρὰ τῷ Ἀντιμάχῳ, ἔπηλυϲ, νέηλυϲ, ὄλολυϲ τὸ προϲηγορικὸν εἴτε τὸ κύριον, Ζῆλυϲ ὁ ποταμόϲ, ἔγχελυϲ, μόλυϲ. ϲημειῶδεϲ ἄρα τὸ πολύϲ 33 ὀξυνόμενον. πρόϲκειται δὲ καθαρὸν διὰ τὸ ἀμβλύϲ, ϲυνεϲταλμένον δὲ τὸ υ διὰ τὸ ἰλύϲ.

Ἐρῆμοϲ. οὐδὲν εἰϲ μοϲ λῆγον ὑπὲρ δύο ϲυλλαβὰϲ προπεριϲπώμενον τῷ η παραλήγεται, ἀλλὰ μόνον ἐρῆμοϲ,

ὡϲ ἴδε χῶρον ἐρῆμον (Κ 520).

Ἀττικοὶ μέντοι προπαροξύνουϲι τὴν λέξιν.

Ἑτοῖμοϲ. οὐδὲν εἰϲ μοϲ λῆγον ὑπὲρ δύο ϲυλλαβὰϲ τῇ οι διφθόγγῳ παραληγόμενον προπεριϲπᾶται, ἀλλὰ μόνον τὸ ἑτοῖμοϲ. καὶ τοῦτο δὲ παρ' Ἀττικοῖϲ τοῖϲ νεωτέροιϲ φαϲὶ προπαροξύνεϲθαι.

Πλυνόϲ. τὰ εἰϲ νοϲ λήγοντα διϲύλλαβα μὴ ἔχοντα πρὸ τοῦ ν ϲύμφωνον κατ' ἐπιπλοκήν, παραληγόμενα δὲ τῷ υ, πάντωϲ ἐκτεταμένῳ παραλήγεϲθαι θέλει, φρυνόϲ, θυνόϲ, γρυνόϲ, ϲημαίνει δέ, ὡϲ καὶ Ἀπολλώνιόϲ φηϲι, τὰϲ τῶν ξύλων ξηρὰϲ καὶ παχείαϲ ῥίζαϲ. ϲημειῶδεϲ ἄρα τὸ πλυνὸϲ κατὰ χρόνον· καίτοι γε τὸ πλύνω ἐκτεινόμενον τὸ υ.

Ἑνότηϲ. τὰ εἰϲ τηϲ λήγοντα θηλυκὰ οὐδέποτε ἀπὸ τῆϲ ειϲ καταλήξεωϲ παρήχθη. ϲημειῶδεϲ ἄρα τὸ ἑνότηϲ ὄνομα.

l. 3 cod. omisit δή, em. Dind. l. 4 παρ' ἀϲώτῳ cod., em. Dind. παρὰ Cώφρονι τῷ. cod. ἔλδωρ, spiritum mutavit Ls. l. 6 cod. in utroque Ibyci loco ἐέλδωρ, Schneidewinus ἐελδώ emendavit, Lehrsius ἐέλδω. l. 8 item Schneidewin. pro ἐϲθλὸν προδεδεγμένον scripsit ἐϲθλὰν ποτιδεγμένων. cf. Bergk fr. 18 et 19 et Lob. Parall. p. 219. l. 10 cod. τέκμωρ, em. Ls. cod. ἴχθαρ, Ls. ex Theogn. 79, 30 ἔχθαρ. l. 15 cf. Duebner fragm. XCI et Hesych. φόλυεϲ κύνεϲ, οἱ πυρροὶ ὄντεϲ μέλανα ϲτόματα εἶχον, οἱ δὲ φύλακαϲ. l. 16 ad ὄλολυϲ cf. Lehrsius Anaxandridis versum (Mein. III 178, ed. min. p. 582) λαμπρόϲ τιϲ ἐξελήλυθ'...., ὄλολυϲ οὗτόϲ ἐϲτιν. l. 17 Ζήλυϲ cod., accentum restituit Ls. ἐγχέλυϲ cod., em. Ls. l. 20 προπαροξυνόμενον cod., et l. 21 et 22 ἔρημοϲ et ἔρημον, em. Ls. l. 30 ξυρὰϲ cod., em. Bl. l. 33 cod. hic et paullo infra l. 34 et 5 pag. seq. αἰνότηϲ, Ls. ἑνότηϲ in Arist. stud. p. 261 ed. II et ad hunc locum, et εἰϲ ειϲ καταλήξεωϲ pro εἰϲ νοϲ καταλήξεωϲ. Aliter locum restituendum putavit Lobeckius ad Butlm. II 418.

Ἀνδροτής. τὰ εἰς τηϲ λήγοντα θηλυκὰ οὐδέποτε ἀπὸ τῶν εἰς ρ ληγόντων παράγεται. σημειῶδες ἄρα τὸ ἀνδροτής ὄνομα. ἢ γὰρ ἀπὸ τῶν εἰς οϲ, ὡς κοῦφος κουφότης, ἢ ἀπὸ τῶν εἰς υϲ, ὡς ταχύς ταχυτής, ἢ καὶ ἀπὸ ῥημάτων, ὡς παρὰ τὸ ἵεμαι ἰότης, οὐδέποτε μέντοι ἀπὸ τῶν εἰς ρ ληγόντων. διὸ δὴ καὶ τὸ ἑνότης παράσημον· παρὰ γὰρ τὴν εἰς ειϲ εὐθεῖαν, οὐ τὴν εἰς οϲ ἢ εἰς υϲ.

Φερνή. τὰ εἰς νη λήγοντα δισύλλαβα μονογενῆ θηλυκὰ ἔχοντα πρὸ τοῦ ν ρ βαρύνεσθαι θέλει, πέρνη, πτέρνη, Τάρνη πόλις, Κέρνη ὁμοίως, Ἄρνη, ἀλλὰ μόνον τὸ φερνή ὀξύνεται. Αἰολεῖς δὲ φέρεναν αὐτὴν λέγουσιν ὁμοίως τῇ Ἔλεναν.

Ἀρνός. οὐδεμία γενικὴ εἰς νοϲ λήγοντα πρὸ τοῦ ν ρ ἔχει, ἀλλὰ μόνον τὸ ἀρνός. αἴτιον δὲ τὸ πάθος. τὸ παρὰ Σοφοκλεῖ

οὐ σκέπαρνος οὐδὲ πρίονος
πληγαί

οὐκ ἀντίκειται. ὅτι γὰρ καὶ ὁ τραγικὸς λέγει σκέπαρνος ἐπ' εὐθείας ἀρσενικῆς ἐν ἑτέροις ἐδήλωσα.

Ἀνδρός. οὐδεμία γενικὴ εἰς ροϲ λήγουσα πρὸ τοῦ ρ ἔχει τὸ δ, ἀλλὰ μόνον τὸ ἀνδρός. αἴτιον δὲ τὸ πάθος. ἐν τοῖς περὶ καθολικωτέρας προσῳδίας εἴρηται.

Ἀνδριάς. τὰ εἰς αϲ λήγοντα καθαρόν, ἐκτεταμένον ἔχοντα τὸ α, εἰ ἔχοι πρὸ τέλους φωνῆεν ἢ φωνήεντα, βαρύνεσθαι θέλει, δρακοντίας, ὀνοματίας, κοππατίας, Λοξίας, Ἐρυξίας, Βορέας, Ἡρέας, Θαρσέας, Κρατέας, Μινύας, Φλεγύας, Ἀνδρέας· μυρίον ἐστὶ πλῆθος τοιούτων ὀνομάτων ἀδιάπτωτον. σημειῶδες ἄρα τὸ ἀνδριάς ὀξυνόμενον. οὐκ ἀγνοῶ δὲ ὅτι Ἡλιόδωρος ἐβούλετο αὐτὸ περισπᾶν· ὁμοίως δὲ καὶ τὸ ἱμάς. τὸ δ' αὐτὸ ἠξίου καὶ Δράκων ὁ Στρατονικεύς, ἔτι δὲ καὶ Τυραννίων. οὐκ ἔχει δὲ οὕτω τὰ τῆς ἀναγνώσεως, ὡς ἐν ἑτέροις ἐδήλωσα.

Γουνός. οὐδεμία γενικὴ εἰς νοϲ λήγουσα τῇ ου διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνη ἡ γουνός·

γόνυ γουνὸς ἀμείβων (Λ 547).

αἴτιον δὲ τὸ πάθος. οὐ γὰρ εὐθεῖά τις προκατάρχει μονοσύλλαβος ἡ γοῦν, ὡς οἴονται οἱ πρὸ ἐμοῦ. τὰ δὲ εἰς νοϲ λήγοντα ὀνόματα δισύλ-

l. 5 Lehrsius διὸ δὴ pro δεῖ δὲ scripsit et post ἑνότης ante παρὰ inseruit παράσημον. l. 6 cod. habet παρὰ τὴν εἰς οϲ εὐθεῖαν, οὗ τινος ἡ εἰς υϲ, Ls. scripsit παρὰ γὰρ τὴν εἰς ειϲ εὐθεῖαν, οὐ τὴν εἰς οϲ ἢ εἰς υϲ. l. 8 pro πέρνη si forte non verum sit, Lehrsius πόρνη scribi posse dicit, potest etiam ex St. B. Πέρνη πόλις Θρᾴκης. l. 9 φέρναν cod., Lehrsius coll. Herod. περὶ παθῶν in E. M. 790, 43 scripsit φέρεναν et l. 10 pro ἀλέναν Ἔλεναν, quod Aeoles dixisse probat ut Ἀφρόδιτα coll. Io. gramm. 244 ἔθος ἔχουσι καὶ τὰ προσηγορικὰ βραχύνειν, εἰρήνη, ὥρα, ἡμέρα, καὶ τὰ κύρια, Ἀφροδίτα, Ἥρα, Ἑλένα. l. 12 ἢ παρὰ cod., em. Ls. l. 13 ὁ cod., οὐ Bl. l. 15 οὐκ ἀντίκειται inseruit Ls.

l. 22 cod. καππατίας, Ls. κοππατίας. εὐρυξίας cod., em. Ls. ἠρέας cod., em. Dind. thes. s. Ἡρᾶς. l. 23 μηνύας cod., corr. Bl. l. 25 cod. ἡμάς, corr. Ls. l. 26 Στρατονίκου cod., em. Ls. Τυραννίκων cod., corr. Bl. l. 27 οὐκ ante ἐδήλωσα delevit Bl. l. 29 ἡ ante γουνός inseruit Ls. l. 30 cod. γοῦνι, Dind. γόνυ. l. 31 ἤγουν cod., Bl. corr. ἡ γοῦν.

λαβα ὀξυνόμενα τῇ ο̅υ̅ διφθόγγῳ παραληγόμενα ἐπ' εὐθείαϲ ὁρᾶται, γουνόϲ, ὅθεν δοτικὴ ἡ

γουνῷ ἀλωῆϲ (Ι 530),

βουνόϲ, κρουνόϲ. δῆλον οὖν ὅτι ἡ γουνόϲ γενικὴ οὐχ ὑγιαίνει· εὐθείαϲ γὰρ χαρακτῆρα ἀπεδέξατο. ἔϲτι δὲ καὶ ἐπὶ παϲῶν τῶν ἠλογημένων γενικῶν τὸ τοιοῦτον ἐπιδεῖξαι, ὡϲ ὅτι παραβαίνουϲι καὶ τοὺϲ χαρακτῆραϲ παθοῦϲαι.

Δουρόϲ. οὐδεμία γενικὴ εἰϲ ρ̅ο̅ϲ̅ λήγουϲα τῇ ο̅υ̅ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνη ἡ δουρόϲ. αἴτιον δὲ πάλιν τὸ πάθοϲ. ϲυγκοπὴ γὰρ ἐκ τοῦ δούρατοϲ·

τόφρα δὲ Τυδείδηϲ μετὰ δούρατοϲ ᾤχετ' ἐρωήν (Λ 357).

οὐ γάρ, ὥϲπερ οἴεται ὁ Τρύφων, εὐθεῖά τίϲ ἐϲτι δούρ, κωλυούϲηϲ καὶ τῆϲ ἀναλογίαϲ καὶ τῆϲ χρήϲεωϲ τῶν Ἑλλήνων. ἄμεινον οὖν ἐκδέχεϲθαι τὸ πάθοϲ. ποικίλαι δὲ αἱ φωναί. καὶ γὰρ δορὸϲ καὶ δουρὸϲ εἴρηται καὶ δόρατοϲ καὶ δούρατοϲ καὶ δόρεοϲ, ὡϲ ἐν ἑτέροιϲ ἐδήλωϲα.

Ῥᾶροϲ. οὐδέποτε τὸ ρ̅ ἄρχον ψιλοῦται, ἀεὶ δὲ δαϲύνεται. ϲημειῶδεϲ ἄρα τὸ Ῥᾶροϲ. τὸ γὰρ

Ῥαρίδοϲ

Δηοῦϲ

παρ' αὐτὸ γέγονε.

Ϲεϲημείωται τὸ Ῥᾶροϲ κατὰ χρόνον. τὰ γὰρ εἰϲ ρ̅ο̅ϲ̅ διϲύλλαβα τῷ α̅ παραληγόμενα ὀξυνόμενα μὲν ἔχει ἐκτεινόμενον τὸ α̅, ψαρόϲ, ναρόϲ· ἔνθεν θηλυκὸν παρὰ Ϲοφοκλεῖ ἐν Ἰνάχῳ ϲατυρικῷ

ναράϲ τε πατρὸϲ κυμάτων ἐπιρροὰϲ
ἐπώμοϲα.

λαρόϲ,

λαρὸϲ ἄμηϲ,

ἔνθεν τὸ οὐδέτερον

λαρὸν τετυκοίμεθα δόρπον (μ 283).

βαρυνόμενα δέ, εἰ καὶ ἀρϲενικὰ ὑπάρχοι ἢ θηλυκά, ϲυϲτέλλειν θέλει τὸ α̅,

λάρῳ ὄρνιθι ἐοικώϲ (ε 51).

φάροϲ, λέγω δὲ τὸ ἀρϲενικὸν ἢ καὶ τὸ θηλυκόν, Κλάροϲ, Νίκανδροϲ (Ther. 958)

l. 11 in Homeri loco ὄφρα scriptum est, quod, ut Ls. dicit, necessarium videtur. l. 12 cod. δουρί, em. Ls. l. 13 ἄμειβον cod., corr. Dind. l. 14 ποικίλαι δὲ αἱ φωναί et l. 15 καὶ δόρατοϲ inseruit Ls. l. 16 cod. Ῥάροϲ et semper hoc accentu. l. 19 δηιοῦϲ, in quo ῑ subscripti memoriam delere nolui. In E. M. 263, 48 Δηώ — διφορεῖται, ὥϲ φηϲιν ὁ τεχνικόϲ. οἶδε γὰρ ἡ παράδοϲιϲ τὸ η̅ μετὰ τοῦ ῑ καὶ χωρίϲ. Fragmentum ex Soph. Triptolemo esse Lsio videtur. l. 22 λαρόϲ cod., Ls. ναρόϲ. l. 23 cod. ἐν ἰνάχῳ, καὶ ϲαϲχυτρίνων λαρὸϲ εὔτατ' ἐπὶ κῦμα ἐκροὰϲ ἐπώμοϲα λαρὸϲ ἀνήρ. In verbis καὶ ϲαϲχυτρίνων Dindorfius ϲατυρικῷ latere suspicatus erat; verba poetae nondum emendata esse pronunciat Nauckius p. 153; equidem, ne intellectu carentia verba exhiberem, Lehrsii emendationem, quae licet ab ipso pro incertissima habeatur, sensum certe praebet, immutatam recepi, in eo viro clarissimo assentiens pro adiectivi ναρόϲ, non λαρόϲ teste Sophoclem citari et ante λαρὸϲ ἄμηϲ inserendum esse λαρόϲ. l. 32 φάροϲ δὲ λέγω cod., δὲ transposuit Ls.

μνῆϲτιν ἔχοιϲ, τὸν ἔθρεψε Κλάροϲ νιφόεϲϲα πολίχνη,
γάροϲ, Αἰϲχύλοϲ Πρωτεῖ ϲατυρικῷ

καὶ τὸν ἰχθύων γάρον,

Πάροϲ νῆϲοϲ, ϲπάροϲ, ϲκάροϲ. εἰ δέ τι βαρυνόμενον ἀρϲενικὸν ἔχει τὸ ᾱ ἐκτεινόμενον, πάντωϲ ἔχει κοινὸν διὰ τοῦ η̄, ὥϲπερ τὸ κλᾶροϲ ἐκ τοῦ κλῆροϲ. τὸ δὲ Ῥᾶροϲ, εἰ μή ἐϲτι Δώριον βαρυνόμενον, ϲυϲτελλέϲθω κατὰ τὴν παραλήγουϲαν· εἰ δὲ ἐκτείνεται ὑγιῶϲ ἡ παραλήγουϲα, ὀξυνέϲθω, ἵνα μιμήϲηται τὸ ψαρόϲ, ναρόϲ, λαρόϲ. ἢ περὶ τόνον ἄρα ϲημειῶδεϲ ἢ περὶ χρόνον. ἀλλὰ δῆλον ὅτι περὶ χρόνον. τὰ γὰρ ὀξυνόμενα ἐπιθετικὰ ὑπῆρχον, τοῦτο δὲ κύριον ὄνομα βαρύτονον. ἀλλ' οὖν γε ἔχομεν καὶ τὸ βᾶροϲ ὁμοίωϲ Ἀττικὸν ὑπάρχον καὶ ἐκτεινόμενον τὸ ᾱ πρὸϲ ἀντέμφαϲιν τοῦ οὐδετέρου.

Φᾶροϲ. τὰ εἰϲ οϲ λήγοντα οὐδέτερα διϲύλλαβα, εἰ ἔχοι πρὸ τέλουϲ τὸ α, ϲυνεϲταλμένον πάντωϲ αὐτὸ ἔχει, εἰ μὴ κατὰ διάλεκτον εἴη, ὥϲπερ τὸ πᾶροϲ·

36 ἐπὶ γὰρ πᾶροϲ ὀνιαρὸν ἱκνεῖται

Ἀλκαῖόϲ φηϲι. τοιοῦτο δέ ἐϲτι καὶ τὸ μᾶκοϲ, δᾶνοϲ. τὸ δὲ πρᾶγοϲ ἤδη καὶ τὸ ῥῆμα δοκεῖ ἔχειν μεταβολήν. ἔϲτω οὖν τῶν ϲυϲτελλόντων τὸ ᾰ παραδείγματα πάθοϲ, τάφοϲ. ὅπερ καὶ ἀρϲενικόν ἐϲτι,

ὡϲ οἵγ' ἀμφίεπον τάφον Ἕκτοροϲ ἱπποδάμοιο (Ω 804),

καὶ θηλυκὸν ἐπὶ τῆϲ νήϲου. ὁπότε δὲ ἐπὶ τῆϲ ἐκπλήξεωϲ παραλαμβάνεται γένοϲ ἐπιδέχεται τὸ οὐδέτερον·

ἣ δ' ἄνεω δὴν ἧϲτο, τάφοϲ δέ οἱ ἦτορ ἵκανε (ψ 93).

ἀλλ' ἴϲωϲ τοῦτο ἀμφίβολον. ὁ μέντοι Ἴβυκοϲ διέϲτειλε τὸ γένοϲ ἐν τῷ πρώτῳ, ϲχεδὸν τὸν Ὁμηρικὸν μεταλαβών· φηϲὶ γὰρ

δαρὸν χρόνον ἧϲτο τάφει πεπηγώϲ·

οὕτω γὰρ ἔκλινεν ὡϲ βέλει. ἀναδράμωμεν δὴ ἐπὶ τὰ παραδείγματα· θάλοϲ, δάοϲ, φάοϲ, πάθοϲ, μάθοϲ, Ἀλκαῖοϲ

ἀππατέρων μάθοϲ,

νάποϲ, γάνοϲ, ϲάκοϲ, δάκοϲ, βάροϲ. ϲημειῶδεϲ ἄρα τὸ φᾶροϲ ἐκτεινόμενον τὸ ᾱ·

---

l. 1 μηϲτὺν et τὸ cod., corr. Dind. l. 4 πάρνοϲ cod., Πάροϲ Bl. l. 5 κανόνα cod., κοινὸν Ls., κλάροϲ cod., corr. Dind. l. 6 τὸ δηράδοϲ cod., em. Bl. l. 11 βάροϲ cod., corr. Ls. l. 12 ἀντέμφραϲιν cod., em. Ls. l. 13 φάροϲ cod., em. Ls. τὰ εἰϲ ῥοϲ cod., em. Ls. l. 15 ὥϲπερ τὸ πάροϲ· ἐπὶ γὰρ τὸ πάροϲ ὀνειαρὸν ἱκνεῖται, emendavit Seidlerus. cf. Bergk fr. 98 p. 727 ed. II.

l. 17 μάκοϲ, δάνοϲ, πράγοϲ· τοιοῦτο δὴ καὶ τὸ ῥῆμα, emendavit Lehrsius collato loco περὶ διχρόνων 295, 15. l. 23 ἤνδανε δὴν ποτὲ cod., em. Dind. versum Homericum indicans. l. 25 μεταβαλών cod., Ls. μεταλαβών significatu: «transtulit in sua» cf. Arist. p. 19 ed. II. l. 26 δαρὸν δάραοι cod., δάραοι ut dittographiam eiecit Ls., Bergk. fr. 21 ed. II p. 767, qui in priore editione δαρὸν δαρῷ χρόνον scripserat, exhibuit δαρὸν δ' ἄνεω χρόνον ἧϲτο τάφει πεπηγώϲ, ut prorsus Ibycus cum Homero consentiret. τάφειϲ codicis iam Bl. emendavit. l. 28 κάλοϲ cod., Lob. Rhem. 306 θάλοϲ. ψάοϲ cod., Lob. φάοϲ. πάγοϲ cod., Ls. πάθοϲ. l. 30 τάνοϲ cod., Lob. γάνοϲ. τάκοϲ cod., Ls. δάκοϲ, Lob. voluit ῥάκοϲ. φάροϲ cod., em. Ls.

φᾶρος μέν οἱ πρῶτον ἐϋπλυνὲς ἠδὲ χιτῶνα (π 173).

οἱ μέντοι τραγικοὶ ἐπίσης ἐκτείνουσι τοῦ προκειμένου ὀνόματος τὸ α καὶ συστέλλουσι, ὡς παρὰ Αἰσχύλῳ ἐν Σαλαμινίαις·

εἴ μοι γένοιτο φᾶρος ἶσον ἐν οὐρανῷ·

ἀλλὰ κατὰ συστολὴν παρὰ Σοφοκλεῖ ἐν Τηρεῖ·

σπεύδουσαν αὐτήν, ἐν δὲ ποικίλῳ φάρει,

καὶ ἐν Κρίσει σατυρικῇ

καὶ δὴ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι.

παραφυλακτέον ὅτι τὸ φάρος τυχὸν συστελλομένου τοῦ ᾱ ἀναδέχεται πάλιν ἐν διαφόρῳ σημαινομένῳ τὰ τρία γένη ὥσπερ καὶ τὸ τάφος. ἔστι γὰρ ἀρσενικόν· οὕτω γὰρ ὁ Μενελάου ἐκαλεῖτο πρωρεύς. ἀλλὰ καὶ τὸ θηλυκὸν ἐπὶ τῆς νήσου ἀπ' αὐτοῦ τὸ ὄνομα λαβούσης, ὥς φησιν Ἑκαταῖος. καὶ οὐδέτερον, ὁπότε σημαντικὸν τοῦ ἱματίου ἢ καὶ τοῦ ἀρότρου, ὡς καὶ παρ' Ἀλκμᾶνι· ἀλλὰ καὶ παρ' Ἀντιμάχῳ

ἀεὶ φάρεος χατέουσιν ἑκόντες. 37

οὕτως ἐν τοῖς ἀντιγράφοις εὕρηται.

Θάσσων. τὰ εἰς ῶν λήγοντα συγκριτικὰ δισύλλαβα, εἰ ἔχοι πρὸ τέλους τὸ α, συνεσταλμένον αὐτὸ ἔχει. βράσσων

ἀλλά τέ οἱ βράσσων τε νόος (Κ 226),

πάσσων

τὸν μὲν Ἀθηναίη θῆκεν Διὸς ἐκγεγαυῖα
μείζονά τ' εἰσιδέειν καὶ πάσσονα (ζ 229—230).
τοσσοῦτον ὀΐομαι ἢ ἔτι μάσσον (θ 203).

ἔνθεν παρ' Ἐπιχάρμῳ τὸ βάσσον. σημειῶδες ἄρα τὸ θάσσων ἐκτεινόμενον τὸ ᾱ,

θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους (Ν 819)·

πρόσκειται δὲ «δισύλλαβα» διὰ τὸ ἐλάσσων.

Λουτρόν. τὰ εἰς ρον λήγοντα οὐδέτερα μονογενῆ, ἔχοντα πρὸ τοῦ τέλους ἢ σύμφωνον ἢ σύμφωνα, βαρύνεσθαι θέλει, σεῖστρον, δένδρον, δέρτρον,

δέρτρον ἔσω δύνοντες (λ 578),

φέρτρον,

κείμενον ἐν φέρτρῳ (Σ 236),

l. 1 φάρος μὲν οἱ πρῶτον ἔπλυνεν cod., em. Ls. indicans versum Homericum. l. 4 ἶσον cod., Ls. cum Hermanno ἴσον. l. 5 κατὰ στολὴν ἐν παρὰ Σοφοκλεῖ· ἐντείνει σπεύδουσαν αὐτήν· ἐν δὲ ποικίλῳ φάρει τῷ δ' ὡς ἐμῷ καλύπτομαι. συστολήν em. Bl., reliqua ex Dichron. restituit Dind. l. 9 συστελλόμενον τὸ ᾱ cod., em. Ls. l. 11 ἐπὶ Μενελάου cod., Ls. ὁ Μενελάου. l. 15 χατεύουσιν ἔχων cod., χοτέουσιν iam alii emendaverant, ἑκόντες Ls. cf. Duebner fr. Antimachi p. 48. l. 16 εἴρηται cod., εὕρηται Stollius, Duebnerus voluit κεῖται. l. 21 τὸ μέντοι cod., corr. Dind. l. 23 in codicis verbis τοσοῦτον ὀνομάση ἔτι μάσσων, μᾶσσον indagavit Lehrsius versum Homericum. l. 26 cod. θάσσονα σιρήκων ἤμεναι, corr. Dind. l. 29 ρ̄ σύμφωνον cod., Ls. ἢ σύμφωνον. l. 31 in cod. δύντες, corr. Ls.

πλῆκτρον, καὶ ἄλλο πλῆθος τῶν τοιούτων ὀνομάτων ἀδιάπτωτον. ἀλλὰ μόνον τὸ λουτρὸν ὀξύνεται· ὅπερ καὶ τρισύλλαβον λέγεται λοετρόν,

εἰς ὅ κε θερμὰ λοετρά (Ξ 6)·

ἐπεὶ καὶ τό ῥῆμα διϲϲόν. λοέω καὶ λούω,

ἀλλ' ὅτε δή μιν ἐγὼ λόεον (δ 252).

Οἶμα. οὐδὲν εἰς μα λῆγον καθαρὸν διϲύλλαβον οὐδέτερον πρὸ τέλους ἔχει τὴν $\overline{οι}$ δίφθογγον, ἀλλὰ μόνον τὸ οἶμα· τὸ γὰρ οἶδμα οὐ καθαρεῦον. δύναται γὰρ καὶ ἀπὸ συμφώνου ἄρχεσθαί τινα ἢ ἀπὸ συμφώνων, ἵνα μή τις λέγῃ ὅτι ἄλλο οἶμα ἐπιζητῶ· διὸ ἔθηκα πρὸ τέλους.

Ὀστέον. οὐδὲν εἰς $\overline{ον}$ λῆγον καθαρὸν οὐδέτερον μονογενὲς ὑπὲρ δύο συλλαβὰς τῷ $\overline{ε}$ παρεδρευόμενον παροξύνεται, ἀλλὰ μόνον τὸ ὀστέον. αἴτιος δὲ ὁ πλεονασμός. τὰ δὲ τοιαῦτα ἤτοι ὀξύνεται, ὡς ἔχει τὸ κο-38λεόν, στελεόν, ἐλεόν

βάλλον δ' εἰν ἐλεοῖσιν (ξ 432),

αἰτία δὲ τῆς ὀξείας ἡ πρὸ τέλους συλλαβὴ ἔχουσα πρὸ τοῦ $\overline{ο}$ τὸ $\overline{ε}$· ἢ προπαροξύνεται, ὁπότε μὴ τὸ $\overline{λ}$ πρὸ τοῦ $\overline{ε}$ ἐστίν, ὄρνεον, κάνεον, ὄστρεον. δῆλον οὖν ὡς καὶ τὸ ὄστεον ἐχρῆν λέγειν. διὸ μονήρες κατὰ τὸν τόνον φαμὲν εἶναι αὐτό. οὐκ ἀγνοῶ δὲ ὡς καὶ ὀστοῦν λέγεται, ὡς καὶ παρὰ Κρατίνῳ ἐν Πυτίνῃ

ἀλλ' οὐδὲ λάχανον οὐδὲν οὐδ' ὀστοῦν ἔτι
ὁρῶ.

τοῦτον τὸν τρόπον καὶ τὸ κάνεον κανοῦν.

Φηρά. τὰ εἰς $\overline{ρα}$ λήγοντα δισύλλαβα μονογενῆ θηλυκά, εἰ παραλήγοιτο τῷ $\overline{η}$, βαρύνεσθαι θέλει, πήρα, χήρα, θήρα. σημειῶδες ἄρα τὸ Φηρά ὀξυνόμενον.

Λιβυαφιγενής. ἡ διὰ τοῦ $\overline{φι}$ ἐπέκτασις οὐδέποτε θέλει κατ' ἀρχὴν συντίθεσθαι, μόνῳ δὲ παρηκολούθησεν ἐν ἐπιρρήματι τῷ ἶφι τὸ τοιοῦτο, Ἰφιγένεια, Ἰφικλῆς, Ἰφιάνασσα καὶ ὅσα ἄλλα ἐστὶ τοιαῦτα. πεπλάνηται οὖν Ἴβυκος εἰπὼν Λιβυαφιγενής.

Πρῶτος. τὰ εἰς $\overline{τος}$ λήγοντα καθαρὰ δισύλλαβα παραληγόμενα τῷ $\overline{ω}$ τριγενῆ ὑπάρχοντα ὀξύνεσθαι θέλει, γνωτός, τρωτός, πλωτός, πτωτός, ἀλλὰ ὁ πρωτός· τὸ δὲ πρῶτος τοῦ ἀριθμοῦ τὸ ὄνομα βαρύνεται. οὐκ ἀγνοῶ δὲ ὅτι κανόνες κατέσχον τέσσαρες τὴν βαρεῖαν ταύτην.

Χρυσός. τὰ εἰς $\overline{σος}$ λήγοντα δισύλλαβα ὀξυνόμενα φύσει μακρά, εἰ παραλήγοιτο τῷ $\overline{υ}$, ἢ κύρια θέλει εἶναι ἢ ἐπίθετα, οὐ μὴν προση-

l. 5 in cod. λόευν, unde suspicatur Ls. scriptum fuisse ἐλόευν, ut in margine Harl. notatum: ἐγὼν ἐλόευν. l. 9 ἐπιζήτω cod., corr. Dind. l. 13 στερεόν cod., στελεόν Ls. collato Theogn. 121. l. 16 ἐστὶ cod., ἐστίν Ls. l. 17 ὅστρεον cod., ὄστεον Dind. μόνηρες cod., μονῆρες Dind. l. 20 οὐδὲ cod., οὐδὲν Dind. ἔστι cod., ἔτι Dind. l. 24 πεῖρα, γῆρα, θῆρα, em. Ls. l. 26 et 29 Λεβυαφιγενής cod., em. Bl. l. 26 τοῦ $\overline{φ}$ cod., corr. Dind. l. 27 τῷ $\overline{φι}$ τοσοῦτον cod., em. Ls. l. 29 ἴβευκος cod., corr. Dind. l. 32 πρωτός· τὸ δὲ inseruit Ls. collato Arcad. 78, 17. l. 35 εἰς $\overline{ος}$ cod., Ls. εἰς $\overline{σος}$; totum hunc locum sic Lehrsius

γορικά. κύρια μὲν οὖν ἐςτι τοιαῦτα· Βρυςός, ... πολὺς γὰρ ὁ coc χαρακτὴρ ἐπὶ πόλεων, ὡς καὶ τὰ τοιαῦτα· Λιςός πολίχνιον Κρήτης, Παιςός,

ὅς ῥ' ἐνὶ Παιςῷ (Ε 612),
οἳ Γνωςόν τ' εἶχον (Β 644),

Ῥωςός, καὶ ταῦτα ἐπὶ πόλεων. ἐπίθετα δὲ τοιαῦτα· τρυςός, ῥυςός, Μυςός. τὸ τοίνυν χρυςός ὀξυνόμενον μονῆρές ἐςτιν· οὔτε γὰρ κύριον οὔτε ἐπιθετικόν ἐςτι.

Μύρον. τὰ εἰς ρον λήγοντα διςύλλαβα καθαρὰ προςηγορικά, εἰ παραλήγοιτο τῷ υ, ὀξύνεςθαι θέλει, ξυρόν, ςφυρόν, πυρόν. ςημειῶδες ἄρα τὸ μύρον βαρυνόμενον. τὸ γὰρ Ψύρον ἢ Cτύρον ἢ Μύρον, κύρια ὄντα, ὑγιῶς βαρύνεται.

Κεφαλή. τὰ διὰ τοῦ αλη ὑπὲρ δύο ςυλλαβὰς μονογενῆ βαρύνε- 39 ςθαι θέλει, χωρὶς εἰ μὴ ςυναληλιμμένα εἴη, Μυκάλη, φιάλη, ξυάλη, Μυρτάλη, Πετάλη, ἀγκάλη, δαμάλη. ςημειῶδες ἄρα τὸ κεφαλή ὀξυνόμενον ἐπὶ τοῦ μερικοῦ εἴτε ἐπὶ τοῦ κυρίου. τὸ γὰρ ἀλαλή οὐ φύςει τριςύλλαβον,

κλῦθ' ἀλαλά, πολέμου θυγάτηρ.

τὸ δὲ μυγαλῆ περιςπᾶται, ἐπεὶ παρὰ τὸ γαλῆ ςυντέθειται ςυναληλιμμένον καὶ περιςπώμενον. κέχρηται δὲ τῷ ὀνόματι Κηφιςόδωρος ἐν Ὑΐ

ὦ καὶ λέων καὶ μυγαλῆ καὶ ςκορπίος.

Φυλή. τὰ εἰς λη λήγοντα θηλυκὰ μονογενῆ τῷ υ παραληγόμενα βαρύνεςθαι θέλει· τύλη, ὅπερ ςύνηθες Ἀττικοῖς κνέφαλλον καλεῖν, ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουςαν. Ἀριςτοφάνης Ἀμφιάρεῳ

καὶ νὴ Δί' ἐκ τοῦ δωματίου γε νῷν φέρε
κνέφαλλον ἅμα καὶ προςκεφάλαιον τῶν λινῶν.

ὠνομάςθη δὲ ἀπὸ τοῦ κνάφου, ἥτις ςημαίνει ἀκανθώδη ὕλην, ἣ περιπεταννύντες τὰς ἐςθῆτας ἐξέθλιβον τὸ πλεονάζον τοῦ περὶ τὰς ἐςθῆτας

---

restituit, ut post κύρια μὲν αὖν ἐςτι τοιαῦτα (l. 1) insereret Βρυςόc ..... πολὺς γὰρ ὁ cac χαρακτὴρ ἐπὶ πόλεων ὡς καὶ τὰ ταιαῦτα. Qnam emendationem et ipse recepi, quamquam verba (l. 35 pag. praec.) φύςει μακρά offendunt, pro quibus exspectes φύςει μακρᾷ παραληγόμενα. l. 2 cod. λιςςός, Ls. ex Arcad. 75, 12 Λιςός restituit. l. 3 cod. παρνός, ὅς ῥ' ἐν παίω αἰγνῶςςαν τεῖχος, recepit Lehrsius emendationem Cram. Mus. Cant. p. 638 et Meinekio Del. Anthol. 111. l. 6 τραυςός cod, em. Lob. Proll. p. 419. l. 9 cod. μῦρον ut et l. 11 bis, em. Ls. l. 14 ςυναλημμένα cod., em. Bl. l. 18 Lehrsius adnotat fragmentum aliunde ut ab Athen. I 19a paullo plenius traditum esse: κλῦθ' ἀλαλά, πολέμου θύγατερ Ἐγχέων προοίμιον. Quin Pindari sit, post Hauptium non dubitari potest: cf. Bergk frg. Pind. 55 A ed. II. l. 19 μυγδαλῆ hic et in versu (l. 21) cod., em. Meinek. παρά τό ἀλός cod., em. Ls. cod. ςυναλυμμέναν, em. Bl. l. 20 ἐν ὑπείνῳ καὶ cod., em. Mein. (ed. min. p. 485, qui tamen ἐν Ὑΐ εἰπών). cod. ςκόρπιος, em. Mein. l. 24 cod. Ἀριςτοφάνει ἀμφιάρεῳ· καινὴ διὲκ τοῦ δωματίαυ γένων φέρε κνέφαλλον ἅμα καὶ προςκεφάλαιον ἐκ τῶν λινῶν, emendavit Dindorfius observans secundum versum etiam a Polluce afferri X 20. l. 27 ἀπὸ ταῦ κνέφαν cod., Dind. thes. κνέφος, Mein. II 2 p. 650 (ed. min. p. 375) κνάφος, Ls. κνάφου. Mein. etiam ὅςτις scribit, sed Lehrsius tuetur ἥτις suppleus λέξις. cod. ἣ περιπεταννῦντες, corr. Mein.

χνοῦ, ᾧ καὶ πρὸς τὰς τύλας ἐχρῶντο, ὥσπερ καὶ νῦν. μέμνηται δὲ αὐτοῦ τοῦ ἐμβαλλομένου Πλάτων ὁ κωμικὸς ἐν Πεισάνδρῳ

ὥσπερ κνεφάλλων ἢ πτίλων σεσαγμένος.

ὥστε καὶ ἀντίθεσις ἐγένετο τοῦ ᾱ εἰς ε̄· ἐπεὶ παρὰ τὸ κνάφος ἐγένετο. εἰσὶ μέντοι οἳ καὶ διὰ τοῦ γ̄ γράφουσιν. ἔν τισιν ἐν Μαλθακοῖς Κρατίνου παρεφύλαξε Σύμμαχος.

Ἀναδράμωμεν ἐπὶ τὸ προκείμενον, παραθέμενοι τὸ τύλη, ὅπερ οὐκ ἦν παρ' Ἀττικοῖς· ἀλλὰ μέμνηται Σαπφὼ ἐν δευτέρῳ

ἔγω δ' ἐπὶ μαλθάκαν
τύλαν κασπολέω μέλεα

καὶ

ἀσάμενον .
τύλᾳ κασπολέω·

οὐ γὰρ ὁ τέ σύνδεσμος. μύλη, πύλη, σύλη ἐν Σαμίων ὅροις· «καὶ οὐδένα κατέδησεν ὧν τῆς σύλης μετασχεῖν». μονήρες ἄρα τὸ φυλή ὀξυνόμενον.

40 Σίνος. τὰ εἰς \overline{νος} λήγοντα ἐπ' εὐθείας τῷ ῑ παραληγόμενα συνεσταλμένῳ οὐ θέλει οὐδέτερα εἶναι, οἷον πίνος, λίνος, σπίνος,

καὶ σπίνος ἠῷα σπίζων καὶ ὄρνεα πάντα

παρ' Ἀράτῳ (Dios. 292). πῶς οὖν τὸ σίνος οὐδετέρου γένους ἔχεται; τὸ γὰρ κρίνος ἐκ τοῦ κρίνον μεταπεποίηται.

Ἰότης. τῶν εἰς \overline{της} ληγόντων θηλυκῶν ὀνομάτων ὑπὲρ δύο συλλαβὰς ὄντων γένεσις προκατάρχει ὀνοματική, ταχυτής, βραδυτής, ἰσότης, κουφότης, κακότης, δηϊοτής· σημειῶδες τὸ ἰότης

μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων (Ο 41).

οὐ γὰρ πρόδηλον ἔχει ὄνομα, παρ' ὃ γέγονεν, ἀλλὰ ῥῆμα. τὸ μέντοι παρὰ Σοφοκλεῖ ἐν Λακαίναις δανότης εἰρημένον

ἐν ᾧ παύσεθ' ἁμερίων μόχθων τε καὶ
δανότητος

---

l. 1 cod. οἷς, Mein. ᾧ. l. 3 νεφάλλων et πτιλῶν cod., corr. Mein. l. 5 μαλακροῖς Κρατύνου περιεφύλαξε cod., em. Bl. l. 9 ἐγὼ δ' ἐπὶ μαλθακὰν τύλαν σπολέω μέλεα· κἂν μέν τε τύλαγκας ἀσπόλεα. exbibui Lebrsii scripturam, qui in priore parte Hermannum (opusc. VI p. 130) secutus est (Bergk fr. 50 p. 678 ed. II

ἔγω δ' ἐπὶ μαλθάκαν
τύλαν σπολέω μέλεα),

sed in altera parte, quam Hermannus neglecta Herodiani observatione οὐ γὰρ ὁ τέ σύνδεσμος cum priore in unum fragmentum coniunxit, proprio Marte lusit, ut ipsius verbo utar, id pro certo habens eo modo scribendum esse, ut aliquo modo potuerit dubitatum esse, utrum τύλᾳ an τ' ὕλᾳ intellegi debeat. Bergkius fr. 79 ed. II p. 685 scripsit: κὰμ μέν τετύλαν κασπολέω, ratus τετύλαν formam esse reduplicatione auctam, alios vero videri divisim scripsisse τε τύλαν. Ahrens καὶ ἐν α'· ἔν τε τύλᾳ κασπολέοισα. l. 14 ὕλη ἐν σαμίων ὅροις — τῶν — ὕλης cod., em Ls. l. 19 καὶ σπίνος ἐπινοήσω ἀσπίζων καὶ ὄρνεα πάντα, παρ' αὐτῷ, em. Bl. indicato Arati loco. l. 23 in cod. ταχύτης βραδύτης et l. 24 δηϊότης scriptum, em. Ls. l. 26 ἔχον, Ls. ἔχει. cod. γέγονε ῥῆμα, Bl. inseruit ἀλλά. l. 27 cod. δανοτής et l. 28 δανοτῆτος, em. Ls. l. 28 cod. ἢ παύσετ', Ls. ᾧ παύσεθ' cf. Nauck fr. trag. p. 168, qui Bergkii emendationem παύσεται recepit, sed ab eodem propositum ἀδρανότητα respuit. Lebrsius tuetur δανότης sumens quosdam

ὑγιῶς ἂν ἔχοι εἰ παρ' ὄνομα σχηματισθείη. τὸ δὲ παρὰ Κριτίᾳ ἐν ταῖς Ὁμιλίαις ὀρσότης ἀντὶ τοῦ ὁρμὴ παράσημον.

Κριτής. οὐδὲν εἰς της λῆγον δισύλλαβον ἀρσενικὸν ὀξύνεσθαι θέλει, ἀλλὰ μόνον τὸ κριτής. τὸ γὰρ ληστής ἀπὸ τοῦ ληΐστής τρισυλλάβου ἐστί· διὸ ἔχει προσκείμενον τὸ ι. τὸ δὲ ψαλτής Ἀττικόν ἐστιν ὀξυνόμενον, ὡς ἱστορεῖ Ἀπολλόδωρος.

Κρείσσων. τὰ εἰς σσων λήγοντα συγκριτικὰ οὐδέποτε πρὸ τέλους ἔχει τὴν ει δίφθογγον, ἀλλὰ μόνον τὸ κρείσσων. λέγεται δὲ καὶ κρέσσων μὴ πλεονάζοντος τοῦ ι,

κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος (Pind. Pyth. I 85),

καὶ

ἦν θεὸς ἢ κρέσσον· τί ὀνησόμεθα;

[ὁ κανών· οὐδέποτε δὲ πρὸ τῶν δύο σσ εὑρίσκεται δίφθογγος, πλὴν τοῦ κρείσσων, καὶ λεύσσω, καὶ γλαύσσω τὸ φωτίζω.]

Ἥσσων. τὰ εἰς ων λήγοντα συγκριτικὰ οὐδέποτε πρὸ τέλους ἔχει τὸ η, ἀλλὰ μόνον τὸ ἥσσων.

Ἀμείνων. οὐδὲν εἰς ων λῆγον συγκριτικὸν πρὸ τοῦ ω τὸ ν ἔχει, ἀλλὰ μόνον τὸ ἀμείνων.

Χείρων. οὐδὲν εἰς ων λῆγον συγκριτικὸν πρὸ τοῦ ω τὸ ρ ἔχει, 41 ἀλλὰ μόνον τὸ χείρων. αἴτιον δὲ τὸ πάθος καὶ ἐπὶ τοῦ προκειμένου.

Γλύσσων. οὐδὲν τῶν εἰς ων λῃγόντων συγκριτικῶν ἔχει πρὸ τέλους τὸ υ. σημειῶδες ἄρα τὸ παρὰ Ξενοφάνει γλύσσων·

εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλὸν ἔφασκον
γλύσσονα σῦκα πέλεσθαι.

Μείζων. οὐδὲν εἰς ζων λῆγον δισύλλαβον συγκριτικόν, ἀλλὰ μόνον τὸ μείζων. δισύλλαβον δὲ προσέθηκα διὰ τὸ ὀλίζων.

Στρυφνός. τὰ εἰς νος λήγοντα δισύλλαβα ὀξύτονα, ἔχοντα πρὸ τοῦ ν ἐπιπλοκῇ σύμφωνον, εἰ ἔχει πρὸ τέλους τὸ υ, συνεσταλμένον αὐτὸ ἔχει, γυμνός, πρυμνός, συχνός, πυκνός, στυγνός· σημειῶδες οὖν

vocem a δάν adverbio derivasse explicantes χρονιότητα «perpetuitatis molestiam», alios a nomine δανός intellectu aestus vel sitis. Atque haec Herodiani sententia fuisse potest, ut diceret δανότης recte habere, si a nomine, non item, si ab adverbio propagaretur, licet adverbii mentio diserta non fiat. Lobeckius ad Buttm. p. 419 putavit hic necessario vocabulum intellegendum esse, quod et a nomine et a verbo derivari possit et scribendum proposuit παύσεσθ' ἀργαλέων μόχθων τότε καὶ πλανότητος, quod non necessarium. l. 1 cod. Κρατίᾳ, corr. Ls. l. 2 cod. περάσιμον, corr. Bl. l. 4 ληΐστής τρισύλλαβόν ἐστι cod., Ls. ληστής ἀπό τοῦ ληΐστής τρισυλλάβου emendavit, etiam ληστής φύσει τρισύλλαβόν ἐστι scribi posse adnotans. l. 5 cod. προκείμενον, em. Bl. l. 7 cod. εἰς ων, εἰς σσων scripsi cum Lsio. l. 12 cod. ἦν θεός· ἢ κρέσσων δέ τι ὀνησόμεθα. Bl. κρέσσον corr., reliqua emendavit Lehrsius adnotans Herodianum ὀνησόμεθα, etiamsi ὀνησόμεθ' significet, plene scripsisse. l. 13 ὁ κανών κτλ. Dindorfius, qui verba inde ab ὁ κανών usque ad finem uncinis inclusit, adnotavit haec: «Quae uncinis circumdedimus, in margine scripta sunt, nec videntur ab Herodiano profecta». Lehrsius addit nostro quidem loco haec alienissima videri. Ceterum l. 14 cod. γραύσα, em. Bl. l. 22 παρὰ Ξενοφῶντι cod., om. Dindorf. ex E. Gud. 301, 15 γλύσσων· κέχρηται δὲ Ξενοφάνης τῷ ὀνόματι οἷον γλύσσονα σῦκα. l. 23 cod. πολλῶν, em. Ls. l. 27 στυφνός cod., em. Ls. l. 28 δὲ ante πρὸ delevit Bl.

τὸ ϲτρυφνός ἐκεῖνον τὸ ῡ. οὕτω γὰρ ἀνέγνωμεν παρ' Ἀριϲτοφάνει ἐν Cφηξί (877)·

παῦϲόν τ' αὐτοῦ τοῦτο τὸ λίαν ϲτρυφνόν.

Προΐξ. οὐδὲν εἰϲ οιξ λῆγει ὄνομα, ἀλλὰ μόνη ἡ προίξ.

Γλαῦξ. οὐδὲν ὄνομα εἰϲ αυξ λῆγον θηλυκόν, ἀλλὰ μόνον τὸ γλαῦξ. προϲέθηκα δὲ θηλυκόν, ἵνα μή τιϲ τὸ Ταῦξ ἀντιθῇ. ἱϲτορεῖται γὰρ οὗτοϲ ποταμὸϲ περὶ Cικελίαν.

Ἀϲκόϲ. οὐδένα τῶν εἰϲ κοϲ ληγόντων διϲύλλαβα ὀξύνεϲθαι θέλει, Κέϲκοϲ, Φύϲκοϲ, Ἑκαταῖοϲ «ἐὼν δὲ πρεϲβύτεροϲ Λοκρὸϲ ἦν Φύϲκου παῖϲ». Ζύϲκοϲ ποταμὸϲ Μακεδονίαϲ, ὡϲ Ἀντιγένηϲ φηϲί. δίϲκοϲ. ἀλλὰ μόνον τὸ ἀϲκόϲ διϲύλλαβον ὑπάρχον.

Θοόϲ. τὰ εἰϲ οϲ καθαρὰ διϲύλλαβα τῷ ο παραληγόμενα φιλεῖ βαρύνεϲθαι, κόοϲ, ϲόοϲ, νόοϲ, χνόοϲ, γόοϲ, πλόοϲ, ῥόοϲ, θρόοϲ. διὸ καὶ τὸ Ζόοϲ παρ' Ἐπιχάρμῳ οἱ πλείουϲ ἐβάρυναν

τρὶϲ ἀπεδόθη Ζόοϲ

ὁμοίωϲ καὶ τὸ ϲόοϲ. τὸ μέντοι θοόϲ ἄντικρυϲ ὀξυνόμενον μονῆρεϲ. τὰ δὲ αἴτια τούτων ἐν ἑτέροιϲ δηλοῦμεν.

42 Βαϲιλεύτεροϲ. οὐδὲν εἰϲ τεροϲ λῆγον ὑπὲρ δύο ϲυλλαβὰϲ τῇ ευ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ «βαϲιλεύτερόϲ εἰμι» (Ι 160).

Cτρουθόϲ. τὰ εἰϲ θοϲ λήγοντα καθαρὰ μονογενῆ διϲύλλαβα παραληγόμενα φύϲει μακρᾷ βαρύνεϲθαι θέλει, κῶθοϲ, οὕτωϲ ὁ κωβίοϲ [κωμικόϲ], μῦθοϲ, Ζῆθοϲ, Cῆθοϲ ποταμὸϲ Cκυθίαϲ ὡϲ Φιλοϲτέφανοϲ, Ξοῦθοϲ τὸ κύριον,

Δῶρόϲ τε Ξοῦθόϲ τε,

Βοῦθοϲ Πύθια νικήϲαϲ· παροιμία «Βοῦθοϲ περιφοιτᾷ», Κρατῖνοϲ Χείρωϲι· τάττεται δὲ ἐπὶ τῶν εὐήθων καὶ παχυρίνων· Νοῦθοϲ κύριον, καὶ ψόφοϲ, ἣν οἶδεν Ἡϲίοδοϲ ἐν τρίτῳ

νοῦθοϲ δὲ ποδῶν ὑπόδουποϲ ὀρώρει.

ϲημειῶδεϲ ἄρα τὸ ϲτρουθόϲ ὀξυνόμενον. Χαῖριϲ δέ φηϲιν Ἀττικοὺϲ βα-

l. 3 cod. παύϲοντα τεύτου τό, corr. Dind. l. 4 προῖξ bis cod. cum circumflexo, equidem acutum scripsi coll. Arcadio 125, 6. l. 6 cod. τιθῇ, ἀντιθῇ Lob. Parall. p. 100. l. 9 ἴων cod., ἐὼν Lb. l. 10 Ἀντιγένηϲ cod., Ls. nescio an typothetae errore Ἀντιγενίδηϲ. cf. Carol. Mueller scriptores de rebus Alexandri Magni p. 157. l. 13 cod. τόοϲ νόεϲ, Ls. νόοϲ χνόοϲ, adnotans Τόου πόλιν occurrere in Ptolem. Geogr. IV 5 p. 289 Wilb. (§ 73 p. 264 Nobbe).
l. 16 cod. τὸ Ζωόϲ, Ls. ϲόοϲ. l. 21 cod. θῶκοϲ· οὕτωϲ ὁ κήβιεϲ κωμικόϲ· μῦθοϲ· γῆθοϲ, emendavit Mein. hist. com. p. 530 collatis Athen. 309, e et Arcad. 49, 1, in κωμικόϲ dittographiam agnoscens. l. 23 et 24 cod. Ζοῦθοϲ, corr. Dind.; verba Δῶρόϲ τε Ξοῦθόϲ τε Hesiodi (fragm. XXXII Goettl.) esse indicavit Dind.
l. 25 ἐνίκηϲα cod., em. Mein. Com. fr. I p. 158 (ed. m. p. 52). περιφοίτα cod., em. Mein. l. 26 τάττεται δὲ καὶ ἐπὶ cod., καὶ delevit Mein. l. 26 cod. νοῦθοϲ κύριον· ψόψοϲ ἐν εὔδει· Ἡϲίοδοϲ. Lobeckio in Proll. 107 collato Hesychio νωθήϲ νωθρόϲ — νωφαιόϲ ἀφανήϲ — νυθόϲ ἄφωνοϲ ϲκοτεινόϲ pro νυθόϲ Herodianus hic νουθόϲ afferre visus est et tale quid excidisse putabat καί ψόφεϲ νουθὸϲ εἴρηται; sententiam Lobeckius indagavit, Lehrsius verba egregie restituit. l. 28 cod. ὕπε δοῦποϲ, Ls. ὑπόδουποϲ. l. 29 cod. ἴϲχαριϲ, Lehrsius ex Schol. ad Il. Β 311 loco nostro simillimo substituit Χαῖριϲ, Cramerus ex Schol. ad Aristoph. Av. 876 Χάρηϲ.

ρύνειν τὸ ὄνομα, ὡϲ καὶ Τρύφων μέμνηται ἐν δευτέρῳ περὶ Ἀττικῆϲ προϲῳδίαϲ. ἴϲωϲ μέντοι παρήλλαξε τῶν προκειμένων ἐπεὶ καὶ ἀρϲενικῶϲ λέγεται

καλοὶ δέ ϲ' ἆγον

ὠκέεϲ ϲτρουθοί

καὶ θηλυκῶϲ

αὐτὰρ ἐπεὶ κατὰ τέκν' ἔφαγε ϲτρουθοῖο καὶ αὐτήν (B 326).

Ἄτη. τὰ εἰϲ $\overline{\text{τη}}$ λήγοντα διϲύλλαβα μονογενῆ καθαρά, εἰ ἔχοι πρὸ τέλουϲ τὸ $\overline{\text{α}}$, ϲυνεϲταλμένον αὐτὸ ἔχει, πλάτη, μάτη, ἔνθεν καὶ γενικὴ παρὰ Σοφοκλεῖ

οὔτι τοι μέτρον μάταϲ,

Βατή δῆμοϲ Ἀττικοῖϲ. ἀδιάφορα γὰρ τὰ τοῦ τόνου. ϲημειῶδεϲ ἄρα τὸ ἄτη ἐκτεῖνον τὸ $\overline{\text{α}}$. λέγεται δὲ καὶ τριϲυλλάβωϲ ἐν ϲυϲτολῇ τοῦ $\overline{\text{α}}$, ὡϲ παρὰ τῷ Κυρηναίῳ

εἴτε μιν Ἀργείων χρὴ καλέειν Ἀάτην.

τὸ δὲ αἴτιον τῆϲ ἐκτάϲεωϲ ἐν τῇ διϲυλλάβῳ προφορᾷ ἐν ἑτέροιϲ εἴπομεν.

Βλαύτη. τὰ εἰϲ $\overline{\text{τη}}$ λήγοντα διϲύλλαβα μογογενῆ, εἰ παραλήγοιτο διφθόγγῳ, πάντωϲ τῇ διὰ τοῦ ῑ, βαίτη, δαίτη, λοίτη, δροίτη, κοίτη. ϲημειῶδεϲ οὖν τὸ βλαύτη τῇ $\overline{\text{αυ}}$ διφθόγγῳ παραληγόμενον.

Ἀμῶ. οὐδέποτε τὸ $\overline{\text{α}}$ πρὸ τοῦ $\overline{\text{μ}}$ κατὰ τὴν κοινὴν διάλεκτον ἐκτε- 43
ταμένον ἐϲτὶν ἐν ἀρχῇ, οἷον ἅμα, ἄμυϲτιϲ, ἀμύϲϲω, ἄμεινον, ἅμιλλα, ἀμίϲ, ἀμύνω, ἄμαθοϲ. τὸ τοίνυν ἀμῶ ῥῆμα ϲημειῶδεϲ,

εἰϲ ὥραϲ ἀμῷεν (ι 135),

ᾧ ἀκόλουθα ῥηματικά,

οἱ δ' ὥϲτ' ἀμητῆρεϲ (Λ 67)

καὶ

ὀλίγοϲ δ' ἀμητὸϲ ἔην.

ὅϲα γὰρ εἶχεν οὕτω τὸ $\overline{\text{α}}$ ἐκτεταμένον πρὸ τοῦ $\overline{\text{μ}}$ ἐν ἀρχῇ, ἐκ τροπῆϲ τοῦ $\overline{\text{η}}$ εἰϲ $\overline{\text{α}}$ ἦν, ὡϲ ἔχει τὸ ἁμέρα, ἆμοϲ, ἆμαρ.

Ἔρρω. οὐδὲν ῥῆμα λῆγον εἰϲ $\overline{\text{ρ}}$ διϲύλλαβον κατὰ τὴν τῶν ποιητῶν χρῆϲιν καὶ τῶν πεζῶν ἔχει τὴν πρὸ τέλουϲ ϲυλλαβὴν εἰϲ $\overline{\text{ρ}}$ καταλήγουϲαν, ἀλλὰ μόνον τὸ ἔρρω,

ὅτε τ' ἤλυθεν ἐνθάδε ἔρρων,

καὶ

ἔρρ' ἐκ νήϲου θᾶϲϲον ἐλέγχιϲτε ζωόντων (κ 72).

l. 4 cod. καλοὶ δὲ ἐϲάγον, correxit Bloch. indicato Sapphonis loco I 9. l. 12 cod. βάτη, accentum restituit ex Arcad. 113 Ls. l. 15 εἴτε μὶν ἀργείων χρῆ μὲν καλεῖν ἀάτην cod., em. Ls. l. 16 εἴπωμεν cod., em. Ls. l. 18 pro λοίτη Blochius voluit χαίτη, sed tuetur Dind. thes. ex Hesych. λοιτεύειν θάπτειν et λοιτή (?) τάφοϲ et Theogn. 117, 27. l. 21 ἐϲτὶ cod., Ls. ἐϲτὶν. cod. ἄμυδιϲ, Ls. ἄμυϲτιϲ. l. 25 ἀμητέρεϲ cod., corr. Dind. l. 27 cum verbis ὀλίγοϲ δ' ἀμητὸϲ ἦεν comparavit Dind. Hom. T 223 ἄμητοϲ δ' ὀλίγιϲτοϲ, Ls. pro ἦεν scripsit ἔην. l. 28 cod. ἐκ τροπῇ, em. Bl. l. 29 ἅμερα cod., corr. Bl. l. 35 ἔρρε νήϲου cod., corr. Dind.

τὰ δὲ τοιαῦτα Αἰολικὰ ἦν ἔχοντα κοινά, ἱμέρρω, ἀγέρρω, οἰκτίρρω, ὀλοφύρρω. εἴπερ οὖν Αἰολικόν, ζητητέον τί αὐτοῦ ἦν κοινόν. οὐ γὰρ αὐτὸ τὸ φθείρω, ὡς οἴονταί τινες.

Δήω. οὐδὲν εἰς ω̄ λῆγον ῥῆμα βαρύτονον καθαρὸν διςύλλαβον τῷ η̄ παραλήγει, ἀλλὰ μόνον τὸ δήω, δήεις

δήεις τόν γε ςύεςςι παρήμενον (ν 407).

τὸ γὰρ ἔκηα οὐ πάντως ἐνεςτῶτα τὸν κήω αἰτήςει, ὡς ἀπαιτεῖ Φιλόξενος. ἡ δὲ τοιαύτη παράληξις ἢ περιςπωμένη ἐςτίν, ὥςπερ τὸ θηῶ, νηῶ, ἢ εἴπερ βαρυνόμενα εἴη, πάντως κατὰ διάλεκτον, ὡς τὸ παίω πήω λεγόμενον παρὰ Βοιωτοῖς, τὸ παλαίω παλήω, καὶ παρ' Αἰολεῦςιν ἐπὶ τῶν ὑπὲρ δύο ςυλλαβὰς ἀδικήω, ποθήω, τό τε κλήω ἐκ τοῦ κλείω γενόμενον.

Ἐςθίω. τὰ εἰς ι̅ω̅ λήγοντα ῥήματα ὁριςτικὰ ἐνεςτῶτος χρόνου, εἰ λάβοι ἐπέκταςιν τοῦ ι̅, περιςπᾶςθαι θέλει, χαίρω χαιριῶ, ἐρεύθω ἐρευθιῶ, φλέγω φλεγιῶ, κνήθω κνηθιῶ, κνίφω κνιφιῶ· ἀλλὰ μόνον τὸ 44 ἐςθίω βαρύνεται, τὸ γὰρ δείδιε οὐχ' ὥς τινες οἴονται, ἀπαιτεῖ θέμα τὸ δειδίω· εἰ δὲ καὶ ἀπαιτήςῃ, ἐκ παρακειμένου ἂν εἴη γενόμενον.

Πιέζω. τὰ εἰς ζ̅ω̅ λήγοντα ῥήματα ὑπὲρ δύο ςυλλαβὰς βαρύτονα οὐδέποτε τῷ ε̅ παραλήγεςθαι θέλει, εὐάζω, ςκεδάζω, ςκεπάζω, ἁρπάζω, λυρίζω, ςαλπίζω, βαῦζω, χαιτίζω, κιθαρίζω, ἑρπύζω. ςημειῶδες ἄρα παρ' Ἀττικοῖς καὶ τοῖς Ἴωςι λεγόμενον διὰ τοῦ ε̅ τὸ πιέζω, ὥςπερ καὶ παρὰ τῷ ποιητῇ. προςέθηκα δὲ καὶ τὰς διαλέκτους, ἐπεὶ παρ' Ἀλκαίῳ διχῶς λέγεται, παρὰ δὲ Ἀλκμᾶνι διὰ τοῦ α̅,

τῷ δέςποινα θεὰ κατὰν κάραν
ἀμβᾶς' ἐπίαζε.

καὶ δῆλον ὅτι πρὸς τὸν χαρακτῆρα ἀναλογωτέρα ἡ χρῆςις ἡ διὰ τοῦ α̅. πρόςκειται ὑπὲρ δύο ςυλλαβὰς τῷ κανόνι, ἐπεὶ διςύλλαβά ἐςτι παραληγόμενα τῷ ε̅, ὡς τὸ ἕζω, χέζω, ῥέζω· βαρύτονα δὲ διὰ τὸ τραπεζῶ περιςπώμενον παρ' Ἀττικοῖς.

Ἐςςί. οὐδὲν εἰς ς̅ι̅ λῆγον ῥῆμα δεύτερον πρόςωπον, ἀλλὰ μόνον τὸ ἐςςί·

---

l. 1 γέρρω cod., Ls. ἀγέρρω. cod. οἰκτέρρω, em. Ls. l. 7 ἐκήου cod., ἔκηα οὐ Lehrsius cum Lob. Rhem. 17. l. 8 cod. ἡ, Ls. ἢ. ἐςτὶ ὡς πρὸς cod., Ls. ἐςτὶν ὥςπερ, idem l. 9 ante εἴπερ inseruit ἤ. καὶ διαλέκτου cod., em. Ls. l. 10 τὸ παλαίω Ls. inseruit cum Dind. et Ahrens de Dial. Aeol. p. 187. l. 11 cod. κλαίω, Ls. cum Lob. Rhem. p. 17 κλείω. l. 16 post τὸ ἐςθίω Lob. Rhem. p. 19 inseruit verba βαρύνεται. τὸ δὲ (Ls. γάρ) δείδιε. l. 17 cod. διδειῶ, em. Lob. l. 19 ἐάζω cod., em. Ls. l. 20 βαρύζω cod., em. Bl. ἀτυχίζω cod., Lehrsius, qui cogitaverat de τυκίζω scripsit χαιτίζω coll. Epim. Cr. I 291, 4 καὶ τὸ πελεμίζει ἀπὸ τοῦ παλάμη παλαμίζω ὡς χαίτη χαιτίζω καὶ τὸ πιάζω οἱ Ἴωνες πιέζω καὶ Ἀττικοὶ καὶ Αἰολεῖς —. Δωριεῖς πιάζω ἀναλογώτερον. l. 24 cod. τῷ δὲ ςκομύνθεα κατ'αν κάρραν μάβως ἐπίαζε, recepi Lehrsii emendationem deam Aphroditen vel Aten intellegentis, cf. Bergk fr. 35 p. 642 ed. II qui ipse suspicatur τῷ δὲ ςκόλον θεὰ καττὰν κάραν ἀβρῶς πίαζεν et Nauckium coniecisse dicit: τῷ δὲ κόρυν θεὰ καττὰν κάραν λαβῶς' ἐπίαζε. l. 29 δὲ post περιςπώμενον delevit Ls.

ἔχθιστος δέ μοί ἐσσι (Α 176).

ἡ δὲ χρῆσις παρὰ τοῖς ποιηταῖς καὶ Συρακουσίοις· διὸ καὶ Σώφρων φησί·

ὀδαῖός γέ ἐσσι.

Εἶς. οὐδὲν εἰς εις λῆγον δεύτερον πρόσωπον ὀξύνεται, ἀλλὰ μόνον τὸ εἶς·

αἵματός εἰς ἀγαθοῖο (δ 611).

τὸ δὲ αἴτιον ἐν τοῖς περὶ ῥημάτων ἐρῶ.

Ὑφήφασται. οὐδεὶς Ἀττικὸς παρακείμενος ἀπὸ τοῦ υ ἄρχεται, ἀλλὰ μόνος ὁ ὑφήφασται.

Οἶσθα. ὅσα εἰς θα λήγει δεύτερα πρόσωπα ἐπεκτεταμένα, ταῦτα ἀποβολῇ τῆς θα συλλαβῆς καταλείπει ῥητὸν τὸ ῥῆμα, οἷον λέγῃσθα λέγῃς, βάλῃσθα βάλῃς, ἦσθα ἦς. μόνον δὲ τὸ οἶσθα τοιοῦτον οὐκ ἀνεδέξατο. αἴτιον δὲ τὸ πάθος.

Ἦν. οὐδὲν ῥῆμα ὁριστικὸν ἑνικὸν πρῶτον πρόσωπον κατὰ τὸν αὐτὸν χρόνον ὁρᾶται πρῶτον πρόσωπον ἑνικοῦ καὶ τρίτον ἑνικοῦ καὶ πρῶτον καὶ τρίτον πληθυντικοῦ, ὅτι μὴ μόνον τὸ ἦν. ἦν γὰρ ἐγὼ 45
Ἀττικοὶ λέγουσι καὶ ἦν ἐκεῖνος· καὶ πληθυντικῶς Σιμωνίδης ἐπὶ πρώτου προσώπου, ὡς καὶ ἐν ἐπιγράμμασιν·

ἦν ἑκατὸν φιάλαι, δίχα δέ σφισιν

ἀντὶ γὰρ τοῦ ἦμεν ἦν.

τῆς δ' ἦν τρεῖς κεφαλαί (Hes. Theog. 321).

καὶ

κωφοὶ δ' ἦν προπάροιθεν.

οὐκ ἀγνοῶ δὲ ὅτι ἄλλως ποικίλως λέγεται τὸ ῥῆμα.

Ἐδάμην. οὐδὲν εἰς μην λῆγον ῥῆμα τρέψαν τὸ ν εἰς ς δεύτερον πρόσωπον ἀποτελεῖ· ἀλλὰ μόνον τὸ ἐδάμην ἐποίησε τὸ ἐδάμης καὶ ἀποβολῇ τοῦ ς τρίτον ἐδάμη. τὸ δὲ αἴτιον λέγεται ἐν τοῖς περὶ ῥημάτων.

Εἴξασι. οὐδεὶς παρακείμενος τρίτον πρόσωπον εἰς σι ἔχει τὴν πρὸ τοῦ τέλους συλλαβὴν διὰ τοῦ ξα, ἀλλὰ μόνον τὸ εἴξασι·

τοῖς βιβλίοις εἴξασι.

Ἡγῶ. τὰ εἰς γω λήγοντα ῥήματα ὁριστικὰ δισύλλαβα, εἰ παραλήγοιτο τῷ η, θέλει βαρύνεσθαι, θήγω, λήγω, τμήγω· τὸ δὲ ἡγῶ περισπᾶται· ἔνθεν τὸ ἡγοῦμαι. τὸ δὲ αἴτιον πρόδηλον.

Ἀμφί. οὐδεμία πρόθεσις διὰ δασέος συμφώνου ἐκφέρεται, ἀλλὰ μόνον τὸ ἀμφί· λέγεται δ' ἔσθ' ὅτε καὶ ἀμπὶ ἐν συνθέσει διὰ τοῦ π, καὶ ἴσως ἀναλογώτερον.

l. 4 cod. ἧς et εἰς ης λῆγον et τὸ ἧς et αἵματος ἧς, em. Ls.; in verbis Homeri iam Dind. scribi αἵματος εἶ vel αἵματός εἰς. monuerat. l. 8 et 9 ὑφήσφασται cod., em. Ls. l. 19 δίχα σφίσιν cod., δέ inseruit Ls. l. 23 κωφὸν cod., κωφοὶ Bl. l. 31 versus incerti comici: Mein. IV p. 651 (ed. min. p. 1222). l. 34 cod. ἡγούμην, em. Ls.

Διά. αἱ εἰς ᾱ λήγουσαι προθέσεις σύμφωνον ἔχουσι πρὸ τοῦ ᾱ· ἀλλὰ μόνη ἡ διὰ τὸ α καθαρεύει.

Ὑπέρ. οὐδεμία πρόθεσις δισύλλαβος εἰς σύμφωνον καταλήγει, ἀλλὰ μόνη ἡ ὑπέρ· τὸ γὰρ

οἵπερ νέρτεροί εἰσι θεοὶ Κρόνον ἀμφὶς ἐόντες (Ο 225)

οὐ γνήσιον ἔχει τὸ τέλος, ἢ ἴσως ἐνήλλακται μέρος λόγου.

Πρό. οὐδεμία πρόθεσις μονοσύλλαβος εἰς φωνῆεν λήγει, ἀλλὰ μόνον ἡ πρό.

Ἐξ. οὐδεμία πρόθεσις εἰς διπλοῦν λήγει, ἀλλὰ μόνη ἡ ἐξ.

Πρίν. οὐδὲν εἰς ῑν μονοσύλλαβον ἐπίρρημα, ἀλλὰ μόνον τὸ πρίν·
46 τὰ δὲ εὑρεθέντα ὑπὲρ μίαν συλλαβὴν εὑρέθη, ὡς τὸ πάλιν, πέρυσιν, τὸ ἀεὶ παρ' Ἀττικοῖς αἰὲν παρὰ Δωριεῦσιν, αἶιν παρ' Αἰολεῦσι· λέγεται ταῦτα καὶ ἄνευ τοῦ ν̄.

Πέριξ. τὰ εἰς ιξ λήγοντα ἐπιρρήματα φιλεῖ πως ὀξύνεσθαι, κουρίξ, ἀπρίξ, ἀναμίξ. ἀλλὰ τὸ πέριξ μόνον βαρύνεται.

Βοτρυδόν. τὰ εἰς δον λήγοντα ἐπιρρήματα ὀξυνόμενα οὐ θέλει ἀπὸ τῶν εἰς υς ληγόντων ὀνομάτων παράγεσθαι καὶ πρὸ τέλους ἔχειν τὸ ῡ· μονῆρες ἄρα τὸ βοτρυδόν·

βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσι (Β 89).

ὁ μέντοι Εὐφορίων παρὰ τὸ εἰς υς παραγωγὸν ποιήσας ἐπίρρημα οὐκ ἔδωκε πρὸ τέλους τὸ ῡ, ἀλλὰ τὸ η̄.

πάντα δέ οἱ νεκυηδὸν ἐλευκαίνοντο πρόσωπα.

Ἀμφουδίς. οὐδὲν εἰς δις λῆγον ἐπίρρημα τῇ ου διφθόγγῳ παραλήγει, ἀλλὰ μόνον τὸ ἀμφουδίς.

Ψό. οὐδὲν ἐπίρρημα μονοσύλλαβον εἰς ο̄ λήγει, ἀλλὰ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσι εἴρηται τὸ ψό.

Χαμᾶζε. οὐδὲν εἰς ζε λῆγον ἐπίρρημα τῷ ᾱ παραληγόμενον προπερισπᾶται, ἀλλὰ μόνον τὸ χαμᾶζε· παραιτοῦμαι δὲ τοὺς προπερισπῶντας τὸ θύραζε.

Μέταζε. οὐδὲν ἐπίρρημα διὰ τοῦ αζε ἐκφερόμενον ἐπὶ χρόνου τέθειται, ἀλλὰ μόνον τὸ

μέταζε χατίζων (Hes. op. 396).

Ἐγγύθεν. οὐδὲν εἰς θεν λῆγον ἐπίρρημα τῷ ῡ παραλήγει, ἀλλὰ μόνον τὸ ἐγγύθεν.

Πάροιθεν. οὐδὲν εἰς θεν ἐπίρρημα λῆγον τῇ οι διφθόγγῳ παραλήγειν θέλει, ἀλλὰ μόνον τὸ πάροιθεν.

---

l. 5 ὑπέρτεροί εἰσι cod., Ls. coll. Epim. Hom. 66, 30 ex versu Homerico emendavit. l. 11 ὡς τὸ πάλιν ἱεροῖσιν. παρ' Ἀττικοῖς αἰέν, παρὰ Δωριεῦσιν αἶιν, παρ' Αἰολεῦσι λέγεται. ταῦτα ἄνευ τοῦ ν̄, emendavit Ahrens de dial. Aeol. p. 157, Dor. 379. 513, quem secutus est Lehrsius quamvis dubitanter de αἰὲν παρὰ Δωριεῦσιν. l. 14 cod. πῶς, em. Ls. l. 22 πάντα δὲ οἱ νέκυνα ἐλεύκαινον τὰ πρόσωπα, correxit Cram. Mus. phil. 638. l. 23 et 24 cod. ἄμφουδις, ego oxytonos scripsi cf. Cathol. p. 512, 13. l. 28 ἀλλὰ ante μόνον et παραιτοῦμαι ante δὲ inseruit Dind. cum Blochio. l. 32 χατίζον cod., corr. Dind.

Νύκτωρ. οὐδὲν εἰϲ ωρ ἐπίρρημα, ἀλλὰ μόνον τὸ νύκτωρ. δείκνυται γὰρ ἐπίρρημα.

Ἄτερ. οὐδὲν εἰϲ τερ ἐπίρρημα, ἀλλὰ μόνον τὸ ἄτερ. τὸ γὰρ 47 Δάματερ κλητική, ὡϲ τὸ Ἥρακλεϲ.

Ἐχθέϲ καὶ χθέϲ. οὐδὲν εἰϲ εϲ λῆγον ἐπίρρημα κοινόν, ἀλλὰ μόνον τὸ ἐχθέϲ καὶ χθέϲ. τὸ γὰρ ἄληθεϲ καὶ ἐπίτηδεϲ καὶ ὅϲα τοιαῦτα ἀπὸ ὀνομάτων μετατεθειμένα. πρόϲκειται δὲ «κοινὸν» διὰ τὸ ἀέϲ Δώριον.

Τοϲαῦτα περὶ μονήρων λέξεων ὡϲ ἐπὶ τὸ πλεῖϲτον. ἐπειράθημεν δὲ ἐν τῷδε τῷ βιβλίῳ καὶ προθέϲεων παράθεϲιν ποιήϲαϲθαι, ἐπεὶ καὶ αὐταὶ ὀλίγαι οὖϲαι ὁμοιότητα ἔϲχον.

l. 5 κοινόν ins. Ls. l. 7 μόνον κοινὰ cod., Ls. κοινόν. διὰ τὸ θὲϲ cod., Ls. διὰ τὸ ἀέϲ.

INDICES

AB ARTHURIO LUDWICH CONFECTI.

Numeri asterisco * notâti ad *Annotationem* spectant.

I.

INDEX LITERARUM ET SYLLABARUM INITIALIUM.

II.

INDEX LITERARUM ET SYLLABARUM FINALIUM.

τὰ εἰc ᾱ.

τὰ εἰc ε̄.

τὰ εἰc η̄.

τὰ εἰς ξ.

τὰ εἰς ο.

τὰ εἰς ρ.

III.

INDEX VERBORUM.

A.

B.

Γ.

Δ.

Ε.

Z.

H.

Θ.

I.

K.

Λ.

M.

O.

Π.

Ρ.

C.

T.

Υ.

Φ.

Χ.

Ψ.

IV.

INDEX AUCTORUM ET DIALECTORUM.

Numeros locorum, quibus auctor non nominatus est, praeter Homericos omnes uncis inclusi.

*) Hanc illam huius indicis particulam non plenam esse iis dictum, qui ex indicibus sapiant.

CORRIGENDA ET ADDENDA.

Lob. Quae hoc signo in his notata leguntur, prodeunt ex Arcadii (ed. Barker.) exemplari, quod inter alios *Lobeckii* libros nunc in bibliotheca regia Regimontana asservatur. Sed eas tantum dedi immortalis viri adnotationes, quae vel ineditae videbantur esse vel ad emendationes aliorum muniendas conferunt.

Pl. Sic significavi omnia, quae praeter correctionem singularum plagularum *Eugenius Plew* huic operi vel supplendo vel emendando praestitit, imprimis Milleri libro Mélanges de littérature grecque diligenter exhausto. Idem Gaisfordii editionem Etymologici Magni, qua Lentzius non usus erat, fere a pag. 529 tomi II huius operis consuluit.

Reliqua mea sunt maximam partem in indicibus conficiendis raptim collecta. Accedunt quae ex codice Veneto bibliothecae Marcianae nr. DCXIII. nuper a me collato ad Herodiani Odyssiacam Prosodiam pertinere videbantur. Qui codex, a scholiorum Homericorum editoribus et a Lentzio litera M signatus, praeter textum Batrachomyomachiae et Odysseae non solum „usque ad quartum librum" (sic Lentzius in praef. p. LXXXIII secutus Dindorfium, qui a C. G. Cobeto et in hunc et in alios errores videtur esse inductus), sed ad totam Odysseam larga continet scholia, quorum de amplitudine ac pretio aliquanto rectius indicabitur, si lectores edocuero, omnia fere scholia ab Aldo Manutio primum edita et a Dindorfio litera V (i. e. Scholia Vulgata) notata in codice illo inveniri. Non huius loci est rem pluribus persequi; de reliqua codicis praestantissimi condicione hoc satis habeo commemorasse: textus a pluribus manibus (M^1 M^2 etc.) scriptus est; scholia autem longe plurima ad omnes Odysseae libros una eademque manus (M^a) adscripsit, quam, quamvis multum similitudinis habeat cum M^1, tamen aliam esse persuasum habeo. Pauca occurrunt scholia vel ab ipsis M^1 et M^2 scripta vel ab aliis (M^b etc.).

Arthurius Ludwich.

AD TOM. I.

p. XXV l. 6 scr. *vocalis ᾱ in ō*
LXIX l. 26 scr. *Anecd. Ox. I.*
CXII l. 24 scr. *appellet*
CXIV l. 15 scr. *ex duobus parathetis*
CLXXXVII l. 13 scr. *tenendum est*
CCIX l. 23 post Ψ insere *ubi*
9, 15 pro προπαροξύνονται lege παροξύνονται
10, 16 lege κόϊλος pro κοῖλος
15, 4 verba (μὴ) παραληγόμενον τῇ ου διφθόγγῳ uncis inclusit *Lob.*
15, 10 Κάμικος lege Καμικός
17, 11 ἐπιπρητήν in marg. *Lob.*

p. 17, 16 Τραχὶν καὶ Τραχὶc pro τριχὶν καὶ τριχὶc *Lob.*
19, 20 ξυνήων pro ξενήων *Lob.*
21, 1 scr. Καλύκη (item in indice) et Χιτώνη
22, 16 scr. περιώcιον
24, 1 Πηλέγων Οὐκαλέγων pro ἐλέγων λάγων *Lob.*
25, 2 scr. Ἑκαταῖος Ἀσίᾳ
25, 15 Ἀσπληδών pro ἀσπιδών *Lob.*
25, 23 χαιρηδών pro ἀριδών *Lob.*
28, 24 κώθων pro ὤθων *Lob.*
29, 23 εἰκών pro ἐρκών *Lob.*
29 not. l. 9 scr. Εὔμολπος
30, 11 pro Τέλλων scr. Τρέλλων
31 not. l. 25 scr. *quia repetitio*
32 not l. 7 scr. κρέμω ῥῆμα
33, 4 ἐθνυμών et 34, 15 δούπων signo dubitationis notavit *Lob.*
35, 10 Τρήρων pro τήρων *Lob.*
36, 8 Ὀλο(οc)cών pro λοcών *Lob.*
39, 21 Μηλεών pro μηδεών *Lob.*
39, 25 αἰcάλων pro ἀccάλων *Lob.*
44, 15 scr. κῶδυξ
45, 2 scr. φεψάλυξ
47, 21 scr. ἐνταῦθα
48, 24 πάνθηρ καὶ cατυρόφηρ] citat haec Salmas. Plinian. exercit. in Solin. p. 149. b. E. *Lob.* Habet vero cατυρόθηρ.
49, 3 ἄκτωρ (vel) ἄχωρ pro ἄπωρ *Lob.*
49, 22 εἰνάτειρ pro ἐλάτειρ *Lob.*
52, 13 cf. Miller Mélanges de littérature grecque p. 47 s. v. Ἀcίω. *Pl.*
53, 16 ὀκρ- pro ἀκριβὰc *Lob.*
53, 27 scr. Καμάριναν coll. p. 258, 14 cum adnot.
56 not. l. 7 ab infer. marg. scr. Δισοραί
60, 5 Λάβηc pro altero κάβηc *Lob.*
60, 15 scr. βαρύνει ὡc „Μέcθλην
61, 23 ὥcπερ καὶ τὸ ἀγήc cύνθετον ἀπὸ ἀαγήc pro ἀπὸ τῆc γῆc *Lob.*
62, 2 Μένδηc pro μέδηc *Lob.*
63, 4 ubi in Corrigendis ad tom. I μὴ ὄντα τοπικὰ ἢ cυναληλιμμένα scribendum proposui ἐπιθετικὰ cυναληλιμμένα, nunc placet corrigere μὴ ὄντα προσηγορικὰ (sc. κacῆc) ἢ ἐπιθετικὰ (sc. Κιccήc) cυναληλιμμένα. *Lentzii ms.*
65, 4 διχήρηc pro λιγήρηc *Lob.*
72, 6 scr. *hymn. Apoll.* 19.
74, 2 λιπερνήτηc: hoc loco Herodianum puto versum cuiusdam poëtae, in E. M. 566, 50 a codice V et a Millero p. 207 servatum, attulisse: „οὐ γάρ μοι πενίη πατρώϊοc οὐδ' ἀπὸ πάππων· | εἰμὶ λιπερνήτηc· βάλε μοι βάλε τὸ τρίτον εἴη (?)." Millerus versum ex Callimachi Hecale repetit. Fortasse etiam alio loco Herodianus (cf. orth. II 543, 20 not.) de ι littera in prima syllaba huius vocabuli disseruit ibique nostrum versum attulit. *Pl.*
74, 6 fortasse Γαιζήτηc scribendum coll. locis a Meinekio Anal. Alex. p. 68 allatis.
77, 1 scr. Ἰοπίτηc
78, 11 scr. χήρωcαc

p. 79, 13 scr. δαμάλης ἔρως (Anacreon. fr. 2 v. 1)
81, 22 scr. τριακονταέτης τριακονταέτου
82, 14 et in indice corr. Ναξιουργής, quod Arcadius habet (cf. II 852, 2). *Pl.*
82, 31 not. scr. ὀνειροκρίτης -κριτής
85, 12 scr. νῆϊς ἀέθλων (Hom. θ 179)
87, 28 αἶθις καὶ κρόθις] Κάλαιθις in marg. *Lob.*
88, 7 ταμίθις] θαμουθ. (sic) *Lob.*
88, 32 Ἁγνοῦς] hoc Ἀγνοῦς scribendum erit, v. ind. et Steph. B. 19, 1.
90, 8 μαῦλις pro μάλυβδις *Lob.*
90, 11 ἔτι βαρύνεται καὶ τὸ βάλις καὶ μάμις καὶ μάλις Arcad.] χάλις pro μάμις *Lob.*
90, 15 scr. πετρήεσσαν
91, 9 πέλεκυς pro πέλυξ *Lob.*
93, 22 scr. Πόλιν
93, 31 scr. (p. 548)
94, 30 φινίς pro νῖνις et ζωνίς pro φωνίς *Lob.*
95, 18 post λίμνην insere ὡς Ἀλέξανδρος ἐν Ἀσίᾳ ex Steph. B.
95, 29 Λυκαονίς Ἀμαζονίς pro λυκαωνίς ἀμαξωνίς *Lob.*
95, 29 not. scr. Ἀθμονίς. idem spiritus cum Meinekio restituendus II 398, 5. 889, 12 et in indice vocabulis Ἀθμονεύς et Ἀθμονίς.
97, 25 Σάλπις πόλις voluisse videtur *Lob.*
99, 15 signo dubitationis notavit *Lob.*
99, 17 ἢ δασέος] ἶβρις e. gr. affert *Lob.*
102, 20 post Μοῦσαι Ἰλισσίδες adde ὡς Ἀπολλόδωρος ex Steph. B.
103, 23 scr. Ἰαγξούατις
104, 4 τορύνη pro τρυγών *Lob.*
104, 5 παιτέττις] „πεταιτα Hes." adscripsit *Lob.*
106, 19 scr. Ἀρδαλιῶτις
108, 34 scr. *Alcm. fr.* 26
109, 12 Arcad. ὀξύνεται habet, quod iam Ahrens. de dial. Dor. p. 502, ut *Lob.* adnotavit, in βαρύνεται mutavit
114, 17 et in adn. scr. σκωπαλέος
114, 25 scr. Ἀγαμεμνόνεος
116, 12 scr. θνητάδιος
119, 31 pro δήμιος fortasse δέσμιος ex Arcadio retinendum erat (cf. II 853, 6). *Pl.*
121, 18 scr. Ἀπολλόδωρος pro Ἀρτεμίδωρος
122, 14 post πεδίον insere (Hom. Ζ 201)
123, 19 αἰγωλιός pro ἐγολιός *Lob.*
131, 3 scr. παρθενείων
131, 27 scr. Αἰχμαλωτίσι
131 not. l. 7 scr. *Alcm.* 25
135, 6 scr. Ἀζειῶται (coll. p. 75, 3) et in indice Ἀζειώτης
136, 28 scr. „Σολύγειος λόφος" (Thucyd. IV 42)
138, 10 λέμβος pro λίβος et Θράμβος pro θάμβος *Lob.*
141, 11 Ἄμοργος pro ἄμολγος *Lob.*
141, 16 ad Hes. s. ὁμαρές. *Lob.*
141, 27 βάδος (vel) κλάδος pro ἄδος *Lob.* (in Barkeri editione λάδος ἄδος κάδος est.)

p. 142, 6 cκοῖδοc pro κοῖδοc *Lob.*
142, 15 λύγδοc pro ὄγδοοc *Lob.*
144, 26 ἴονθοc pro γόνθοc *Lob.* sed de bisyllabis agitur
148, 23 πλόκοc pro πλάκοc *Lob.*
150, 2 παλλακόc et παρδακόc (Aristoph.) in marg. *Lob.*
150, 11 Βουριακόc delendum, quum apud Steph. B. 183, 3 legatur Βουραϊκόc
150, 21 Ἀλέξανδροc Lentzius hic et p. 360, 4 ex Meinekii coniectura scripsit pro Μένανδροc
155, 20 χηλὸc δῆλοc in marg. *Lob.*
158, 7 ὄτλοc pro ὅπλοc *Lob.*
160, 6 scr. Θράκηc Αἰγιαλὸc
160, 14 Βάταλοc pro τάβακοc *Lob.*
161, 11 κεφελὸc] *Lob.* in marg.: οβο οὐ i. e. ὀβολόc ὀδελόc
162, 13 scr. Cτράβων Ζ΄ (p. 331 fr. 48)
164, 18 cf. schol. Theocrit. III 7 (Ziegler. p. 28).
164, 24 ἀcφόδελοc βοτάνη πλατύφυλλοc, ἧc ὁ καυλὸc καλεῖται ἀνθέρικοc. καὶ Ἡcίοδοc „οὐδ᾽ ὅcον ἐν μαλάχῃ τε καὶ ἀcφοδέλῳ." ἀcφοδελὸc δὲ [ὁ] τόποc ὁ ἔχων ἀcφοδέλουc. Ὅμηροc „βῆ δὲ κατ᾽ ἀcφοδελὸν λειμῶνα." Schol. Theocrit. VII 68 (Ziegler p. 56).
165, 25 scr. καὶ Τουρτυτανούc
173, 17 μόρφνοc ἀετόc, ὁ μέλαc pro μόρφνοc ἰcχνὸc ὁ μέγαc *Lob.*
173, 31 φωνηέντων pro ἀντιcτοίχων *Lob.*
174, 16 ῥάμνοc pro τέμνοc *Lob.*
176, 14 Λινοc pro νῖνοc *Lob.*
177, 15 scr. Cτράβων Ζ΄ (p. 331 fr. 52)
178, 15 fortasse γλύφανοc addendum ex Schol. Theocrit. I 28 ὡc τὸ cτέφω cτέφανοc, λείβω λίβανοc, οὕτω καὶ γλύφω γλύφανοc. (Ziegler. p. 8.)
179, 13 Ἰάρδανοc pro ἰόρδανοc *Lob.*
179, 28 scr. Ἱcπανόc
181, 2 scr. κλύμενοc
184, 9 scr. Διόφαντοc
185, 13 μόcυνοc ἀπὸ γενικῆc μετήχθη pro ὑμόcυνοc ἀπὸ μετοχῆc μ. *Lob.*
188, 6 κύρια in marg. *Lob.*
188, 7 Ἀέροποc pro ἄροποc *Lob.*
190, 18 τῆροc ἦροc] Τρῆροc Οὖροc *Lob.* (Βῆροc?)
190, 21 ἀπὸ δύο cυμφώνων et μηρὸc pro φηρὸc *Lob.*
192, 26 βλωρόc uncis inclusit *Lob.*, qui etiam Ζωρὸc ὁ πικρὸc et infra μὴ κεκραμένοc pro Ζ. ὁ μικρὸc
193, 17 κατά uncis inclusit *Lob.*, voluit εἰ μή τιc εἴη διαcτολή
193, 19 λοῦροc] γοῦροc *Lob.*
199, 14 μὴ inseruit ante ἔχοντα *Lob.*
200, 34 ἀcχέδωροc pro ἀcχέωροc *Lob.*
207, 9 Μάρcοc pro μόρcοc *Lob.*, idem θύρcοc pro θάρcοc
207, 28 Ἄβγαροc Μέγαρcοc pro βάγαροc μέγαροc *Lob.*
208, 16 ante Λίccοc insere Νέccοc ἐπὶ τοῦ Κενταύρου καί. *Lentzii ms.*
215, 19 Δάτοc pro λάτοc *Lob.*
215, 23 cύνταγμα pro cύναγμα *Lob.*
218, 4 Γρύττοc pro ῥύττοc *Lob.*
218, 14 ἄκατοc pro ἄατοc *Lob.*

p. 218, 25 ὁρατός pro φρατός *Lob.*
218, 32 ἄρκετος pro ἄργετος *Lob.*
219, 4 εἰ μὴ παρωνύμως τετύπωται] ut πάχος πάχετος? *Lob.*
219, 7 προπαροξύνεται] ὡς σύνθετα *Lob.*
219, 13 scr. εἴπερ
221, 8 scr. Ἄφυτις
222, 5 ἄμωτα Athen. *Lob.*
224, 2 ἄλαστος ὁ ἄδικος ἀπὸ τοῦ λαμβάνω] λανθάνω *Lob.*
225, 24 κόγχος pro κόχλος *Lob.*
226, 8—27 huc fortasse illud ex Etymologico 432 praeceptum de compositis verbi ἔχω inserendum est, quod ex Miller. p. 324 describam: τὰ παρὰ τὸ ἔχω συντιθέμενα ὀνόματα, εἰ μὲν διφθόγγῳ παραλήγει, προπερισπᾶται, δᾳδοῦχος, κλειδοῦχος· εἰ δὲ ἑνὶ φωνήεντι παραλήγει, προπαροξύνεται, γαιήοχος, αἰγίοχος. *Pl.*
226, 29 Ἴψος pro Τίψος *Lob.*
234, 10 ἀγάστονος pro ἀγάτονος *Lob.*
236, 13 ἄρπυς pro ἕρπυς *Lob.*
237, 11 Πάλαμυς delendum, quum apud Choer. Dict. 232, 3 cum Dindorfio Πάλμυς corrigendum esse II 707, 10 not. recte dictum sit
241, 9 scr. ὡς Διονύσιος
241, 35 scr. Αἰολικῶς
243, 9 scr. Ἀπολλόδωρος pro Ἀρτεμίδωρος
243, 32 et in indice ὑϊδοῦς scribendum coll. II 928, 8 not.
245, 10 scr. Τηλεβόας
250, 32 scr. ψῶζα coll. II 609, 3 not.
252, 20 Αἰγᾶν accentus rectus est in accusativo fluminis Αἰγᾶς, cf. Meinek. ad St. B. s. Αἰγά. *Lentzii ms.*
254, 31 scr. A. I. 6, 13, 9
259, 9 εἱρά pro ἠρά *Lob.*
259, 12 δορά φθορά φορά σπορά add. *Lob.*
262, 2 scr. IX p. 404
263, 6 scr. Ἰρήν
264, 8 scr. καλουμένη (Strab. 16 p. 759)
268, 24 scr. Καππαδόκισσα
270, 21 scr. Ἀρτεμίδωρος pro Ἀπολλόδωρος
276, 20 scr. (p. 152)
282, 8 θυραία] θηροαῖα Arcad., Βεροαία *Lob.*
295, 11 scr. περιηγήσεως
298, 12 ἢ ante τοπικὴν inseruit *Lob.*
299, 32 scr. (p. 803)
301, 4 scr. (12 p. 571)
301, 27 συνηθείᾳ pro συνθέσει *Lob.* (cf. Arcad. p. 183, 26 οὐ τὸ ἀρνητικόν. τοῦτο καὶ ἐν τῇ συνηθείᾳ ὀξύνεται.)
304, 4 et in indice scr. Ἡγεμόνη
304, 6 et in indice scr. *Καλύκη* coll. p. 317, 15
304, 18 παντοκύκη pro παντογκύνη *Lob.*
306, 2 Φολόη pro χολόη *Lob.*
307, 20 Ἄλβη pro ἄλμη *Lob.*
309, 7 Θίβη add. *Lob.*
309, 21 Πέργη pro πάργη *Lob.*
310, 4 εἰ μὴ διαστολή τις εἴη] cf. Αὔγη κρίγη *Lob.*

p. 310, 9 Γύτη] Γυταία Hom. *Lob.*
310, 15 ἠλύτη πανάτη pro ἀλέτη πακάτη *Lob.*
310, 20 Ἰλούρτη pro λιβύρτη *Lob.*
311, 1 χόνδη μένδη ἄλδη signo dubitationis notavit *Lob.*
311, 9 verba μὴ εἰς σύμφωνον καταλήτουσαν uncis inclusit *Lob.*
311, 19 scr. Ἀσίας περιηγήσει
314, 24 Ἀφάκη pro ἀτάρκη *Lob.*
316, 8 scr. (11 p. 525)
316, 19 post λεγομένην insere (Strab. p. 331 fr. 58)
318, 14 fortasse *Πέλλη* scribendum, quum II 752, 24 legatur: "Ελλη καὶ Πέλλη. ἰδοὺ γὰρ ταῦτα δύο λλ ἔχοντα εἰς ῆ καταλήγει (ἔστι δὲ τὸ μὲν "Ελλη ὄνομα κύριον γυναικός, τὸ δὲ Πέλλη ὄνομα πόλεως).
318, 27 ἴλη (sic) pro ἥλη *Lob.*
320, 30 scr. τῆς αὐτοῦ πατρίδος
323, 20 post μετέχουσα insere (Strab. 6 p. 276)
324, 7 ἐριώλη pro ἐρυμώλη *Lob.*
327, 13 πέρνη pro πάρνη *Lob.*
327, 24 scr. λέγουσιν ὁμοίως τῇ Ἔλεναν
328, 11 στασάνη pro σωσάνη *Lob.*
333, 8 Βίνη: si Milleri codex b. E. M. 197, 44 recte Ἡρωδιανός pro Ἡρόθεος habet, haec ad nostrum locum (aut ad orthographiam cf. II 414, 7) referenda sunt. Locus est: Βίνη, πόλις. μέμνηται ταύτης Ἡρωδιανός, καί φησιν ὠνομάσθαι, ὑπὸ Φιλίππου κτισθεῖσαν, ἀπὸ τῶν ἐν αὐτῇ συνοικισθέντων μοιχῶν. (Cf. Wichers. ad Theopompum p. 191. 2.) *Pl.*
335, 2 παρώνυμα uncis inclusit *Lob.*
335, 15 scr. χορύνη
336, 2 χώνη pro μνώνη *Lob.*
337, 1 scr. Ἀπολλόδωρος pro Ἀρτεμίδωρος
338, 10 scr. Ῥυπαίη
343, 27 κηρωτή pro κερωτή *Lob.*
345, 20 Τάρφη pro κάρφη *Lob.*
347, 22 Εἰδοθέα et hoc loco et II 592, 11. 859, 33 legendum esse patet ex regula de nominibus in -εα I 283, 25
349, 22 καὶ Ἀττικῶς ἄχρειως ἄχρειων] ἄχρεως ἄχρεων *Lob.*
354, 2 scr. ὀξύμελι
355, 13 post ἐλεοῖσιν insere (Hom. Ξ 432)
356, 11 cf. Schol. Theocrit. I 50 (Ziegler. p. 11): παίδιον· οὕτω Θεαίτητος, ὡς τὸ παίγνιον. Ἀττικῶς δὲ παραπλήσιον τὸ κλείδιον, φέρνιον λέγουσι.
356, 19 βύριον pro βούριον *Lob.*
357, 9 δαδίον ἐκ παραγωγῆς] οὐκ ante ἐκ inser. *Lob.*
358, 15 Σέρριον pro δέριον *Lob.*
361, 4 ὅρκιον pro φόρκιον *Lob.*
361, 20 Μοργάντιον add. *Lob.*
364, 5 Ἀργύννειον Lentzius II 178, 2 recte videtur scripsisse pro Ἀργύνειον Meinekii.
367, 3 scr. Μεσσαπίοις
370, 11 Χαλαστραῖον ἰατρικόν pro χαλκουστραῖον ἰατρὸς *Lob.*
371, 32 κώνειον pro κόνειον *Lob.* (cf. ad 372, 1.)
378, 6 scr. χαρτότομον

p. 379, 29 scr. (p. 570)
383, 10 post πύλας insere (Strab. 12 p. 537)
384, 22 pro (c. 22) scr. (ibid.)
403, 1 versus ᾧ πὸς κτέ. a Lobeckio Parall. p. 86 restitutus est. *Pl.*
404, 25 Φνᾶ] fortasse Φλᾶ (Herodot. IV 178). *Pl.*
415, 7 θεῦν: versum Callimachi esse censet Meinekius, Hermes III p. 453. *Pl.*
417, 2 scr. Κλειώ
418, 5 scr. ἐν τοῖς εἰς ης propter εὐρύοπα. *Lentzii ms.*
433, 23 εἰς ταῦτα δὲ προκατάρχεται ὄνομα Arcad.] εἰ τούτων δὲ κτλ. *Lob.*
435, 13 τρώγω, φάγω, τμήγω Arcad.] τρώγω τὸ φάγω, τμ. *Lob.*
436, 11 ἐπιφλοίσκω] ἐπιφώσκω *Lob.*
438, 19 καὶ σκέδω delendum videtur, quum Lentzius II 427, 10 (cf. 531, 22) ex Crameri Epim. Hom. p. 235, 14 περισπώμενα δέ εἰσι πεδῶ μεδῶ σκεδῶ dederit; sed apud Theogn. p. 140, 31 est τὰ διὰ τοῦ εδω δισύλλαβα βαρύτονα διὰ τοῦ ε̄ ψιλοῦ γράφονται, οἷον σκέδω πέδω ἔδω κτλ.
444, 6 pro χρώζω corrigendum erit χρῴζω: cf. II 571, 31.
449, 11 περνῶ pro πορνῶ *Lob.*
454 not. l. 3 ab i. m. scr. *Herod. p.* 151
455, 12 post δίενται insere (Hom. Ψ 475)
461, 13 not.: disputationis de affectis μυθέαι et similibus fragmentum quamvis mutilum apud Miller. p. 218 habere videmur: μυθέαι· δεύτερον πρόσωπον παθητικοῦ ἐνεστῶτος. τοιοῦτον .. (lacuna) .. παρὰ τῷ Ἀνακρέοντι· „λευκίππων ἐπιδινέαι“. *Pl.*
471, 10 εἰ μὴ πάθωσι κτλ.: huc pertinet locus E. M. 200, 10, secundum Miller. p. 66 Herodianeus: βλήμενος· ὥσπερ τὸ οὐτάμενος ἀναδρομὴν ἔπαθε τοῦ τόνου, οὕτω καὶ τὸ βλήμενος ἐκ τοῦ βεβλημένος κατὰ συγκοπήν. Οὕτως Ἡρωδιανός. *Pl.*
506, 14 (511, 23) ἐγκυτί: post Callimachi versum Miller. p. 97 etiam haec habet: εἴρηται δὲ παρὰ τὸ κύτος, ὃ καὶ σκύτος καλεῖται. Ἡρωδιανός. *Pl.*
509, 4 post εἰαρινοῖσι insere (Hom. B 89)
516, 20 Miller. p. 259 locus de voc. δαί (πῶς δαί K 408) exstat cuius auctores dicuntur Ἡρωδιανὸς καὶ Ἰωάννης ἐκ Θηβῶν Οὐηστῖνος. Articulus valde decurtatus et corruptus est ita ut certo scire non liceat, num quid aut quid Herodianeae doctrinae tribuendum sit. Locus hic fere est: „Πῶς δαὶ τῶν ἄλλων Τρώων“ (K 408). ἰστέον ὅτι ὁ Ἀπολλώνιος λέγει, ὁτὲ (Miller. scr. p. ὅσοι) μὲν πληρωματικὴν λέξιν εἶναι διὰ τοῦ ε̄ ψιλοῦ· ἰσοδυναμεῖ γὰρ τῷ δή, ὅτε παρέλκει, οἷον „ποῦ δέ οἱ ἔντεα κεῖται Ἀρήϊα, ποῦ δέ οἱ ἵπποι;“ (K 407). ὁτὲ δὲ συμπλεκτικὸν διὰ τοῦ ᾱ καὶ ῑ. Διόπερ (*Qua* de causa?) οὐ πειθόμεθα, εἶναι τὸν δέ σύνδεσμον διὰ τοῦ ε̄ ψιλοῦ καὶ τὸ αἱ ἄρθρον (sic scr. pro τοῦ — ἄρθρου) [revera Apollonius d. synt. p. 83, 84 Sylb. Homerico loco δ' αἱ legendum esse exposuit], ἐπειδὴ ὁ Ὅμηρος ἐλλειπτικὸς τῶν ἄρθρων ἐστί. — Ἰστέον δέ, ὅτι ὅτε προηγεῖται ὁ „μέν“ σύνδεσμος, δέ γράφεται διὰ τοῦ ε̄ ψιλοῦ (δέ usque ad ψιλοῦ addidi). ἀλλ' ὁ δέ (δαί) μόνος γράφεται διὰ διφθόγγου, καὶ ἔστιν ἐπίρρημα ἐρωτήσεως· μετὰ τοιούτων γὰρ συντάσσεται. Ἡρωδιανὸς καὶ Ἰωάννης ἐκ Θηβῶν Οὐηστῖνος. Posterior articuli pars „ἰστέον δὲ ὅτι κτλ.“ valde

pucrilis est, prior maxime decurtatus et corruptus esse videtur; hanc tamen ex aliquo Herodianeae orthographiae loco demanasse, nescio an veri non dissimile sit. *Pl.*

p. 522, 2 scr. ἀμητῆρες
522, 3 scr. (T 223)
523, 18 Φόρκυν pro φόρην *Lob.*
528, 28 scr. χειμερινός
537, 2 addendum fortasse: Αἱ ἀπὸ μακρᾶς ἀρχόμεναι ἀντωνυμίαι δαcύνονται πλὴν τῆς αὐτός· Miller. p. 55. *Pl.*
538, 12 scr. ὀρμαθός coll. p. 145, 24
553, 5 scr. ἔcθ' ὅτε
559, 12 addendum fortasse: Μετὰ προθέcεως ἡ ἀντωνυμία ὀρθοτονεῖται εἰ μὴ ἡ πρόθεcις τῷ ἐπιφερομένῳ ῥήματι cυντάccεται, ὡς τό· „κατά cε χώcομεν τοῖc λίθοις". (Arist. Acharn. 295) καὶ „cύν μοι γενέcθαι". Miller. p. 215. Cf. Il. Pros. A 368. *Pl.*

AD TOM. II.

p. 7, 30 scr. *Hes. theog.* 521
10, 24 scr. Μαρυανδυνός
15, 30 huc fortasse inserendum: ἀκολουθήcας· „Ἑρμῆς δὲ Cιμώνακτος ἀκολουθήcας —" ἐκτάcει τοῦ α. οὕτως Ἡρωδιανός. Miller. p. 19. Meinekius Hermes III 451 de his, quae feruntur, productionibus conferri iubet Poët. choliamb. p. 95; pro Cιμ. coni. Τιμώνακτος. *Pl.* Ἑρμῆς δ' ἐς Ἱππώνακτος? *Lehrs.*
16, 30 ἄνυε μοίρας: διχῶς τὸ μοίρας. εἰ μὲν γὰρ ἐκτείνομεν, cημαίνει γενικήν, εἰ δὲ cυcτέλλομεν, αἰτιατικὴν πληθυντικῶν Δωρικῶς. ἐκεῖνοι γὰρ τὰς παρ' ἡμῖν ἐκφερομένας εὐθείας τῶν πληθυντικῶν διὰ τῆς αι διφθόγγου διὰ τοῦ ες ἐκφέρουcιν. Schol. Theocrit. I 93 (Ziegler. p. 15). Cf. p. 668, 29.
22, 14 scr. ἡ cύνθεcις
28, 2 post κάη inserendum: μεταπλαcμὸν γὰρ λέγει ἐκ τοῦ μῆρα μῆρε, ὡς τὰ ὄccα ὄccε καὶ ὀψά ὀψέ (?). *Pl.*
28, 23 scr. ὀρμαθός coll. I 145, 24
41, 17 scr. αἶξ
48, 22 scr. πιθανώτερον
51, 31 scr. ἐνεcτῶτος
56, 9 scr. ἑδριάcαcθαι
65, 25 monendum iam Bekkerum Scholl. in Hom. Il. p. 830 scripsisse: „ante διὸ desunt quae v. 7—9 leguntur, νομίζων — ἀντωνυμίᾳ".
79, 31 scr. cυγκατατίθεμαι
85, 17 scr. φηcὶν ὅτι Ἀρίcταρχος
96, 13 in cod. est ἡ ὑμέων ἀντωνυμία
111, 24 pro 355 scr. 357
130, 3 habet M[a] eadem quae in H leguntur, sed in textu et in lemmate vocabulum τηλεκλυτός cum signo, quod dicunt hyphen, et lin. 6 τὸ γὰρ δουρικλυτὸς κτέ.
130, 7 ad α 37 ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς M'] ἐγκλίνεται ὡς τὸ „ξύ μοι λαβέcθαι". M[a]. Lege ξύμ μοι λάβεcθε Plat. Phaedr. p. 237 a. Cfr. locus a Plewio ad I 559, 12 allatus, ubi fort. ξύμ μοι λάβεcθε scribendum pro cύν μοι γενέcθαι. Ceterum lemmata a scholiorum scriptoribus omissa e textu codicis Veneti supplevi et uncis inclusi.

p. 130, 10 ὀλοόφρονος: τοῦ περὶ τῶν ὅλων φρονοῦντος ἢ ὀλεθρίου ἢ τὸν περὶ τῶν ὅλων φρονοῦντα ἴλιον (sic pro ἴδιον) οὕτως εἰρῆσθαι. ἄμεινον δὲ ψιλοῦντας ἀκούειν, ἵν' ᾖ τοῦ ὀλέθρια καὶ δεινὰ φρονήσαντος. εἷς γὰρ τῶν Τιτάνων ὁ Ἄτλας ἱστορεῖται. Haec M^a, sed postrema in rasura. Erat sine dubio longius schol. a M^1 scriptum, cuius nunc posterior tantum pars superest: ἐπεὶ πολέμιος τοῖς θεοῖς. οἱ δὲ τὸ ἑξῆς, θαλάσσης ὀλοόφρονος. οἱ δὲ ἐδάσυναν, ἵν' ᾖ (haec duo verba M^a add.) περὶ τῶν ὅλων φρονοῦντος. αὐτὸς γὰρ ὁ Ἄτλας τὸν κόσμον βαστάζων παραδίδοται. ἢ ἐγέγραπτο (sic) κατὰ τὴν ἀρχαίαν γραφήν· εἶτά τις μὴ νοήσας προσέθηκε τὸ ος. Ex his valde confusis fragmentis tamen lacuna codicis H suppleri potest.

130, 20 ad α 75 πλάζει δ' ἄπο πατρίδος αἴης M^1] γρ'. καὶ ... ἀπὸ τῆς πατρίδος. οὐκ ἀναστρεπτέον τὴν ἀπο. M^a. Lacunam indicavit *Lehrsius*.

ad α 79 ἀέκητι M^1] τὸ ε δασυντέον ἐν τῷ ἕκητι. M^a.

ad α 83 ὅνδε δόμονδε M^1] ὅν δε (scr. ὅν δέ, cf. ad Π 445) δύο μέρη λόγου καὶ παρέλκει ὁ δε. M^a.

130, 23 non recte mihi videtur Lentzius scripsisse (cf. etiam ad γ 10), Herodianum hoc loco Aristarchi scripturam et sententiam secutum esse. Nam cum codices omnes consentiant, Herodianum προτίθεντο ἰδὲ (ut γ 10 κατάγοντο ἰδ') scripsisse, iniuria Buttmannum Dindorfium Lentzium πρότιθεν, τοὶ δὲ ut Herodianeum dedisse persuasum habeo. De Aristarcho nostro quidem loco nihil certi: diserte ad γ 10 Ἀρίσταρχος „κάταγον“, εἶτα „τοὶ δ' ἱστία“. Sed ex initio scholii α 112 ἄμεινόν φησιν Ἡρωδιανὸς ἀναγινώσκειν κτέ. etiam hoc loco Herodianum ab eo dissensisse et scriptorem horum scholiorum ex libris Aristarcheorum fere hoc compilasse colligo: ἄμεινόν φησιν Ἡρωδιανὸς ἀναγινώσκειν „καὶ προτίθεντο [ἰδέ“· ὁ δὲ Ἀρίσταρχος „πρότιθεν, τοὶ δέ“·] καὶ γὰρ τὸ ὅλον μᾶλλον ἀκόλουθον· οἱ μὲν οἶνον ἔμισγον, οἱ δὲ σπόγγοισι νίζον, οἱ δὲ κρέα ἐμέριζον. καὶ ἄλλως τὸν παρατατικὸν τοῦ τίθημι ἐνεργητικῶς οἶδε λεγόμενον ὁ ποιητής, οὐ παθητικῶς, „παρὰ δέ σφι τίθει“ (α 142), [ᾧ] ἀκόλουθον πληθυντικὸν [τὸ] „νίζον καὶ πρότιθεν“. EMD. Praeter ea, quae ex coniectura addita uncis inclusi (ᾧ ante ἀκόλουθον iam Dindorfius inseruit: cf. ad Δ 319), haec a codicum scriptura discrepant: τὸ ὅλον] ὅλος τὸ M, ὅλως ED (ὁ λόγος Cobet. ὁ λόγος οὕτω Dindorf.). ἀκόλουθον solus E, -θος ceteri. In fine scholii προτίθεντο EMD, corr. Dindorf. Denique moneo, M^1 in textu νίζον καὶ προτίθεντο, ἰδὲ habere, glossa προετίθεσαν a M^a superscripta; quae Dindorfius p. 28, 18 de lectione codicis nostri dicit, falsa sunt: literas το verbi προτίθεντο non m. rec. adscripsit, sed, quod saepissime in hoc cod. factum est, M^c renovavit tantum alacriore atramento.

131, 4 ὑπολῖτα (sic et in hoc lemmate et in textu): ἢ λινὸν ὕφος (λεπτὸν περιβόλαιον M^a superscripsit). προπερισπαστέον τὸ λῖτα· ἑνικὸν κτέ. M^1.

131, 6 ἀηδήσειεν (sic etiam in textu, sed, ut mihi videtur, ex corr. a M^a; literam η priorem duobus punctis subnotatam esse non recte dixit Dindorfius): γρ'. καὶ ἀδήσειεν. ἀλλὰ ψιλωτέον. ὅταν

γὰρ ἐν συναλοιφῇ τὸ ψιλούμενον κατ' ἀρχὴν φωνῆεν κτέ. et lin. 8 οἷον ὦ ἑταῖρε, ὦ ἑταῖρε (sic). M¹.

p. 131, 14 habet etiam Mᵃ.

131, 22 ad α 183 πλέων ἐπὶ οἴνοπα πόντον M¹] οὐκ ἀναστρεπτέον τὴν ἐπί. Mᵃ superscripsit.

132, 1 παρτιθεῖ: τὸ παρτιθεῖ ἐνεστώς ἐστιν ἀπὸ κτέ. M¹.

— ad α 203 φίλης ἄπο πατρίδος αἴης M¹] οὐκ ἀναστρεπτέον τὴν ἀπό. Mᵃ superscripsit.

132, 9 habet etiam Mᵃ.

— ad α 226 ἠὲ γάμος: περισπαστέον τὸ ἠέ. διαπορητικὸς γάρ ἐστι σύνδεσμος. Mᵃ.

132, 10 corr. κατακοιρανέουσιν

— κατακοιρανέουσι M¹] ἢ κατα πρὸς τὸ κοιρανέουσιν. Mᵃ superscripsit.

132, 20 scholium bis legitur in codice Veneto et a M¹ et a Mᵃ; variae lectiones hae sunt: lin. 20 τὸ ἐπαλαστήσασα δηλοῖ τὸ om. M¹ (et V), l. 21 ὡς om. Mᵃ, ἐὰν δὲ ἐστὶ M¹, l. 22 παλαστήσασα om. M¹, παλαστήσασα ἔστη τῷ παλαστῇ κτέ. Mᵃ, ἔσται ἀντὶ τοῦ παλαστοῦ ὅ ἐστι τῇ ἀγκῶνι νύξασα M¹.

132, 23 ad α 260 ᾤχετο γὰρ καὶ κεῖσε M¹] ὁ (quod vel οὕτως scribendum vel omnino delendum) ἐκ πλήρους ὁ και σύνδεσμος. Mᵃ superscripsit.

132, 24 hoc schol. in marg. superiore habet Mᵃ partim deletum; lin. 25 post αὐλὸς αὖρα (sic) leguntur haec: ἀμέλει τὸ αὔω (sic) τὸ δηλοῦν τὸ ξηραίνω δασύνεται, τὸ δὲ φλογίζω ψιλοῦται.

132, 27 scr. 277

— Mᵃ non ἔεργον habet, sed ἔεργα, quo Friedlaenderi coniectura etiam magis commendatur.

132, 30 habet Mᵃ, sed pro οἶδε δὲ αὐτοῦ τὴν κλίσιν vitiose οὐδὲν δὲ αὐτὸν τὴν κλῆσιν et pro οἶδε δὲ καὶ τὸ δίδωμι haec: εἰ μὲν γὰρ δῶρα διδοῖ οὐδὲν δὲ καὶ τὸ δίδωμι.

133, 8 ad α 391 ἦ φῂς (sic): περισπαστέον, ἢ (scr. ἦ) ἄρα λέγεις. Mᵃ.

133, 13 ad α 409 ἢ ἑὸν αὐτοῦ χρεῖος M¹] τὸν δὲ (hoc delendum) ἢ περισπαστέον. ὡσαύτως καὶ τὰ (ὁ? sc. v. 413) ἑξῆς. Mᵃ.

133, 14 habet Mᵃ, sed lin. 14 μήτηρ om., l. 15 ἄμεινον δὲ εἰς τὴν λ.... (lacuna).

133, 16 δαΐδας (sic): παροξυτόνως (sed hoc linea directa deletum) δαΐς ὀξυτόνως κτέ. Mᵃ.

133, 18 Ὧπος περισπαστέον (sic) διὰ κτέ. M¹.

133, 22 ad β 6 αἶψα δὲ κηρύκεσσι sic M¹] φύσει μακρὸν τὸ ρυ, κῆρυξ δὲ θέσει. M¹ superscripsit. Hoc schol., iam ex cod. S notum, Lentzius iniuria neglexit: cf. περὶ διχρ. II 9, 25 et ad K 258.

133, 29 ἠὲ νέων ἀνδρῶν: οὗτοι γὰρ ἐγκλίνονται κτέ. Mᵃ.

133, 31 erat etiam in Mᵃ, sed in superiore margine nunc valde lacero et detrito.

134, 10 cf. ὡς τρίετες: ὁ μὲν χρόνος βαρέως, τὸ δὲ μετεσχηματικὸς (sic) τοῦ χρόνου ὀξυτόνως. Mᵃ.

134, 17 ad β 121 pertinere videtur hoc schol., quod sine lemmate in

M¹ exstat e regione versuum 110 et 111: οἱ (μεταγενέστεροι inser.?) Ἀττικοὶ ὅμοια καὶ γέλοια γράφουσιν, ὁμοῖα δὲ καὶ γελοῖα κοινόν. Cf. II 91, 32.

p. 134, 18 δαῖτας: εἴτε ἀπὸ τοῦ δαίς (cod. δαῖς) δαιτός προπερισπωμένως, εἴτε κτέ. M^a, quod retinendum.

134, 20 habet M^a, sed τῷ i. e. τῷ in lemmate et τὸ τω in schol.

134, 27 initium scholii sic exstat in M^a: ᾠδ' ἀνιείης: ἀναπείθοις. δασυντέον. ἡ δὲ μεταφορὰ τῆς λέξεως εἴληπται ἀπὸ τῶν κυνηγετῶν κτέ., tum lin. 29 ἐκδεχομένου τὸ λυπήσεις. ἐχρῆν δὲ γράφειν ἀνιῴης· τοιαύτη γὰρ ἡ α´ συζυγία.

134, 30 ad β 204 ἶσα: ἐκτέταται τὸ ῑ διὰ τὸ μέτρον. M^a.

135, 6 ex Herodiano, qui περὶ μον. II 929, 4 de ἑλῶ dicit βαρύτονον παρ' ἐνίοις, ὃ καὶ παρ' ἄλλοις περισπᾶται, fortasse etiam haec, ut videtur, ad ἐξελάσαι β 248 pertinentia fluxerunt: τὸ ᾱ τῆς δευτέρας συζυγίας, εἰ μὲν καθαριεύει ἢ καὶ τὸ ῥῶ ἐπάγοιτο, ἐκτείνεται· εἰ δὲ τὸ λάμβδα ἢ ἕτερον τῶν συμφώνων, συστέλλεται. M^a. ἢ ante ἕτερον emendavi, quum in cod. compendium verbi ἐστὶν scriptum sit, quod multum similitudinis habet cum particula ἤ. Idem vitium in codicem S irrepsit, qui, si editori fides tribuenda, initio quoque vitiose τὰ τῆς δευτέρας κτέ. Ceterum dignum mihi videtur, quod commemoretur hoc loco, tantam intercedere similitudinem inter codices M et S, ut hic nihil fere diversi habeat, ne vitia quidem.

135, 7 ad β 293 ἀμφιάλῳ: δασέως τὸ ἀμφιάλῳ, τὸ δὲ κύριον (θ 114. 128) ψιλοῦται. M^a. Cf. ad θ 114.

135, 16 ad β 420 ἴκμενον οὖρον: ὅταν ἔχῃ τὸ οὖρον, οὐ δεῖ γράφειν τὸ ἴκμενον εἰς τὸ ῑ δασεῖαν. οὖρος γὰρ λέγεται ἀπὸ τοῦ κατ' οὐρὰν τοῦ πλοίου πνέειν. γραπτέον οὖν ψιλήν, ἵνα σημαίνῃ τὸν δίυγρον. M¹. δίυγρον· ἀλλαχοῦ „ἀνέμων μένος ὑγρὸν ἀέντων" (ε 478). τὸ γὰρ ἴκμενον ψιλωτέον. M^a. Haec ex Herodiano fluxisse puto, quamvis similem notam ad Α 479 inter Herodianea iure non receptam esse haud ignorem. Cf. notam ad λ 7. Ceterum initium primi scholii aliter fortasse ab aliis et rectius legetur: codex hoc loco valde detritus et verborum ὅταν — γράφειν frustula tantum nunc supersunt.

135, 17 πεῖρε (δὲ) ἀντὶ τοῦ διεπέρα διήρχετο. M^a.

135, 26 τὸ ante ὅμοιον delendum, quum H κατάγοντο ὅμοιον habeat, M κατάγον τὸ ὅμοιον. De Lentzii annotatione cf. ad 130, 23.

136, 27 adde M^a.

136, 28 habet M^a, sed lin. 29 ῥωννύειν et ἀναστροφὴ νοεῖται, reliqua omittens.

136, 31 ad γ 164 ἐπί: οὐκ ἀναστρεπτέον τὴν ἐπί. H. apud Dindorf. praef. p. XLIX.

137, 3 ad γ 188 φάς' M¹] Ἀττικὴ ἔκτασις. M^a.

137, 4 habet M^a, sed περισσῇ ὡς ἐν τῷ κτλ.

137, 6 habet M¹.

137, 17 habet M^a.

137, 22 H M^aQR.

137, 30 καὶ μετὰ τῆς προθέσεως εἴρηται ἐπιβουκόλος. M^a.

138, 8 habet M^a.

138, 18 υἱέϊ τρισυλλάβως, ὡς τῷ (leg. τὸ) „υἱέϊ σῷ ἑπόμην". M^a.

p. 138, 18 ad δ 16 γείτονες μέν (sic pro γ. ἠδὲ ἔται): νῦν ἀστυγείτονες. ἔται δὲ ψιλῶς, ἵν' ᾖ οἱ πολῖται. οὕτως γὰρ ἔσται μεγαλοπρεπὴς ὁ γάμος κτλ. M^a. Verba ἔται — πολῖται ex Herodiano mihi videntur excerpta esse (cf. schol. EQ et ad δ 3).

139, 4 not. corr. ὡς Ἡρωδιανός φησιν.

139, 5 annotatio litera V signata ex his cod. Veneti scholiis compilata videtur esse: v. 81 ἐπαληθείς M^1] πλανηθείς M^a superscripsit, v. 83 ἐπαληθείς M^1] τοὺς μὴ ψευδομένους διὰ τὴν μαντικὴν M^a superscripsit; ab eadem manu ad v. 83 in margine annotatum: καὶ Αἰγυπτίους: ἐπὶ τοὺς Αἰγυπτίους τοὺς ἀληθεῖς, διότι μαντικῆς ἔμπειροι. Verba ἐπ' ἀληθεῖς post οἱ δὲ Lentzius e coniectura addidit. Cf. schol. T apud Dindorf. append. p. 756.

139, 9 not. corr. ἐπειρήσαιτο.

139, 14 in M^a haec exstant: ἀοσσητῆρες: σῶσται. .τρίτη ἐπὶ (sic) τέλους ἡ ὀξεῖα. ἡ (hoc corruptum ex compendio verbi σημαίνει) γὰρ τὸ ὑπάρχωσιν. — ἀπὸ τοῦ ἔω ἐάς κέκλιται· προπερισπαστέον.

139, 19 habet M^b, sed lin. 19 περισπᾷ, l. 20 παροξύνει, l. 21 τὰ προκείμενα ὀνοματικὰ ἐπίθετα νηπενθές κτλ. — Post προκείμενα insere ὀνόματα.

139, 28 de nomine Θῶνος valde corrupta tradit M^a, quod satis habeo commemorasse.

140, 18 ad δ 380 πεδάα: πεδῶ πεδεῖς (sic) πεδᾷ καὶ πεδάα, ὡς βοάα. M^a.

140, 23 scr. πιέζειν pro πιέζειν.

140, 30 πεῖρα: πείραζε. πεῖρα βαρυτόνως καὶ χωρὶς τοῦ ἰῶτα. προστακτικὸν γάρ ἐστι, πεῖρον (sic), ἀπόπειραν ποιοῦ. M^1.

141, 25 ad δ 733 τῷ κε μάλ' ἢ κεν ἔμεινε M^1] γρ'. ἢ κ' ἐνέμεινε. M^a.

141, 31 habet M^a, sed lin. 31 τοῖς τροπωτῆρσι, l. 32 στρέφονται ἢ ἱμᾶσι.

142, 4 et 8 habet M^a.

142, 10 habet M^a, qui lin. 11 ἐπιφερόμενον μετὰ δασέως ψιλοῦται, ἀσχάλω, ἆσθμα, ἐσθλός, ὀσχέος, ἐσθής.

142, 13 ἐκ Τροίης: διαιρετέον· τὸ γὰρ ἑξῆς Τροΐης ἀπὸ ληΐδος (sic), ἀπὸ τῆς Τρωϊκῆς λείας. M^a, sed utroque loco τροίης.

142, 20 ἄλλυδις ἄλλη: ἄλλη ἀλλαχοῦ. τὸ ἄλλη εὐθέως ἐστίν, ὅθεν ἄνευ τοῦ ἰ γραπτέον. M^a.

142, 22 ἀμφὶ δὲ λειμῶνες (adde μαλακοὶ ἴου): κακῶς τινὲς περιέπεσαν (scr. περιέσπασαν), ἵν' ᾖ μαλακοὶ ἁπαλοί. ἀλλαχοῦ γὰρ λέγει ὑδρηλοὶ μαλακοί. M^a et fere idem V, de quo v. Buttmann. et Dindorf.

142, 24 ἐρέχθων: καταπίνων ἐν ἑαυτῷ, στένων, λυπούμενος βαρέως (δαμάζων τὴν ψυχὴν M^b superscripsit), ἢ καταμένων, διασχίζων. παροξυτόνως. M^a.

143, 8 habet M^b, qui ὑποκεκαυμένα.

143, 13 ad ε 277 τὸ (δὲ) ἐπ' ἀριστερὰ δύο μέρη λόγου. M^a.

143, 14 totam describo scholiorum farraginem, quae ad hunc locum in cod. Veneto servata est, omnibus vitiis sedulo relictis: εἴσατό

μ'

δ' ὡς: ἑρ (ἑρμηνεία?). ὡμοίωσε καὶ ἀπείκασε τὴν γῆν ἢ ὡς ῥινὸν ἢ ὡς ἐρινέον. εἴσατο ὑπέλαβεν ἀπὸ τοῦ εἴδω, ὡς τὸ „εἴσομαι αἴ κε τύχοιμι" (— τύχωμι χ 7) καὶ εἴσατο τὸ ὡμοιώθη, ὡς τὸ

„εἴςατο φθογγὴν ἀνδρέμονος“ (εἰςάμενος φ. Ἀνδραίμονος N 216), καὶ ἀντὶ τοῦ ἐπορεύθη, ὡς τὸ „εἴςατο γὰρ νηῶν ἐπ' ἀριστερά“ (M 118). τὸ δὲ εἴςατο ἐςτὶν ἀπὸ διαφόρων κλίςεων συνέμπτωςις, ἐξ οὗ γίνεται καὶ τὸ „ὅθι οἱ κατὰ εἴςατο γαίη“ (ὅθι οἱ καταείςατο γαίης Λ 358) ἀντὶ τοῦ κατεπορεύθη. — εἴςατό δ' ὡς ὅτε ῥινόν: εἰ μὲν ῥινὸν ἀναγνωςτέον, ἔςται ἐφάνη ὡς ἀςπὶς ὅ ἐςτι βύρςα· εἰ δὲ ἐρινεόν, ἔςται συκήῳ. οἱ δὲ λέγουςιν Ἰλλυριοὺς ῥινὸν λέγειν τὴν ἀχλύν· ἐφάνη οὖν ὡς ἀχλὺς ἡ γῆ (cf. Dindorf. p. 272, 3—6). — ῥινόν: τὴν βύρςαν, ὡς τὸ „ὑποδέςτρωτο ῥινὸν βοός“, ὡςανεὶ δέρμα βοὸς ἐφηπλωμένον τοῖς ὕδαςιν οὕτως εἶδεν τὰ ὄρη. τινὲς δὲ φαςὶ τὴν ἀςπίδα κακῶς· οἱ δὲ ἐρινὸν τὸν καρπὸν τῆς ἀγρίας συκῆς. ὁ μέντοι Ἀρίςταρχος ἐρινὸν αὐτὴν τὴν συκῆν κατὰ μεταβολὴν γένους, ὡς ὁ δίφρος τὸ δίφρον. οὐδετέρως δὲ λέγεται ὁ καρπός, ἀρςενικῶς δὲ τὸ δένδρον ἐρινόν· ὥςπερ ἡ κέδρος θηλυκῶς τὸ φυτόν, τὸ δὲ κέδρον οὐδετέρως τὸν καρπόν. Ἀρίςταρχος δὲ ὀρινὸν αὐτὴν τὴν συκῆν κατὰ μεταβολὴν γένους· τὸν γὰρ καρπὸν μὴ νοεῖςθαι, ἐπεὶ βραχύς ἐςτι πάνυ (cf. Dindorf. p. 272, 7—19). M[a]. Denique M[b] scripsit: εἴςατο δ' ὡς ὅτ' ἐρινόν: πολλάκις ἀπὸ διαφόρων συμπτώςεων συνέκπτωςις γινομένη κτλ. apud Dindorf. p. 272, 23 usque ad p. 273, 6 τῶν Φαιάκων, sed 273, 2 verba καὶ τὸ ἴςος — τὸ δὲ ἐπορεύθη om., 4 τοῦ ἔω et ὁμοιώθη, 5 ὅτ' ἐρινὸν, omittens verba ἀντὶ τοῦ.

p. 143, 21 habet M[a], qui προπαροξύνεται.

144, 6 habet M[a], sed τοῦ ἀλόω.

144, 13 τὸ (δὲ) παραπλὴξ ὀξυτόνως. M[a].

144, 14 ὡς ὑπάλυξε: τινὲς τὸ ὡς περιέςπαςαν, ἵνα σημαίνῃ τὸ ὅμως. M[a].

145, 1 ᾧ ἔνι κούρη: ... δῆλον ὅτι ἀναςτρεπτέον τὴν πρόθεςιν ἔν, ἐςτὶ γὰρ ἐν νῷ (sic pro ἔνι, ἔςτι γὰρ ἐν ᾧ). M[a].

145, 2 ... ἡ δὲ ἀπὸ ἀντὶ τῆς παρὰ. M[a].

145, 4 habet M[b]: lin. 4 corrigendum προπεριςπωμένου. l. 5 τινὲς τῇ Ναυςικλειτοῖ ὡς τῇ Καλυψοῖ M[b].

145, 17 ῥύπα πάντα: τὸν (sic) ῥύπον τὰ ῥύπα. οἱ μὲν αἰτιατικὴν ἐν μεταπλαςμῷ φαςιν, οἱ δὲ ἀπὸ τοῦ ῥυπόωντα (sic). βαρύνεται δὲ ὡς τὰ λύχνα καὶ δίφρα. M[a].

145, 20 habet M[b].

145, 21 ad ζ 115 μετ' ἀμφίπολον βαςίλεια M[1]] οὕτως ἐςτὶν ἐνδεχόμενον γράφ(ε)· ὡς τὸ ἱερεὺς ἱέρεια καὶ βαςιλεὺς βαςίλεια· οὐ γὰρ ἔςτιν ἱερεὺς ἱέριςςα, ὡς τὸ εἶναι καὶ βαςιλεὺς βαςίλιςςα. M[b]. (?)

146, 13 ad η 56 Ναυςίθοον idem scholium M[a] habet, quod codd. HPQT ad v. 39 afferunt: ναυςικλυτὸς ὡς ἀγακλυτὸς ἐν συνθέςει κτλ., sed lin. 9 ὅτε et λέγεται, l. 10 ὡς οἱ μὲν περὶ νηυςὶ θο(θ)ῆςιν· ὅτε δὲ ἐν συνῇ (sic pro συνθέςει) διὰ τοῦ α, Ναυςιθόος (sic), Ναυςικάα.

146, 26 ἄλλο τι M[1]] οὐ κατὰ μίαν ὀξεῖαν Ἡρωδιανός. M[a] sine lemmate ad v. 202 refert.

148, 1 οὐκ' ἀρετᾷ: οὐκ ἀρετὴν καὶ εὐθύνειαν ἄγει τὰ κακὰ ἔργα. καὶ ἀλλαχοῦ ἀρετῶςι λαοὶ ὑπ' αὐτῷ τουτέςτιν εὐθυνοῦςιν. ἢ τὰ

κακὰ τῶν ἔργων οὐκ ἄγει ἀρετήν: — ἔστι δὲ τὸ ἀρετᾶ ῥῆ συζυγίας δευτέρας τῶν περισπωμένων· ἀρετῶ ἀρετᾶς ἀρετᾶ. σημαίνει δὲ δοξάζει αὔξει. Sic M[a].

p. 148, 20 Κικόνεσσι M[1]] διὰ τὸ μέτρον συστέλλει τὸ κο. τὰ γὰρ ἐθνικὰ διὰ τοῦ ω μεγάλου κλίνονται, Λάκωνος Κίκωνος. τοῦτο δὲ κατεκράτησεν ἀπὸ τοῦ ποιητοῦ διὰ τοῦ ō μικροῦ. M[b].

148, 23 ad ι 81 ἀπέωσε M[1]] ἀπῶσεν. ὁμοίως δὲ καὶ τὸ (leg. τῷ) ἐξέωσεν συνέωσε καὶ τοῖς ἄλλοις Ἀττικοῖς. M[b]. Cf. p. 169 not. ad fr. 12[a].

149, 7 γαυλὸς καὶ γαῦλος διαφέρει· γαυλὸς μὲν ὀξυτόνως ἀγγεῖον ποιμενικόν, γαῦλος δὲ τοῦ κατὰ πλοῖον ἑτεροίου σκάφους. M[e] ex Eustathio.

149, 15 corr. δι' ἀπειρίαν.

149, 17 habet M[a], sed περισπᾶται ὁ δεύτερος ἤ.

149, 25 exstat in M[a] idem quod in HQ.
ad ι 445 λαχμῷ τῇ δασύτητι τῶν μαλῶν (sic, M[e] inseruit παρὰ Ἡρωδιανῷ) γράφεται καὶ λαχνῶ (sic, M[e] corr. λάχνῳ), παρωνυμικῶς ἀπὸ τοῦ λάχνη. M[a]. λαχμὸν λέγει — κατὰ Ἡρωδιανόν M[e] ex Eustathio p. 1638, 39.

149, 29 cf. M[a] apud Dindorf. p. 450, 25 not.

150, 5 ad κ 251 ἀνὰ δρυμὰ sic M[1]] ἀνὰ δρυμά· δρυμὰ ὁ τόπος, δρύμα δὲ τὰ δένδρα. M[a]. Certe non Herodianeum; in talibus distinctionibus posteriores valde delectati sunt; cf. e. gr. Schol. Theocrit. IV 51 (Ziegler. p. 37): ἁρμοῖ· εἰ μὲν ψιλοῦται, τὸ νεωστὶ σημαίνει· εἰ δὲ δασύνεται, τὸ ἡρμοσμένον. Ib. XI 41 (Ziegler. p. 73): σκυμνοὺς ὀξυτόνως ἐπὶ ἄρκτων, βαρυτόνως δὲ ἐπὶ λεόντων.

150, 6 habet M[a].

150, 13 ad κ 444 ἔρυσθαι M[1]] ἐὰν μὲν προπαροξύτονον παρατατικός, εἰ δὲ παροξύνηται (sic) ἀόριστος (scr. παρακείμενος? ex ξ 260. 328). M[a]. Cf. ad ε 484.

— ad κ 515 πέτρη τε ξύνεσίς τε M[1]] καὶ ἡ πέτρα ποία πέτρα; ἡ σύνοδος τῶν ποταμῶν. δασυντέον τὸ σύνεσις· φησὶ γὰρ κτλ. M[a].

150, 16 habet M[b], sed περισπωμένως.

150, 18 scr. ἀθηρηλοιγόν.

151, 29 πληθυντικῆς?

152, 17 κατ' ἀσφοδελόν: ἀσφοδελώδη· ἀσφόδελος δέ ἐστι βοτάνη ὁμοία σκύλλῃ. ἀσφόδελος ἡ βοτάνη, ἀσφοδελὸς ὁ κῆπος, ὡς ὧδε. οἱ δὲ Ἕλληνες ἐν ταυτῷ καὶ παράδεισον καὶ κόλασιν εἶναι ἔλεγον: — ἀσφόδελος δέ ἐστι βοτάνη ὁμοία σκύλλῃ ὀξυτόνως, προπαροξυτόνως δὲ ὅμοιον μολβῷ. Sic M[a]. ὅμοιον μολύβδῳ? ita ut ἀσφόδελον scholiasta interpretatus sit μολυβρόν. Cf. Add. ad I 164, 24. — Polak in observationibus ad scholia in Hom. Odyss. p. 79 pro ἢ ἀσφοδελόν. λέγει γὰρ καὶ χωρὶς τοῦ ᾱ legi iubet ἢ ἀσφοδελὸν λέγει. γράφεται γὰρ καὶ χωρὶς τοῦ ᾱ.

153, 3 habet M[a], sed lin. 3 ὁ δὲ Ἀρ. καὶ Ἡρώδης, l. 4 ἀμφαδίς, l. 5 κραταιὰ ἴς τουτέστι κραταιὰ δύναμις. ᾧ ἐπείθη καὶ ἡ ἐνίθεια (sic).

153, 21 M[a] habet quae a Dindorfio litera V notata sunt, sed p. 538, 26 σκληροὶ add. post ἄγριοι, p. 539, 1 καρπῶν. ἢ τοὺς ἄγαν ὁρμῶντας. τινὲς οὐδὲ μιᾶς, l. 3 εἶπα σοι μάστιγοι.

p. 154, 14 dele signum interrogationis. *Lentzii ms.*
155, 2 ἀνδρακάς: κατὰ ἄνδρα ὡς ἑκάς καὶ ἐντυπάς. M^a.
— ad v 15 idem fere quod in BHQ exstat in M^a, sed Herodiani nomine omisso: ἡ προικὸς γενικὴ ἀντὶ τοῦ προῖκα.
155, 5 habet M^a.
155, 11 habet M^a, sed ἡ ἧμιν.
155, 13 habet M^a, sed ἀλιτῆ pro ἀλιτεῖν.
155, 18 ὁ πρῶτος ὀξύνεται, ὁ δεύτερος περισπᾶται. M^a.
156, 15 ad ξ 39 (non 38) καὶ δέ μοι M^a] ἀπόλυτος ἡ μοῖ. M^a.
156, 19 ad ξ 112 σκῦφος (sic): ποιμενικὸν καυκίδιον. M^a. διχῶς καὶ τὸ σκύφος καὶ τὸ σκύφον οὐδετέρως. M^a. Voluit καὶ ὁ σκύφος (ἀρσενικῶς) καὶ τὸ σκύφος οὐδετέρως.
157, 19 ἰωγή· σκέπη. σύνθετόν ἐστι τὸ ὄνομα, ἀντισκέποντι καὶ ἀπείργοντι τὴν βορὰν τόπω. Sic M^a.
158, 9 πύρνον: πύρινον ἄρτον ἢ κλάσμα ἄρτου. ἄδηλον δὲ τὸ γένος παρὰ τῷ ποιητῇ. M^a.
158, 21 ξὺν τῇ Ἀρτέμιδι· ὁ τρόπος ἀναστροφή. M^a.
158, 26 ἅμα τροχόωντα M^a, sed litera ω a M^a superscripta] γρ'. καὶ ἁματρωχόωντα· σύνθετον δὲ τὸ ἁματρωχόωντα. M^a.
158, 29 ὠκεῖα ταχεῖα ταχύπλους. παραγώγως. M^a.
159, 12 ad π 73 διττῶς λέγει καὶ δίχα καὶ διχά. M^a. Non Herodianeum videtur: cf. I 496, 7.
159, 29 καὶ τ' ἔτεον: τότε ἀόριστον. διὸ καὶ ἐπὶ τοῦ καί ὁ τόνος. ὁ δὲ Ἀσκαλωνίτης ἐτοδμώων τῶν ἀγαθῶν θεραπόντων. ἢ τῶν ἡμετέρων δούλων. Sic M^a.
160, 31 τινὲς ἀμφοτέρωθεν οἱονεὶ κεφαλὰς ἔχοντα. ἄμεινον δὲ κατὰ παράθεσιν ἀναγινώσκειν, ἀμφὶ κάρη, περὶ τὴν κεφαλήν. M^a.
161, 12 οὖλον. ὅλον κατὰ ἔκθλιψιν (sic) τοῦ ῦ ἢ ἁπαλόν. M^a.
161, 25 notae valde depravatae in cod. Veneto hae servatae sunt: ὁ μὲν Ἀρίσταρχος δασύνας ἔγνω καὶ ἀπέδωκε τοὺς ἅλας. ὁ δὲ Καλλίστρατος ψιλοῖ οὐ δ' ἄλλα (sic) ἐκδεχόμενος τὰ κόπρια, ἃ παρὰ τῷ οὐδῷ κεῖται. M^a. οὐδὸς δὲ ὁ βατὴρ λέγεται. ἄλλως· οὐδὲ τὸ ἐλάχιστον οὐ ἡ ἀρ· ὁ δὲ καλλισταρ (sic) οὔδαλα τὰ κόπρια παρὰ τὸ ἐν τῷ οὔδει κεῖσθαι. M^a.
161, 28 ἐψιαάσθων M^a] ἀπὸ τοῦ ἔπω τὸ λέγω ἔψω ἐψιάω. Sic M^b.
162, 3 καμινοῖ: καμινευτρία, φρυγούσῃ κρίθας. ἔστι δὲ ἡ εὐθεῖα καμινώ. ἄλλως· γρηῒ καμινευτρίᾳ παραπλησίως κατὰ τὸ εἶδος καὶ τὴν ἐσθῆτα· ῥυπαρὰ γὰρ ἐφόρει. ἢ τῇ καμούσῃ τὴν ἶνα διὰ τὸ γῆρας. Sic M^a.
162, 6 ἤλδανε ηὔξανεν· ἄλματα γὰρ καλόκλαδα. M^a.
162, 13 habet M^a, sed lin. 14 post ἐλάμβανεν M^b addidit: ἐποιεῖτο ἡ ἀπὸ τῶν μνηστήρων ἐποιεῖτο (hoc linea deletum) εἷλκε τὰ δῶρα. In sequentibus M^a παρὰ ταύταις.
162, 25 ad τ 114 praeceptum (Miller. p. 117) fuisse puto de voce εὐηγεσίη, quod bona et antiqua origine esse videtur: ἐξ εὐηγεσίης: Ἀρίσταρχος ψιλοῖ, ἦγον γὰρ ὑπὸ Ἰώνων λέγεσθαι τὸν εὐδαίμονα ὡς τετελευτηκότα (sic). Καλλίστρατος δὲ δασύνει καὶ ἀπέδωκεν „ἐξ εὐαρχίας“ παρὰ τὸ ἡγεῖσθαι. Nec in E. M. 390,

36 nec ap. Hesych. s. εὐηγεςίη grammaticorum illorum mentio relicta erat. *Pl.*

p. 163, 27 ὀγκίον et παροξυτόνως scribendum esse puto propter regulam I 391, 3.

— ad φ 186 δέ τ' ἐπεῖχε: ὁ δε ϲύνδεϲμοϲ ἐκ πλήρουϲ (cod. -ροὺϲ), ὁ δὲ τε παρέλκει, ὡϲ τὸ „ἀέκων δέ τ' ἔβη ἀπὸ μεσαύλοιο“ (Ρ 112). ὁ νοῦϲ οὕτωϲ κτλ. M[a].

— ad φ 195 τὸ δὲ (quod del.) ἤτε ἐκ τοῦ εἴητε, ὡϲ τὸ διακρινθείητε διακρινθῆτε. M[a]. Fortasse εἴτε et διακρινθεῖτε legendum; cf. ad Γ 102.

164, 14 cum Apollonio Soph. p. 158, 9 et cod. M[a] scribendum: Ἀρίϲταρχοϲ μὲν ἄγαν ἐπάλλοντο. Ceterum lin. 15 verba μὴ δυναμένηϲ δέ M[a] inseruit, lin. 16 οἴδ' ὑπεξετείνοντο. ἄμεινον γὰρ ἰχνοῦντο M[a], l. 17 καὶ γὰρ — παρεγίνοντο M[a] add.

164, 24 habet M[a], sed lin. 24 ἄκμηνοϲ, l. 25 ὠξυτόνυϲεν, ἐπὶ δὲ τοῦ ἐν Ἰλιάδι δηλοῦντοϲ τὸ νῆϲτιϲ ἐβαρ. κτλ., l. 26 παροξυτόνηϲαν.

165, 4 habet M[a], sed lin. 5 ὑφὲν τὸ κατέχον.

167, 24 c. not.: cf. Miller. p. 20 s. v. ἀλαλή. *Pl.*

174, 1 vox ὀτρυγηφάγοϲ (πλεοναϲμῷ τοῦ ō) apud Miller. p. 223 ut analogos voci ὄβριμοϲ affertur; si illius etymologia in Pathologiam recepta est, eodem etiam hoc vocabulum (E. M. 613, 13) inserendum erit. *Pl.*

174, 13 post frg. 27 inserendum: 27[1]. βρόδον ἐϲτὶ κατὰ διάλεκτον παρὰ τὸ ῥόδον πλεοναϲμῷ τοῦ β̄, ὥϲπερ ῥάκοϲ βράκοϲ, ῥυτῆρεϲ βρυτῆρεϲ, ϲημαίνει δὲ τοὺϲ χαλινούϲ (sic Miller. p. 71 et 260; E. M. 214, 35 habet *ῥυτίδες βρυτίδεϲ*), καὶ ῥίζα βρίϲδα κατὰ διάλυϲιν τοῦ ζ̄ εἰϲ δ̄ καὶ ϲ̄. Οὕτωϲ Ἡρωδιανόϲ. Miller. p. 71, coll. p. 260, E. M. 214, 34. *Pl.*

175, 4 Miller. p. 180 additur περὶ παθῶν. *Pl.*

176, not. lin. 10 scr. Cιτῶνα.

180, 22 scr. *Κέρβεροϲ*

185, 3 post frg. 47 fortasse inserendum: *47[1]. ῥύτειρα· παρὰ τὸ ἐρύω ἐρυτήρ καὶ ῥύτειρα ἀποβολῇ τοῦ ε̄· „Ἄρταμι ῥύτειρα τόξων“. (Vocis ῥύτειρα significatio „τοξότιϲ“ adhuc ignota fuit.) Miller. p. 263. *Pl.*

186, 12 cf. Miller. p. 211. E. M. *574, 16 cod. V. *Pl.*

187, 14 fere idem habet Schol. Theocrit. I 55 (Ziegler. p. 11). Versus Sapphus est fr. 38.

190, 7 Miller p. 204 (s. v. λεώϲ) additur: οὕτωϲ Ἡρωδιανὸϲ περὶ παθῶν. *Pl.*

192, 21 post frg. 73 inserendum adnotamentum, quod prorsus mutilatum esse valde doleo: 73[1]. κέν· δύναται πλεοναϲμὸϲ εἶναι κέ κέν .... (magna lacuna) ... ἐπὶ τούτων ἔχομεν ἀναλογίαν ἐπιδεῖξαι· θεματικοὶ γὰρ οἱ ϲύνδεϲμοι, ἀλλ' ἐπεὶ ὁρῶμεν πλεονάζον τὸ ν̄ τοῦ ε̄, οὐδέποτε δὲ ἀποβάλλον, οἷον ἔλεγε, ἔλεγεν, λέγομεν εἶναι κέ κέν. Περὶ παθῶν. Miller. p. 82. *Pl.*

195, 2 post frg. 76 fragmentum maxime corruptum inserendum est:

*76[1]. E.M. *574, 68 Μάνηϲ· π^{χ} (ϑ) μάνουϲ ὡϲ ἱκέτουϲ. Miller. p. 211: Μάνηϲ Μάνουϲ· Μάνηϲ μάνου, πῶϲ μάνουϲ; τῇ ἠλογημένῃ (?) φηϲὶ πάθοϲ, ὁμοίωϲ καὶ τὸ ἱκέτουϲ. *Pl.*

p. 198, 26 scr. λαγῶς λαγῶ
199, 16 cf. Schol. Theocrit. I 4 ἀντὶ τοῦ εἴκεν ἐστὶ τὸ αἶκα. ἀλλὰ τὴν ει τρέπουσιν εἰς ᾱι, τὸ δὲ ε̄ τρέπουσιν εἰς ᾱ βραχύ, οἷον Ἄρτεμις Ἄρταμις. κακῶς οὖν κτλ. (Ziegler. p. 6.)
200, 17 cf. Schol. Theocrit. I 2 (Ziegler. p. 5).
200, 25 Miller p. 98 s. v. ἐγώνη additur: οὕτως Ἡρωδιανός. *Pl.*
208, 5 post συγκοπὴν Miller. p. 174 habet: „ἰώ, τίς πλάθη (?). *Pl.*
212, 8 not.: Sophronis fragmentum Miller. p. 259 sic servatum est: πῶ τις [οὖν] οἶνον ὠνάσεται; cf. E. M. 698, 44. V. *Pl.*
212, 13 cf. ψίθυρ ψίθυρος ὡς μάρτυρ μάρτυρος, καὶ ψίθυρος ψιθύρου ὡς μάρτυρος μαρτύρου. Schol. Theocrit. I 1 (Ziegler. p. 5).
214, 9 Miller. p. 287 hac de re sic habet: ὁ Ἡρωδιανὸς παρὰ τὸ τρόφιμον γεγονέναι τρόφι. ἢ παρὰ τὸ εὔτροφις τὸ οὐδέτερον εὔτροφι, ὡς λειπόπατρις λειπόπατρι καὶ κατὰ ἀφαίρεσιν τρόφι, ὡς εὐηνορέα ἠνορέα. Num altera quoque etymologia herodianea est? *Pl.*
214, 12 not.: de Μέση, etiam quae Miller. p. 214 invenimus addatur: Μεσήνη, πόλις Σικελίας καὶ Θρᾴκης καὶ Λακεδαίμονος, ἣν καὶ Μέσην κατὰ συγκοπὴν [αὐτήν] φασι. Ὅμηρος (B 582)· „πολυτρήρωνά τε Μέσσην“. *Pl.*
216, 19 simile est, quod Miller. p. 217, E. M. 588, 23 *V* traditur: Μίνω· Μίνωα ἡ αἰτιατική, καὶ κατ' ἀποκοπὴν Μίνω. *Pl.*
217, 2 cf. etiam Miller. p. 121, ubi legitur: εἰς δὲ τὴν Καθόλου εὗρον οὕτως; sed ordo articuli ibi plane turbatus esse videtur. *Pl.*
218, 2 ex Miller. p. 275 Herodianum eodem loco, quo de γύναι egit, etiam formam Συρακώ memorasse videmus. Miller. sic habet: Συρακοῦς· „ἀλλὰ τὰς κλεινὰς Συρακοῦς“ (versus Epicharmi — Strab. VIII p. 364 — iam dudum correctus τᾶς κλεινᾶς), Συρακούσας ἀποβολῇ τῆς σ̄ᾱς συλλαβῆς. (Si lectio Συρακούσας et σ̄ᾱς integra est, grammaticus *doricam* genitivi formam dixisse videtur). εἰ δέ τις εὐθεῖαν θέλει ποιεῖν ἡ Συρακώ, ἔστι γενικὴ τῆς Συρακοῦς, καὶ οὐκ ἀποκέκοπται (haec inserui), ὥσπερ καὶ τὸ γύναι· „ὦ Ζεῦ πολυτίμηθ' κτλ.“ *Pl.*
218, 12 restitutio Lobeckii codice Milleri p. 180 firmatur. *Pl.*
220, 29 post frg. *136 hoc adnotamentum, si Herodianeum et incolume sit, inserendum erit: *136'. εὐάβοτε· εὔβοτε, πλεονασμῷ. *Pl.*
221, 3 addendum Κροτωνιάτης ἀπὸ τοῦ Κροτωνίτης· „οὐδὲ Κροτωνίτης ἐξεκάθαιρε Μίλων.“ εἶτα Κροτωνιάτης πλεονασμῷ τοῦ ᾱ. (Secundum Thesaurum forma Μίλων post Theocritum demum apud poëtas usitata fuit). Miller. p. 269. *Pl.*
223, 26 scr. υἱάσιν
226, 5 post frg. 151 inserendum: 151'. ἅρπυιαι καὶ πλεονασμῷ τοῦ ε̄ ἀρέπυιαι. Οὕτως Ἡρωδιανὸς ἐν τοῖς περὶ παθῶν. E. M. 138, 21. Miller. p. 41. Vocis ἀρέπυιαι spiritus lenis cum Herodiani praecepto I 538, 21 congruit. *Pl.*
227, 14 cf. schol. M[a] et V (Aristonicus) ad ο 29 Σάμοιό τε: τὴν Σάμην εἴρηκε Σάμον διὰ τὸ μέτρον. καὶ τὴν δείλην δείελον (scr. δειελόν) ἐν ἄλλοις.
227, 27 scr. Τελμισσός Τελμισσεύς, l. 28 Τελμισσεῖς Τελεμισσεῖς et l. 29 Τελεμισσεῖς coll. not. ad p. 589, 6.
232, 4 Herodianea huius adnotamenti origo nunc clare apparet, quum apud Miller. p. 73 loci E. M. 223, 12 verbis γαιήϊος πλεονασμῷ

τοῦ η ὡς Νύσιον Νυσήϊον addatur οὕτως Ἡρωδιανὸς περὶ παθῶν. *Pl.*

p. 233 not. lin. extr. corr. Merkel.

236, 10 cum frg. 187 conferendum est, quod Miller. p. 16 invenitur (coll. E. M. 41, 24 cod. Va.): αἰωρῶ ἀπὸ τοῦ αἴρω πλεονασμῷ τοῦ ω. καὶ αἰώρα· ἀπὸ τοῦ αἴρω αἶρα καὶ πλεονασμῷ τοῦ ω αἰώρα. οὕτως Ἡρωδιανὸς περὶ παθῶν. *Pl.*

237, 17 scr. πῖδαξ

239, 13 locus poëtae (Callimachi, v. Bekker An. 850, 25) apud Miller. p. 134 plenius sic servatus est: „αἷμα τὸ μὲν γενεῆς Εὐξαντίδος". *Pl.*

242, 17 post frg. 205 inserendum: 205[1]. ἔδμεναι· ὡς ἄγειν ἀγέμεν καὶ εἰπεῖν εἰπέμεν, οὕτως ἔδειν ἐδέμεν καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ αι ἔδμεναι. Ἡρωδιανός. Miller. p. 99. E. M. 316, 36. *Pl.*

243, 3 post frg. 206 (aut 206[c]) inserendum: 206[1]. πρίζω, ὡς λέγει Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν, περίζω καὶ κατὰ συγκοπὴν πρίζω. οὐ γὰρ κατὰ πλεονασμὸν τοῦ ζ γίνεται ἀπὸ τοῦ πρίω, ἀλλ' ὥσπερ ἀπὸ τοῦ κτῶ κτίζω γίνεται καὶ ἀπὸ τοῦ στῶ στίζω, οὕτως καὶ ἀπὸ τοῦ περῶ περίζω καὶ συγκοπῇ πρίζω καὶ πρίω. Miller. p. 252. cf. E. M. 688, 14 cod. V. *Pl.*

243, 11 scr. δύσριγος

243, 20 scr. Κόλλος coll. p. 918, 10.

243, 22 ἔθρισεν· Καλλίμαχος „κεῖθι γὰρ ὦτα γονῆος ἀπέθρισεν" κτλ. Miller. p. 99. E. M. 319, 27. *Pl.*

243 not. lin. 1 corr. indignam

245, 9 addendus videtur versus (?) anonymi: Ἥρακλες χαλκεόζωνε. Miller. p. 151. *Pl.*

246, 3 post frg. 213 inserendum: 213[1]. βασιλίς· λέγει ὁ Ἡρωδιανός, ὅτι ἀπὸ τοῦ βασιλεύς βασιλῆος γίνεται βασιληΐς καὶ ἀποβολῇ τοῦ η βασιλίς. Miller. p. 61. E. M. 189, 8. (Pleonasmus τοῦ η, nostrae syncopae contrarius, frgg. pathol. 169—172 continetur.) *Pl.*

247, 1 1post frg. 217 inserendum videtur: 217[1]. σπάρτα· ἐκ τοῦ σπείρω τὸ ἑλίσσω, ἐξ οὗ καὶ σπείρημα, τὸ τοῦ ὄφεως ἕλιγμα. σπάρτον οὖν ἐξ αὐτοῦ καὶ σπαρτίον ὑποκοριστικόν. καὶ ὥσπερ μηρία μῆρα, οὕτως καὶ σπαρτία σπάρτα κατὰ συγκοπήν. περὶ παθῶν. Sic fere Milleri locus valde corruptus p. 269 s. v. σπείρημα ex E. M. 722, 45 = Ep. Cr. I 387, 19 restituendus videtur. Cf. de re etiam Il. Pr. Α 464. Ο 320. *Pl.*

249, 18 scr. Τόμουρον

256, 11 post frg. 252 inserendum: 252[1]. πλάζω· παρὰ τὸ πλάνη πλανάζω καὶ κατὰ συγκοπὴν πλάζω. οἱ δὲ παρὰ τὸ πελάζω πλάζω. περὶ παθῶν. Miller. p. 246. *Pl.*

256, 16 Milleri codex (p. 206) habet Λιμήρη πίδαυρος, quae lectio etiam clariora vocis Ἐπίδαυρος vestigia praebet. *Pl.*

257, 10 Miller. p. 145 additur: Ἡρωδιανός. *Pl.*

261, 17 etiam haec exempla inserenda erunt: ταχύς ταχύποτμος, ὠκύς ὠκύμορος, πρέσβυς πρεσβυτέρων (an πρεσβυγενής?). Miller. p. 149. *Pl.*

263, 14 cum hoc articulo et iis locis, quos Lentzius in notis ad frg. 273[a] de tertiis personis pluralis numeri syncopatis congessit, con-

ferendum est, quod apud Millerum p. 61 et E. M. 187, 43 in cod. V. legitur: βάν· Ὅμηρος „βὰν δ' ἴμεν". ἐκ τοῦ βῶ τοῦ βαίνω παραγωγὸν βῆμι. ὁ παρατατικὸς βῆν· οἱ γὰρ Ἴωνες συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἐνεστῶσι. βάσαν καὶ συγκοπῇ βάν. Οὕτως Ἡρωδιανὸς περὶ παθῶν. *Pl.*

p. 264, 11 scr. ἔστησαν ἔσταν

266, 4 scr. γηράναι

— apud Miller. p. 76 etiam duo poëtarum loci servati sunt; l. 4 post γηράναι adde: „κἀμὲ γηρᾶναι ποτέ" (sic scribendum, est enim l. Soph. Oed. Col. 870); post πιμπλεῖς l. 8 adde: „τὰς Ῥαδάμανθυς πιμπλεῖς βίαν" (?). *Pl.*

266, 11 post frg. 278 (aut frg. 415) inserendum: 278[1]. τετρᾶχμον οὐ δύναται κατὰ συγκοπὴν γενέσθαι διὰ τὸν τόνον. εἰ γὰρ συγκοπῇ γένοιτο, παράλογος ὁ τόνος. Τετράδραχμον καὶ ἀποβολῇ τοῦ δρ τετράαχμον καὶ συναλοιφῇ τετρᾶχμον, καὶ περισπᾶται. περὶ παθῶν. Miller. p. 280. E. M. 754, 40. Cf. etiam II 590, 9. *Pl.*

273, 16 scr. γόνος pro γένος

284, 20 post frg. 351 inserendum: 351[1]. ἐγδούπησεν (Λ 45)· ἐδούπησε καὶ πλεονασμῷ τοῦ γ. Οὕτως Ἡρωδιανός. Miller. p. 96. E. M. 308, 55. — 351[2]. λάϊγγες· παρὰ τὴν λᾶος γενικὴν γίνεται λᾶϊξ καὶ πλεονασμῷ τοῦ γ λάϊγξ, ὥσπερ καὶ παρὰ τὸ ψῆφος γίνεται ψῆφιξ καὶ ψάφιξ καὶ ψάφιγξ. περὶ παθῶν. Miller. p. 202. E. M. 554, 49. — 351[3]. πλαγγών· οὐκ ἀπὸ τοῦ πλάσσω, ὡς λέγει Ἡρωδιανός. ἐγένετο γὰρ ἂν πλάδων, ὡς σπάσσω σπάδων. ἀλλὰ παρὰ τὸ πλάζω πλαγών, καὶ πλεονασμῷ τοῦ γ πλαγγών· τοῦτο γὰρ εἰς πλάνην γίνεται καὶ ἀπάτην τῶν κορῶν. Miller. p. 246. E. M. 674, 8. *Pl.*

286, 11 Miller. p. 269 additur: περὶ παθῶν. *Pl.*

286, 17 post frg. *360 inserendum videtur, si Milleri codici (p. 202) fides habenda est: 360[1]. λαδρέοντι· παρὰ τὸ λα καὶ τὸ ῥέω, μεγάλως ῥέοντι (leg. ῥέουσι) καὶ πλεονασμῷ τοῦ δ. περὶ παθῶν. Miller. p. 202. E. M. 554, 33. Etiam copiosius hac de re, sed Herodiano non nominato, agitur Epim. Cr. I 123, 15: δείδω παρὰ τὸ δείω κατὰ πλεονασμὸν τοῦ δ, καὶ ἐν τῷ ὕδωρ, ὕωρ γάρ (cf. π. π. 354), καὶ ἄχερδος, καὶ τὸ παρὰ τῷ Συρακοσίῳ· „λαδρέοντι δέ τοι μυκτῆρες". ἔγκειται γὰρ τὸ λα ἐπιτατικὸν καὶ ῥέω ῥέοντι ἀντὶ τοῦ μεγάλως ῥέουσι. Syracusanum L. Dindorf. in Thesauro s. v. Sophronem dici putat. — Ceterum ex hoc articulo, etiam in voce ἄχερδος pleonasmum τοῦ δ Herodianum statuisse, collegeris; sed l. E. M. 181, 2 sqq. vix Herodianeus erit. *Pl.*

286, 22 fere idem habet Schol. Theocrit. I 57 (Ziegler. p. 12).

286, 34 μυζῶ inter perispomena legitur I 444, 21.

288, 2 post frg. 370 (aut post frg. 213) inserendum: 370[1]. κλεύθομαι, οἷον· „εἰς Ἄϊδος περιόντα κλεύθωμαι" [pertinet ad Ψ 244 ἐγὼν vel ἰὼν Ἄϊδι κεύθωμαι vel κλεύθωμαι. Sed quae hic verba ante κλεύθωμαι habemus εἰς Ἀϊδός περ ἰόντα sunt N 415! *Lehrs.*]. ἐὰν μὲν ὑπὸ τὸν ᾅδην κρύπτωμαι, ἔστι κεύθομαι καὶ πλεονασμῷ τοῦ λ. ἐὰν δὲ τὸ πορεύομαι, κελεύθομαι κλεύθομαι. περὶ παθῶν. Miller. p. 188. E. M. 517, 45. *Pl.*

p. 290, 6 versus Alcaei (frg. 125 Bergk) sic apud Miller. p. 57 servatus est: „ἀχνάσδημι κακῶς, οὔτε γὰρ οἱ φίλοι“. *Pl.*

292, 6 scr. ἀρτεμέα

293, 30 post frg. 399 fortasse inserendum: *399'. πόκτος· „πάντες παυροτέροισι πόκτοισι φέρον“ (?). παρὰ τὸ πόκος πόκτος. Sed si Meinekius qui Hermes III p. 454 ποκετός legi vult verum vidit, locus huc non pertinet. *Pl.*

296, 15 cf. Schol. Theocrit. I 1: γίνεται δὲ καὶ τὸ ψίω ἀπὸ τοῦ ψῶ ἢ ἀπὸ τοῦ ψαύω, ἀφ' οὗ ψιὰς ἡ κατὰ λεπτὸν τοῦ ὕδατος ἔκδοσις, ὡς λάμπω λαμπάς, ἴλλω ἰλλάς. Ὅμηρος „ἰλλάσιν οὐκ ἐθέλοντα“. οἱ δὲ παρὰ τὸ ψίσω τὸ ποτίσω. (Ziegler. p. 5.)

298, 2 in E. M. 581, 46 cod. V. (= Miller. p. 216 s. v.) hoc aduotamentum sic servatum est: ὁ Ἡρωδιανὸς λέγει, ὅτι ὡς παρὰ τὸ ἀρῶ (l. ἄρω) τὸ ἁρμόζω ἄρθρον καὶ παρὰ τὸ φέρω φέρθρον (sic scripsi pro φέρτρον, quia illud sententia requirere videtur. Quamquam scripturae φέρθρον nusqnam vestigium exstat, tamen non prorsus absonam eam putem, quum apud Suidam φέρεθρα legantur et s. v. φέρτρον etiam φέρεθρον afferatur, addito loco anonymi, in quo φέρεθρα inest), οὕτω παρὰ τὸ μείρω τὸ μερίζω καὶ ἀριθμῶ μέρθρον καὶ ἀποβολῇ τοῦ ρ̄ καὶ τροπῇ τοῦ θ̄ εἰς τ̄ μέτρον. *Pl.*

299, 19 post frg. 427 inserendum: 427'. φύλλων κεκλαμένων (λ 193)· εἰ μὲν οὕτως, ἀντὶ τοῦ κεκλασμένων, ὥστε πρὸς ἀντίθεσιν εἶναι πρός τι, ἐνδείᾳ τοῦ σ̄. εἰσὶ δέ τινες εἰρηκότες κεκλιμένων. περὶ παθῶν. Miller. p. 181. E. M. 500, 27. E. Gud. 312, 1. Propter τὸ „ἐνδείᾳ τοῦ σ̄“, quod solum ad κεκλαμένων pertinere potest, verba ὥστε — τοῦ σ̄ transposui (in E. M. et Gud. post κεκλιμένων leguntur); sed quid ἀντίθεσις hic sibi velit, nescio. Quae in E. M. praeterea in fine addita sunt: ἀλλ' εἴπομεν, ὅτι τὰ τοιαῦτα ποιητικά εἰσι, ad locum qui excidit de κεκλαυμένην (E. M. 499, 40. 500, 30 V. Miller. p. 181) pertinent. *Pl.*

300, 15 post frg. *431 inserendum: 431'. περικτίται· ὥς φησιν Ἡρωδιανός, σημαίνει τοὺς κτίστας, ἔλλειψις οὖν τοῦ σ̄. ἡ δὲ χρῆσις παρ' Ἀπολλωνίῳ (II 450)· „τὸν δ' ἀμφὶ περικτίται ἠγερέθοντο“. Miller. p. 241. *Pl.*

301, 3 post frg. 435 inserendum: 435'. βοῦαι· ἀγέλη. „τετάχαθ' αἱ βοῦαι“ ἀντὶ τοῦ βουσάαι (sic locus, fortasse Alcmanis, a Hemsterhusio et Valckenario scriptus est). ἔλλειψις τοῦ σ̄ καὶ πνεῦμα προσῆλθε τὸ δασύ. οὕτως Ἡρωδιανός. Miller. p. 69. E. M. 208, 6. Quae si cum l. Herod. in Theogn. 155, 19 (π. π. 435ᵃ) comparamus, Herodianus „τὴν τροπὴν τοῦ σ̄ εἰς τὸ πνεῦμα τὸ δασύ“ ut ita dicam non *prorsus* et in omnibus eiusmodi verbis respuisse videbitur, sed in solo vocabulo εὐοῖ, quod ab Apollonio eadem tropa explicatum esse verisimile est. *Pl.*

302, 23 Miller. p. 214 habet θάρσος Θαρσέας. Eadem nominis forma etiam in codice monadicorum p. 34, 12 servata est, ubi vide Lehrsium. *Pl.*

303, 16 post fr. 450 fortasse addendum est hoc: E. M. 787, 38 φαρέτρα ἡ βελοθήκη· εἴρηται παρὰ τὸ φέρειν καὶ κομίζειν τὰ τιτρώσκοντα. ἡ γενικὴ τῶν πληθυντικῶν φαρετρῶν, Ἰωνικῇ δια-

λύcει φαρετρέων, ὑπερθέcει καὶ διπλαcιαcμῷ γίνεται φαρετέρρων, quae ex Herodiani opere περὶ παθῶν excerpta esse probabiliter iudicat Bergkius P. Lyr. ed. III p. 968 not. *Lentzii ms.*

p. 306, 30 scr. μικκόc et κομμόc

308, 22 scr. ἑδριάαcθαι

309, 12 post ἑάφθη insere (Ξ 419)

309, 32 lege Μήδεϊα coll. I 8, 12

320, 2 scr. κάνεα κανᾶ coll. I 424, 23

320, 33 scr. Ζευγνῦcι Ζευγνύαcι

321, 8 scr. Cτειριᾶ

324, 14 scr. τὼ τραχέε τὼ τραχεῖ

325, 26 scr. ἐχρύcουc ἐχρύcου

327, 23 post γράφεται insere Ὠρείτηc

327, 26 scr. τύραννον

328, 5 scr. Ζελείτηc

328, 9 scr. Δημοcθένουc

334, 17 cum huius articuli initio et Dichron. 282 (loco a Lentzio in notis ad π. π. 523 allato) etiam quae Miller. p. 216. E. M. 584, 51 ex cod. V servata sunt, conferas: μήτι· „μήτι δ᾽ ἡνίοχοc περιγίγνεται ἡνιόχοιο" (Ψ 318). ὡc ἀπὸ τῆc Θέτιc Θέτιδοc Θέτιοc Θέτιϊ καὶ κράcει Θέτι, οὕτωc καὶ ἀπὸ τοῦ μῆτιc .. μήτιϊ καὶ κράcει τῶν δύο ῑ εἰc ῑ μακρὸν μήτι. ὡc καὶ ἀπὸ τοῦ νεᾶνιc νεάνιδοc γίνεται νήνιοc νήνιϊ καὶ νῆνι. (νῆνι ex Anacreontis versu repetitum est: v. Athen. XIII p. 599 C.). *Pl.*

344, 3 cf. Schol. Theocrit. I 87 (Ziegler. p. 15) de ᾠπόλοc.

345, 21 scr. ἱδρῶθ᾽

346, 2 cf. Schol. Theocrit. VII 36 (Ziegler. p. 53) τάχ᾽ ὤτεροc: Δωρικὴ ἡ cυναλοιφή· ὁ ἄτεροc ὤτεροc. τὸ γὰρ ὁ ἕτεροc διὰ τοῦ ōυ οὔτεροc, ὡc παρὰ Ἡροδότῳ.

352, 16 cf. etiam de αἶκα p. 199, 16.

352, 26 παληόc ἀρχῆοc Ἀχηόc scribi debebant, cf. ad I 115, 20.

356, 21 scr. πέπλεχα pro πέπλεξα

360, 18 quod Lentzius in nota ex E. M. 772, 6 de τυρόc affert, legitur etiam ap. Schol. Theocrit. I 58 (Ziegler. p. 12).

363, 17 corrige ὗπα et ἄπυ coll. I 479, 26.

364, 17 idem Miller. p. 91 s. v. Διώνυcοc. Summa iniuria pro ἀεὶ Millerus ἀρχαία coniecit. *Pl.*

367, 22 scr. Βρίγαc

370, 19 Miller. p. 234 etiam loco E. M. 657, 40 Herodiani nomen additur. *Pl.*

372, 20 post frg. 631 inserendum: 631'. ἀζηχέc· ὁ Ἡρωδιανὸc ἐν τῷ περὶ πάθουc λέγει, ὅτι παρὰ τὸ ἄδην, ὃ cημαίνει τὸ ἀδιαλείπτωc, ἀδηχέc καὶ τροπῇ τοῦ δ̄ εἰc ζ̄ δωρικῶc ἀζηχέc. Miller. p. 13. E. M. 22, 46. *Pl.*

372 not. lin. 12 scr. ἔρδω coll. I 439, 8 not.; lin. 23 scr. ὄδωδα et πέδοι; l. 24 post Αἰcχύλῳ insere (Prom. 280); lin. 28 scr. μάδοc coll. I 141, 25 c. not.

373 not. ad fr. *635 scr. ἔρδω

374, 2 et 3 et p. 819, 38 et 39 scr. φαθί coll. I 431, 11

375, 17 ex eodem fonte fluxisse puto Schol. Theocrit. I 77 (Ziegler.

p. 14): ἦνθ' Ἑρμῆς· ἦλθεν ... τὸ δὲ λ εἰς ν̄ τρέπουσιν οἱ Δωριεῖς, ὅτε τὸ θ̄ ἢ τὸ τ̄ ἐπιφέρεται, οἷον βέλτιστος βέντιστος, φίλτατος φίντατος, ἦλθεν ἦνθεν.

p. 377, 7 fortasse etiam haec voc. ἄσσον etymologia Herodianea est, quam Miller. p. 48, E. M. 157, 43 habemus: ἄσσον, παρὰ τὸ ἅπτω — Αἰολικὸν ἄσσω· οἱ γὰρ Αἰολεῖς τὸ π̄τ̄ εἰς σσ τρέπουσιν· νίπτω νίσσω, ὄπτω ὄσσω. *Pl.*

378, 18 scr. Κερκιδᾶς

379, 15 post frg. 666 fortasse inserendum: 666^{1}. πείρατα· πέρατα καὶ παρ' Ἀλκμᾶνι „πέρασα παθῶν". *Pl.* In quo inesse videtur περὶ παθῶν. *Lehrs.*

383, 7 vel αὖλις scribendum vel Αὖλις, cf. I 90, 14.

383, 11 post frg. 684 adnotamentum inserendum erit, quod Lentz. ad orthogr. II 576, 14 (ubi in textu ἀρπῖδες pro ἀρπίδες scribendum est), in notis attulit, apud Miller. p. 260 autem ex libris περὶ παθῶν disertis verbis repetitur: 684^{1}. ῥαπίδες· κρηπῖδες. ἆρον τὸ κ̄ καὶ τρέψον τὸ η̄ εἰς ᾱ. ἢ ἀπὸ τοῦ ἀρπίς ὀξυτόνου μετὰ τοῦ ῑ ἐκτεταμένου ὑπερθέσει καὶ συστολῇ χρονικῇ ῥαπίς. περὶ παθῶν. Utrum utraque etymologia an potius sola posterior Herodiani sit, id quod equidem magis probem, non diiudicem. *Pl.*

384, 14 Miller. p. 71 additur: Ἡρωδιανὸς περὶ παθῶν. *Pl.*

385, 4 cum hoc frg. conferendum est, quod Miller. p. 194 legitur: Κράπαθος (sic scripsi pro Κάρπ.)· Κάρπαθος καὶ Κράπαθος καὶ Κραπάθιον (πέλαγος?) οὕτω λέγεται. παρὰ δὲ τῷ ποιητῇ Κράπαθος (Herodianus fortasse scripserit ἡ χρῆσις τοῦ Κράπαθος). *Pl.*

385, 5 post frg. 694 inserendum: 694^{1}. κεκραμένας ἀντὶ τοῦ κεκαρμένας. Ἡρωδιανὸς περὶ παθῶν. Miller. p. 182. — *694^{2}. μελικρατίων (obscurum quidem)· ὁ μελικαρτίων ἐν ὑπερθέσει. Miller. p. 213. *Pl.*

385, 11 Miller. p. 88 additur: οὕτως Ἡρωδιανός. *Pl.*

385, 15 post frg. 697 inserendum: 697^{1}. κερκολύρα· οὕτως ὁ Ἀλκμὰν ἐχρήσατο ἀντὶ τοῦ κρεκολύρα. περὶ παθῶν. Miller. p. 184. E. M. 506, 18. Gaisf. Zonar. 1192. *Pl.*

386, 6 post frg. 701 inserendum: *701^{1}. κοκρύδες· παρὰ τὸ κρόκη γίνεται κροκύς κροκύδες καὶ καθ' ὑπέρθεσιν κοκρύδες. Ἐπίχαρμος τὴν χρῆσιν. Miller. p. 191. — *701^{2}. Fortasse huc etiam fragmentum quoddam valde mutilatum pertinet, quod Miller. p. 193, E. M. 541, 23 V (in quo codice s. v. κόρταφος novus articulus incipit) legitur: κόρταφος· τὸ ἐντελέστερον παρελαβ ..... εἰ μὴ ἄρα ὡς πρὸς τὴν συνήθειαν· παρὰ τὴν κόρσην κόρσαφος καὶ κόρταφος καὶ ἐν ὑπερθέσει κρόταφος. Initio dictum fuisse videtur, formam κόρταφος quamquam recte ab etymo descenderet, ἐντελεστέρα esset, tamen minus usitatam esse quam τὸ πεπονθὸς „κρόταφος". κόρταφος apud poëtas inventum esse videtur; cf. Thes. s. v. κρόταφος fine. *Pl.*

386, 9 post frg. 702 inserendum: 702^{1}. λιγύκρυτον (?)· πάλιν (?) παρ' Ἀλκμᾶνι ἔχει (ἡ χρῆσις?) ἀντὶ τοῦ λιγύκυρτον (?) μεταθέσει τοῦ ρ̄. Miller. p. 206. λιγύκυρτον nihil esse videtur; num totius articuli sententia et ordo sic convertendus est: λιγύκυρτον· παρ' Ἀλκ. ἀντὶ τοῦ λιγύκρυτον μεταθέσει τοῦ ρ̄ (τοῦτο δὲ ἐκ τοῦ λιγύκροτον τροπῇ τοῦ ō εἰς ῡ)? Fortasse autem alterius syllabae ῡ

librarii lapsu pro ō scriptum est, totusque locus sic adornandus: λιγύκορτον π. 'Α. ἀντὶ τοῦ λιγύκροτον μεταθέσει τοῦ ρ̄. Vox λιγύκροτον apud Suidam s. v. λιγυρώτατον invenitur; apud eundem fuerat glossa, a Kustero deleta: λιγόκρυτον· λιγύκροτον: num ea „λιγύκορτον· λιγύκροτον" restituenda eique ut explicatio vocis λιγύκροτον minus usitatae addenda est λιγυρώτατον? (nam glossa quae nunc legitur λιγυρώτατον· λιγύκροτον non integra videtur, quum vox λιγυρός multo usitatior fuerit quam λιγύκροτος.) *Pl.*

p. 386, 22 ex Miller. p. 215 et E. M. 596, 32 V. fortasse hanc articuli formam eruas: l. 23 δύναται δὲ καὶ οὕτως· ἐπίσσας λέγουσιν οἱ Ἴωνες, καὶ „ἔπισσαι αἱ ἐπιγινόμεναι τοῖς προγόνοις" οὕτως Ἑκαταῖος λέγει (aut καὶ παρ' Ἑκαταίῳ ἐστί· „ἔπισσαι κτλ.") εἰ οὖν κτλ. (Aliud vocis ἔπισσα exemplum habent Epim. Cr. I 280, 28 sqq.). *Pl.*

387, 2 Miller. p. 28 pro ὑπέρθεσιν habet ὑπερβιβασμόν; ibidem Simonidis locus sic servatus est: κύματ' ἄμιθρον. Millerus coni. ἀμιθρῶν. Meinekius Hermes III p. 452 κύματ' ἄμιθρον πέφευγεν aut simile quid legendum censet. *Pl.*

388, 3 post frg. 709 inserendum: 709'. συβριάζειν· ἀπὸ τοῦ συβαρίζειν ἐν ὑπερθέσει. Συβαρῖται ἐπὶ τρυφῇ διεβέβληντο. Ἡρωδιανός. Miller. p. 273. E. M. 732, 26. *Pl.*

389, 25 huius fragmenti initium sic plenius servatum videtur (Miller. p. 59): ἄωρτο οὐχ ὥς τινες ἠώρητο· ἀκατάστατον γάρ· „ἠώρητο τὸ ξίφος ἄφνως (??)". ἔδει ἥρμοζεν. ἔστι γὰρ ἄρω κτλ. *Pl.*

391, 23 et in indice scr. γρηῦς et νηῦς, cf. II 645, 29

393, 6 ὄγκος] ὄκνος *Lehrs.*, quod etiam in indice corrigendum.

399, 6 et 790, 12 scr. ἔρνος

399, 10 scr. ὑποδηματορράφος

399, 33 scr. ἔρδω

402, 15 scr. φιλορώμαιος

411, 11 cum frg. 14, quale Lentzius ex variis frustulis composuit, locus quidam, Choeroboscens ut videtur, comparandus est, apud Miller. p. 256, satis corrupta quidem forma, servatus: πρώειρα — διὰ τοῦ ει, ὡς παρ' Ἀπολλωνίῳ (I 372): „οἱ δὲ κατὰ πρώειραν ἔσω ἁλός". λέγεται γὰρ ὅτι τὰ διὰ τοῦ ειρα μονογενῆ προπαροξύτονα διὰ τῆς ει διφθόγγου γράφεται, οἷον σώτειρα, εὐπάτειρα, ὀλέτειρα, γεννήτειρα, οὕτως οὖν καὶ πρώειρα. σεσημείωται τὸ εἱρά ὡς παρὰ τῷ ποιητῇ (Ϲ 531)· „εἰράων προπάροιθε", καὶ τὸ Κάειρα. ὁ δὲ Ἡρωδιανὸς καὶ ταῦτα διὰ τῆς ει̅ διφθόγγου γράφει, τὸ μὲν ἀπὸ τοῦ εἴρω τὸ λέγω, τὸ δὲ Κάειρα, ὅτι οὕτως ἔχει ἡ παράδοσις. ὡς ἀπὸ τοῦ μάκαρ μάκαρος μάκαιρα, οὕτω καὶ ἀπὸ τοῦ Κάρ Καρός γίνεται Καῖρα καὶ κατὰ διάλυσιν Κάϊρα. ὅμως τὸ Κάειρα διὰ τῆς ει̅ διφθόγγου γράφεται τῷ λόγῳ τῶν διὰ τοῦ ειρα̅. τὸ δὲ εἱρά διφορεῖται· τὸ μὲν Ἱρά, ἡνίκα μὲν ἐπὶ πόλεώς ἐστιν, ἀπὸ τοῦ ἱερὰν εἶναι οὕτω λεγομένη, διὰ τοῦ ι̅ γράφεται, τοῦ ι̅ καὶ ε̅ εἰς ι̅ κεκραμένων, ὡς πόλιες πόλις. εἰ δὲ παρὰ τὸ εἴρω τὸ λέγω, ἐπὶ τῆς ἐκκλησίας, διὰ τῆς ει̅ διφθόγγου γράφεται, ὡς καὶ ὁ Φιλόξενος γράφει. Sic fere Milleri locum valde confusum restituendum censui, omnibus ceteris in rebus Lentzium secutus, nisi quod vocem εἱρά non si „ἐκκλη-

cίαν" significat διφορεῖcθαι dixi (id quod apud Lentzium invenitur), sed inter Ἰρά· πόλις et εἱρά· ἐκκληcία distinxi. Etymologia παρὰ τὸ ἱερὰν εἶναι ad ecclesiam minime, optime autem ad urbem quadrare videtur. Cf. etiam Cath. p. 263, 4 sq. *Pl.*

p. 413, 25 et in not. ἱμονιά scribendum coll. I 298, 15

415, 2 E. M. 370, 38 legitur γίνεται ἐρέθω ἐρεθεύω καὶ πλεοναcμῷ τοῦ ι ἐρειθεύω. οὕτωc Φιλόξενοc· ὁ δὲ Ἡρωδιανὸc ἔριθοc ἐριθεύω φηcίν. Contra Miller. p. 125 sic habet: γίνεται usque ad ἐρειθεύω. οὕτωc Φιλόξενοc καὶ Ἡρωδιανόc. λέγει δὲ Ἡρόδοτοc (Ἡρωδιανόc?), ὅτι ἄλλοι παρὰ τὸ ἔριθοc ἐριθεύω φαcιν. Quomodo hanc discrepantiam solvam, non habeo. *Pl.*

415, 22 etiam Milleri (p. 189) codex Ὧροc habet; sed maxime loco Schol. ad Od. ω 208 Herodiani nomen prorsus firmatum videtur. Cf. etiam Lentz. ad Cathol. p. 356, 17. *Pl.*

420, 1 scr. γηλεχέεc

420, 23 cum hoc frg. conferas, quae Miller. p. 57 inveniuntur: Ἀχελῷοc cὺν τῷ ι, ἐπειδὴ εἴρηται καὶ κατὰ διάcταcιν Ἀχελώϊοc — ἢ διὰ τὸν χαρακτῆρα τῶν διὰ τοῦ ωοc ὑπὲρ δύο cυλλαβάc. πρόcκειται ὑπὲρ δύο cυλλαβάc (hoc addidi) διὰ τὸ cῶοc· τοῦτο (scr. pro ταῦτα) γὰρ οὐ γράφεται cὺν τῷ ι. *Pl.*

422, 23 scr. πάλαοc coll. I 112, 20

423, 12 scr. πρὸ τοῦ τ τὸ c

423, 14 scr. παλαιcτήc coll. I 78, 10

424, 3 scr. Μοῦcα Μουcαῖοc

424, 33 Ζαῖα] quod etiam Ζέα, cf. I 271, 25

424, 19 scr. κώπαιον

428, 21 in notis Lentzius E. M. 198, 8 attulit, quo loco de v. βίοc et compositis eius agitur, sed de Herodianea eius origine dubitat. Sed si Millerum inspicimus, qui p. 65 sic habet: „βιοπλανέc 198, 11 add. οὕτωc Ἡρωδιανόc", fortasse tale adnotamentum componere licet: τὰ παρὰ τὸ βίοc cυγκείμενα, εἴτε κατ' ἀρχὰc λέγεται εἴτε κατὰ τὸ μέcον, διὰ τοῦ ι γράφεται, οἷον βιωφελήc, βιοτελήc, βιοπλανήc καὶ βιοπλανέc. οὕτωc Ἡρωδιανόc. Eorum verborum, quibus mediis v. βίοc continetur, exempla excidisse videntur. *Pl.*

431, 2 scr. γλωχίc γλωχίν

431, 21 scr. χοῖνιξ

434, 18 scr. Φαίαξ

435, 15 Βούτηc Βούτου Βουτίδηc] contra p. 870, 21 Κυβίτηc ὡc τῆc Βούτου Βουτίτηc.

435, 28 scr. Δαναΐδηc ὁ υἱόc τῆc Δανάηc

436, 7 scr. χρυcίτηc

436, 36 εὐρρείτηc βαθυρρείτηc ἀκαλαρρείτηc] haec εὐρείτηc ἀκαλαρείτηc I 77, 3 et II 471, 15, βαθυρείτηc II 471, 15 una liquida scripta leguntur.

437, 6 scr. χειρίc χειρίδοc

437 not. l. 9 scr. Ἶριc

440, 12 scr. ἐρκεῖοc propter I 136, 15

444, 24 scr. δαρεικόc

446, 1 scr. ὀργίλοc

446 not. l. 2 scr. *Eandem*

p. 448, 12 scr. Ἕρμιππος
449, 28 scr. ἀγακλειτός
450, 14 scr. ἰχθῦς propter I 236, 14. 238, 17
451, 34 scr. Φειά
452, 1 et in indice scr. θριά
456, 14 scr. σμιλή coll. I 319, 16
458, 28 scr. ἴχνιον
460, 2 scr. Ἀδραμύττειον propter I 373, 12
460, 5 scr. Δοκίμειον coll. I 374, 9 et Steph. B.
462, 14 scr. εἴρω
464, 2 scr. ἀντωνυμιῶν
464, 23 τὸ ψ παμψηφεὶ non recte se habere possunt: αὐτοψεί scribendum esse puto.
466, 1 scr. Λιβύων
471, 23 legendum Ἀκιδαλίη? *Pl.*
474 not. l. 1 leg. ἀματίς
475, 5 scr. Ἄμοργος coll. I 141, 12 c. not.
479, 31 scr. σφοδελόν (coll. p. 152, 18), quod fortasse etiam I 108, 30 restituendum.
481, 19 scr. Βενεβεντός (I 222, 25)
481 not. l. 14 scr. B 532
482, 23 scr. βληχών coll. I 37, 17
482, 35 scr. Βόλισσος (I 212, 21)
484, 2 scr. Πρετανίδες
485, 11 scr. Γαίτουλοι, cf. I 165, 23, ubi Lentzius Γαιτουλίους ex Eustathio recepit, sed nostro loco Γαιτυλίους ex St. B.
486, 9 scr. βοΐδιον coll. I 357, 6. II 860, 8
487 not. l. 3 scr. γναθμοί et l. 6 ἄγναπτον
489, 21 et 22 et p. 860, 28 scr. δαρεικός
489, 26 post δαστός inseri potest: ἀφ' οὗ τὸ ἄδαστον· Σοφοκλῆς (Ai. 54)· „λείας ἄδαστα βουκόλων". Miller. p. 82. *Pl.*
491, 19 scr. ἀπό τινος ἥρωος
493, 12 scr. Διΐφιλος
494, 16 scr. δρυφακτός coll. I 223, 9
495, 2 scr. δωτῆρες
496, 19 quum loco E. M. 294, 45 pro ὁ τεχνικός (cf. Lentzii notam) secundum Miller. p. 99 Ἡρωδιανός legendum sit, adnotamento de εἷα fortasse hoc addere licet: ἡ δὲ χρῆσις οὕτως· εἷα δὴ ξύλον, ἔγειρέ μου σεαυτὸ καὶ γίγνου θρασύ. (Euripid. frg. 694 Nauck.) *Pl.*
497, 5 scr. καὶ
497, 30 scr. διὰ τοῦ ῑ
498, 13 c. not.: cf. Miller. p. 166 s. v. ἴκελος. *Pl.*
499, 29 cf. Miller. p. 102: ζήτει τὸ εἰλυός, ὅ φησιν Ἡρωδιανὸς διὰ τοῦ ῑ, πῶς (?) τὸ μέτρον ἀπαιτεῖ. Sed locus prorsus confusus et corruptus est; cf. maxime II p. 21, 5. Unde „τὸ μέτρον", nescio. (Num ex Il. Pr. Φ 318 aliquo modo fluxerit?). *Pl.*
499 not. l. 3 scr. εἶλαρ et ἶλαρ
500, 22 scr. ἐλίσσω (an εἱλίσσω?)
500 not. l. 4 scr. εἰλυσπᾶσθαι pro εἰλισπ.
502 not. l. 4 scr. *Apud Hes.*
503, 14 scr. οἷον

p. 507, 17 scr. φιλαλειπτῶ (I 433, 24)
507, 20 Miller p. 114 Alcaei locus affertur, sed valde dubius. Cf. Bergk. *Pl.*
510, 15 not scr. ἐρέθων διακόπτων κατεπείγων
515, 12 scr. ζεῖρα coll. I 263, 1
519, 2 scr. ἦcθα θεατρικόc
519, 4 post μετὰ τοῦ ī Miller. p. 153 hoc habet: Εὐριπίδηc Πηλεῖ· „πάρεcμεν, ἀλλ' οὐκ ἦcθ' ἂν οὐ παρόντα με". *Pl.* Verum sine dubio ἀλλ' οὐκ ἠcθάνου παρόντα με, ut iam alii coniecerunt. *Lehrs.*
520, 8 scr. Θεμιcκύρειοι pro Θεμ.
520, 28 ex Miller. p. 159 addendum videtur: εὕρηται δὲ καὶ διὰ τοῦ ε̄ ψιλοῦ, οἷον „μαλ' αἰcχρὸν ἐν τῷ Θηcέῳ καθήμενοc" (ex Phecreratis Dulodidascalo: Bekk. An. 99, 23). *Pl.*
522, 3 θρία? ut Choerob. habet: cf. I 355, 27
522, 4 scr. θρῖδαξ (I 42, 26)
523, 20 addendum videtur: — ἢ ὅτι τὰ διὰ τοῦ αcoc τριcύλλαβα ἓν φωνῆεν θέλουcιν ἔχειν κατὰ τὴν ἄρχουcαν, οἷον Κρίαcoc, Πίαcoc ὄνομα κύριον. Miller. p. 163; idem E. M. 464, 11 *V*, nisi quod is falso Κορίαcoc habet. Hoc praeceptum recte se habere videtur: nam si eiusmodi vocabula, Cath. p. 209, 3 sqq. enumerata, inspicimus, nullum eorum a nostro canone abhorrere invenimus, nisi βαύναcoc et Καύκαcoc: horum autem altera forma praeter solitam ibi profertur. Quare voc. Κρίαcoc et Πίαcoc in illum Cathol. locum inserendae erunt. *Pl.*
529, 19 Κάλυδνα scriptum I 256, 28. 327, 9 et Κάλυμνα I 256, 33, contra Καλύδναι I 327, 8. (Κάλυμναι I 256, 33.)
534, 19 scr. κῖριc et Κῖριc coll. I 99, 4 (ubi fortasse addendum: λέγεται δὲ καὶ παρὰ Κυπρίοιc Κῖριc ὁ Ἄδωνιc, παρὰ δὲ Λάκωcιν ὁ λύχνοc) et II 437, 5
535 not. l. 7 scr. κλίτοc pro κλίτυc
539, 21 Sophoclis locus, de quo hic agitur, Trachin. 191 fuisse videtur. cf. Miller. p. 197. *Pl.*
540, 7 scr. κυλλοποδίων
540, 14 scr. κύπειρον et κύπαιρον
540, 22 et 860, 7 scr. κῴδιον
541, 16 scr. κωχεύει
545, 1 addendum videtur: Εὐριπίδηc Πλειcθένει· „καὶ κάταιθε χῶτι λῆc ποίει". Miller. p. 205. Sic Dübnerus. Meinekius Hermes III 454 versum fortasse compleudum censet: „πίμπρη με καὶ κάταιθε χῶτι λῆc πόει". *Pl.*
545, 8 scr. Λητώι et Σαπφώι
548, 3 scr. Μαλέα (I 273, 30. 284, 24)
548, 17 scr. Μαντύα pro Μάντυα (I 303, 9. 307, 8)
551, 13 scr. Νῖνοc (I 176, 14)
553, 14 scr. ναυcικλυτόc (I 229, 16)
558, 14 scr. ῐ pro ῑ
559, 5 scr. ἐνεcτώc
559, 7 simile habet Miller. p. 167, E. M. *470, 37: Ἰλεύc· ὁ Ἡρωδιανὸc διχῶc λέγει, ὥcπερ Βριάρεωc καὶ Ὀβριάρεωc. *Pl.*
559, 23 scr. ὄκα pro ὅκα
560, 4 ὅμιλλοc (non ὄμιλλοc) scriptum p. 551, 6. 564, 29. 579, 27.

p. 561, 24 ὀρτή pro ὁρτή scribendum: cf. p. 185 ad fr. 47

565, 26 hoc Herodianeum esse, articulus quamvis corruptus apud Miller. p. 238 s. v. πεῖcα testatur, ubi οὕτωc Ἡρωδιανόc. *Pl.*

571, 1 scr. κορυδαλλόc

576, 3 cf. Schol. Theocrit. V 113 (Ziegler. p. 44): ῥαγίζοντι· τὰc ῥᾶγαc ἀναλέγουcιν. οὕτωc δὲ ῥᾶγαc Ἀττικῶc διὰ τοῦ ᾱ.

576, 11 conferendum est quod Miller. p. 260 habet: Ῥαικὸc Ἐπίχαρμοc. Φιλόξενοc εἶναι Γραικόc καὶ ἀποβολῇ τοῦ γ Ῥαικόc. *Pl.*

577, 10 Ibyci fragmentum Miller. p. 261 sic plenius servatum est: ποικίλα ῥέγματα καλύπτραc περόναc τ᾽ ἀναλυcαμένα. *Pl.*

580, 30 Euripidis versus (frg. 824 Nauck) apud Miller. p. 266 sic affertur: Φρίξῳ δευτέρῳ· „χρῄζων ἀνοῖξαι μὲν cιροὺc οὐκ ἠξίουν“. *Pl.*

581, 16 scr. cκινδαλαμόc et cχινδαλαμόc. ἄλλοι coll. I 171, 7

581, 22 not.: Lentzii coni. in Choer. orth. 261, 17 αἴτιοc pro ἄξιοc codice Milleri (p. 267) firmatur; ibidem finis articuli Choeroboscei plenius, quamvis corrupte, sic servatus est: γράφεται δὲ διὰ διφθόγγου ἀπὸ ἱcτορίαc (?). Καὶ γὰρ Καλλιμάχου γεγραφότοc αὐτὸ διὰ τοῦ ῑ, Ἀριcτοφάνηc ὁ γραμματικὸc προcέθηκε τὸ ε Κείρων (leg. Cκείρων) † και το κουcειρωνα· καὶ ὁ Φιλήμων ὁ τὴν Ἀττικὴν γράψαc διὰ τῆc ει διφθόγγου γράφει, καὶ κατ᾽ ἀναλογίαν δὲ διὰ τῆc ει διφθόγγου γράφει, ἐπειδὴ ἀπὸ τοῦ κείρω γέγονε κείρων καὶ Cκείρων. *Pl.*

588, 14 scr. ταὐτό ταὐτόν

589, 3 scr. ἑρκεῖοc et ἠθεῖοc coll. I 134, 11 et 136, 15

589, 14 scr. Τίλφωccα (I 268, 11)

589, 29 scr. Τερῖνα (I 258, 20)

591, 27 scr. Τῖρυνc (I 246, 4)

591 not. l. 1 scr. κιννάβαρι

592, 16 scr. Τόμουρον (I 10‸, 9)

592, 26 scr. Τούρδουλοι (I 165, 24)

592, 30 Τραγεαί? (I 290, 9)

595, 1 τρυφακτόc? (I 223, 9)

602, 34 post Aristophanis Pluti locum etiam duo versus allati erant: καὶ ἐν Κωκάλῳ· „φῷδαc τοcαύταc εἴχετον“ καὶ Κρατῖνοc Cεριφίοιc (corr. Miller. pro Ἐριφίοιc)· „πολυτρήτοιc (cod. -τρίτοιc) φωcί.“ Miller. p. 305. *Pl.*

605, 31 apud Miller. p. 310 sic legitur: ἀλλ᾽ ὡc ἀπὸ τοῦ νείφω γίνεται νιφάc διὰ τοῦ ῑ, οὕτω καὶ ἐνταῦθα. ἢ κρεῖττον κτλ. *Pl.*

608, 21 Choer. ἀμφότεραι sc. cυλλαβαί

608, 23 ψῖcαι? cf. p. 607, 20

610, 5 haec delenda esse credo ab Hesychio sine dubio ex Gregorii Nazianzeni epigrammate hausta, quod exstat Anthol. Pal. VIII 146 ὦ Ξώλων Ζαθέων ἱερὸν πέδον κτλ.

612, 26 scr. Πράντοc (I 410, 19)

616, 9 scr. κάρηαρ pro κάρηαc

618, 25 δαφνήειc δάφνηc, ἡ δάφνη γὰρ τῆc δάφνηc et l. 27 λαχνήειc λάχνηc, ἡ λάχνη τῆc λάχνηc] haec stare non possunt, quum δαφνῆc et λαχνῆc fieri ex δαφνήειc et λαχνήειc constet (I 65, 24 sq.).

619, 5 scr. τιμῆεc

620, 28 scr. μελαγχρήc μελαγχροῦc

p. 623, 16 rectius προῦcτι I 339, 13
626, 5 et in indice cum Bekkero (Anecd. in indice) δαμαρίππεωc corrigendum, ut I 245, 12
626, 28 fragmentum Aristophanis Miller. p. 167 sic legitur ἴκτινα παντόφθαλμον ὀφθαλμοῖc τίνων. Meinekius Hermes III 454 coni. „ἅρπαγ' ἐκτρέφων" aut „ἅρπαγα cτρέφων". *Pl.*
632, 25 scr. εὔγηρων
633, 18 scr. Πράντοc et l. 19 Ζάντοc coll. I 410, 19. II 635, 26.
635, 7 νεφεληγερέτα] cf. Schol. Theocrit. VIII 30 (Ziegler. p. 63): ἰυ(γ)κτά δὲ ὡc τὸ „νεφεληγερέτα Ζεύc".
640, 10 scr. ναῦοc (I 109, 12) et αὖωc (II 271, 16. 401, 28)
641, 40 scr. ἀλλὰ
643, 25 scr. ἐπίτεξ (I 43, 8)
646, 5 post θεράποντα insere (Alcman. fr. 101)
648, 32 scr. Ζάντοc
651, 12 scr. γενική)
654, 17 Καρρᾶc Καρρᾶ? cf. I 51, 6. 56, 22 not. et St. B. s. v. Κάρραι.
656, 12 'Ελίξαc 'Ελίξα? ut I 54, 15 ex Arcadio exhibitum; Choerob. 41, 21 'Ελίξαc habet.
657, 21 versus est Eupolidis
662 not. l. 2 scr. ἀντὶ τοῦ
665, 14 scr. Μητρᾶc τοῦ Μητρᾶ
666, 29 scr. κυανοχαῖτα
670, 12 post ἔντο adde (A 469)
674, 11 post 'Αχαιῶν adde (A 392)
674, 24 scr. Ζάντοc
677, 11 post 'Αχαιοί adde (Δ 384)
681, 12 scr. Κόμηc Κόμου
684, 1 scr. Κεφάλληc Κεφάλλητοc
685, 7 ψαλτήc 'Αττικῶc ὀξύνεcθαι diserte dictum I 62, 29, sed de κτιcτήc tacent Lentzii fragm. Herodianea.
685, 11 scr. φαιδρυντήc φαιδρυντοῦ (I 78, 5)
686, 33 'Αλιθέρcηc ψιλοῦcθαι praecipitur Od. Pros. β 157.
688, 12 scr. ἀκερcεκόμηc ἀκερcεκόμου (ἀκεροκόμηc ἀκεροκόμου Choer.)
688, 20 adde (Π 428)
689, 9 et 14 scr. Παγκράτηc Παγκράτουc
693, 32 scr. αἰτίαν
698, 12 adde P 109
698, 18 versus ille difficilis apud Miller. p. 207 λῖεc μέν τε λίεccι legitur. Ceterum totus locus de voc. λίc confusus et sic fere (cum Meinekio, ad Euphorion. p. 79) restituendus est: l. 10 ὤφειλε μακρὸν ἔχειν τὸ ῑ, ὥcπερ κίc κιόc, λίc λιόc ὡc ἐπὶ τοῦ „ὥcτε λῖc ἠϋγένειοc" (P 109), (εἰ γὰρ καὶ εὕρηται τὸ λίc cυνεcταλμένον ἔχον τὸ ῑ ποιητικῶc ὡc παρ' Εὐφορίωνι ἐν Μοψοπίᾳ κτλ. καὶ πάλιν κτλ., ἀλλ' οὖν καὶ ἐκτεταμένον ἔχει ὡc ἐπὶ τοῦ λῖεc μέν — λίεccι"), ἡ δὲ Διόc κτλ. *Pl.*
698, 32 ex Herodiani loco de λιτί et λῖτα agente fortasse etiam adnotamentum de plurali λῖτεc apud Epicharmum invento fluxit, quale apud Miller. p. 207 s. v. λιτέcθαι habemus (sed articulus de λῖτεc cum voc. λιτέcθαι non cohaeret): adeo autem id corruptum est, ut de eo prorsus desperaverim. *Pl.*

p. 701 not. l. 10 Choerob. Orth. 279, 14 ψιμύθιον habet, Dict. 195, 14 ψιμμύθιον (cf. II 608, 21).
707, 2 scr. Καμμῦς τοῦ Καμμῦ
707 not. l. 7 dele verba *Etiam — corrigendum est:* cf. quae ad I 237, 11 dixi.
709, 36 scr. δέλλιθος
714, 14 scr. Τυφῶν pro Τυφών
717, 35 et 38 scr. τριβολετήρ (I 48, 25 not.)
719, 10 hoc alterum τέρην τέρενος ὦ τέρεν (cf. lin. 9) recte se habere non potest.
721, 5 scr. Θῶν
725, 3 φυλάττει τὸ ω̄ κατὰ τὴν γενικὴν Lentzius ex Theogn. 29, 9, sed sine dubio rectum habet Choerob. Dict. 71, 33 διὰ τοῦ ō κλίνονται.
726, 27 scr. Δράκωνος coll. p. 733, 16
727, 30 scr. θυρών θυρῶνος προθυρών προθυρῶνος coll. I 35, 17 sq. 40, 7. 25
727, 32 scr. φιλοξενοφῶν φιλοξενοφῶντος et l. 33 (et in indice) μισοποσειδῶν μισοποσειδῶνος coll. I 40, 21
731, 26 scr. Ἁλίζων Ἁλίζωνος
731, 27 scr. Ὀνάσων Ὀνάσωνος (I 36, 4)
732, 4 post ἔωσιν omitti non debebant haec Theognosti verba: ἀλαζών ἀλαζόνος τὸ ἐπίθετον.
733, 5 scr. δράπωνος
738, 25 scr. Κίνυψ (quod etiam lin. 29 et 38 restituendum; cf. I 247, 4)
739, 1 scr. τούτου χάριν
741, 8 scr. μολυβδοτήξ et l. 9 μολυβδοτῆκος (item in ind.) coll. I 46, 5
742, 32 scr. Γανύκτωρ
744, 36 adde (Β 434)
748, 2 scr. Ἰλλυριοί; cf. I 118, 11 et Lentzii Corrigenda ad I 47, 12.
749, 40 τὸ pro τὸν?
759, 21 post ποτῆτος adde (Λ 780)
761, 1 scr. Ἀταργατῖς Ἀταργατῖδος Ἀταργατῖν ex Strab. XVI p. 748 (τὴν Συρίαν θεὸν τὴν Ἀταργάτιν, corr. Ἀταργατῖν) et Cram. An. Paris. III 33 (ubi Ἀταργαστῖς); Arcadius habet ἀτεργατῖς.
761, 6 de ὄνωνις cf. I 96, 19 not.
762, 34 scr. ἐρινύς ἐρινύος
763, 27 scr. Alcaei fr. 21 Bergk.[3]
764, 31 scr. τὸ χαρίεν
771, 37 cf. Schol. Theocrit. I 58 (Ziegler. p. 12): τυρόεντα· τὸ ῡ μακρόν, ρόεντα μὲ συνίζησις. τὰ εἰς ρος γὰρ δισύλλαβα ὀξύτονα τῷ ῡ παραληγόμενα ἐκτείνουσιν αὐτό, οἷον τυρός, πυρὸς ὁ σῖτος. τὸ πῦρ δέ, τοῦ πυρὸς βραχύ, καὶ τὰ ὅμοια.
772, 26 cum doctrina Herodiani, genitivum καρήατος et κάρητος ex κάρηαρ ducentis (cf. etiam p. 769, 24. π. π. 205[a]) locus satis copiosus apud Miller. p. 177 consentit; quae autem ibi de pleonasmo τοῦ ᾱ in v. καρήατος et de flexione nominativi κάρη dici videntur, prorsus ab Herodiano abhorrent. *Pl.*
779, 16 scr. ἔνεγκον
783, 13 ex Miller. p. 130 paullo pleniorem huius articuli formam

cognoscimus: ἀπὸ τοῦ τελῶ τελείω ὡς κιχῶ κιχείω, καὶ νικῶ νικείω (?), cῶ cείω, θῶ θείω. καὶ ταῦτα μὲν ὡς ἀπὸ ἐνεcτῶτος τὰ παρηγμένα, ὡcαύτως δὲ καὶ τὰ ἀπὸ μελλόντων· οἷον δράcω δραcείω, ὄψω ὀψείω, γελάcω γελαcείω. ταῦτα δὲ ἄχρι τοῦ παρατατικοῦ κλίνονται. Cf. etiam Cath. p. 454, 8 c. notis Lentzii et Miller. p. 233 ὀψείοντες. *Pl.*

p. 789, 15 scr. αἰτῶ
789, 17 scr. ψχόμην
790, 3 scr. Ἀττικοὶ
790, 28 scr. ὠμωμόκειν
793 not. l. 10 πτήcαcκε] ποιήcαcκε? l. 20 scr. Ἄβρων, l. 26 ἦγεν pro ἦγον
796, 40 adde (δ 433)
797, 20 scr. Ἴριδι
798, 3 scr. πέποθε
799, 23 scr. γράφω pro γράψα
800, 41 scr. τεύχω
801, 6 scr. οὐκέτι
803, 26 scr. Κίνυφος
804, 31 scr. γραφήcω
804, 34 scr. μέλω pro μελῶ et ὠφείληcα
805, 2 κύκλος κυκλῶ] κυλλός κυλλῶ? *Pl.*
805, 20 scr. Φοῖνιξ
819, 4 scr. ποιήcω ἀλλὰ ποίηcαι
819, 17 scr. χρυcούτω et ἐποιήcατε et ποιηcάτω
821, 19 et 32 scr. βοῷμι
822, 10 scr. πεποιῄμην et νυγείην
831, 14 scr. ἦχι
837, 1 scr. εἴρωες
844, 22 scr. ἱcτάc
855, 5 scr. μόcυνος
856, 21 scr. εὐέρεια
859, 19 ex Miller. p. 49 s. v. ἀcτρίc comperimus, locum E. M. 159, 28 sqq.: „ὡς Παρθένιος Πάρθις καὶ ὁ Χαλδαῖος Χάλδις καὶ ὁ λάcταυρος λάcτρις καὶ Ἀμφιάραος Ἄμφις, οὕτω καὶ ἀcτράγαλος ἄcτρις“ deberi *Didymo* ἐν τῷ περὶ παθῶν. Cui traditioni si fides habenda est, Herodianus Didymum secutus esse videtur; nam E. M. 654, 12 legimus πάρθις· ὁ παρθένιος. οὐκ ἀποκοπή, ἀλλὰ μεταποίηcις καὶ μεταcχηματιcμός. περὶ παθῶν, et E. M. 93, 50 Ἄμφις· οὐ cυγκοπή, ἀλλὰ μεταcχηματιcμός ... ὥcπερ ἀcτράγαλος ἄcτρις καὶ Ἰφιάναccα Ἶφις ... Ἡρωδιανὸς περὶ παθῶν. Cf. π. π. frg. 104. 105; frg. *107 ergo proprie Didymo assignandum videtur. *Pl.*
861, 28 et in indice scr. Δενθάλιοι
862, 16 scr. ὁμωνυμίαν pro ὁμοφωνίαν
864, 28 versus Callimachi est.
869, 1 scr. Cελευκοβηλαῖος
869, 17 cf. Schol. Theocrit. V 147 (Ziegler. p. 46): λευκίτας· πεποίηται τὸ ὄνομα ἀπὸ τῆς λευκότητος τοῦ τράγου. ὡς ἀπὸ τοῦ μέcος μεcίτης καὶ ὁδὸς ὁδίτης, οὕτω καὶ ἀπὸ τοῦ λευκὸς λευκίτης.

p. 869, 38 scr. Ἰοπίτης
869, 40 scr. cum St. B. ἐν ᾧ οἱ οἰκοῦντες
870, 1 scr. Σικυωνίοις
871, 9 scr. ὁ τύπος
871, 38 scr. Ἀκραιφιάς
877, 3 versus Aeschyli est
883, 7 scr. Ἱεραπύτνιοι
884, 13 scr. Γελῷος coll. I 128, 5
891, 36 πεδινός et Ἀρειοπεδινός? In altera syllaba vocabulorum Ἀρειοπεδῖνος et Ἀρειοπεδιανός Stephani codd. literam ῑ omittunt.
892, 13 scr. Βολογεσιφορεύς
893, 21 καὶ τρισυλλάβως] Quaenam illa? Ἑστιεύς an Ἑσταιεύς? credo Ἑστιεύς ab Ἑστία. cf. s. v. Ἱστίαια. *Meinek.* ad St. B. p. 283, 3.
894, 3 Ἱστίαια et Ἱστιαιεύς St. B.
895, 40 scr. Ἡγησιάναξ
905, 30 apud Miller. p. 243 fragmentum paullo plenius sic servatum est: πηλός ὁ οἶνος. οὕτω γὰρ παρὰ πολλοῖς τῶν ἀρχαίων εἴρηται παρὰ τὸ πάλλειν καὶ σείειν ἡμῶν τὰς φρένας ἐν τῷ πίνειν. ὅθεν καὶ κάπηλος (E. M. 670, 36 κραιπάλη). Lectio κάπηλος non mutanda videtur: E. M. 490, 5 κάπηλος i. e. οἰνοπώλης a voce πηλός ducitur; cf. etiam Thesaurum s. v. — Ceterum hic et Miller. p. 313 s. v. ψεδνός et p. 314 s. v. ψωμός hic qui ceteroquin Συμπόσιον dicitur liber sic citatur: οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ συμποσίων. *Pl.*
908, 3 scr. αἱ δὲ
915, 9 Δεξικρῶν Ἑρμονίδης] cf. Bergk. P. Lyr.[3] p. 1200
918, 4 scr. Ἀγροίτας
920, 17 scr. Νάβωμος coll. I 172, 18 not.
924, 18 scr. ῥωδιῷ
933, 13 similia habent Et. M. 321, 40 et Cramer. An. Par. IV 55, 35 (ubi 56, 3 συγκέκοπται pro σύγκειται corrigendum).
955 post αλ- 540, 4 adde II 29, 22
957 -σκε] adde II 792, 15*
959 -ῳον] adde οὐδέτερα μονογενῆ II 610, 6*
967 ἆ δεῖλ'] scr. δεῖλ' pro δεῖλ
968 Ἀβύλη] adde II 603, 15*
— post ἀγεληδόν insere ἄγεν (ἦγεν) II 792, 15*
972 Ἄθμονον] adde II 889, 12*
973 Αἴγιον] adde II 600, 11*
974 Αἰήτη] adde II 691, 8*
975 Αἰνείας] scr. τοὺς pro τὰς
975 Αἰπύ] v. Ἐύκτιτον αἰπύ
979 ἀλεῖς] adde II 87, 28
992 quod post Ἀρκεσινεύς legitur Ἀκεσίνη corr. Ἀρκεσίνη
993 scr. ἀῤῥαγές
1008 βραδύς] βραδέως cet. uncis includenda
1012 γε νέεσθαι] insere II 309, 22
1037 insere ἐμέγηρε II 89, 15
1045 insere ἐσέφθην II 782, 7
1056 scr. Ἡμικύων
1059 Θαύμακοι] scr. 149, 5*

p. 1059 θεῖναι] insere II 814, 10. 18. 29. 35
1064 Ἰάμβλιχος] insere I 226, 12
1069 Ἱππῶναξ] insere II 8, 22
1087 Κράτης] insere II 897, 24
1124 insere ὀλισθήσω II 807, 22
1125 Ὅμηροι] insere II 322, 24. 323, 16. 24
—— Ὁμήρω τῶ] insere II 323, 9. 16. 24
1132 Πάλμυς] insere (I 237, 11)
1136 scr. Πελ*ιν*ναῖον
1182 scr. τρίφορος
1183 scr. τύλος 154, 6 et Τύλος 192, 4 cet.
1217 Incertus auctor] dele II 187, 17
1228 scr. Πολέμων
1229 Σαπφώ] insere II 187, 17

Korn, Dr. [illegible] O., **die Handschriften der historia evangelica des Juvencus** [illegible] Danzig, Rom und Wolfenbüttel. Ein [illegible] Kritik des Juvencus. Separat-Abdruck aus dem Programm des Gymnasiums zu Danzig. gr. 4. geh. 10 Ngr.

Kurz, Heinrich, Leitfaden zur Geschichte der deutschen Literatur. [illegible] verb. Auflage. gr. 8. geh. 1 Thlr.

Lefmann, Dr. S., Privatdocent der Sprachwissenschaft in Heidelberg. **August Schleicher**, Skizze. gr. 8. geh. 20 Ngr.

Ein Lebensbild des berühmten Sprachforschers, das den [illegible] Freunden und [illegible] des Verblichenen gewiss sehr willkommen sein wird.

Ludwig, Ernestus, de Petronii sermone plebeio. Dissertatio inauguralis. gr. 8. geh. 10 Ngr.

[Macaulay]. Duke Monmouth's Rebellion. A Chapter from Macaulay's history of England. Für die Oberklassen höherer Schulen bearbeitet von H. A. Werner, Lehrer an der Realschule zu Schwerin. gr. 8. geh. 9 Ngr.

Zur Sammlung der Schulausgaben englischer Schriftsteller mit deutschen Anmerkungen.

Mayhoff, Carolus, de Rhiani Cretensis studiis Homericis. gr. 8. geh. 20 Ngr.

Separat-Abdruck aus dem Programm des [illegible] Gymnasiums.

Nägelsbach, C. W. E. Dr., Pfarrer in Bayreuth, **hebräische Grammatik** als Leitfaden für den Gymnasial- und akademischen Unterricht. [illegible] verbesserte und vermehrte Auflage. gr. 8. geh. 22½ Ngr.

Naumann, Dr. J., Oberlehrer an der Realschule I. O. und am Gymnasium [illegible] **theoretisch-praktische Anleitung zur Abfassung deutscher Aufsätze** für die [illegible] höherer Schulen. 8. geh. 22½ Ngr.

Ostermann, Dr. **Christian, lateinisches Vocabularium** grammatisch geordnet [illegible] mit einem Uebungsbuche. Erste Abtheilung. Für Sexta. [illegible] Auflage. gr. 8. cart. 3 Ngr.

— — **Lateinisches Uebungsbuch** im Anschluss an ein grammatisch geordnetes Vocabularium. Erste Abtheilung. Für Sexta. Achte verbesserte [illegible] Auflage. gr. 8. geh. 7½ Ngr.

Plini, Caecili Secundi C., epistularum libri novem, epistularum ad Traianum liber, Panegyricus ex recensione Henrici Keilii. Accedit index nominum cum rerum enarratione auctore Theodoro Mommsen. gr. 8. geh. 3 Thlr. 20 Ngr.

Schoene, Dr. ph. **Alfr., Analecta philologica historica I.** De rerum Alexandri magni scriptorum imprimis Arriani et Plutarchi fontibus. gr. 8. geh. 16 Ngr.

Stanger, Dr. **Josef, über Umarbeitung** einiger Aristophanischen Komödien. gr. 8. geh. 12 Ngr.

Stati, P. Papini, Thebais et Achilleis cum scholiis veteribus recensuit [illegible] Mueller. Vol. I. Thebaidos libri I—VI. gr. 8. geh. 2 Thlr. 20 Ngr.

Werner, H. A., [illegible] an der Großherzogl. Realschule in Schwerin, **Materialien zum Uebersetzen in's Englische.** Vorbereitender Theil [illegible] zur [illegible] und Einübung der Wortstellung in den wichtigsten [illegible] 21 [illegible]

[illegible]

Wesener, Dr. P., Gymnasiallehrer [illegible] **griechisches Elementarbuch** nach den Grammatiken von [illegible] Koch. [illegible] 8. geh. 7½ Ngr.